HERODOTI

HALICARNASSEI

HISTORIARUM LIBRI IX.

ἩΡΟΔΟΤΟΥ

ἉΛΙΚΑΡΝΗΣΣΗΟΣ

ἹΣΤΟΡΙΩΝ ΛΟΓΟΙ Θ.

HERODOTI

HALICARNASSEI

HISTORIARUM LIBRI IX.

CODICEM SANCROFTI MANUSCRIPTUM

DENUO CONTULIT

RELIQUAM LECTIONIS VARIETATEM

COMMODIUS DIGESSIT

ANNOTATIONES VARIORUM

ADJECIT

THOMAS GAISFORD, A. M.

GR. LING. PROF. REG.

TOM. I.

OXONII,

EXCUDEBANT S. ET J. COLLINGWOOD,

IMPENSIS JOSEPHI PARKER;

G. ET W. B. WHITTAKER, ET C. ET J. RIVINGTON, LONDINI;

ET J. DEIGHTON ET FILIORUM, CANTABRIGIÆ.

MDCCCXXIV.

MONITUM.

MAJOREM Herodoti editionem, quæ brevi interjecto tempore proditura est variorum animadversionibus aucta et illustrata, comitabitur præfatio Wesselingii, cui accedet appendix hujusce nostri operis consilium breviter aperiens. Interim compendiorum, quibus in codd. mss. designandis usi simus, catalogum subjicere placuit.

A. B. C. Codd. quidam Parisini apud Wesselingium.
M. Codex Mediceus apud Gronovium.
P. Codex Cardinalis Passionei apud Wesselingium.
F. Codex Schellershemianus, olim Florentinus, apud Schweighæuserum.
K. Codex Askevianus, nunc Cantabrigiensis Bibliothecæ publicæ, apud Wesselingium.
S. Codex olim Gulielmi Sancroft, Archiepiscopi Cantuarensis, nunc Bibliothecæ Coll. Emman. apud Cantabrigienses. (Wesselingio et aliis *Arch.*)
V. Codex Vindobonensis apud Wesselingium.

a. Parisinus n. 1633.
b. ——— 1634.
c. ——— 1635.
d. ——— 2933.
e. ——— 1405.
f. Fragmentum codicis Parisini.
} apud Schweighæuserum.

ÆQUO LECTORI

S. D.

PET. WESSELINGIUS.

FACTURUS mihi operæ pretium videor, si prius nonnulla de Herodoto ejusque libris, quam instituti mei rationes, exposuero. Magni viri, Jos. Scaliger, Ger. Jo. Vossius, Jo. Alb. Fabricius, et novissime Jo. Bouherius, erudite ea in re fuerunt occupati; sæpe tamen discordes, et nonnunquam etiam lapsi. Seligam inde veritati maxime adsimilia, et electa adfirmabo.

Herodoti vita.

Patriam præclarissimi scriptoris Halicarnassum primis verbis Clio; illustre genus, et parentes Lyxen et Dryonem, Suidas[a] vetusque Epigramma[b] ostendunt. Ætas ac natalis annus testimonio Pamphilæ cognoscitur[c], perhibentis principio belli Peloponnesiaci annos illum habuisse tres et quinquaginta: quod bellum Olympiadis LXXXVI. anno secundo cum cœperit, primam utique lucem adspexit ineunte Olympiade LXXIV., quatuor annis ante Xerxis in Græciam expeditionem. Educatum edoctumque liberaliter fuisse, quamquam de præceptoribus altum silentium, dubitare nefas. Adultior Halicarnassum, tyrannidem Lygdamidis non ferens, reliquit, seque in insulam Samum contulit; ubi Ionici sermonis Veneres amplexus animum ad scribendum adpulit, in foro et "caussis agendis nihil omnino "versatus," teste Cicerone[d].

[a] In Ἡρόδοτος et Πανύασις.

[b] In scholiis ad Aristoph. Nub. vs. 331.

[c] Apud Gellium Noct. Attic. XV. 23.

[d] In libro II. de Orat. c. 13.

Ante id tempus in publicum edita fuisse Hecatæi Milesii Περιήγησις τῆς Ἀσίας fertur: hinc, quæ Ægyptum, descriptionem phœnicis, hippopotami, et crocodilorum venationes spectant, βραχέα παραποιήσας, *mutatis paucis*, nisi a Porphyrio[e] fallimur, mutuatus est. Et fallimur fortasse: namque valde dubium est, fuerit-ne ejus Περιηγήσεως Hecatæus auctor. Callimachus, cui tali in negotio justa caussæ dictio est, eam Hecatæo abjudicatam obscuriori homini tribuit apud Athenæum[f]. Non addo, quod cl. Valckenarius verissime monuit[g], nihil hujuscemodi ab aliis, ne quidem a Plutarcho, exprobratum Herodoto fuisse. Vulgata quoque Xanthi Λυδιακὰ fuerant, dederantque illi τὰς ἀφορμὰς, sive *ansam* et *occasionem* ad res Lydorum exponendas: neque enim opinor Ephori apud[h] Athenæum verba ulterius posse porrigi. Multa sane Herodotus[i] de Lydis eorumque in Italiam coloniis, de quibus nihil Xanthus, aut omnia alia; Dionysio, Herodoti populari, docente[k]. Erant præterea in doctiorum manibus et celebritate Hellanici Milesii et Charontis Lampsaceni Περσικὰ, aut[l] similis certe argumenti commentaria. Quorum quidem libris a scribendo deterritus non est, sed "conmotus, ut auderet uberius, quam superiores, et "ornatius dicere;" quæ Ciceronis verba[m]: Dionysii autem, οὐκ ἀπετράπετο, ἀλλ' ἐπίστευσεν αὐτῶν κρεῖσσόν τι ἐξοίσειν.

[e] In Eusebii Præp. Evang. X. 3. p. 466.

[f] Deipnos. lib. II. p. 70. B. WESS. Conf. Creuzeri Fragmenta Historicor. Græcor. Antiquiss. p. 21. seq. SCHW.

[g] Ad Musæ II. 77.

[h] Lib. XI. 3. p. 515.

[i] Vid. lib. I. 94.

[k] Antiq. Rom. lib. I. p. 22. WESS. C. 28. At, quod in narratione de Lydorum colonia in Italiam deducta discedit a Xantho Herodotus, non inde efficitur, nihil e Xantho profecisse Nostrum: neque dubitandum mihi videtur, τὰς ἀφορμὰς, quas Herodoto dedisse Xanthum Ephorus ait, non modo *ansam* et *occasionem*, (hæc foret, ἡ ἀφορμὴ) sed *materiam scribendi argumentumque* intelligi debere: in quo quum alios doctos viros tum Larcherum t. I. p. 381. et Creuzerum lib. cit. p. 142. seq. consentientes habeo. SCHW.

[l] Vid. Dionysii Halic. Epist. ad Pompeium p. 129. WESS. Dionys. Hal. vol. VI. ed. Reisk. p. 769. De Hellanico vero, post Sturzium, qui illius Fragmenta collecta edidit, monuit Creuzerus in libro de Historica arte Græcorum p. 96. seq. fuisse illum quidem natu paulo majorem Herodoto, cæterum post hunc scripta sua edidisse. Charonis Lampsaceni, Hecatæi, et Xanthi Fragmenta collecta, commentariisque illustrata, edidit idem Creuzerus in libro paulo superius laudato, qui Heidelb. 1806. prodiit. SCHW.

[m] Orator. c. 12.

Hunc in finem, ut singula expiscaretur et regionum situs atque habitus coram intueretur et exploraret, tædium ac ærumnas longæ peregrinationis non recusavit. Lustrata omni Græcia et Epiro, visaque Macedonia et Thracia, in Scytharum ultra Istrum et Borysthenem [n] oras transiit. Neque ab Asia abstinuit, cujus peragrata multo maxima parte, adiit Syriam, ubi Tyrum [o], Phœnicum nobilissimam urbem, et Palæstinam maritimam [p] inspexit diligenter. Hinc conmodum in Ægyptum iter; quam visendi cupiditate oberrasse, Euterpe loquitur. Ex Ægypto in Libyam excucurrit, Cyrenenque vidit [q], forsan et alia amplissimæ regionis oppida. Africæ ab Ægypto ad promontorium Soloëntem sollicita descriptio et crebri cum Carthaginiensibus habiti sermones [r] hoc possent persuadere, neque valide tamen. An Babylonem et uberrimos ejus agros inviserit, venit in disputationem. Vir doctissimus, Des Vignoles, sed Herodoto sæpius, quam par erat, iniquior, eo profectum vehementer infitiatur [s]. Non nego, quod illi opinioni obtentui fuit, itineris Babylonici districtam a Musis mentionem abesse. At sunt de verissima ampl. Bouherii [t] observatione conplura, quæ illud sibi desiderant: in his repetita cum Chaldæis [u] colloquia, vix ea tempestate extra Babyloniæ fines conserta: tum amplissimæ urbis operosa et accurata delineatio, templorum præterea et statuarum, quibus illa merito superbiebat. Ait in suam usque ætatem Babylone durasse Jovis Beli fanum æreis portis, Διὸς Βήλου ἱρὸν χαλκόπυλον [x], καὶ ἐς ἐμὲ τοῦτο ἔτι ἐόν. Contra ea non vidisse sese isthic statuam duodecim cubitorum ex solido auro, quod eam Xerxes aliorsum asportasset, ἐγὼ μέν μιν οὐκ εἶδον [y]. Porro, declarata cultissimis verbis soli Babylonici ubertate, ἐκ [z] δὲ κέγχρου καὶ σησάμου ὅσον τι δένδρον μέγαθος γίνεται, ἐξεπιστάμενος, μνήμην οὐ

[n] Vid. lib. IV. 81. etc.
[o] Libro II. 44.
[p] Lib. III. 5. et II. 106.
[q] Lib. II. 181.
[r] Lib. IV. 168. etc. et ibid. cap. 43. et 195, 196.
[s] Chronol. lib. IV. 4, 5. et VI. 3. 10.
[t] Dissert. Herod. cap. 1.
[u] Lib. I. 183.
[x] Ibid. c. 181.
[y] Ibid. c. 183.
[z] Ibid. c. 193.

ποιήσομαι· εὖ εἰδὼς ὅτι τοῖσι μὴ ἀπιγμένοισι ἐς τὴν Βαβυλωνίην χώρην καὶ τὰ εἰρημένα καρπῶν ἐχόμενα ἐς ἀπιστίην πολλὴν ἀπῖκται. *Ex milio autem et sesamo quantæ proceritatis arbor surgat, etsi probe mihi comperta, memorare supersedeo; bene gnarus, iis, qui nunquam Babylonicam regionem adierunt, quæ de frugibus dicta sunt, perquam incredibilia visum iri.* Talia conmentantem negabimus earum rerum testem fuisse oculatum? Verum ista erudito viro, nimio Ctesiæ amore in transversum abrepto, condonemus.

Herodotus, visis tot regionibus, urbibus et hominum moribus, in Samum reversus, quæ ad sedulæ apis instar undique collegerat, scriptis consignare, Suida auctore, ingressus fuit. Intento autem isti negotio spes Halicarnassum tyrannico dominatu liberandi adfulsit; quorsum delato res bene cessit. Expulsus enim Lygdamis est, et civibus æqua rediit libertas; sed, uti fit, factiones civitatem miscuerunt, invidiaque liberatorem, factiosis fortasse gravem, incessit. Tum patriam reliquit, inque Græciam tetendit. Huc pertinent Luciani ista[a], difficilia quibusdam intellectu visa, πλεύσας γὰρ οἴκοθεν Herodotus ἐκ τῆς Καρίας εὐθὺ τῆς Ἑλλάδος, ἐσκοπεῖτο, videlicet, qua tandem ratione et minimo labore insignis ac celebris evaderet. Instabat per illi conmodum Olympiorum tempus sollemne: properavit ad illud certamen, atque in magno Græcorum consessu recitavit historias suas. Namque ea non docent, absolvisse Herodotum historiarum libros Halicarnassi, sed conpositos in Samo insula, quod ex Suida adsciscendum, ex Caria ad Olympicum conventum secum portasse, et Græcis, ut illis innotesceret, prælegisse. Eligunt ad eam recitationem Olympiadem LXXXI. viri docti, quippe ætati Herodoti egregie congruam: neque mihi refragari animus est, eoque minus, quod pueriles Thucydidis anni Elidensem hanc Olympiadem sibi postulent. Aderat Thucydides una cum patre Oloro admodum adolescens[b], ἔτι παῖς ὤν, in summo Græcorum plausu recitanti, il-

[a] In Herodoto cap. 1. p. 832.

[b] Suidas in Θουκυδίδης.

lacrymavitque, æmulatione quadam jam tum ad consimile laudis studium accensus; quo Herodotus animadverso, ad Olorum[c], ὀργᾷ ἡ φύσις τοῦ υἱοῦ σοῦ πρὸς τὰ μαθήματα, optime de puero XV. annorum, et gloriæ desiderio lacrymante. Atque hic non obliviscor secundæ recitationis, Athenis Olymp. LXXXIII. anno tertio institutæ; quam Thucydidem auscultare potuisse, certum quidem est, sed jam virili ætate, non puerum. Erudite hoc H. Dodwellus exsecutus[d], adprobavit ed. Corsino[e], sibi tamen non constanti, et eandem prælectionem in Olymp. LXXXIV. conjicienti. Lucianus et Plinius, quorum auctoritate in illas partes abiit, nihil juvant. De priore dictum supra est; de Plinio deinceps. Ubi vero post Olympiadem LXXXI. et qua Græciæ in urbe conmoratus fuerit, an peregre denuo abierit, dicere non habeo. Auctor Dio Chrysostomus est[f], Corinthum venisse, scriptas a se historias attulisse, grande exspectasse præmium ob adspersas bello Persico Adimanti et Corinthiorum laudes: frustratum ea spe, delevisse plura, et civitatis ducisque gloriam inminutum ivisse. Quæ, etsi in Corinthiorum et Adimanti rebus laudandis mire parcus fuerit[g], criminationes videntur hominum ævi serioris. Certius habetur, Athenis suos eum libros legisse "in consilio," uti Hieronymus scribit, "et honoratum fuisse," idque festo Panathenæorum die anni tertii Olympiadis LXXXIII. quæ elegans ill. Scaligeri[h] doctrina.

Sub idem tempus Athenis colonia in Magnam Græciam deducta Thurios fuit[i], cui sponte sua comitem se Herodotus addidit, Θούριος ea propter sæpe dictus, διὰ τὸ κοινωνῆσαι τῆς εἰς Θουρίους ἀποικίας, ut apud Strabonem[k]. Ibi per otium historias recensuit, multaque illis adstruxit. Nam, quod in Plinio est[l], "Thuriis in Italia condidisse historiam anno ur-

c Marcellinus Vit. Thucydid. p. 9.
d Apparat. ad Annales Thucydid. p. 23.
e Fast. Attic. t. III. p. 203. et p. 213.
f Orat. Corinth. p. 456.
g Vid. ad lib. VIII. 94.
h Ad Eusebii Chronic. p. 104.
i Diodorus Sicul. lib. XII. 7. et 10.
k Lib. XIV. p. 970. A=656.
l Nat. Hist. lib. XII. c. 4, 8.

"bis trecentesimo decimo," aliter si accipiatur, erroneum erit. Condidit historiarum libros alibi, eosdemque ante Italicum iter semel atque iterum in frequenti Græcorum mercatu prælegit; isthic vero illos elimavit, nonnulla adjecit, alia fortasse retexuit. Addidisse autem, ea argumento sunt, quæ profectione in Magnam Græciam longe sunt posteriora. Talis est, neque latuit ampl. Bouherium, Thebanorum in Platæenses invasio [m], et cædes Eurymachi, Leontiadæ filii, principio belli Peloponnesiaci; τὴν Θηβαίων ἐσβολὴν εἰς τὴν Πλάταιαν, Marcellinus [n] vocat, frustra ibi doctis viris adhærescentibus. Talis etiam Spartanorum in Asiam legatio, et infélix ejus (fraude Sitalcæ, Thracum reguli) eventus. Verissime Herodotus [o], ταῦτα μὲν νυν πολλοῖσι ἔτεσι ὕστερον ἐγένετο τοῦ βασιλέος στόλου. Contigerunt quippe anno Olympiadis LXXXVII. tertio, sive annis post Xerxis in Græciam transitum duobus et quinquaginta. Pertinerent ad hunc quoque censum, quæ de Amyrtæo et filio ejus Pausiri perscripta meminimus, si, quod viro amplissimo in opinionem venit, rege Persarum Dario Notho evenissent: at eam falli, videor mihi clare ostendisse [p]. Justior locus erit fugæ Zopyri, filii Megabyzi, ad Athenienses [q], quem Ctesias sub Olymp. LXXXVIII. non multo ante Artaxerxis obitum ab rege defecisse atque Athenas abiisse [r], conmemoravit. Verum de his abunde.

Quo usque vitam extenderit, et ubi ejus finem fecerit, partim scriptorum taciturnitas, partim discordia, in dubio relinquit. Suidas [s] Thuriis supremum obiisse diem et in foro urbis contumulatum perhibet; esse tamen, qui Pellæ in Macedonia decessisse de vita aiant. Si Marcellino [t] fides constat, sepulcrum Herodoti ad portas Athenarum Melitidas in Cœla, ubi Κιμώνια μνήματα, ostendebatur olim. Quæ de mea quidem sententia expediri nequeunt, nisi cenotaphia

m Lib. VII. 233.
n Vit. Thucydid. p. 9.
o Lib. VII. 137.
p Vid. ad lib. III. 15.
q Lib. III. c. ult.
r Persic. cap. 42.
s In Ἡρόδοτος.
t Vita Thucydid. p. 3.

tumulique honorarii in auxilium vocentur. Τάφος tamen Marcellino, quo de H. Dodwelli[u] luculenta est animadversio.

2 Ex scriptis summi viri solæ ad nos jucundissimæ[x] IX. Scripta Herodoti.
Musæ devenerunt. Nam, Ἐξήγησιν de vita Homeri titulum ementiri et Herodotum auctorem perperam edere, liquidis rerum argumentis evicisse me puto. Ipse-ne Historiarum libris *Musas* inscripserit, non liquet. Lucianus[y], cujus Vossius et Fabricius obliti non sunt, hominum admirationi, ex narrationum et dictionis jucunditate progenitæ, eos adscripsit titulos. In more ipsi fuit[z], τὸν πρῶτον λόγον, τοὺς πρώτους λόγους primores libros, et sequentes τοὺς ὄπισθε λόγους, τοὺς ὀπίσω λόγους, posthabito Musarum, tametsi justissimo, nomine adpellare. Quid enim illis ex cuncta Græcia jucundius, quid suavius, elegantiusve? Veracitatis tamen amor, sine quo historiæ nihil nisi nugæ et Siculæ gerræ, pluribus olim et nostri ævi hominibus abesse visus est. Scripserat Ael. Harpocratio[a] περὶ τοῦ κατεψεῦσθαι τὴν Ἡροδότου Ἱστορίαν. Quid carpserit, et quibus in rebus fabulosam judicaverit, ignoratur. Id novimus, in rhetorum olim usu fuisse, cum clari nominis famam aucupabantur, aliorum

[u] Apparat. ad Annal. Thucydid. sect. xx.

[x] De Theopompi Epitome Herodotea conf. Ruhnkenii Hist. Crit. Oratorum Gr. p. lxxxix. ED.

[y] In Herodoto c. 1.

[z] Vid. lib. V. 36. VII. 93. et 213. I. 75. WESS. Nec vero in hisce locis, aut horum similibus, vocabulum λόγος ita intelligi debet, quasi singulos e novem Historiarum suarum libris singulos λόγους diceret: sed λόγος in hujusmodi locis nihil aliud nisi *narrationem*, vel *historiam*, ut nos vulgo vocamus, significat: qua ratione etiam Hecatæus, ut hoc utar, λογοποιὸς Nostro dicitur, II. 143. V. 36. et 125. id est, *Historiarum scriptor*; de eodemque Hecatæo loquens idem Noster VI. 137. ait, Ἑκαταῖος ἐν τοῖσι λόγοισι, *Hecatæus in suis Historiis*; denique VII. 152. ubi πάντα τὸν λόγον ait, *universam suam Historiam* intelligit. Itaque, ubi se ait de re quadam ἐν ἄλλῳ λόγῳ esse dicturum, non semper alium ex novem Historiarum suarum libris intelligit, verum subinde etiam aliam ejusdem libri partem; veluti, quæ lib. VI. c. 39. profitetur se ἐν αλλῳ λόγῳ expositurum, ea cap. 103. ejusdem sexti libri exposita leguntur. Eodem modo Pausanias lib. III. cap. 2. quum ait Ἡρόδοτος ἐν τῷ λόγῳ τῷ ἐς Κροῖσον, non hoc dicit, *Herodotus in Libro de Crœso*, sed Herodotus *in ea narratione* (sive, *in ea Historiarum suarum parte*) *quæ ad Crœsum spectat.* Similiterque idem Pausanias lib. V. cap. 26. p. 447. ait, Ἡρόδοτος ἐν τοῖς λόγοις, *Herodotus in suis Historiis.* Sed de hoc usu vocabuli λόγος vide mox ipsum Wesselingium verissime monentem. SCHW.

[a] Suidas in Ἁρποκρατίων.

meritis detrahere: quod eo non dicitur, ut de Harpocratione adseveretur. Fieri potuit, ut ad nonnulla, quæ veri fidem videbantur excedere, offenderit. Multos in consimilem fraudem fabellæ induerunt, Musis sæpenumero innexæ, quibus scriptor ipse adsensum negavit, crebro obtestatus, se [b] ἀκοῇ λέγειν, *fando accepta referre*, neque omnia sibi πιστὰ videri: immo hanc sibi legem dixisse, ut audita enarret, neque cunctis adstipuletur tamen, atque hoc inculcatum omnibus cupere lectoribus. Ἐγὼ [c] δὲ ὀφείλω λέγειν τὰ λεγόμενα, πείθεσθαι μὲν οὐ πᾶσι ὀφείλω· καί μοι τοῦτο τὸ ἔπος ἐχέτω ἐς πάντα τὸν λόγον. Quod ejus monitum si criminatores habuissent in promtu, uti æquitas postulabat, taxandi utique modum fecissent, debuissent profecto. Acrior tamen, ejus non ignarus, insurrexit Plutarchus, vir excellente eruditione, non falsi, sed et malignitatis [d] Herodotum traducendo. Actio docta est, verum mirifice colorata, sæpissime fallax, et arcessita adeo, ut culpam, qua illum nimio patriæ studio onerare gestit, ipse sustineat. Ioach. Camerarius et H. Stephanus id non dissimularunt, neque nos eorum exemplo, illis præsertim in rebus, quæ suggillabantur.

Atque hic laudibus ferre debeo doctissimi Abbatis Geinozii in vindiciis et defensione Herodoti ab accusationibus Plutarchi et aliorum studium, cujus partem nobis Academiæ Inscriptionum Acta sistunt [e]. Fuit Herodotus, vitio humani ingenii, obnoxius erroribus; lapsus veri ignorantia haud raro est, sæpius etiam ab aliis deceptus. Manetho, referente Josepho [f], jactitabat, Herodotum πολλὰ τῶν Αἰγυπτιακῶν ὑπ' ἀγνοίας ἐψευσμένον, *in rebus Ægyptiis propter ignorantiam crebrius aberrasse*: vere fortasse: mallem tamen locupletiorem, quam Manetho vulgo habetur, hujus accusationis auctorem. At enim plurima olim in fabulis et figmentis deputabantur, quorum justissime numero nunc exi-

[b] Vide lib. II. 29. et cap. 121, 5. III. 116. IV. 5. 25. etc.
[c] In lib. VII. 152.
[d] De Malignitate Herodoti, Operum T. II. p. 855. etc.
[e] Tom. XIX. edit. Paris. p. 115.
[f] Lib. I. contr. Apion. c. 14.

muntur. Fabulosa censebantur de Afrorum institutis et moribus prodita, de circumnavigata ea nostri orbis parte, de Ægyptii soli genio et Pyramidibus, de Scythis, succini origine, Caspio mari, innumerisque aliis, quæ serior ætas et peregrinatorum frequentia veritati animadvertit congrua. Enimvero, horum omnium memoriam replicare, nihil attinet.

Istud hæret in dubio, truncatæ-ne Musæ sint, et an alios similis argumenti conmentarios Herodotus digesserit? Mutilationis et defectus suspicionem de Athenada, viro Trachinio, indicata movent[g]: οὗτος ἀπέκτεινε μὲν Ἐπιάλτεα δι' ἄλλην αἰτίην, τὴν ἐγὼ ἐν τοῖσι ὄπισθεν λόγοισι σημανέω: *hic Epialtem aliam ob caussam, quam ego sequentibus in libris reddam, interemit.* Reddidit autem nusquam, non octavo, nedum libro nono. Ergo-ne ea excidit conmemoratio? an promissi oblivio ejus animum incessit? an decimum adjungere meditatus fuit librum? Utrumque fieri quitum est. Nam hiatus illis in Musis nullum se mihi indicium prodidit. Similis fluctuatio, sed expeditu pronior, de libris Libycis, Λιβυκοῖσι λόγοισι, quorum meminit ipse[h]. Jo. Alb. Fabricius[i] elaboratos non censuit, sed intra promissum stetisse. Justior veriorque Raphelii et Bouherii conjectura, innuisse scriptorem extimam Musæ quartæ partem, sedulo rebus Libycis occupatam, et sectionem in primis centesimam quinquagesimam nonam, ubi de Apriæ, Ægyptii regis, suscepta in Cyrenen expeditione et infausto ejus eventu, multo tamen parcius quam promiserat: quod qui contigerit, et an aliquid de priore sententia demutaverit, non temere dixero. Possum adfirmare, veterum neminem Λόγους Herodoti Λιβυκοὺς ad testimonium excitasse, contra ex libro quarto res Afras depromsisse plures: immo solere illum partem libri λόγον et λόγους adpellare: de nece Cimonis, patris Miltiadæ, τὸν μὲν ἐγὼ ἐν ἄλλῳ λόγῳ ση-

[g] Lib. VII. 213. [h] Lib. II. 161. [i] Biblioth. Gr. lib. II. 20.

μανέω[k]: dixit autem ejusdem Musæ cap. 103. Geminum illi libri primi cap. 75[l].

Hoc itaque bene habet. Quam autem vellem de *Rerum Assyriarum* libris idem adseri dicique posset. Sic de illis[m]: Τῆς δὲ Βαβυλῶνος ταύτης πολλοὶ μέν κου καὶ ἄλλοι ἐγένοντο βασιλῆες, τῶν ἐν τοῖσι Ἀσσυρίοισι λόγοισι μνήμην ποιήσομαι, *quorum ego regum in libris rerum Assyriarum mentionem faciam.* Tum de Nino a Medis occupata[n]: καὶ τὴν Νῖνον εἷλον· ὡς δὲ, ἐν ἑτέροισι λόγοισι δηλώσω· καὶ τοὺς Ἀσσυρίους ὑποχειρίους ἐποιήσαντο: *et Ninum expugnarunt, (ut autem ceperint, in aliis libris indicabo,) Asyriosque suam in ditionem redegerunt.* Conposuit ergo rerum Assyriarum libros, aut animo scriptionem agitavit eorum, neque absolvit: posterius Jo. Alb. Fabricius, quoniam nusquam illorum recurrit memoria, elegit; neque displicuerat Ger. Jo. Vossio[o], opportune tamen atque ex vero adfirmanti, apud Aristotelem quidpiam reperiri[p], quod ex Herodoti Assyriacis fluxisse videatur. Deposuit Philosophus pro certissimo, τὰ γαμψώνυχα ἄποτα εἶναι: culpavit Herodotum, in Nini obsidionis descriptione, τῇ διηγήσει περὶ τὴν πολιορκίαν τῆς Νίνου, *aquilam bibisse* memorantem, cum illa avis, sicuti reliquæ aduncis unguibus, potu abstineat. Quod quidem in Musarum opere nusquam nunc obvium, capessere locum in Historia Assyria conmodissimum potuit, siquidem Ninus, ut Vossius optime, Assyriæ metropolis. Non equidem nescio, cel. Fabricium de integrioribus, quam nostræ sunt, Musis, ab Aristotele versatis et lectis, suspicatum: quæ suspicio, si verum amamus, litem lite resolvit. Ostendi enim oportuerat, ubi et quibus rebus fuerint decurtatæ. Liber utique primus, Babylonicis et Assyriis rebus abundans, adeo aptus et nexus cohæret,

[k] Lib. VI. 39.

[l] Scilicet, quam rem lib. I. c. 75. ait se ἐν τοῖσι ὀπίσω λόγοισι declaraturum, eam non in sequentiam librorum aliquo, sed in eodem lib. I. cap. 124. declaratam videmus. SCHW.

[m] Lib. I. 184.

[n] Libro eodem cap. 106.

[o] De Historicis Græc. lib. I. c. 3.

[p] Hist. Animal. lib. VIII. 1. WESS. Immo lib. VIII. c. 18. quod aliis est cap. 20. At ibi alii libri, quos Camus et Schneiderus secuti sunt, non Herodotum, sed Hesiodum edunt auctorem. SCHWEIG.

ut locum τῇ διηγήσει περὶ τὴν πολιορκίαν τῆς Νίνου adpositum concedat nullum. Λόγοι proinde Ἀσσύριοι, nisi memoria Philosophum deceperit, absoluti editique fuerunt. Quorum quidem editio tanto certior et omnibus dubiis in posterum foret libera, si fragmentum inde, quod Jo. Bouherii sollertiam advertit, perduraret. Apud auctorem Chronici, cui Paschale nomen[q], Sesostris, rex Ægypti, continuo victoriarum cursu Assyrios, Chaldæos, Persas Babylonem usque, Asiam præterea, omnem Europam, Scythiam et Mysiam domat: in Ægyptum reversurus xv. millia Scythicæ juventutis in Perside, assignata illis fertili et conmoda sede, collocat: postea illi Parthi de Persico sermone, alioqui Scythæ, virtute bellica longe præstantissimi, καθὼς additur Ἡρόδοτος ὁ σοφώτατος ταῦτα συνεγράψατο, *sicuti sapientissimus Herodotus hæc tradidit.* Ubi tandem? Musæ tacent. Ergo ex libris, uti conjicitur[r], rerum Assyriarum. Quod equidem valde demiror. Herodotus de Sesostride multo scripsit diversiora[s]: Assyriaca ejus post Aristotelis fata Historicos, Geographos et Grammaticos latuerunt omnes, nec quisquam hilum inde decerpsit; et obscurum hominem seculi post Christi natales septimi ea lectitasse putabimus? Immo cuncta cum pulvisculo Chronici sartor corrasit ex Jo. Malala[t], quem Suidas[u] sibi ducem optavit, haud sane fidelem, et in Herodoti tempore finiendo[x] plane stultum. Sed pœnarum ille satis Rich. Bentleio, V. Cl. in eruditissima ad Jo. Millium epistola dedit, et sperni potest. At plurima Is. Vossius fragmenta Herodoti detexit, quæ nihil nostras ad Musas; ea promi ex conmentariis Rerum Assyriacarum potuisse[y], suspicantur. Fateor ultro, talia in Grammaticorum scholiis et Lexicis inveniri, quæ Is. Vossius, modo ea curate excussisset, Herodoto citra dubium abjudicasset.

[q] Chr. Pasch. p. 38. edit. Venet

[r] Vid. Bouherii Diss. Herodot. cap. 1.

[s] Lib. II. 103.

[t] Chronograph. p. 28.

[u] In Πάρθοι et Σῶστρις.

[x] Chronogr. p. 200.

[y] Bouherius Dissert. Herod. c. 1. Colomesius Oper. p. 325. Berkelius in Steph. Byz. voc. Ἀνδανία.

Conpendiario scriptionis modo, in scriptis codicibus non parce obvio, HP, HPO, HPOΔ. notare Herodotum, Herodorum, Herodianum, queunt. Inde error et confusio: hinc jactata toties Herodoti fragmenta, veræ Herodori aut Herodiani laciniæ; quemadmodum in Dissertatione Herodotea liquidissime, ut opinor, patefeci: questus ibidem sum de doctissimi Des Vignoles [z] inprudente decreto super interitu Assyriacorum, de quibus hactenus [a].

De edd. et codd. mss. Herodoti.

3 Nunc progredi præstat ad Musarum publicatas editiones: quarum princeps Latina, Venetiis anno MCCCCLXXIV. provulgata, Laurentium Vallam, doctissimum virum, multorum olim odio et invidia mersum, auctorem profitetur. Versio, non sane absurda, quamquam mendosissime descripta, et interpretis oscitantia sæpe aberrans, H. Stephani et aliorum castigationibus purgata, servatur in hunc diem. Quid in ea Pet. Dan. Huëtius [aa], quid alii desideraverint, notum est in vulgus. Non omnium tamen culpam Laurentius præstare debet [b]. Multa operis, quod primus occupavit, difficultate excusari queunt; plura recidunt in membranas, quas vertendo expressit, bonas quidem, sed in Clione miserabiliter luxas et mancas. Aldus codicem Græcum eo in libro decem prope chartis abundare et Vallæ Latina excedere adnotavit verissime. Desunt, quod accepto benivolentia amplissimi G. Meermanni Veneto interpretationis exemplari conperi, sectiones sive capita tota, aut magna ex parte XCII. XCIII. XCIV. XCVI. C. CIII. CIV. CV. CVI. CXXXI. CXXXII. CXXXIII. CXXXIV. CXXXV. CXXXVI. CXXXVIII. CXXXIX., tum

[z] Chronolog. lib. IV. 4, 6. etc.

[a] Hæc de Herodoti vita scriptisque Wesselingius. Idem argumentum erudite copioseque Larcherus etiam in introitu Gallicæ versionis pertractavit. De universo vero harum Historiarum instituto, et de mirabili arte qua illud exsecutus est suavissimus scriptor, in primis legi meretur supra laudatus Creuzeri nostri liber qui de *Historia Arte Græcorum* inscribitur. Consuluisse etiam juvabit duas Commentationes, auctore Meierotto, *Sur Hérodote et le but de son Histoire*, Actis Acad. Reg. Berolin. ann. 1792. et 1793. p. 574. seqq. et p. 599. seqq. insertas. SCHW.

[aa] De Claris Interpret. p. 226.

[b] Conf. Wesselingii Dissertat. Herodoteam c. VIII. 5. SCHW.

universa a cap. 140. usque in cap. 178., denique cap. 199.; itidem ex schedis Archiepiscopi Sancroft et Vindobonensibus, admirabiliter Vallæ codici conspirantibus, exulantia. Hæsitare memini, uter hiantia Vallæ Latina expleverit, Petrus-ne Phœnix, additiones suas editione Parisina apud Jo. Parvum MDX. ambitiose jactans, an Conrad. Heresbachius. Nunc de Petro Phœnice dicta [c] retracto. Nullæ ejus, quantumvis Laurentii Latina, Aldi indicio, bene nosset mutila et defecta, accessiones, additiones nullæ. Omnes Heresbachio debentur, conmentato ad hunc modum [d]: "Ad hæc in "primo libro a nobis adjecta plus minus novem folia, a "Laurentio haud scio qua occasione prætermissa; quæ "certe nemo infitiari poterit, quin illuc pertinerent, ut quod "Græcum exemplar atque adeo contextus ipse narrationis "testentur." Quidquid ergo in sectionibus illis peccatum, Heresbachii est, non Vallæ.

Græcas Herodoti Musas primus [e] Venetiis MDII. nitidissime prodire jussit Aldus Manutius, "eo gratiores fore exis-"timans, quoniam multis exemplaribus castigatæ," quæ illius verba, "emittebantur." Neque ea falsus opinione vir sollertissimus fuit. Læto gratoque eas animo Joach. Camerarius, eximium doctæ Germaniæ decus, accepit et sinu fovit; "cum-"que exempla Historiarum [f] Herodoti et requiri a studiosis "Græcæ linguæ et non facile reperiri conperisset, auctor fuit "Jo. Hervagio, ut sua in officina expressa edere vellet." Hortanti præclaro viro, et egregiam prorsus cum Herodoti vindiciis et Ionicæ dialecti figuris præfationem suppeditanti, paruit strenuus et attentus chalcographus, Aldi exemplari

[c] Dissert. Herodot. c. 8. [item in Not. ad Herodot. I. 54.]

[d] Epistola ad Jo. Gogravium, præfixa edit. Latinæ Herodoti anno MDXXXVII.

[e] De ed. Ald. hæc Schweighæuserus ad I. 26. "Profiteor sæpe mihi obor-"tam esse suspicionem, a viro docto "qui Aldinæ præfuit editioni multis "locis invectas esse Ionicas verbo-"rum formas, quas nullus cod. ms. "exhibebat: quibus in locis ex si-"lentio eorum hominum qui in gra-"tiam editorum alios codd. confe-"runt, et multa sæpe quæ ipsis mi-"nutiæ esse videntur, negligere so-"lent, non continuo colligi potest, "codd. illos cum Aldina scriptura "consentire."

[f] Ex Præfatione edit. Hervagianæ primæ.

Basileæ MDXLI. et MDLVII. presse repræsentato. Utriusque, Aldini in primis, dos præcipua est, quod Ionici sermonis formam raro neglexerit, atque elegantissime conpluscula, insequentium temeritate aut mutata aut socordius præterita, descripserit.

Amplior H. Stephano gloria ex studio et cupiditate Musas ornandi obtigit. Offensus infida Vallæ versione, errores et peccata ejus callidissime patefecit, omnemque, præscripta elegante pro Herodoto ad criminatores Apologia, anno MDLXVI. recognovit. Qua functus opera, Græcum Aldi exemplum recentavit MDLXX., atque iterum MDXCII. adpositis, quæ in priore omiserat, Vallæ Latinis. Rationes instituti laboris sic prodidit[g]: "Non eas tantum, quas ante, "diversas scripturas (ut Græci διαφόρους γραφὰς appellant) "exhibui, sed et numerum earum auxi, et censura adhibita "quasdam exauctoravi; non tamen ita ut amandarem, sed "tantum ut loco suo motis alium minus honorificum darem. "Ex ipso enim textu, ut hodie moris est vocare, in marginem "transtuli. Sed quasdam vicissim majore dignas honore ju-"dicavi, ideoque illas hinc illuc transtuli." Inde post Aldum scriptas membranas in consilium misisse, atque ex illis ea sibi et Herodoto elegisse, quæ potiora censuerat, adparet[h];

[g] In præfatione editionis Græco-Latinæ.

[h] Quamquam titulus prioris editionis Stephanicæ, quæ Græca sola exhibet, Herodoti libros profitetur ex vetustis exemplaribus recognitos; tamen nec in ejusdem editionis, nec in alterius Præfatione mentionem ullam fecit editor codicum manuscriptorum a se ad recognoscendos Herodoti libros adhibitorum. Quin et in secundæ editionis Præfatione satis etiam diserte professus est, frustra se ad illum diem vetus exemplar, e quo hi libri corrigi possent, exspectasse. Atque, ut dicam quod sentio, videtur mihi H. Stephanus nullum prorsus codicem manuscriptum, ad cujus fidem Herodoti Historias recognosceret, ob oculos habuisse. Quod si quis vero ex me quærat, unde igitur διττογραφίας illas hauserit Stephanus, quas et in prioris editionis marginibus, et copiosiores etiam in editionis Græco-Latinæ oris exhibuit? primum hoc tenendum est, esse illarum lectionum marginalium tria genera. Scilicet, tametsi unicuique earum hanc notam γρ´αι (id est, γράφεται) præfixit editor, tamen pars earumdem non nisi conjecturæ sunt, ex quibus mendosas quas ille judicavit Aldinas lectiones corrigendas censuit. Alterum est lectionum marginalium genus earum, quas ex Aldino contextu, tamquam manifestius vitiosas, ejecit editor, sed tamen in ora adnotandas judicavit. Denique tertium genus tale est, ut dubitari quidem vix possit esse eas e msto libro ductas; quemadmodum etiam multæ ex his, quæ loco ejectarum Aldinarum in

quamquam et de conjectura pauca refinxit. Quæ quidem libertas laudem potius, quam insultationem ac odiosam criminationem, meruit. Peccaverit vir egregie sedulus in quibusdam: quid illis usu venit, qui schedas omnium emendatissimas ostentarunt? Opus in cuncto hoc genere cura est, quam humana conditio admittit, diligente: ea prudenter insumta, si qui cadant, maligna criminationis traductio abesse debet; et hoc magis, quoniam vetustiores et probiores codices nancisci, fortunæ quoddam donum est, non judicii: propterea vero se venditare et alios longe post se ponere, profecto illiberale[i]. At istud ulcus tactum respuit.

Secundam H. Stephani editionem, priore non prorsus posthabita, Francofurti anno MDCVIII. Gothofr. Jungermanus iteravit sollerte diligentia; textumque, quem vocant, in capita sive tmemata secuit et distinxit, ac indicem ad ea, magna quærentium utilitate, acconmodavit: insuper διττογραφίας ex schedis Palatinis Narrationi de vita Homeri adscripsit, et Λεξικὸν τῶν Ἡροδοτείων λέξεων ex MS. Melch.

contextu Stephani exhibentur, haud dubie e vetustis libris ductæ sunt. Sed de hoc genere ita statuendum videtur: usum esse Stephanum exemplo quodam sive Aldinæ sive Hervagianæ editionis, cujus in marginibus partim lectiones e manuscripto quodam codice, (sive illi plures fuere,) partim vero docti cujusdam viri conjecturæ ita promiscue adnotatæ fuissent, ut incertus subinde ipse Stephanus fuerit, utrum e vetusto codice ducta fuisset aliqua scriptura, an nonnisi conjecturæ deberetur. Cujus rei quum multa alia mihi visus sum indicia observare, tum illud satis manifestum, quod, postquam lib. II. cap. 47. pro vitiosa Aldi scriptura ἀσθενείης βιούς τε τινὰς πλάσαντες ὗς, verissimam hanc, ἀσθενείῃ βίου, σταιτίνας πλάσαντες ὗς, posuisset, deinde in posterioris editionis Præfatione, loco probatissimæ hujus scripturæ, aliam, et eam quidem parum probabilem, sua de conjectura proposuit: qui si scivisset esse istam ex manuscriptis libris ductam, (sic enim legunt veteres codices propemodum omnes) non erat medio in sole obscuram lucernam circumspecturus. Cæterum, sicut in Græcis multa rectissime constituit idem Stephanus, sic et de Latina versione hactenus optime meritus est, quod in posteriore editione, in qua Herodoti Græcis Vallæ Latina adjuncta sunt, pluribus in locis ubi vitiosa Vallæ versio est, (prætermissis quidem longe pluribus, quæ ejusdem sunt generis,) aptiorem interpretationem in ora adjecit: quo spectat id quod in titulo ejusdem editionis his verbis prædicatur, *cum Vallæ interpretatione Latina ab Henr. Stephano recognita.* Eædem castigationes versionis Laurentianæ deinde in editione Jungermani, et in Londinensi, quæ Galeo vulgo tribui solet, in ima ora cujusque paginæ exhibentur. SCHW.

[i] Rusticam Jac. Gronovii importunitatem, qua et in alios doctos viros, et in H. Stephanum ille invectus est, tacito hominis nomine notatam vir cordatissimus voluit. SCHW.

Heimsfeldii Goldasti, ut de Ctesiæ fragmentis, ejusdem industria adauctis, nihil addam, nobis dedit. Illam autem viri optimi operam Genevæ MDCXVIII. ita repetiverunt, ut utravis recte cognita ambas te nosse putes. At res secus habet. Editor, aut (si mavis) corrector, non utique indoctus, varias Æm. Porti suspiciones orationi inculcavit; alia, neque inprudenter, ex Vallæ Latinis correxit; hoc vituperabilis, quod illud consilium occultum habuerit.

Prius deinde Jungermanni Francofurtense exemplum non sine corollario recudendum curavit vir prædicatione dignissimus Th. Gale Londini MDCLXXIX. Exornavit illud Chronologia Herodotea, Indice dictionum Ionicarum, et variantibus lectionibus, laudabili sane studio. Erat illi in oculis et manibus scriptus liber archiepiscopi Cantuariensis Guil. Sancroft, et Collegii Etonensis alius: ex utroque varia, quamquam in priore subinde peccans, nobiscum conmunicavit: neque non Athenæum, Eustathium, Suidam et plures, qui testem Herodotum in rem suam advocarant, aut ab eo aliqua sumserant mutua, sedulo adhibuit[k]. Vere scripsit,

[k] Londinensis illa editio, quæ Galeo adscribi vulgo solet, cujus viri tamen ne nomen quidem in fronte comparet, nonnisi privato bibliopolarum consilio fuit suscepta; quibus nihil aliud fuerat propositum, nisi ut verbum de verbo, quidquid Jungermaniana continebat editio, repeteretur: idque consilium illi fideliter quidem, sed tam invido iniquoque in Jungermani memoriam animo, tamque inepte callida ratione exsecuti sunt, ut nec in operis titulo, nec usquam alibi, ne in fronte Præfationis quidem, quæ tota Jungermani est, nomen optimi viri ediderint. Jamque omnia, una cum ipso Indice Jungermani, typis erant excusa, quum commode se facturos judicarunt iidem homines, si corollariis saltem quibusdam suam augerent editionem. Itaque et Chronologiam quamdam Herodoti nescio a quo viro docto conficiendam curarunt, et Thomæ Gale viro multa doctrina conspicuo persuaserunt, ut et ipse de suo aliquid adjiceret. Ille igitur et Glossarium vetus, quod Jungermanus e Goldasti schedis ediderat, multis ex Hesychio, Suida, et Gregorio Corinthio ductis Glossis auxit, et Variantes illas Lectiones, Wesselingio memoratas, et "Notas breves ad Herodotum, vere "κατ' ἐπιδρομὴν," ut ipse profitetur, "ex Herodoto suo" (id est, ex Herodoti exemplo, cujus oris notulas illas olim adscripserat) "in calcem hujus "editionis transfudit:" atque hæc corollaria reliquo operi jam absoluto ita adjecta sunt, ut proxime ante Indicem, qui jam et ipse impressus erat, collocarentur. Denique quum idem Galeus persuaderi sibi passus esset, ut dedicatione ad Sancroftum scripta, archiepiscopum Cantuariensem, cujus e vetere codice misto præcipuæ Variantes Lectiones ductæ erant, editionem hanc commendaret emtoribus; eadem Galei dedicatio, abjecta Jungermani Epistola dedicatoria, in illius locum suffecta est: quo factum, ut hanc proxime excipiens Præfatio

infinita esse, quæ ope codicis archiepiscopi instaurari queant: est enim isto in genere præstantissimus. Sed maluit, indicio contentus et voto, ut aliquis oriatur, cui otium sit uberius et ingenium ad Herodotea perpurganda, hanc aliis curam tradere.

Ortus est, uti ille optaverat, Jac. Gronovius, cujus in Græcos Latinosque scriptores amor singularis et excellens eruditio in celebritate et omnium ore versatur: Herodotum ad membranas Mediceas, quibus nihil par aut simile arbitrabatur, diligentissime examinavit: plurimis inde vitiosis pristinum nitorem et colorem reddidit, aliis liquidissimam lucem, et Vallæ quoque Latinis, adscriptis Adnotationibus, exactis profecto et eruditis, adspersit Lugduni Batavorum MDCCXV. Magna hinc Gronovio laus et gloria, neque inmerita; quam nimia tamen et pæne superstitiosa libri Florentini veneratio nonnihil dedecorasse visa est. Non exprobro virulentam dicendi acerbitatem[l], viros præclaros ex levi culpa, sæpe etiam nulla, lacerantem; neque ea ingero, quæ docti homines, Kusterus, Berglerus, Bouherius atque alii ejus in adnotationibus desiderarunt: cognitissima ista sunt, haud effectura, ut summi viri, quem docentem juvenis admiratus fui, labor contemtus negligatur[m]. Immo hæc

ad Lectorem, quæ nomen præfantis nec inscriptum nec subscriptum habet, eam speciem præferat, quasi idem Thomas Gale eam conscripsisset; quum, verum si quæris, tota Jungermani sit. Breves illas, quas diximus, Galei Notas, quatenus e cod. Arch. ductæ sunt, post certiora ex eodem codice excerpta, quibus Wesselingius usus est, nil opus fuit in hac nostra Herodoti editione verbum de verbo repetere; reliqua partim varietati lectionis, partim, sicubi commodum visum erat, Adnotationibus nostris inserta sunt. SCHW.

[l] De Gronovii in L. Bos contumelia v. Wesseling. ad IV. 172.

[m] De motibus, quos excitavit Gronoviana Herodoti editio, consuli possunt scripta ab Harlesio ad Fabricii Bibl. Græc. t. II. p. 342. commemorata. Ut vero laudem meretur verecundia, quo suum de tam inepto quam importuno sene, quo olim præceptore usus erat, judicium interposuit Wesselingius: sic incredibile est quam pueriles in nugas stupida illa codicis Medicei veneratio abripuerit hominem, qui vel manifestissimas librarii hallucinationes sæpenumero pro genuina Herodoti scriptura et ipse arripere non erubuit, et aliis, vellent, nollent, conatus est obtrudere. In quo illud tamen, bona lectorum fortuna, prudenter ab eodem factum non debet dissimulari, quod quolibet in loco, ubi ex idoli sui præscripto aliquid in Græco exemplo mutavit, continuo simul in ima cujusque paginæ ora eam scripturam adposuit, quam Jungermani atque

dum scribo, culta ad me Herodoti editio adfertur, Glascuæ tot minoribus voluminibus, quot Musæ censentur, formis descripta anno MDCCLXI., Gronovianam, desectis tamen adnotationibus, æmulans.

De mea non multis agam. Conjecto ante hos undecim annos in ejus consilium cura princeps conquirendi suppetias codicum scriptorum fuit, quam prosper non destituit suc-

Stephani editiones exhibuerant: quod ille quidem non tam hoc consilio fecisse videtur, ut æquam legentibus faceret optandi et per se judicandi potestatem, quam quo facilius certiusque intelligerent lectores quantum sit quod ipse ad restituendam germanam sinceramque auctoris scripturam contulisset. Nec vero est inficiandum, revera et maximi pretii esse Mediceum illum codicem, et permagna in Herodotum merita ejusdem Jac. Gronovii; quam plurimos quippe scriptoris nostri esse locos, qui, quum in superioribus editionibus corrupti aut mutili fuissent, per hujus viri industriam ex codicis illius præscripto rectissime fuerint curati et in integrum restituti. Codicem ipsum Bandinius in catalogo codicum Græc. bibliothecæ Laurentianæ t. II. col. 657. seq. his verbis describit: "Herodotus, codex vetus- "tissimus, omni laude major.—— "Membranaceus, in folio minori, se- "culi X. optime servatus. Tituli li- "brorum uncialibus literis aureisque "sunt descripti. Constat foliis scrip- "tis 374." Profitetur ibidem idem Bandinius, de fide Gronovii in exhibendis variantibus lectionibus, quam integerrimam arbitratus fuisset, dubitare tandem se cœpisse, quum vidisset prope finem operis (lib. IX. cap. 120.) codici huic adstrui scripturam Πρωτεσιλάῳ, pro Πρωτεσίλεῳ quod ibi in codice legitur. Quo loco equidem caussæ defensionem Gronovii hactenus suscipere debeo, ut moneam, non diserte illum codici huic scripturam Πρωτεσιλάῳ adstruxisse; solummodo intactam, qualem superiores dederant editiones, reliquisse, quum codicis hoc loco scriptura diligentiam ipsius observationemque effugisset. Nam, quod cuilibet vel doctissimo diligentissimoque homini in conferendis vetustis codicibus accidere solet, ut non leviores solum, verum etiam majoris momenti differentiæ aciem ejus observationemque subinde prætereant, id nec mirum est, nec culpari admodum debet, si idem Jac. Gronovio accidit; qui præsertim ardentior etiam tunc juvenis codicem illum Florentiæ non per otium in museo suo potuerat tractare, sed in ipsa Laurentiana bibliotheca, sub oculis puto bibliothecarii, coactus erat excutere, suasque e spisso volumine notulas ita raptim ac veluti cursim excerpere. Quo magis illi accipere debuit, (quod non semel, ut Bandinius, sed pluribus in locis observare mihi visus sum) ut probas passim codicis lectiones fugiente oculo præteriret, aut subinde aliud temere pro alio in excerptis suis poneret. Sed tanto etiam magis subit mirari, quo pacto, quum post amplius quadraginta annos demum editionem Herodoti esset adgressus, a se impetrare potuerit, ut, quemadmodum Mediceum illum codicem genuinam ubique repræsentare Herodoti scripturam sibi persuaserat, sic et confideret, nihil in suis notulis esse quin exactissima fide ipsum Mediceum exemplum usquequaque repræsentaret. Cæterum in varietate lectionis, quæ non minus ex diversis editionibus, quam e manuscriptis codicibus, partim a Wesselingio partim a nobis collecta est, Gronovianæ editionis, eamdem ob caussam quam supra memoravi, perraro fit mentio. Scilicet, ubicumque pro scriptura quadam codex Med. testis advocatur, ibi fere constanter, nisi diserte secus monuero, intelligi debet, eamdem scripturam a Gronovio fuisse adoptatam. SCHW.

cessus. Parisiis Io. Capperonerius, V. Cl., benivole excerpsit a viris doctissimis Menoto et Geinozio ex tribus regiæ bibliothecæ membranis in margines exempli Gronoviani collata, sed parciore, quam speraveram, manu; multa quippe, levissimi momenti, sordes et quisquillias opinatus, sciens volensque præterierat. Hinc mea longe discrepabat sententia. Clariss. D. Ruhnkenium, Lutetiæ Parisiorum studiorum caussa tum morantem, litteris adduco et expugno, ut ea usibus meis ne negentur. Factum est egregio amicissimi viri candore et auxilio, quod tantopere desiderabam, hoc etiam monentis, codicem primum, cujus A. index, ingentis esse pretii, et tantæ, sive litterarum ductus sive membrana spectentur, pulcritudinis, ut vix alius, quicum conparari possit, inveniatur. Debentur ejusdem Capperonerii bonæ voluntati excerpta ex schedis, seculo XV. exaratis, monasterii S. Remigii congregationis S. Mauri in Francia, priores duo libros et tertii magnam partem conplexis [n]: tum alia ex codice, in bibliothecam regiam novissime illato, in quo ex IX. Herodoti Musis fragmenta haud pauca; denique Λέξεις Ἡροδότου ex forulis bibliothecæ Sangermanensis, vulgatis olim ex schedis Goldasti longe utiliores.

Quæ quidem cum laudabili sollertis viri studio, propter quod illi gratia manebit, colligerentur, conmodum ad me vir eruditus et plurimum reverendus Henricus Gally, S. T. P., magnæ Britanniæ regi a sacris, invisit. Varios inter jucundosque sermones venitur ad Herodotum: vehemens præ me ferebam desiderium codicis archiepiscopi Guil. Sancroft, Cantabrigiæ [o] asservati, et Galei laudibus adeo celebrati. Tum vir multo humanissimus prolixe auxilium pol-

[n] Desinit ille cod. Rem. in Herodoti lib. III. cap. 70. ut ibi Wesselingius monuit. De codice Parisiensi quibus complura ex Herodoti Musis fragmenta continentur, itemque de reliquis Herodoti codicibus, qui in bibliotheca regia servantur, infra nobis erit dicendi locus. SCHWEIG.

[o] Schweighæuserus in var. lectt. ad II. 171. "Certum est codicem Sancroftianum haud paucis in locis "egregias lectiones et verissimam "auctoris scripturam, quæ in aliis "codd. obliterata fuit, nobis servasse." Hunc tamen codicem ab eruditulo librario interpolatum censet idem ad IX. 111. et 114.

liceri, nec polliceri tantum, sed et præstare. Abs reduce in Britanniam non multis post mensibus exemplum Galeanæ editionis accipio, instructum discrepantibus libri archiepiscopi scripturis, sollertissima celeb. Ant. Askew manu enotatis, una cum corollario ex ipsius Askew chartaceo codice annorum ferme quingentorum, primore quidem Musæ primæ parte manco, sed perutili. Utraque opera mihi jucundissima accidit ob excellentium virorum amicitiam et accurationem, qua nihil supra. Neque non mihi celebranda adfuit ill. Baronis de Swieten in Herodoto adjuvando benignitas; de meo enim instituto per litteras admonitus, promtissime Vindobonensis bibliothecæ schedas Græce perito homini cum edito Genevensi contendendas tradidit, et, quæ nobilissimi viri humanitas, transumta inde ad me officiosissime curavit.

Par fuisset amplissimi cardinalis Quirini benivolentia in promisso ex libris Vaticanis auxilio, nisi mors illud intercepisset, plenissimo tamen favoris in epistola Cl. Assemanni super locis quibusdam Herodoteis. Quod illum autem præstare non siverunt fata, cumulatissime ejusdem loci et dignitatis vir eminentissimus, cardinalis Passioneus explevit: namque cognita mea schedarum Vaticanarum cupidine, perhumaniter rescripsit, eas nec admodum bonas, nec priscas videri: esse sua in bibliotheca, ex Sfortiana profectas, integriores, nitide pictas et veteres; harum se διαφόρους γραφὰς mihi non negaturum. Absolvit vir summus, quod receperat, liberaliter; cujus ego excellentem in illo fastigio, dum supererat, humanitatem et erga me studium laudibus ferre et grata mente recolere, desinam nunquam. De libro vera omnia: circa seculum duodecimum in charta pergamena ab docto scriba exaratus est, præstantia Mediceo nihil cedens, sæpe superior. Illorum vero codicum excerptis occupato, atque operi, formis exscribendo, dudum intento, ex Britannia consultissimus I. A. Helvetius editum Jungermanni exemplum transmittit, cujus in margine ex schedis archiep.

et duobus Oxoniensibus adnotamenta, sed dilutiore atramento, sæpius plumbo scriptorio, picta, eaque propter in haud paucis ambigua. Tribui illis, quamquam suspensior, neque pœnituit, locum, et gratias veteri amico [p].

Et hos quidem manu descriptos codices, tot diversis locis erutos, non eodem capite manasse, manifestissime conperi. Ubi lacer est et hiascit Vallæ liber, ibi in msstis Archiep., Vindobonensi, et plerisque Vaticanis et Oxoniensibus lacunæ. Si quid in his aut præcipuum aut exorbitans, idem apud Laurentium. Conpar in quam plurimis inter Mediceum, Passioneum et Askew codd., Passioneo in alterutrius lapsu rectum, ut plurimum, tenente, concordia. Ceterorum, quorum continua excerpta haud adspexi, constantem consensionem testari nequeo. Tres priores eodem ex fonte, sive antiquiore membrana, hausti videntur, cujus scriba, fortasse offensus crebris Musæ primæ excursibus, cunctos inprudenter abscidit, et, ne hiatus tædio forent, nexum seriemque orationis callide aptavit. Ultimi tres aliis ex schedis descenderunt, prudentiorem amanuensem et nihil temere auferentem indeptis, atque ea de caussa conmendatiores. Reliquas scripturæ differitates, quæ sane quam multæ, acceptas librariis, Ionicæ dialecti veneres conmuniore sermone mutantibus, vocesque optimæ notæ et earum veteres inflexiones, quod ab usu abierant, pervertentibus, refero. Damnosum illud Herodoto institutum videor mihi sæpissime deprehendisse et certissimis documentis in omnium posuisse conspectum. Namque ipsi scriptori, Musas de novo recensenti, quæ quorundam suspicio fuit, discrepantiæ notabilis originem non ausim tribuere: atque hoc minus, quoniam in vocabulis, citra dubium pravis, admiranda sed et fœda omnium adparuit conspiratio [q].

[p] Denique ex Veneto etiam codice lectiones nonnullas citavit Wesseling. quæ ex Zanetti catalogo bibliothecæ S. Marci t. II. p. 169. ductæ sunt, nec ultra lib. I. cap. 32. progrediuntur. SCHWEIG.

[q] Notum est, jam olim Philemonem grammaticum conquestum esse, πολλὰ φέρεσθαι μέχρι νῦν ἁμαρτήματα κατὰ τὴν Ἡροδότου συγγραφήν: refe-

Quo modo cunque autem se ista habuerint, neglectos et quodammodo contemtos ab editoribus fuisse scriptores qui Herodotea advocarunt et exscripserunt, miratus sæpe fui. Ex Dionysio mihi Halicarnasseo, Strabone, Plutarcho, Pausania, Stobæo, Eustathio, et aliis hac de familia, selegeram plurima, publicatis meliora. Vidi deinceps simile Steph. Bergleri, viri doctissimi, eundem mecum exercentis agrum, propositum. Apud animum is constituerat Th. Galei exemplum nova editione recudere, et, quia ex msstis deerat auxilium, ex priscorum advocationibus præsidium quærere: id mihi ejus ex libro, hujusmodi citationibus referto et paucis ad primam Musam notis, Galei animadversionibus subjiciendis, patuit. Studium viri valde fuit industrium, sed in Hermogene et ejus Scholiasta, Stobæo, et Eustathio in Dionysium, quos tum legisse non videtur, claudicans. An vero ad Herodotum recte curandum id suffecerit [r], dixerint alii. Ipsemet, viso Gronoviano, cujus ne meminit quidem, opere, suum abjecit; adnotationesque, toties ad Alciphronem promissas, animo magis agitavit quam absolvit. Nullas certe, præter paucas illas, et male cohærentes, adspexi: boni quidquid inerat, auctori atque observatori tributum est; immo gratus agnosco, pauca Eustathiana, a me prætervisa, ex illius indicio venisse; debeoque adeo memoriæ viri doctissimi, pariterque infelicissimi, ut ejus ad posteritatem industria cum laude propagetur.

Aliud consilium Io. Corn. de Pauw, vir Græce doctissimus, sed sui semper arbitrii, amplexus fuit. Unicum illi Th. Galei adfuit exemplum et animi incitatioris inpetus, cujus ope salebrosis Herodoti locis medicinam pro virili fecit, salubrem sæpe et probabilem. Cui labori, quod observasse reminiscor, juvenis admodum, et ante vertentis seculi annum xv. invigilavit. Nulla hinc apud eum in Lugdunensem editorem [Gronovium] animadversio, nulla ejusdem laus,

rente Porphyrio, Quæstion. Homeric. cap. 8. (in Barnesii editione Homeri vol. I. p. 92.) SCHW.

[r] Vide Miscellan. Lipsiens. vol. VIII. p. 295.

nulla mentio; a qua, bene si illum novi, sibi non temperasset; neque a me dissentient, qui familiarius ipsum variaque ejus scripta cognoverunt. Schedas illius, minutissimis pictas litteris, mecum vir perhumanus, et salutaris artis peritia apud Amstelodamenses celebris, Io. Iac. Ostens conmunicavit. Conpar fuit de Herodoto bene merendi voluntas Io. Iac. Reiskii, viri clarissimi. Ductu sagacis et fæcundi ingenii emendationes, sollicite investigatas, miscellaneis Lipsiensibus inseruerat. Dedit mihi perofficiose, ut sub incudem revocatis et varie a se mutatis uti liceret; nuper vero iterum iterumque recensitas et correctas publice exstare jussit[s]. Ingratus forem, nisi utiles mihi, etsi sæpius dissentienti, profiterer fuisse. Singuli in hoc studiorum genere gustum quendam habemus, neque eadem omnibus sapiunt. Qua ex libertate nihil inconmodi, immo ad veritatem, modo verborum absit contumelia et rixandi pruritus, conmodi multum. Illam me amplexum, pro vetere amicitia, non ægre feret vir doctissimus. Laudabit, sat scio, istum animi mei habitum Fr. Lud. Abreschius, vir clar., cui varias ad intricatiora Herodoti verba animadversiones et explanationes acceptas fero. Μέγαλη illi et Reiskio χάρις. Ejusdem Cl. Io. Ern. Imm. Walchio ob ceras miniatulas eruditissimi Carol. Sam. Schurzfleischii, in quibus doctorum virorum, Bocharti, Fabri, Valesii, Vossii et aliorum, de Herodoto non male meritorum, indicia, exscriptas ex Gothana bibliotheca, debitor sum. Adleverat non multum dissimiles marginibus Hervagiani exempli anni MDXLI. M. Sladus, quas celeb. Pet. Burmannus Secundus, talium haud parcus promus condus, meas esse, ut alia multa, voluit, nec non Is. Vossii conjecturas, manu magni Grævii scriptas, et Iac. Ph. D'Orvillii plures. D'Orvillianas serius, opere Herodoteo fini proximo, usurpavi, et magnam partem ad conmentarium viri eruditissimi in Charitonem additas intellexi; Vossianas

[s] *Animadversiones ad Herodotum.* In Io. Jacobi Reiske *Animadversionum ad Græcos Auctores* vol. III. *Lipsiæ* 1761. p. 81—182. SCHW.

coram mihi olim clar. Io. Alberti, cujus mortem nondum eluximus, tradiderat.

Solidum tamen Pet. Burmanni Secundi, viri amicissimi, beneficium, cui et reliquis omnibus laudatissimis hominibus uti debendi reus sum, ita nemo sibi addictum magis et obstrictum me et Herodotum habet, quam L. C. Valckenarius. Namque ut conperto accepit vir diuturna familiaritate mihi junctissimus, quid molirer, observationes transmisit, et flagitanti, ut continuaret inchoatas et in partem laboris veniret, peramanter adsensus fuit. Hæc origo et occasio adnotationum, præclarissimæ eruditionis ex interioribus litteris adparatu refertarum, quibus hæc editio nitidior et ad posteritatem conmendatior procedet. Scripsimus ambo locorum intervallis sejuncti, ille Franequeræ, ego Trajecti ad Rhen., acciditque adeo, ut eadem arbitraremur nonnunquam: mea, ubi conmodum erat, inducta subinde fuerunt; sæpius, ut describendi fastidium vitaretur, relicta; sed Valckenarii, meo præconio non indigi, perenni tamen grati animi testificatione celebrandi, omnia integra.

Reliquum est, ne absoluti operis ratio in obscuro maneat. Ex scriptis codicibus Ionici sermonis, quoties licuit, formam et habitudinem reformavi: in integrum nullo suo merito possessione dejecta restitui: innumera mendis liberavi, sed parcissime de conjectura, atque illis duntaxat in vocabulis, quæ dictionis indoles aversabatur. Qua re nonnullis, quod aperte mendosa et levi brachio concinnanda, reliquerim, justo visus fui cautior. Verum illud malui, satis habens, si ad medicinam via monstraretur. Mutationum in adnotationibus reddita caussa est. Ex contextu, uti vocant, quæ exterminavi, relegata in varias sunt lectiones, copiosissime, quo censendi facultas foret, adpositas. Qua quidem in re nihil novi præterque consuetudinem machinatus fui. Conquirimus sollicita cura et impensis amplis diversas membranarum scripturas, cui bono tandem, si uti illis nefas putetur? Vallæ Latina præeuntium more Græcis adjunxi, non illa

profecto optima, sed a clar. Gronovio multifariam purgata, et, sicubi ἐν τῷ κειμένῳ aliquid innovatum, a me quoque. Maluissem equidem, ut suavissimus scriptor ea dialecto ab omnibus tereretur, qua agnosci voluit. Sed uti seculum est, Latina postulantur: maneat proinde hoc Catone per me contentum. Additamenta undique ab H. Stephano et Jungermano de Nili ortu, de Ægyptiorum et Persarum moribus et legibus, si mei res fuisset arbitrii, detruncassem omnia, excepto Anonymi fragmento, cui in Addendis ex codice regio, mecum ab egregio Ruhnkenio conmunicato, salubre auxilium venit, de Nili Incremento, et Ctesia. Fini operis Th. Galei et Jac. Gronovii adhærent adnotationes, quarum facilior ut usus esset, Lugdunensis editionis paginæ marginibus nostræ assignatæ sunt. Lexicon vocum Herodotearum, ex Goldasti schedis publicatum, procul amandavi, suffecto ex Sangermanensibus longe meliore. Indicibus recensendis et conficiendis operam mei caussa A. Kluitius, doctus et sollers Hagani Gymnasii præceptor, industrie insumsit. Unum, neque dissimulare ausim, male me habet, quod operæ in tonis et spiritibus toties deliquerint. Nixus fui aberrationibus istis occurrere, sed studium caligantes oculi frustrati sæpius sunt. Nolim eas, quarum exstantiores enotavi, mihi vitio apponi. Potius de Herodoto inter morborum tot vices in provecta ætate ad finem deducto lætemur. Ego certe Deo Optimo Maximo gratias ago habeoque. Vale.

PRÆFATIO

JOHANNIS SCHWEIGHÆUSERI.

IN Wesselingiana editione, præter leviora quædam et facile corrigenda errata, aut si qua sunt alia, de quorum nonnullis in utramque etiam partem disputare licuerit [a], nihil magnopere desiderarunt viri docti, nisi quod in adoptandis passim melioribus lectionibus, quas codices manuscripti offerebant, tum in corrigendis ex probabili conjectura eis locis qui in cunctis codicibus corrupti sunt, nimis timidus fuerit editor; ita quidem ut probas multas lectiones, quas in contextum recipere debuisset, non ausus fuerit adoptare, subindeque manifesta etiam vitia atque monstra intacta relinquere maluerit, quam suas aut aliorum emendationes, etiam quas valde ipse probasset, in illorum locum reponere [b]. Jam negari quidem non potest, virum doctissimum perspicacissimumque, quum (quæ erat ejus moderatio et verecundia) nollet cupidior videri novator, multas passim superiorum editionum lectiones, quæ rectius fuissent cum aliis permutatæ, sua in sede reliquisse; ac præsertim nonnullas subinde ex his, quas inauspicato Gronovius ex Mediceo codice invexerat, Gronoviani nominis reverentia, ne in nimis multis

[a] Pluscula quædam, minutiora pleraque, aut quæ typographi maxime incuriæ debentur, et caligantes editoris ætate provecti oculos (de quibus ipse in fine præfationis conquestus est) effugerant, collecta videas in Reizii præfatione ad suam Herodoti editionem p. vi. et seqq. Multa etiam Wesselingius ipse in Addendis et Emendandis, quæ ad calcem operis adjecta sunt, correxit.

[b] Vide ejusdem Reizii Præfat. p. xiv. et ad quem ille provocat, Valckenarium in notis ad Euripidis Hippolyt. vs. 370. et 952.

pertinacius ab illo dissidere velle videretur, possessione noluisse depellere. At idem tamen lectiones eas, quæ vulgatis forsan præferri debuerant, non modo qualibet in pagina sub contextu positas oculis legentium subjecit; verum etiam sæpe numero, partim in ipsa statim Varietate Lectionis, partim in Notis, haud obscure significavit præferendas illas sibi videri. Quod vero ad conjecturas spectat, in eis (etiam ubi manifeste corrupti esse codices omnes videbantur) ipsum Wesselingium in Præfatione vidimus peringenue profitentem, "cautiorem se maluisse quam audaciorem videri:" et quis non amet, immo admiretur magis quam culpet, præstantissimum virum suam in hoc genere timiditatem ipsum his verbis accusantem[c]: "Novandi de conjectura," inquit, "Herodoti orationem metus sæpe conantem conpescuit, justo fortasse gravior: at eo sum ingenio[d]."

Quæ adhuc commemoratæ sunt Musarum editiones, earum quæque (excepta Glasguensi) majoris formæ volumine continetur. Anno superioris seculi septuagesimo octavo Lipsiæ cœpta est, octuplicata chartarum forma, in lucem emitti nova Herodoti editio, cujus in fronte editor Frid. Volgang. Reizius, vir omni humanitatis cultu egregie politus, hæc professus est: "Textus Wesselingianus passim refictus; Argumentorum ac temporum notatio, tabulæque chronologicæ et geographicæ additæ. Accedunt, volumine altero, Nova interpretatio Latina et Index rerum: volumine tertio Animadversiones et Lexicon Herodoteum." Editio quum ad usum quotidianum multis nominibus percommoda, tum tanta cura tantoque studio instituta, ut merito omnes Musarum amici gravissime tulerint quod per editoris primum cunctationem, dein præmaturum obitum, accidisset ut in priore primi voluminis parte, quæ Græcum exemplum

[c] In notis ad Herodot. VI. 28.

[d] Editioni suæ Herodoti Wesselingius, veluti prodromum quemdam, præmiserat librum passim et a Valckenario et a nobis in Adnotationibus laudatum; qui hoc titulo, *Petri Wesselingii Dissertatio Herodotea ad Ti. Hemsterhusium V. Cl.*, Trajecti ad Rhenum anno 1758. in lucem editus est.

quatuor priorum Herodoti librorum complectitur, tota illa opera substiterit. Multo deinde interjecto tempore studiosorum hominum desideriis Godofr. Henr. Schæfer hactenus satisfecit, ut priori parti primi voluminis alteram partem adjiceret, quæ itidem Lipsiæ anno MDCCC. prodiit, Græcum exemplum quinque posteriorum Herodoti librorum comprehendentem. Idem vir clarissimus, cujus eruditæ incredibilique industriæ dici vix potest quantum sit quod debeat Græcarum omne genus literarum, per idem tempus seorsim integram Musarum ἔκδοσιν, nitidissimis typis chartisque conspicuam, suo nomine adornare instituit; cujus primus tomus, priores duas Musas complectens, eodem anno MDCCC. hoc titulo prodiit: *Herodoti Halicarnassei Historiarum libri IX. Ex optimis exemplaribus emendavit ac Notas criticas adjecit God. Henr. Schæfer.* Nonnisi suo sermone loquentes Musas producere voluit editor, Latinam versionem nullam huic ἐκδόσει adjecturus. Secundus tomus, tertiam, quartam quintamque Musam continens, prodiit anno MDCCCI. Tertius tomus, sextum, septimum octavumque librum comprehendens, annum præfert MDCCCIII [e]. Nec vero ad hunc usque diem prodiit quartus tomus, nonum Herodoti librum cum criticis editoris Notis exhibiturus; nec Lexicon Herodoteum lucem vidit, quod se parare copiis instructissimum, et Reizianæ Musarum editioni sua cura absolvendæ adjecturum professus est in brevi Præfatione primo tomo hujus editionis præmissa.

Jam quamvis Schæferus, perinde atque Reizius, ad emendandum Græcum exemplum nullis aliis veterum codicum præsidiis instructus accesserit præterquam quæ Wesselingianæ offerebant copiæ; tamen uterque, adhibito suo judicio suisque doctrinæ et ingenii copiis, ita illis præsidiis

[e] In hac editione liber quintus cum tribus sequentibus absque ulla mutatione (quoad mihi quidem, ambas pluribus in locis inter se comparanti, observare contigit) ad exemplum alterius expressi sunt. Quare in nostra Varietate Lectionis utraque Schæferi editio pro una eademque habetur.

usus est, ut, post immortalia Wesselingii merita, haud parum rursus ab his ipsis duumviris ad restituendam compluribus Herodoti locis integritatem sanitatemque fuerit collatum. Itaque, ut multum passim per Reizium profeci, sic sæpenumero vel præeuntem Schæferum ultro secutus sum, vel, ubi meam jam sententiam, priusquam illum consulerem, constitutam habueram, gavisus sum quum vidi, id ipsum doctissimo viro placuisse, quod equidem præ cæteris probassem. Ex ejusdem editoris Præfatione juvat huc transscribere quæ ille de Herodoti Ionismo, mecum prorsus consentiens, scripsit. Scilicet, postquam professus est, se initio, "quum primum Herodoto recensendo manum admovisset, "hanc sibi legem scripsisse, ut expulsis formis verborum "communibus, etiam tum cum codices tacerent, Ionicas "sufficeret, eumque morem in prioribus plagulis tenuisse:" hæc, inquam, postquam professus est, sic scribere pergit: "Sed mox instituti me pœnitere cœpit; planeque cognovi, "Herodotum, perinde ac ceteros scriptores Græcos, dia-"lectum ad grammaticam ἀκρίβειαν non ea exegisse quæ "vulgo creditur constantia atque perpetuitate."

Priusquam Schæferus utilem istam operam Herodoto navare cœpisset, Aug. Christ. Borheck, in Duisburgensi tunc academia Historiar. et Eloq. professor, Græcam Musarum editionem Lemgoviæ anno MDCCLXXXI. scholarum in usum typis exscribendam curavit; quæ, quemadmodum ipse in Præfatione alteri editioni præmissa profitetur, "quod ad quatuor priores libros attinet, Reizianam, in "reliquis Wesselingianam recensionem exhibebat;" adeoque proprii et novi nihil aut parum offerebat[f]. Deinde

[f] Titulum editio illa, referente Harlesio ad Fabric. p. 344. (nam ipse non vidi) hunc præferebat: *Herodoti Halic. et Ctesiæ Cnidii quæ extant opera et fragmenta, Græce, ex recensione Petri Wesselingii. Curavit A. C. Borheck.* Qui quum Reizii nomen, cujus exemplum presso pede secutus est, in titulo libri tacuerit, utrum in præfatione saltem honorificam hujus viri, uti par erat, mentionem fecerit, non habeo compertum; illud vidi, et sæpenumero sum miratus, quo pacto factum sit ut Larcherus, qui hac usus est editione, lectiones omnes a Wesselingiano exemplo discedentes, uni Borheckio acceptas tulerit, nulla Reizii

vero, interjecto septem et viginti annorum spatio, quum interim Schæferus præclare de Herodoto meruisset, prodiit anno MDCCCIX. altera ejusdem Borheckii editio, auctior (ut titulus præfert) et emendatior, tribus modicis voluminibus constans; de qua in Præfatione hæc prædicat auctor: "Est hæc editio, nullius prioris repetitio; sed nova "eaque accurata recensio, in qua Musas Herodoteas tam "ad veterum librorum fidem," (scilicet, quorum lectiones Wesselingius collegerat,) "quam e conjecturis doctorum vi-"rorum, integritati restituere tentavimus." Hac igitur in editione vir optimus promiscue, modo Wesselingiani exempli, modo Reiziani aut Schæferiani, tenuit lectiones: haud raro vero etiam ab his cunctis et a veterum librorum omnium præscripto in diversum discedens, duo hæc maxime est secutus; primum, ut in verborum formis, "in scribendis "vocabulis" (ut ait ipse) "semper sibi constans auctor" prodiret; alterum, ut quascumque emendationes et conjecturas vel a Wesselingio, vel a Valckenario, in adnotationibus commendatas vidisset, eas continuo fere cunctas suum in exemplum adoptaret: quo etiam illud pertinet, quod, si qui loci vel ab eodem Wesselingio, vel a Valckenario præsertim, (viro exquisitissime docto, sed qui in hoc genere sæpe nimius fuisse videtur,) pro spuriis sunt habiti, eos e contextu prorsus eliminavit, ne adposito quidem ullo facti indicio. In quo tamen illud laudandum, quod, ne nescirent lectores quorum id interesset, quid quoque loco vel Wesselingii vel Schæferi præferat exemplum, in calce operis, tertio volumine, varietates lectionis recensionis Wesselingianæ et Schæferianæ exhibuit [g].

mentione facta, cui illæ debebantur: quo de genere multos locos citatos etiam videas in ejusdem Larcheri Indice Rerum et Personarum, t. IX. posterioris editionis Gallicæ Herodoti versionis, p. 149. voce *Borheck*.

[g] Idem vir industrius, de Herodoti studiosis quoquo modo posset bene meriturus, post primam Musarum editionem a se procuratam, jam ab anno MDCCXCV. ad annum XCVIII. quinque minutioribus voluminibus ediderat *Apparatum ad Herodotum intelligendum et interpretandum:* quorum primum volumen, *Chronologia et Crisis Herodotea* inscriptum, continet Larcheri copiosam de Chronologia Herodoti disputationem, ex

Præter editiones adhuc enumeratas, partes etiam nonnullæ Historiarum Herodoti, minores aliæ, aliæ majores, a doctis quibusdam viris, scholarum maxime in usum, editæ exstant, notis etiam vel criticis vel ad interpretationem spectantibus illustratæ. Quorum virorum opera scriptori nostro navata quum et alioqui laudanda sit, et a nobis subinde vel in Varietate Lectionis vel in Adnotationibus nostris fuerit memorata; haud erit ab hoc loco alienum, si librorum eorum, quibus Herodotea illa continentur, recensum hic adjecero.

Igitur in Jo. Matthiæ Gesneri *Chrestomathia Græca*, tam utili quam satis noto sæpiusque typis recuso libello, exhibetur Herodoti amplus satis locus ex lib. I. cap. 23—45. tum duo alii ex lib. II. cap. 35—48. et cap. 68—73.

A Reizio etiam in *Chrestomathia Græca, Lipsiæ* 1779. edita, quem quidem libellum numquam oculis usurpavi, Eclogas nescio quas ex Herodoto insertas fuisse memoratum legi.

Frid. Andr. Stroth, Gymnasii Gothani olim rectoris, *Ægyptiaca, Gothæ* anno MDCCLXXXII. edita, Herodoti librum secundum, cum parte tertii, et ex reliquis libris fragmenta quædam exhibent, ex Wesselingii quidem maxime recensione, sed ita ut religioni sibi non duxerit editor nonnullis in locis ab ea discedere.

Danielis Wyttenbachii, viri clarissimi, *Selecta principum Historicorum, Amstelodami* anno MDCCXCIV. in lucem emissa, post ipsum introitum quo Historias suas Herodotus exorsus est, exhibuit ex libro primo, commodos ad titulos

Gallico in Latinum sermonem translatam. Reliquis quatuor voluminibus exhibitur *Apparatus criticus ad constituendam Lectionis Herodoteæ integritatem:* qui quidem apparatus totus partim e varietate lectionis a Wesselingio collecta, partim ex ejusdem Wesselingii et Valckenarii (rarius ex Gronovii) adnotationibus, excerptus est. Vix quidquam his adjectum videas, nisi subinde notulam quamdam ex Larcheri commentariis aut ex Germanica Herodoti versione, cujus auctor Joh. Eust. Goldhagen, ductam, denique scrupulosiorem Aldinæ et duarum Camerarii editionum (quæ quidem ab illa non differunt) collationem, singulos apices et minutissimas quasque orationis distinctiones sectantem.

relata, segmenta hæcce: cap. 8—12. 23. et 24. 29—33. 74. et 75. 107—130. 178—182. 196—199. tum ex libro II. cap. 35. et 36. 77. et 78. 92. 84—91. 123. 148. 149. 124. et 125. 121. denique ex lib. III. cap. 20—23. 80—82.

In Friderici Jacobs *Atticis*, quorum altera editio *Jenæ* anno hujus seculi nono prodiit, ex Herodoto continentur hæc: ex lib. I. cap. 29—33. 59—64. tum ex lib. V. cap. 55. et 56. 62—66. 70—78. 82—87. 96. et 97. 99—105. Ex lib. VI. cap. 102—120. paucis medio prætermissis: tum cap. 132—140. Ex lib. VIII. cap. 49—64. 84—96.

Denique *Herodoti Historiarum libros, qui enarrationem pugnarum inter Græcos et Persas complectuntur*, Græce cum Animadversionibus *Halis* anno MDCCCIX. edidit Davides Schulz, duobus voluminibus; quorum priore Græcum exemplum, (in quo quidem Schæferi maxime recensionem secutum se esse profitetur) posteriore Animadversiones continentur.

Post Wesselingium igitur nullus ex Herodoti editoribus alio codicum manuscriptorum præsidio usus est, præter eas copias quas offerebat Varietas Lectionis ab illo collecta. Ac sunt sane instructissimæ copiæ, quæ Wesselingio præsto fuerant: quarum e penu, etiam post operam Herodoto ab illo præstitam, haud pauca adhuc ad emaculandum admirabile hoc antiquitatis monumentum decerpi posse haud immerito judicarunt docti illi viri, qui post eumdem ad curandam novam hujus operis editionem accesserunt. Qui quum ex eodem adparatu Wesselingiano jam fere, quidquid ille suppeditare præsidii poterat, sublegerint suaque et industria et ingenio in Herodoti commoda converterint; equidem, postquam ante hos aliquammultos annos Exterus vir eruditus, qui tunc temporis institutum societatis Bipontinæ edendis classicis auctoribus regebat, a me postulasset, ut absoluta Athenæi editione, omisso Græcitatis Indice, quem editioni illi adjicere atque ita coronidem operi imponere constitueram, instaurandæ editioni Wesselingianæ Herodoti

hac lege præsiderem, ut, si quid in illa refingendum aut ei adjiciendum mihi videretur, eam operam scriptori huic præstarem; quum hunc a me amoliri laborem frustra essem conatus, illud certe et mecum constitui et Extero significavi, nisi manuscriptorum quorumdam codicum subsidio, qui ad eum diem nondum fuissent diligenter excussi, adjutus fuissem, numquam me negotium illud esse suscepturum. Itaque, qui pulcre nossem, ex tribus quidem Parisiensibus codicibus excerptas lectiones Wesselingium habuisse, simul vero satis intellexissem non ita comparata fuisse illa excerpta, ut certa fides eis posset haberi [h], non prius manum admovere constitui recognoscendo Herodoti exemplo, quam codices illos eosdem, et si qui alii in bibliotheca regia Parisiensi servarentur, ipse meis oculis inspexissem, et quanta possem maxima diligentia per otium pertractassem. Præsertim vero cupidus esse debui illum videndi tractandique codicem, qui in catalogo bibliothecæ regiæ Parisinæ ut longe præstantissimæ laudatur [i].

Itaque, qui complurium annorum multiplici experientia satis cognitum exploratumque habuissem, nullo pacto fieri posse, ut tam adcuratæ, quam est optabile, veterum aucto-

[h] Lectiones erant ex tribus regiæ bibliothecæ membranis (ut ait Wesseling. in præf. cujus verba supra exhibuimus: nec vero tres membranas ille nominare debuerat, quum non nisi unus sit membranaceus codex:) in margines exempli Gronoviani a viris doctis Menoto et Geinozio collatæ. Ex inspectione vero varietatis lectionis a Wesselingio editæ, qui in citandis aliorum codicum diligentissime religiosissimeque est versatus, satis adparebat, quum quamplurimis in locis nulla prorsus codicum Parisiensium mentio fiat, multum abesse, ut ea ἀκριβείᾳ et subtilitate, quæ desiderio adcurati editoris satisfaciat, confecta fuerint illa excerpta. Quod ipsum etiam Wesselingius quum in eadem præfatione, tum et alibi subinde haud obscure significavit, et postremo in notis ad lib. IX. cap. 26. disertis etiam verbis conquestus est, se "codicum Parisiensium adcurata non usurpasse excerpta." Denique, fuisse illos codices negligentius collatos, Larcherus etiam passim in notis ad Gallicum Herodotum (in his VI. 40. et ad VII. 16.) monuit.

[i] In catal. bibl. regiæ Parisiens. tom. II. sub nº. MDCXXXIII. memoratur "codex membranaceus (in "fol.) emptus anno Christi 1688. "quo continentur Herodoti Histo- "riarum libri IX. Is codex" (sic ibi pergit qui illum catalogum confecit) "longe præstantissimus, et quem "inspicere operæ pretium foret, duo- "decimo seculo exaratus videtur." Eumdem codicem "Ruhnkenius" (ut supra vidimus) "ingentis esse pre- "tii" Wesselingio confirmaverat. Denique, "permagnum numerum "Ionismorum in eodem servatum "esse," monuit Larcherus in præf. t. I. Herodoti Gallicum in sermonem conversi, p. xxxvi. edit. sec.

rum editiones procurentur, nisi editor non modo codicum bonæ notæ quam plurimorum adcuratissime excerptis lectionibus posset uti, verum etiam codices ipsos, eos certe qui melioris præ cæteris notæ essent, non dico oculis suis usurpasset, verum per omne tempus, quo in emaculando constituendoque auctoris exemplo occupetur, veteres codices ipsos ad manum sub oculisque haberet; nihil prius et antiquius habui equidem, quam ut a conservatore Græcorum codicum bibliothecæ Parisiensis quibuscumque possem precibus rationibusque iterum iterumque contenderem, ut Herodoti codices manuscripti, qui in literario illo thesauro depositi essent, meæ fidei industriæque, quemadmodum olim Appiani, Polybii, aliorumque auctorum codices, parandæ novæ editionis Herodoti caussa committerentur: quippe mihi persuaseram, hoc consilio codices illos tanta, quanta par erat, cura ac religione servari, ut, si quando homo exstitisset idoneus, qui illis codicibus ad novam procurandam editionem et sciret uti et paratus esset, cujus etiam fides satis fuisset perspecta, ei homini illorum codicum usura non negaretur.

Qua spe postquam per illorum temporum iniquitatem frustratum me vidi, reliquum fuit, ut circumspicerem si quis esset qui Parisiis meo sumtu vellet ingratum molestissimumque laborem codicum illorum cum exemplo editionis Wesselingianæ conferendorum suscipere[k]. Ad quod conficiendum negotium peramice mihi operam suam conferente Boissonado, clarissimo viro, repertus est Georgi-

[k] Quum ex Larcheri præfatione Gallicæ Herodoti versioni præmissa intellexissem, habuisse illum penes se ex regia bibliotheca tres codices manuscriptos Herodoti, quorum ex uno alteroque subinde etiam lectiones nonnullas suis in adnotationibus protulit; putaveram equidem, virum et alioqui diligentissimum, et Herodoti studiosissimum, codices illos præcipua quadam cura olim cum editione Wesselingiana contulisse, et ex eisdem diligenter excerptas lectiones in manibus habere. Quare, cognitam habens viri doctissimi humanitatem et prolixam bene merendi de hominibus studiosis voluntatem, per literas eum rogavi, ut illorum excerptorum in usum nostræ Herodoti editionis mihi copiam facere non gravaretur. Quas ad preces benigne ille respondit, nihil vehementius se cupere, quam desiderio meo satisfacere posse; sed de justa codicum horum instituenda collatione numquam se cogitasse, nonnisi selectis quibusdam in locis subinde eos inspexisse.

ades, eruditus juvenis Græco genere natus, qui id munus in se suscipere voluit; de cujus et intelligentia et fide et diligentia idem Boissonadus meus mihi spopondit. Contulit is igitur mei caussa cum Wesselingiano exemplo quinque Herodoti codices, quemque seorsum, ita ut excerptas e singulis codicibus lectiones (initio ab eo codice facto, qui omnium præstantissimus visus erat) separatis descripserit libellis; quo factum, ut de confusione notarum, quibus quisque codex distinctus est, nihil sit timendum: in eoque labore eam et fidem et eruditam industriam, quam in tali negotio summam et maximam postulare æquus æstimator possit, mihi visus est præstitisse. Cæterum, quod initio veritus eram, nec fere aliter fieri potuerat, id usu mihi venit, ut in pertractandis his nostris excerptis, et in usum susceptæ novæ editionis convertendis, haud paucis in locis incertus hæserim. Nam, quum passim lectiones nonnullæ ab exemplo Wesselingiano in Parisiensibus codicibus discedentes, quæ vel a Wesselingio vel a Larchero adnotatæ sunt, in nostris his excerptis sint prætermissæ; eo fit, ut aliis etiam in locis, ubi nullam a contextu Wesselingiano dissensionem Georgiades adnotavit, haud satis certus sim, consentiant-ne Parisienses codices (sive omnes, sive nonnulli) cum Wesselingiano exemplo, an dissensum adnotare explorator noster neglexerit.

Sunt autem codices Parisienses, quos nostri caussa exploravit Georgiades, hi qui in catalogo regiæ bibliothecæ hisce sub numeris recensentur.

N°. MDCXXXIII. is de quo paulo ante dixi. Hunc Parisiensium omnium codicum Herodoteorum principem, ut Larcherus, sic et nos nota *Paris. A.* et plerumque breviori nota *Pa.* insignivimus. Quod si, quæ de hoc codice et in catal. biblioth. reg. et a Larchero prædicantur, cum his conferas quæ Wesselingius de suo cod. *Paris. A.* prædicavit; jurares eumdem esse codicem. At enim, sicut et alioqui mire confusas subinde apud Wesselingium deprehendi codicum Parisiensium notas, sic liquido cognovisse mihi visus

sum, quas lectiones ille codici *Paris. A.* adscribit, eas e nostro *Paris. C.* ductas esse; et vicissim, quas ille codici *Paris. C.* tribuit, ex nostro *Paris. A.* esse petitas: quæ quidem confusio nulla utique doctissimi editoris culpa commissa est.

Alter codex Parisiensis, in usum nostrum collatus, quem nos, sicuti Larcherus, nota *Paris. B.* et breviori nota *Pb.* distinximus, in catal. biblioth. reg. sub numero MDCXXXIV. his verbis describitur: "Codex chartaceus, olim Colbertinus, quo continentur Herodoti Historiarum libri IX. Conjecta ad margines scholia quædam, eaque non contemnenda. Exaratus anno 1372." Idem codex a Wesselingio eadem nota *Paris. B.* insignitus est.

. Tertius codex, *Paris. C.* vel *Pc.*, inter codices Græcos in catal. biblioth. reg. recensetur num. MDCXXXV. "Chartaceus, exaratus anno 1447. quo continentur Herodoti Halicarnassei Historiarum libri IX. in quibus exscribendis" (ut ait catalogi auctor) "librarii diligentiam non immerito desideres. Interdum enim omissæ phrases integræ. Occurrunt tamen aliquando non contemnendæ lectiones." Hac, puto, haud optimæ notæ fama permotus Larcherus hunc codicem ita penitus neglexit, ut illius nusquam ne mentionem quidem fecerit ullam. Est autem hic codex ejusdem familiæ cum eo, quem primo loco nominavi; et licet ætate sit illo recentior, tamen bonitate haud multum eidem cedit; atque usu etiam nobis interdum venit ut probatissimas lectiones ex illo potuerimus proferre, quas ex altero non reperimus enotatas. Tenet autem hæc familia quasi quoddam medium inter codd. Arch. et Vind. ab una parte, et Pass. Ask. Med. et F. ab altera; modo ad hos, modo ad illos magis inclinans. Ex eodem autem hoc nostro codice *Pc.* ductas esse eas lectiones, quas Wesselingius nota *Paris. A.* distinguere consuevit, paullo ante monuimus.

Quartus noster codex, *Paris. D.* sive *Pd.* quem Larcherus item nota D. distinxit, in catal. bibl. reg. num. MMCMXXXIII. chartaceus est, anno 1474. exaratus.

Præter Isocratis et Plutarchi nonnulla, continet Herodoti Historiarum libros IX. quibus accedit Lexicon vocabulorum Herodoto peculiarium: quod quidem Lexicon doleo non fuisse a Georgiade nostro cum illo collatum, quod vel a Wesselingio vel ab Jungermano editum est.

Præter quatuor istos codices, integras Herodoti Musas exhibentes, nostri caussa idem noster sedulus Parisiensium codicum speculator lectiones etiam quasque notabiles ex codice reg. MCDV. excerpsit, quo multis cum aliis Græcorum scriptis continetur pars primæ Musæ Herodoteæ, a cap. 1. usque in medium cap. 87. Admodum quidem recens is codex est, quem nos nota *Paris. E.* sive *Pe.* distinximus: at, quæ quidem ille Herodotea exhibet, ea e probatissimo vetere codice descripta esse cognovi.

Denique, quem Wesselingius in præfatione commemoravit codicem in bibliothecam regiam novissime illatum, quo "ex "Herodoti Musis Fragmenta haud pauca" ait contineri, cujus ille passim etiam scripturas in var. lect. laudavit, ejusdem codicis in usum nostræ editionis excutiendi, per Hasii viri clarissimi benevolentiam, Græcorum regiæ bibliothecæ codicum msstorum custodem, copia facta est Lud. Henr. Heylero nostrati, erudito juveni, studiorum caussa Parisiis tunc versanti: qui quidquid hic codex Eclogarum continet ex Herodoti Musis excerptarum, id cum exemplo Wesselingiano diligenter contulit, discrepantesque ad me transmisit lectiones. Cujus codicis lectiones sicuti a Wesselingio in var. lect. hac nota *Fragm. Paris.* distinctæ sunt, sic et nos, sicubi nonnullas commemoravimus ab illo præteritas aut paululum ab his quas ille ediderat discrepantes, eadem nota aut breviori hac *Pf.* insignivimus.

Quem codicem nota F. distinxi, membranaceus ille est, olim Florentinus, cujus usuram ad hunc usque diem mihi concessam Creuzero debeo, et illustris Schellershemii beneficio. Vetustatem ejus quum ipsa membranarum conditio declarat, tum antiquus scripturæ modulus; ita quidem ut prorsus mihi videatur idem ipse codex esse, cujus Bern.

de Montfaucon in Biblioth. Bibliothecar. t. I. pag. 414. D. his verbis meminit: "Codex elegans X. seculi membra-"naceus: Herodoti Historiæ." Esse hunc codicem ex eadem cum Pass. Ask. et Med. familia, e lectionibus quas inde protulimus facile adparet. Nec vero e Mediceo descriptus est, cum quo de principatu etiam videtur contendere posse; sed e vetustiore fonte derivatus probas multas præfert lectiones, ubi aut in vitio hæret Mediceus, aut ubi nihil certe a Gronovio e Med. prolatum est, quod a minus proba scriptura, quæ olim vulgata erat, discedat.

EDITORIS MONITUM.

HACTENUS viri docti, qui de Herodoto optime meriti sunt, Wesselingius et Schweighæuserus. Ipse quid novi attulerim, (hoc sentio et agnosco perexiguum esse,) uti potero brevissime exponam.

Quod igitur ad emendationem contextus spectat, per insignem benevolentiam Magistri et Sociorum collegii Emmanuelis apud Cantabrigienses codicem manuscriptum Sancroftianum, qui a Galeo primum deinde ab Askevio Wesselingii in gratiam collatus est, (a posteriore quidem diligentius, sed a neutro tamen satis accurate) apud me habere, summaque animi oculorumque intentione versare licuit. Inde factum est, ut non modo errata quædam corrigere, sed ut lectiones haud paucas hactenus omissas cum publico communicare potuerim. Plura de hoc codice edisserere nihil attinet. Licet enim permulta nunc protulerim, quorum indicio ejus indoles certius quam antea innotescat, satis tamen correcte de ejus præstantia judicasse mihi videntur viri eruditi.

Atque istius quidem codicis ope, una cum lectionibus aliorum codicum plus minusve diligenter excerptis, verba auctoris aliqua saltim ex parte ad veriorem scripturam revocare conatus sum. Sic, exempli gratia, dedi plerumque non μίη μίην, sed μία μίαν, non μοίρη μοίρην, sed μοῖρα μοῖραν

Conf. Schweighæuseri Lexicon in vv. εἷς, μηδεὶς, μοῖρα. In talibus autem analogiam sequi non placuit, nisi librorum veterum auctoritas accederet, in quorum consensu retinui μοίρην I. 204. Similiter rem gessi in vv. πολλαπλάσιος VII. 160. cf. VIII. 10. III. 135. IV. 50. V. 45. πενταπλήσιος VI. 13. διπλήσιος VI. 57. et alibi. In genitivis pluralibus pronominum οὗτος αὐτὸς terminationem εων codices scripti, secus atque in edd. factum est, perraro exhibent nisi in fœminino genere. Recte igitur, ut opinor, et analogiæ convenienter communem formam in masculinis et neutris plerumque reposui. Utrum autem in reliquis obliquis casibus eorundem pronominum ante ultimam syllabam ε inseruerit Herodotus, propter exemplorum penuriam dubitare liceat. In Hippocrateis quidem libris singulis fere paginis legimus αὐτέου, αὐτέῳ, αὐτέοις, αὐτέους; τουτέου, τουτέῳ, τουτέοις, τουτέους: sed in Herodoto istius formæ perpauca hodie comparent vestigia. Habent edd. αὐτέῳ I. 133, 6. ubi Athenæus tamen citat αὐτῷ. Silent collatores omnium manuscriptorum, locus in Sancroftiano non exstat. In III. 26. tres codd. optimi αὐτέοισι, ubi S. αὐτοῖσι cum vulg. Similiter αὐτέους VII. 8, 11. τουτέοισι VII. 104. quæ solius est Stobæi lectio VII. 39, 2. Plura hujus generis non observavi.

Neque in verbo χρᾶσθαι ejusque derivatis innovare quidquam ausus sum nisi præeuntibus mss., utcunque formarum χρέεσθαι, χρεόμενος &c. argumentorum vi defendi posset ratio. Sed in v. θώϋμα, θῶυμα, vel θῶμα scribendo paulo inconstantius versatus sum. Equidem posteriorem formam libenter reponerem, sicubi eam vel unus codex probæ notæ exhibeat.

Quæstionem de ν finali ante vocalem inceptivam rejicienda vel inserenda, ut et de ς in vv. οὕτως, μέχρις, ἄχρις, hodie non attingam. Hoc tantum monebo, in S., quem unum e codd. mss. mihi tractare contigit, ν quidem fere semper, ς vero frequentissime servari.

Sed de hisce minutiis satis superque dictum est. Nunc de annotationum apparatu aliquid monendum restat. Wesselingii et Valckenærii animadversiones integras recudere

non erat opus, quippe in quibus non pauca insint, quorum utilitatem hodie non agnoscimus. Qualia sunt, censuræ editionis a J. Gronovio procuratæ: vitiorum interpretationis Latinæ a Laurentio Valla confectæ emendatio: variarum lectionum verbosior quam par erat commemoratio. His aliisque ejusdem generis sublatis, ita ut earum animadversionum pars circiter quarta deleretur, servavi illæsa omnia quæ vel sententias auctoris paullo difficiliores aperirent, vel historiam veterem illustrarent, vel eruditæ antiquitatis studiosis quocunque modo prodessent. Immo fidenter pronunciarim, nihil fere me abjecisse, nisi quod viri præstantissimi et præconio meo longe majores, si hodie in vivis essent, nostrisque uterentur et opinionibus et disciplinis, ipsi cupide resecarent. Si quid aliunde addiderim, id docebit auctoris ubique adscriptum nomen.

INDEX MANUSCRIPTORUM.

A. B. C. Codd. quidam Parisini apud Wesselingium.
M. Codex Mediceus apud Gronovium.
P. Codex Cardinalis Passionei apud Wesselingium.
F. Codex Schellershemianus, olim Florentinus, apud Schweigh.
K. Codex Askevianus, nunc Cantabrigiensis Bibliothecæ publicæ, apud Wesselingium.
S. Codex olim Gulielmi Sancroft, Archiepiscopi Cantuarensis, nunc Bibliothecæ Coll. Emman. apud Cantabrigienses. (Wesselingio et aliis *Arch.*)
V. Codex Vindobonensis apud Wesselingium.

a. Parisinus n. 1633.
b. ——— 1634.
c. ——— 1635.
d. ——— 2933.
e. ——— 1405.
f. Fragmentum codicis Parisini.
} apud Schweighæuserum.

N. B. *Numeri in dextro margine singularum paginarum indicant paginas et versus editionis Wesselingianæ.*

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΠΡΩΤΗ.

ΚΛΕΙΩ.

Ἡροδότου[a] Ἁλικαρνησσῆος ἱστορίης [b]ἀπόδεξις ἥδε· ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων τῷ χρόνῳ ἐξίτηλα γένηται, μήτε ἔργα μεγάλα τε καὶ [c]θωυμαστὰ, τὰ μὲν Ἕλλησι, τὰ δὲ βαρβάροισι ἀποδεχθέντα, ἀκλεᾶ γένηται· τά τε ἄλλα, καὶ δι' ἣν αἰτίην [d]ἐπολέμησαν ἀλλήλοισι.

1 Περσέων μέν νυν οἱ [a]λόγιοι [b]Φοίνικας αἰτίους φασὶ
2 γενέσθαι τῆς διαφορῆς. τούτους γὰρ, ἀπὸ τῆς Ἐρυθρῆς
καλεομένης θαλάσσης ἀπικομένους ἐπὶ τήνδε τὴν θάλασ-
σαν, καὶ οἰκήσαντας [c]τοῦτον τὸν χῶρον τὸν καὶ νῦν οἰ-
κέουσι, αὐτίκα ναυτιλίῃσι [d]μακρῇσι ἐπιθέσθαι· ἀπαγινέ-
οντας [e]δὲ φορτία Αἰγύπτιά τε καὶ Ἀσσύρια, τῇ τε ἄλλῃ
3 [f]χώρῃ ἐσαπικνέεσθαι, καὶ δὴ καὶ ἐς Ἄργος. Τὸ δὲ
Ἄργος τοῦτον τὸν χρόνον προεῖχε ἅπασι τῶν [g]ἐν τῇ νῦν
Ἑλλάδι καλεομένῃ χώρῃ. Ἀπικομένους δὲ τοὺς Φοίνικας
4 ἐς δὴ τὸ Ἄργος τοῦτο, διατίθεσθαι τὸν φόρτον. πέμπτῃ

2 Inimicitiarum causæ inter Græcos et Asiæ populos, mutui raptus mulierum. Phœnices maris mediterranei accolæ facti anno ante Christum natum 1722. Io rapta 1687.

[a] Sic M. Ἁλικαρνησσέως F. Ἁλικαρνασῆος S.P.b.c.d. Ἁλικαρνασσῆος Ald. Demetr. Phalereus 17. et 44. Ἁλικαρνασσέως Plutarch. II. p. 604. F. Ἁλικαρνασσέος Aristides II. p. 381.

[b] ἀπόδειξις S.P.V.b.d.

[c] θαυμαστὰ S. qui mox ἀποδεχθέντα e ras.

[d] ἐπολέμουν a.c. al.

1.

[a] λόγοι Plutarch. II. p. 856 E. d.

[b] Sic F.a.c. Ptolemæus Hephæst. III. p. 314. Περσέων οἱ λόγιοι Φοίνικας αἰτίους γενέσθαι φασὶ τ. δ. Vulgo Φοίνικάς φασι γ. τ. δ. αἰτίους cum S.

[c] τόνδε τὸν S.

[d] μακροῖσι d.

[e] δὲ om. V. et S.p.m. ubi ἀπαγεινέοντας.

[f] χώρῃ om. e.

[g] ἐν om. d.

δὲ ἡ ἕκτη [h] ἡμέρῃ ἀπ' ἧς [i] ἀπίκοντο, [k] ἐξεμπολημένων σφι
σχεδὸν πάντων, ἐλθεῖν ἐπὶ τὴν θάλασσαν γυναῖκας, ἄλ-
λας τε πολλὰς, καὶ δὴ καὶ τοῦ [l] βασιλέος θυγατέρα· τὸ
δέ οἱ οὔνομα εἶναι, [m] κατὰ τὠυτὸ [n] τὸ καὶ Ἕλληνες λέ-
5 γουσι, Ἰοῦν τὴν Ἰνάχου. Ταύτας [o] στάσας κατὰ πρύ-
μνην τῆς [p] νηὸς, ὠνέεσθαι τῶν φορτίων, [q] τῶν σφι ἦν θυμὸς
μάλιστα· καὶ τοὺς Φοίνικας [r] διακελευσαμένους ὁρμῆσαι
6 ἐπ' αὐτάς. τὰς μὲν δὴ πλεῦνας τῶν γυναικῶν [s] ἀποφυ-
γέειν, τὴν δὲ Ἰοῦν σὺν [t] ἄλλῃσι ἁρπασθῆναι. [v] ἐσβαλο-
μένους δὲ ἐς τὴν [u] νέα, οἴχεσθαι ἀποπλέοντας ἐπ' Αἰγύπ-
2 του. Οὕτω μὲν Ἰοῦν ἐς Αἴγυπτον ἀπικέσθαι λέγουσι
Europa 1582. Medea 1349.
[a] Πέρσαι, οὐκ ὡς [b] Ἕλληνες· καὶ τῶν ἀδικημάτων [c] τοῦτο
2 ἄρξαι πρῶτον. Μετὰ δὲ ταῦτα, Ἑλλήνων τινὰς (οὐ γὰρ
ἔχουσι τοὔνομα ἀπηγήσασθαι) φασὶ τῆς Φοινίκης ἐς Τύ-
ρον [d] προσχόντας, ἁρπάσαι τοῦ [e] βασιλέος [f] τὴν θυγα-
τέρα Εὐρώπην. (εἴησαν δ' ἂν [g] οὗτοι Κρῆτες.) [h] ταῦτα

[h] ἡμέρᾳ S.V.e.

[i] ἀπίκατο Schæfer.

[k] ἐξεμπωλημένων c. Mox σφιν a. b. σφὶν F.

[l] βασιλῆος S. Vulg. βασιλέως B. b.e. βασιλέος F.a. Mox τὴν θυγατέρα Schæfer.

[m] κατὰ τὠυτὸ a.e. κατὰ τωυτὸ c. F.m. sec. κατωυτὸ p.m. κατὰ τὸ ὠῦτὸ S. Vulgo κατὰ τὼῦτό.

[n] ὃ καὶ M.R.F.S.a.d.

[o] στήσας S.V. ταύτας γὰρ στάσας R.

[p] νεὸς c.F. νηῶς d.

[q] τῶν κιν V.p.m. τῶν κεν S. sed cum σφὶν in marg. σφι e. Schæfer. Wesselingius citat Theocrit. 17, 42. qui locus huc non pertinet.

[r] διακελευσμένους S.V.

[s] ἀποφυγεῖν V.S.C. b.d.

[t] ἄλλοισιν S.

[v] Sic R.F. Schæfer. Vulgo ἐσβαλλομένους.

[u] ναῦν d.e.

2.

[a] Πέρσαι om. e.

[b] Φοίνικες Ald. Venetus liber in Biblioth. D. Marci T. I. p. 169. e.

[c] πρῶτον τοῦτο ἄρξαι S.B.a.F.

[d] προσσχόντας Schæfer. Vid. Etymolog. M. p. 700, 16. Sed vulgatam formam, quam mss. constanter servant, propter euphoniam in usu fuisse docet Grammaticus post Gregorium editus p. 680. ipso Schæfero non improbante.

[e] βασιλέως S.F.a.b.c.d.e. βασιλῆος vulg.

[f] τὴν om. S.V.C.e. Ald. Primus addidit H. Steph.

[g] οὕτω S.V. Sed οι suprasc. in S.

[h] Sic R.M. Steph. marg. plerique Paris. Vulgo om. μέν. ταῦτα δ' ἴσα S.

3 μὲν δὴ [i] ἴσα σφι πρὸς ἴσα γενέσθαι. Μετὰ δὲ ταῦτα,
Ἕλληνας αἰτίους τῆς δευτέρης ἀδικίης γενέσθαι. κατα-
πλώσαντας γὰρ μακρῇ νηῒ ἐς Αἶάν τε τὴν Κολχίδα καὶ
ἐπὶ [k] Φᾶσιν ποταμὸν, [l] ἐνθεῦτεν, διαπρηξαμένους καὶ
[m] τἄλλα τῶν [n] εἵνεκεν [o] ἀπίκατο, ἁρπάσαι τοῦ [p] βασι-
4 λέος τὴν θυγατέρα Μηδείην. πέμψαντα δὲ [q] τὸν Κόλχον
ἐς τὴν Ἑλλάδα κήρυκα, αἰτέειν τε δίκας τῆς ἁρπαγῆς,
5 καὶ ἀπαιτέειν τὴν θυγατέρα. τοὺς δὲ [r] ὑποκρίνασθαι, ὡς
οὐδὲ ἐκεῖνοι Ἰοῦς τῆς Ἀργείης ἔδοσάν σφι δίκας τῆς ἁρ-
3 παγῆς, οὐδὲ ὦν αὐτοὶ δώσειν ἐκείνοισι. Δευτέρῃ δὲ λέγουσι Helena 1290.
γενεῇ μετὰ ταῦτα Ἀλέξανδρον [a] τὸν Πριάμου, ἀκηκοότα
ταῦτα, ἐθελῆσαί οἱ ἐκ τῆς Ἑλλάδος δι' ἁρπαγῆς γε-
νέσθαι γυναῖκα, ἐπιστάμενον πάντως ὅτι [b] οὐ δώσει δί- 3
2 κας· [c] οὔτε γὰρ ἐκείνους διδόναι. οὕτω δὴ [d] ἁρπάσαντος
αὐτοῦ Ἑλένην, τοῖσι Ἕλλησι δόξαι, πρῶτον [e] πέμψαντας
ἀγγέλους, ἀπαιτέειν τε Ἑλένην, καὶ δίκας τῆς ἁρπαγῆς
3 αἰτέειν. τοὺς δὲ, [f] προϊσχομένων ταῦτα, προφέρειν σφι
Μηδείης τὴν ἁρπαγήν· ὡς οὐ δόντες αὐτοὶ δίκας, οὐδὲ
ἐκδόντες ἀπαιτεόντων, βουλοίατό σφι παρ' ἄλλων δίκας

[i] Sic Ald. S.P.C.b.d.e. ἴσα πρὸς ἴσα σφι M.

[k] Sic Schæfer. et F.e. correct. Vulgo Φάσιν.

[l] ἐντεῦθεν S.P. ἐντεῦτεν F.m.p.

[m] τἆλλα a.c.F.S.

[n] ἕνεκεν S.C.

[o] Sic M.V.F.p.m. ἀπίκοντο S. a.b.c.d.e. Ald. ἀπίκαντο F.m. sec.

[p] βασιλέος S.a.c.e. βασιλέως F. τὴν om. S.e. Ald. Mox Μηδίην b. S.V. Et sic, puto, alii. Hoc igitur vel Μήδειαν reponendum.

[q] Sic S. m. pr. V. βασιλέα S. in marg. et Κόλχων corr. τῶν Κόλχων βασιλῆα P. τὸν Κόλχων βασιλέα a.c.F. τῶν Κόλχων τὸν βασιλέα b. Vulgo τὸν Κόλχων βασιλέα.

[r] ἀποκρίνασθαι Ven. C.e. ὑποκριναμένους F. Wesselingius citat Suidam in ὑποκρίνεσθαι, Eustath. Homer. p. 687, 18=563.

3.

[a] τοῦ Πρ. S.

[b] om. οὐ e.

[c] οὐδὲ γὰρ Schæfer.

[d] ἁρπάσαντα S.p.m.

[e] πέμψειν V.S. Iidem mox τὴν Ἑλένην pro τε Ἑ.

[f] προϊσχομένους Steph. marg. Ven. C.b.d.e. Eustath. p. 405, 18=307, 16. Mox Μηδίης S.V.

Utri auctores injuriarum, Græci an Asiæ populi.

4 γίνεσθαι. Μέχρι μὲν ὦν [a] τούτου ἁρπαγὰς [b] μούνας
εἶναι παρ' ἀλλήλων· τὸ δὲ ἀπὸ τούτου, Ἕλληνας δὴ
2 μεγάλως αἰτίους γενέσθαι. προτέρους γὰρ ἄρξαι στρα-
τεύεσθαι ἐς τὴν Ἀσίην, ἢ σφέας ἐς τὴν Εὐρώπην. τὸ μέν
νυν ἁρπάζειν γυναῖκας, ἀνδρῶν ἀδίκων [c] νομίζειν ἔργον
εἶναι· τὸ δὲ ἁρπασθεισέων σπουδὴν ποιήσασθαι τιμωρέειν,
ἀνοήτων· τὸ δὲ μηδεμίαν [d] ὤρην ἔχειν ἁρπασθεισέων, σω-
3 φρόνων. [e] δῆλα γὰρ δὴ, ὅτι, εἰ μὴ [f] αὐταὶ ἐβουλέατο, οὐκ
4 ἂν [g] ἡρπάζοντο. σφέας μὲν δὴ, τοὺς ἐκ τῆς Ἀσίης, λέ-
γουσι [h] Πέρσαι, [i] ἁρπαζομενέων τῶν γυναικῶν λόγον οὐ-
δένα ποιήσασθαι· Ἕλληνας δὲ Λακεδαιμονίης [k] εἵνεκεν
γυναικὸς στόλον μέγαν συναγεῖραι, καὶ ἔπειτα ἐλθόντας
ἐς τὴν Ἀσίην, τὴν Πριάμου δύναμιν κατελεῖν. ἀπὸ [l] τού-
του αἰεὶ ἡγήσασθαι τὸ Ἑλληνικὸν [m] σφίσι εἶναι πολέμιον.
5 Τὴν γὰρ Ἀσίην καὶ τὰ ἐνοικέοντα ἔθνεα βάρβαρα οἰκει-
εῦνται οἱ Πέρσαι, τὴν δὲ Εὐρώπην καὶ τὸ Ἑλληνικὸν
ἥγηνται κεχωρίσθαι.

Ilium eversum a. 1270. De Io alia narratio Phœnicum.

5 Οὕτω μὲν [a] Πέρσαι λέγουσι γενέσθαι, καὶ διὰ τὴν
Ἰλίου ἅλωσιν εὑρίσκουσι σφίσι ἐοῦσαν τὴν ἀρχὴν τῆς ἔχ-
2 θρης τῆς ἐς τοὺς Ἕλληνας. Περὶ δὲ τῆς Ἰοῦς [b] οὐκ ὁμο-

4.

[a] Sic M.A.a.c.d.e.F. τούτων S. P. et vulgo.

[b] μόνας A. c.

[c] Sic M.S.V.A.B.F.a.b.c.d.e. Vulgo ἔργον νομίζειν.

[d] ὥραν V.S. ὥρην alii. ὤρην Reizius. cf. Etymol. p. 448, 45. Suid. v. ὥρα. Consentit S. in vulg. μηδεμίην.

[e] δῆλον Plutarch. II. p. 856. F.

[f] Sic F.a.c. quod e conj. Bergleri probavit Wesselingius. Vulgo αὗται.

[g] ἡρπάζετο F.

[h] Πέρσας ms. Eton. apud Galeum.

[i] Sic M.V.S.A.B.F.a. Ald. ἁρπαζομένων b.c.d.e. et vulgo. Mox γυναικέων Schæferus e conj.

[k] εἵνεκε d. εἵνεκα S.

[l] Sic M.V.S. Paris. omn. τούτου τ' vulgo. κἀπὸ τούτου Steph. marg.

[m] Hic et infra c. 5. σφι reposuit Schæfer.

5.

[a] Πέρσαι om. V. et S. in textu.

[b] οὐχ S.F.a.c.

3 λογέουσι Πέρσῃσι [c] οὕτω Φοίνικες. οὐ γὰρ [d] ἁρπαγῇ σφέ-
ας χρησαμένους λέγουσι [e] ἀγαγεῖν αὐτὴν ἐς Αἴγυπτον,
ἀλλ' ὡς ἐν τῷ [f] Ἄργεϊ ἐμίσγετο τῷ ναυκλήρῳ τῆς [g] νηός·
ἐπεὶ δὲ ἔμαθεν ἔγκυος [h] ἐοῦσα, αἰδεομένη τοὺς τοκέας,
οὕτω δὴ ἐθελοντὴν αὐτὴν τοῖσι Φοίνιξι [i] συνεκπλῶσαι, ὡς
4 ἂν μὴ κατάδηλος γένηται. ταῦτα μέν νυν Πέρσαι [k] τε
5 καὶ Φοίνικες λέγουσι. Ἐγὼ δὲ περὶ μὲν τούτων οὐκ ἔρ-
χομαι ἐρέων ὡς οὕτως ἢ ἄλλως κως ταῦτα ἐγένετο· τὸν
δὲ οἶδα αὐτὸς [l] πρῶτον ὑπάρξαντα [m] ἀδίκων ἔργων ἐς τοὺς
Ἕλληνας, τοῦτον σημήνας, προβήσομαι [n] ἐς τὸ πρόσω 4
τοῦ λόγου, ὁμοίως [o] μικρὰ καὶ μεγάλα ἄστεα ἀνθρώ-
6 πων ἐπεξιών. τὰ γὰρ τὸ πάλαι μεγάλα ἦν, τὰ πολλὰ
αὐτῶν σμικρὰ γέγονε· τὰ δὲ ἐπ' ἐμεῦ ἦν μεγάλα, πρό-
7 τερον ἦν σμικρά. τὴν [p] ἀνθρωπηΐην ὦν ἐπιστάμενος εὐδαι-
μονίην [q] οὐδαμὰ ἐν τὠυτῷ μένουσαν, ἐπιμνήσομαι ἀμφο-
τέρων ὁμοίως.

6 Κροῖσος ἦν Λυδὸς [a] μὲν γένος, παῖς δὲ Ἀλυάττεω, τύραννος δὲ ἐθνέων τῶν ἐντὸς Ἅλυος ποταμοῦ· ὃς ῥέων ἀπὸ μεσαμβρίης μεταξὺ Σύρων καὶ Παφλαγόνων, [b] ἐξίει πρὸς

Primus e barbaris Crœsus Lydiæ rex ab a. 560, Græcos Asiaticos tributarios fecit.

[c] οὕτως M. οὕτω alii plerique.
[d] ἁρπαγῆς S.
[e] ἄγειν S.V. Ven. b.d.e. Ald. ἀγαγεῖν F.a.c.
[f] Sic F. Ald. Ἄργει vulgo.
[g] νεός F. c.
[h] οὖσα b.c.e. ἔγγυος S. pr.
[i] συνεκπλεῦσαι C. Ven. b. e. quam verbi formam Herodoto subinde usurpatam v.g. I. 1. IV. 147. 149. notat Schweighæuserus, sed priorem magis frequentatam.
[k] τε om. V.S.b. Ald.
[l] πρῶτον om. e.
[m] ἀδικίης τε καὶ ἀνοσίων ἔργων d.
[n] ἐς τὸ om. P. Ven. C.S.V.d.e. Retinent M.F. Ald. παραβήσομαι Reizius.
[o] σμικρὰ Reizius.
[p] ἀνθρωπίνην V.S. ἀνθρωπείην b. Ald. ἀνθρωπίην d.
[q] οὐδαμοῦ et τῷ αὐτῷ V.S.

6.

[a] μὲν τὸ γένος Ald. d. Priscian. p. 1169. Suid. in Κροῖσος. Sed om. articulum M.S.P. Dionys. Hal. de Comp. c. 4. Maxim. Tyr. XXVIII. p. 339. Schol. Hermogen. p. 385. Prisciani ms. et codd. plures Schweig. Sequentia laudat Ammonius in Τύραννος.
[b] ἐξίησι πρὸς βορέαν Dionysius T.V. p. 26. Reisk. et Schol. Hermog. Max. Tyr. πρὸς βορέην ἐκδιδοῖ. ἐξῄει d. ἐξιεῖ Schæfer. ἐξιέει

2 βορῆν ἄνεμον ἐς τὸν Εὔξεινον καλεόμενον πόντον. Οὗτος
ὁ Κροῖσος, βαρβάρων [c] πρῶτος, τῶν ἡμεῖς ἴδμεν, [d] τοὺς μὲν
κατεστρέψατο [e] Ἑλλήνων ἐς φόρου ἀπαγωγὴν, τοὺς δὲ,
3 φίλους προσεποιήσατο. κατεστρέψατο μὲν Ἴωνάς τε καὶ
Αἰολέας, καὶ Δωριέας τοὺς ἐν τῇ Ἀσίῃ· φίλους δὲ προσ-
4 εποιήσατο Λακεδαιμονίους. [f] πρὸ δὲ τῆς Κροίσου ἀρχῆς
πάντες Ἕλληνες ἦσαν ἐλεύθεροι· τὸ γὰρ Κιμμερίων στρά-
τευμα τὸ ἐπὶ τὴν Ἰωνίην ἀπικόμενον, Κροίσου ἐὸν πρεσ-
βύτερον, οὐ καταστροφὴ ἐγένετο τῶν πολίων, ἀλλ᾽ ἐξ
7 ἐπιδρομῆς ἁρπαγή. Ἡ δὲ ἡγεμονίη οὕτω περιῆλθε, ἐοῦσα
Ἡρακλειδέων, ἐς τὸ γένος [a] τὸ Κροίσου, καλεομένους δὲ
2 Μερμνάδας. Ἦν Κανδαύλης, τὸν [b] οἱ Ἕλληνες [c] Μυρσί-
λον [d] ὀνομάζουσι, τύραννος Σαρδίων, ἀπόγονος δὲ Ἀλ-
3 καίου τοῦ [e] Ἡρακλέος. [f] Ἄγρων μὲν γὰρ ὁ Νίνου, τοῦ
Βήλου, τοῦ Ἀλκαίου, πρῶτος Ἡρακλειδέων βασιλεὺς
4 ἐγένετο Σαρδίων· Κανδαύλης δὲ ὁ Μύρσου, ὕστατος. οἱ
δὲ πρότερον Ἄγρωνος βασιλεύσαντες ταύτης τῆς χώρης,
ἦσαν ἀπόγονοι Λυδοῦ τοῦ Ἄτυος· [g] ἀπ᾽ ὅτευ ὁ δῆμος Λύ-
διος ἐκλήθη [h] ὁ πᾶς οὗτος, πρότερον [i] Μήιων καλεόμενος.
5 παρὰ [k] τούτων Ἡρακλεῖδαι ἐπιτραφθέντες, ἔσχον τὴν

Lydorum primi reges ab Atye oriundi. Secundi, Heraclidæ, ab a. 1221 ad 716. Primus ex Heraclidis Agron; ultimus, Candaules.

malebat Schweighæuser. quem vide ad c. 180.

[c] τῶν ἡ. ἴ. π. c. π. πάντων τ. ἡ. ἴ. d.

[d] τοὺς μὲν om. V.S. sed habet S. in marg.

[e] τῶν Ἑ. e.

[f] Hæc et seq. exscripsit Suidas in Κροῖσος.

7.

[a] τοῦ Κ. c.

[b] οἱ om. e. ubi mox καλουμ. pro καλεομ.

[c] Μυρσίλον S.F.a. Et recte. Media in Μυρσίλος corripitur. Vide Alcæum Athenæi X. p. 430. C. Vulgo Μυρσῖλον.

[d] καλεόυσι S. Ald. Plinius H.N. XXXV. 8. *Candaule rege Lydiæ Heraclidarum novissimo, qui et Myrsilus vocitatus est.* τύραννος δὲ S. sed δὲ punctis notatum.

[e] Ηρακλέους b.d. S. qui mox cum vulg. consentit.

[f] Sic mss. fere omnes. Vulgo Ἄργων—Ἄργωνος cum b.d.e. ὁ Νίνου τοῦ Βήλου τοῦ Αλκαίου om. S.P.V. Ven. b.d.e. Sed habet S. in marg.

[g] Sic Reizius et a. apud Larcher. Vulgo ἀπό τευ cum S.

[h] ὁ om. d.

[i] Sic a.F. m. sec. Reizius. Vulgo Μήων. Μηών F.p.m.

[k] Sic M.F.a.c. τούτων δὲ Ald. P.S. et alii plerique.

ἀρχὴν ἐκ θεοπροπίου, ἐκ δούλης τε τῆς Ἰαρδάνου γεγον-
6 ότες καὶ Ἡρακλέος. [l] ἄρξαντες μὲν ἐπὶ [m] δύο τε καὶ
εἴκοσι γενεὰς ἀνδρῶν, ἔτεα πέντε τε καὶ πεντακόσια,
παῖς παρὰ πατρὸς ἐκδεκόμενος τὴν ἀρχήν, μέχρι Καν-
8 δαύλεω τοῦ Μύρσου. Οὗτος δὴ [a] ὢν ὁ Κανδαύλης ἠράσθη
τῆς ἑωυτοῦ γυναικός· ἐρασθεὶς δὲ, ἐνόμιζέ οἱ εἶναι γυ-
2 ναῖκα πολλὸν πασέων καλλίστην. ὥστε δὲ ταῦτα νομί-
ζων· ἦν γάρ οἱ τῶν αἰχμοφόρων Γύγης ὁ Δασκύλου ἀρε-
σκόμενος μάλιστα· τούτῳ τῷ Γύγῃ καὶ τὰ [b] σπουδαι-
έστερα τῶν πρηγμάτων ὑπερετίθετο ὁ Κανδαύλης, καὶ δὴ
3 καὶ τὸ εἶδος τῆς γυναικὸς ὑπερεπαινέων. χρόνου δὲ οὐ
πολλοῦ διελθόντος, ([c] χρῆν γὰρ [d] Κανδαύλῃ γενέσθαι
κακῶς,) ἔλεγε πρὸς τὸν Γύγην τοιάδε· “ [e] Γύγη, οὐ γάρ
“ σε δοκέω πείθεσθαί μοι λέγοντι περὶ τοῦ εἴδεος τῆς
“ γυναικός· (ὦτα γὰρ τυγχάνει ἀνθρώποισι ἐόντα ἀπι-
“ στότερα ὀφθαλμῶν·) [f] ποίεε ὅκως ἐκείνην θεήσεαι γυμ-
4 “ νήν.” Ὁ δὲ [g] μέγα ἀμβώσας, εἶπε· “ Δέσποτα, τίνα
“ λέγεις λόγον οὐκ ὑγιέα, κελεύων με δέσποιναν τὴν
“ ἐμὴν [h] θεήσασθαι γυμνήν; ἅμα δὲ κιθῶνι ἐκδυομένῳ
5 “ συνεκδύεται καὶ τὴν αἰδῶ γυνή. πάλαι δὲ τὰ καλὰ
“ ἀνθρώποισι ἐξεύρηται, ἐκ τῶν μανθάνειν δεῖ· ἐν τοῖσι ἓν
6 “ τόδε ἐστὶ, [i] σκοπέειν τινὰ τὰ ἑωυτοῦ. ἐγὼ δὲ πείθομαι

Candaules uxoris amore deperiens, impellit Gygem ut eam clam spectet nudam.

[l] Sic M.F.a.c. Vulgo cum S. om. μέν.

[m] τε om. S. b. d. Ald. Mox post πέντε e. om. τε.

8.

[a] οὖν et mox πολλῷ pro πολλὸν S.V.

[b] σπουδαιότερα A.B.R. σπουδεέστερα S. qui mox πραγμάτων.

[c] ἐχρῆν S. Lucian. Asin. 20.

[d] Κανδαύλην S.d. Κανδαύλεα c.

[e] Seqq. Dionys. Halic. π. Συνθ. c. 4. Attica dialecto expressit. ὦτα γὰρ sqq. habent Julian. Ep. 21. Achilles Tatius in Petavii Uran. p. 94. Lucian. de Domo c. 20. neglecto ἀνθρώποισιν. Wess.

[f] ποίει B.S.M.P.F.a.b.c. Mox θεήσηαι S.

[g] μέγα om. M.F.a.c. Sed habet Schol. Hermog. p. 407. cum aliis.

[h] θεάσασθαι V.S. Exscripsit hæc Theo Progymn. p. 64. at male τίνα ἔχεις λόγον. Seqq. ἅμα δὲ κ. citant Plutarch. II. p. 139. Stobæus 32, 8. 74, 36. Wess.

[i] Sic M.R.c. Vulgo σκοπεύειν. τινὰ σκοπεύειν S. Ald.

" ἐκείνην [k] εἶναι πασέων γυναικῶν καλλίστην· καί σεο
9 " δέομαι μὴ δέεσθαι ἀνόμων." Ὁ μὲν δὴ, λέγων τοιαῦ-
τα, ἀπεμάχετο, [a] ἀρρωδέων μή τι οἱ ἐξ αὐτέων γένηται
2 κακόν. Ὁ δὲ [b] ἀμείβετο τοῖσδε· " Θάρσει Γύγη· καὶ
" μὴ φοβεῦ μήτε ἐμὲ, ὥς σεο [c] πειρώμενον λόγον τόν-
" δε· μήτε γυναῖκα τὴν ἐμὴν, μή τι τοι ἐξ αὐτῆς γέ-
3 " νηται [d] βλάβος. ἀρχὴν γὰρ ἐγὼ [e] μηχανήσομαι [f] οὕτω,
4 " ὥστε μηδὲ μαθεῖν μιν ὀφθεῖσαν ὑπὸ σεῦ. ἐγὼ γάρ σε
" ἐς τὸ οἴκημα, ἐν τῷ κοιμώμεθα, ὄπισθε τῆς ἀνοιγο-
" μένης θύρης [g] στήσω· μετὰ δ' ἐμὲ ἐσελθόντα παρ-
5 " έσται καὶ ἡ γυνὴ ἡ ἐμὴ ἐς [h] κοῖτον. κεῖται δὲ ἀγχοῦ
" τῆς ἐσόδου θρόνος· ἐπὶ τοῦτον τῶν ἱματίων κατὰ ἓν ἕκα- 6
" στον ἐκδύνουσα θήσει· καὶ κατ' ἡσυχίην πολλὴν παρ-
6 " έξει τοι [i] θεήσασθαι. [k] ἐπεὰν δὲ ἀπὸ τοῦ θρόνου [l] στείχῃ
" ἐπὶ τὴν εὐνὴν, κατὰ νώτου τε αὐτῆς γένῃ, σοὶ μελέτω τὸ
10 " ἐνθεῦτεν ὅκως [m] μή σε ὄψεται ἰόντα [n] διὰ θυρέων." Ὁ
μὲν δὴ, ὡς οὐκ [a] ἠδύνατο διαφυγέειν, ἦν ἑτοῖμος. ὁ δὲ
Κανδαύλης, ἐπεὶ ἐδόκεε ὥρη τῆς κοίτης εἶναι, ἤγαγε τὸν
[b] Γύγεα ἐς τὸ οἴκημα· καὶ μετὰ ταῦτα αὐτίκα παρῆν
2 καὶ ἡ γυνή. [c] ἐσελθοῦσαν δὲ καὶ τιθεῖσαν τὰ εἵματα

[k] πασέων γυναικῶν εἶναι e. τῶν γυναικῶν S.

9.

[a] τὴν ψυχὴν ἀρρωδέων Etymologus pag. 633, 43. Zonaras pag. 1472. ἀερωδέων S.

[b] Sic A.B.R.M.F.a.c. ἀμείβετο τοιάδε S.V.b.d.e. τοιάδε M. supersc. Vulgo ἀμείβεται τοιάδε. Schæferus τοισίδε pro τοῖσδε constanter.

[c] πειρώμενος λέγω λόγον R.a.c. F. Dionysius. πειρώμενον λόγον absque λέγω b.e.P. vulg. πειρώμενον pr. M. πειρώμενος e corr. πειρώμενον λόγον S. ut vulg. clarissime, non λέγω ut ex eo Wesseling. quod reduxi. Altera lectio glossatorem sapit.

[d] βλάβῃ (supersc. ος) S.

[e] μαχήσομαι F. pr.

[f] οὕτως F.

[g] θήσω Steph. et edd. rec. In altero consentiunt mss.

[h] Sic M.R.a.c.F. κοιτῶνα S.b.d. e. et vulgo. κοίτην mss. apud Gale et Dionys.

[i] θεήσεσθαι e.

[k] ἐπειδὰν c.

[l] στίχῃ M.P.F. Mox κατὰ νῶτα S.

[m] μὴ ἐσόψεται M.F. a p. m. Mox ὄψηται S.

[n] διὰ τῶν θυρέων S.c. Ald.

10.

[a] ἐδύνατο F.a.c.

[b] Γύγην e.

[c] ἐλθοῦσαν d.

[d] ἐθηεῖτο ὁ Γύγης. ὡς δὲ [e] κατὰ νώτου ἐγένετο, ἰούσης τῆς
3 γυναικὸς ἐς τὴν κοίτην, ὑπεκδὺς ἐχώρεε ἔξω. καὶ ἡ γυ-
νὴ [f] ἐπορᾷ μιν ἐξιόντα. μαθοῦσα δὲ τὸ ποιηθὲν ἐκ τοῦ ἀν-
δρὸς, οὔτε [g] ἀνέβωσεν αἰσχυνθεῖσα, οὔτε ἔδοξε [h] μαθέειν,
4 ἐν νόῳ ἔχουσα [i] τίσεσθαι τὸν Κανδαύλεα. [k] παρὰ γὰρ
τοῖσι Λυδοῖσι, σχεδὸν δὲ καὶ παρὰ [l] τοῖσι ἄλλοισι βαρ-
βάροισι, καὶ ἄνδρα ὀφθῆναι γυμνὸν, [m] ἐς αἰσχύνην με-
II γάλην φέρει. Τότε μὲν δὴ οὕτω, οὐδὲν δηλώσασα, ἡσυ-
χίην [a] εἶχε· ὡς δὲ ἡμέρη τάχιστα [b] ἐγεγόνεε, τῶν οἰκε-
τέων τοὺς μάλιστα [c] ὥρα πιστοὺς ἐόντας ἑωυτῇ, ἑτοίμους
2 ποιησαμένη, ἐκάλεε τὸν Γύγεα. Ὁ δὲ, οὐδὲν δοκέων αὐ-
τὴν τῶν πρηχθέντων ἐπίστασθαι, ἦλθε καλεόμενος· [d] ἐώ-
θεε γὰρ καὶ πρόσθε, ὅκως ἡ βασίλεια [e] καλέοι, φοιτᾶν.
3 ὡς δὲ ὁ Γύγης [f] ἀπίκετο, ἔλεγε ἡ γυνὴ τάδε· "[g] Νῦν
" τοι δυοῖν ὁδοῖν παρεουσέων, Γύγη, δίδωμι αἵρεσιν, [h] ὁκο-
" τέρην βούλεαι τραπέσθαι· ἢ γὰρ Κανδαύλεα ἀποκτεί-
" νας, ἐμέ τε καὶ τὴν [i] βασιληΐην ἔχε τὴν Λυδῶν, ἢ αὐτὸν
" σὲ αὐτίκα οὕτω ἀποθνήσκειν δεῖ· ὡς ἂν μὴ, πάντα
" πειθόμενος Κανδαύλῃ, τοῦ λοιποῦ ἴδῃς τὰ μή σε δεῖ.
4 " ἀλλ' ἤτοι κεῖνόν γε τὸν ταῦτα [k] βουλεύσαντα δεῖ ἀπόλ-
" λυσθαι, ἢ σὲ, τὸν ἐμὲ γυμνὴν [l] θηησάμενον, καὶ ποιή-

Reginæ jussu Gyges Candaulem interficit, et ea uxore ducta, imperium ad Mermnadas transfert.

[d] Sic M.a.F. pr. ἐθηῆτο S. Vulg. ἐθηέετο Schæfer cf. IV. 85. VII. 56.
[e] κατὰ νῶτα S.
[f] R.M.F.a.c. ὁρᾷ vulgo et S.b. d.e.
[g] ἀνεβόησεν S.V.
[h] Sic Ald. μαθεῖν S.M.F.a.b.c. d.
[i] τίσασθαι Ald. d.e. Reliqui τίσεσθαι. cf. Horrei Obs. c. 4.
[k] παρὰ μὲν γὰρ e.
[l] πᾶσιν S.V. paulo ante δὲ om. S.
[m] Sic M.R.a.c.F. Al. om. ἐς cum S.

II.
[a] ἦγε A.R.c.
[b] γεγόνεε B.a.c. Schæfer.
[c] Sic M.F.e. ἑώρα P.S. Ald. b. d. ὥρα a.c. ὥρεε Schæfer.
[d] ἔωθε S. ἐώθει c.
[e] καλέῃ e.
[f] ἀπίετο S. pr. m.
[g] νῦν τοῖν S.V.
[h] ὁκοτέραν b.
[i] βασιλείην S. et mox οὕτως, et εἴδῃς.
[k] Sic M.R.F.a.c. Alii βουλευσάμενον cum S.
[l] θεησάμενον a.c.d.

5 “ σαντα οὐ νομιζόμενα.” Ὁ δὲ Γύγης τέως μὲν [m] ἀπε-
θώυμαζε τὰ λεγόμενα· μετὰ δὲ, ἱκέτευε μή μιν ἀνα-
6 γκαίῃ ἐνδεῖν διακρῖναι τοιαύτην αἵρεσιν. οὔκων δὴ ἔπειθε,
ἀλλ᾽ [n] ὥρα ἀναγκαίην ἀληθέως προκειμένην, ἢ τὸν δε- 7
σπότεα [o] ἀπολλύναι, ἢ αὐτὸν ὑπ᾽ ἄλλων ἀπόλλυσθαι.
7 αἱρέεται αὐτὸς περιεῖναι. [p] ἐπειρώτα δὴ λέγων τάδε·
“ Ἐπεί με ἀναγκάζεις δεσπότεα τὸν ἐμὸν [q] κτείνειν, οὐκ
“ ἐθέλοντα, φέρε ἀκούσω τέῳ καὶ τρόπῳ [r] ἐπιχειρήσομεν
8 “ [s] αὐτῷ.” Ἡ δὲ ὑπολαβοῦσα ἔφη· “ Ἐκ τοῦ αὐτοῦ μὲν
“ χωρίου ἡ ὁρμὴ ἔσται, ὅθεν περ καὶ ἐκεῖνος ἐμὲ [t] ἐπε-
“ δέξατο γυμνήν· ὑπνωμένῳ δὲ ἡ ἐπιχείρησις ἔσται.”
12 Ὡς δὲ ἤρτυσαν τὴν ἐπιβουλὴν, νυκτὸς [a] γινομένης, (οὐ
γὰρ [b] μετίετο ὁ Γύγης, οὐδέ οἱ ἦν ἀπαλλαγὴ [c] οὐδεμία,
ἀλλὰ ἔδεε ἢ αὐτὸν ἀπολωλέναι, ἢ Κανδαύλεα,) εἵπετο
2 ἐς τὸν θάλαμον τῇ γυναικί. καί μιν ἐκείνη, ἐγχειρίδιον
3 δοῦσα, κατακρύπτει [d] ὑπὸ τὴν αὐτὴν θύρην. καὶ μετὰ
ταῦτα, ἀναπαυομένου Κανδαύλεω, ὑπεισδύς τε καὶ ἀπο-
κτείνας αὐτὸν, ἔσχε καὶ τὴν γυναῖκα καὶ τὴν βασιληΐην
Γύγης· τοῦ καὶ Ἀρχίλοχος ὁ [e] Πάριος, κατὰ τὸν αὐτὸν
13 χρόνον γενόμενος, ἐν ἰάμβῳ τριμέτρῳ [f] ἐπεμνήσθη. Ἔσχε
δὲ τὴν βασιληΐην, καὶ ἐκρατύνθη, ἐκ τοῦ ἐν Δελφοῖσι χρη-
2 στηρίου. ὡς γὰρ δὴ οἱ Λυδοὶ δεινὸν ἐποιεῦντο τὸ Κανδαύ-

[m] ἀπεθώμαζε M.F. pr.

[n] Sic M.F. ἑώρα S.b.d.e. Ald. ὅρα a.c. ἀλλ᾽ ὡς ὥρα Reiskius. Plene post ἀπολλύσθαι interpunxit Schweighæuser.

[o] ἀποκτεῖναι e. Ald.

[p] Sic M.A.B.c. Reliqui ἐπηρώτα.

[q] ἀποκτείνειν S.

[r] Ita mss. plerique. ἐπιχειρίσωμεν Ald. e.

[s] αὐτὸ S.

[t] ὑπεδέξατο Ald. b.d.e.

12.

[a] γενομένης S.F.c. Paulo ante ἤρτησαν S.

[b] ἐμετίετο M. Obscurior est vetus scriptura in F.

[c] οὐδεμία S.F.a.b.c. Et sic F. constanter. Edd. οὐδεμίη.

[d] ἐπὶ S. qui habet ὑπὸ in marg. Mox ἔχε S.

[e] Πάριος—ἐπεμνήσθη om. Ven.

[f] ὑπεμνήσθη e.

λεω πάθος, καὶ [a] ἐν ὅπλοισι ἦσαν, συνέβησαν ἐς τὠυτὸ οἵ
τε τοῦ Γύγεω [b] στασιῶται καὶ οἱ λοιποὶ Λυδοὶ, ἢν μὲν
[c] δὴ τὸ χρηστήριον ἀνέλῃ μιν βασιλέα εἶναι [d] Λυδῶν, [e] τόνδε
βασιλεύειν· ἢν δὲ μὴ, ἀποδοῦναι ὀπίσω ἐς Ἡρακλείδας
3 τὴν ἀρχήν. ἀνεῖλέ τε δὴ τὸ χρηστήριον, καὶ ἐβασίλευσεν
4 οὕτω Γύγης. τοσόνδε μέντοι εἶπε ἡ Πυθίη, ὡς Ἡρακλεί-
5 δῃσι τίσις ἥξει ἐς τὸν πέμπτον ἀπόγονον Γύγεω. τούτου
τοῦ ἔπεος Λυδοί τε καὶ οἱ βασιλέες αὐτῶν λόγον οὐδένα
ἐποιεῦντο, πρὶν δὴ ἐπετελέσθη.

14 Τὴν μὲν δὴ τυραννίδα οὕτω ἔσχον οἱ Μερμνάδαι, τοὺς
2 Ἡρακλείδας ἀπελόμενοι. Γύγης δὲ τυραννεύσας ἀπέ-
3 πεμψε ἀναθήματα ἐς Δελφοὺς οὐκ ὀλίγα. ἀλλ' ὅσα
μὲν ἀργύρου ἀναθήματα ἔστι οἱ πλεῖστα ἐν Δελφοῖσι·
πάρεξ δὲ τοῦ ἀργύρου, χρυσὸν ἄπλετον ἀνέθηκεν, ἄλλον
τε, καὶ, τοῦ [a] μάλιστα μνήμην ἄξιον ἔχειν ἐστὶ, κρητῆρές
4 οἱ ἀριθμὸν ἓξ χρύσεοι ἀνακέαται. ἑστᾶσι δὲ οὗτοι [b] ἐν τῷ
Κορινθίων θησαυρῷ, σταθμὸν ἔχοντες τριήκοντα τάλαντα·
ἀληθεϊ δὲ λόγῳ χρεωμένῳ, οὐ Κορινθίων τοῦ [c] δημοσίου
5 ἐστὶν ὁ θησαυρὸς, ἀλλὰ [d] Κυψέλου τοῦ Ἠετίωνος. [e] Οὗ-
τος δὲ ὁ Γύγης, πρῶτος βαρβάρων τῶν ἡμεῖς ἴδμεν, ἐς
Δελφοὺς ἀνέθηκε ἀναθήματα, [f] μετὰ Μίδην τὸν Γορδίεω,
6 [g] Φρυγίης βασιλέα. ἀνέθηκε γὰρ [h] δὴ καὶ Μίδης τὸν βα-
σιλήϊον θρόνον, [i] ἐς [k] τὸν προκατίζων ἐδίκαζε, ἐόντα ἀξιο-

Quæ ille, et ante eum quis barbarorum primus donaria Delphos miserit. Infert Mileto et Smyrnæ arma, et Colophonem capit. Regnat Gyges ab a. 716 ad 678.
8

13.

[a] Sic M.R.F.a.c. Reliqui ἔνοπλοι cum S. Mox οἵτε om. S.

[b] Sic M.F.a.c. στρατιῶται S. et alii cum Aldo.

[c] δὴ om. M. et F.p.m.

[d] Sic M.S.F.a.b.c.d. Vulgo τῶν Λυδῶν.

[e] τὸν δὲ F.

14.

[a] πλεῖστον μάλιστα b. Supra οὕτως S.

[b] οὐκ ἐν τῷ Κορ. S. e corr. qui supra ἀνακέανται. Seqq. usque ad Κορινθίων om. V. Habet S. in marg.

[c] Sic M.R.F.a.c. δήμου S.P. et alii.

[d] Κυψέλλου b.c.

[e] Sic M.R.F.a.c. οὕτω δὲ S.b.d. e.F. e corr. οὕτω δὴ Ald.

[f] μετὰ δὲ S.V. Tum Μίδαν τοῦ S. qui postea Μίδας.

[g] τὸν Φρυ. S.b. Mox βασιλέα S. F.a.b.c.

[h] δὴ om. S.b.e. Ald.

[i] Citat Priscianus XVIII. p. 1174. et 1178.

[k] ὃν e.

θέητον. κεῖται δὲ ὁ θρόνος οὗτος ἔνθα περ οἱ τοῦ Γύγεω
7 κρητῆρες. ὁ δὲ χρυσὸς οὗτος καὶ ὁ ἄργυρος, τὸν ὁ Γύγης ἀνέθηκε, ὑπὸ Δελφῶν καλέεται Γυγάδας ἐπὶ τοῦ [l] ἀνα-
8 θέντος [m] ἐπωνυμίην. Ἐσέβαλε μέν νυν [n] στρατιὴν καὶ οὗτος, ἐπεί τε ἦρξε, ἔς τε Μίλητον καὶ ἐς Σμύρνην, καὶ
9 Κολοφῶνος τὸ ἄστυ εἷλε. ἀλλ', οὐδὲν [o] γὰρ μέγα ἔργον ἀπ' αὐτοῦ ἄλλο ἐγένετο βασιλεύσαντος δυῶν δέοντα [p] τεσσεράκοντα ἔτεα, τοῦτον μὲν παρήσομεν, τοσαῦτα ἐπιμνησθέντες.

15 Ἄρδυος δὲ τοῦ Γύγεω μετὰ Γύγην βασιλεύσαν-
2 τος μνήμην ποιήσομαι. οὗτος δὲ Πριηνέας τε εἷλε, ἐς Μίλητόν τε ἐσέβαλε. ἐπὶ [a] τούτου τε τυραννεύοντος Σαρδίων, Κιμμέριοι ἐξ ἠθέων ὑπὸ Σκυθέων τῶν Νομάδων ἐξαναστάντες, [b] ἀπικέατο ἐς τὴν Ἀσίην, καὶ [c] Σάρδις [d] πλὴν τῆς ἀκροπόλιος εἷλον.

Ardys ab a. 678 ad 629. Hic Prienas expugnat, et Miletum invadit. Ultimis regni ejus annis Cimmerii, a Scythis pulsi ex Europa, [1, 103. 4, 10. seq.] Sardes ceperunt.

16 Ἄρδυος δὲ βασιλεύσαντος ἑνὸς δέοντα πεντήκοντα ἔτεα, ἐξεδέξατο Σαδυάττης ὁ [a] Ἄρδυος, καὶ ἐβασίλευσεν ἔτεα
2 δυώδεκα· Σαδυάττεω δὲ, Ἀλυάττης. Οὗτος [b] δὲ Κυαξάρῃ τε τῷ Δηϊόκεω ἀπογόνῳ ἐπολέμησε, καὶ Μήδοισι· Κιμμερίους τε ἐκ τῆς Ἀσίης [c] ἐξήλασε· Σμύρνην τε τὴν [d] ἀπὸ Κολοφῶνος κτισθεῖσαν εἷλε, ἐς [e] Κλαζομενάς τε
3 ἐσέβαλε. ἀπὸ μέν νυν τούτων οὐκ ὡς ἤθελε ἀπήλλαξε,
4 ἀλλὰ προσπταίσας μεγάλως. ἄλλα [f] δὲ ἔργα ἀπεδέ-

Sadyattes ab a. 629 ad 617. Alyattes, qui ei successit, bellum adversus Milesios ab eo

[l] ἀναθήματος d.
[m] Sic M.S.V. Ven. F.a.b.d. ἐπωνυμίῃ Ald.
[n] Sic Suidas in Γύγης, M. et plerique alii. καὶ οὗτος στρατιὴν S. alii. οὗτος στρατιὴν sine καὶ P.
[o] γὰρ om. Suid. δυοῖν Suid. S.
[p] τεσσαράκοντα S.A.F. Ald. οὐδὲν γὰρ μέγα ἀπ' αὐτοῦ ἄλλο ἔργον F.

15.
[a] τούτου δὲ a.
[b] Sic Ald. M.R.F.a.c. ἀπίκοντο Suid. S.V.b.d.e.
[c] Σάρδεις S.a.c.d.
[d] πρὶν C.V. Ven. et forte S. pr.

16.
[a] τὴν ἀρχὴν addit Suid. in edd. scil. nam mss. om. mox ἔτη S.
[b] δὲ om. c.
[c] ἐξέλασε c.
[d] Sic M.S. Ven. F. Suid. Alii ὑπὸ K.
[e] Κλαζομενάς τ' ἐσέβαλε, ἀντὶ τοῦ εἰς Κλαζομενάς, Suidas, qui tamen præpositionem agnoscit v. Γύγης. Sed nota ἀντὶ τοῦ ἐ. K. mss. omittere.
[f] δὲ om. F. pr. commate post μεγάλως posito.

17 ξατο ἐὼν ἐν τῇ ἀρχῇ ἀξιαπηγητότατα τάδε. Ἐπολέμησε
Μιλησίοισι, παραδεξάμενος τὸν πόλεμον παρὰ τοῦ πα-
2 τρός. ἐπελαύνων γὰρ [a] ἐπολιόρκεε τὴν Μίλητον τρόπῳ
τοιῷδε· ὅκως μὲν εἴη ἐν τῇ γῇ καρπὸς ἁδρὸς, τηνικαῦτα
3 [b] ἐσέβαλλε τὴν στρατιήν. ἐστρατεύετο δὲ ὑπὸ συρίγγων
τε καὶ πηκτίδων, καὶ [c] αὐλοῦ [d] γυναικηΐου τε καὶ ἀν-
4 δρηΐου. ὡς δὲ ἐς τὴν Μιλησίην ἀπίκοιτο, οἰκήματα μὲν
τὰ ἐπὶ τῶν ἀγρῶν οὔτε κατέβαλλε, οὔτε ἐνεπίμπρη, οὔτε
θύρας [e] ἀπέσπα, ἔα δὲ κατὰ χώρην [f] ἑστάμεναι· ὁ δὲ τά
τε δένδρεα [g] καὶ τὸν καρπὸν τὸν ἐν τῇ γῇ ὅκως [h] διαφθεί-
5 ρειε [i] ἀπαλλάσσετο ὀπίσω. τῆς γὰρ θαλάσσης οἱ Μι-
λήσιοι ἐπεκράτεον, ὥστε [k] ἐπέδρης μὴ εἶναι [l] ἔργον τῇ
6 στρατιῇ. τὰς δὲ οἰκίας οὐ [m] κατέβαλλε ὁ Λυδὸς τῶνδε
εἵνεκα, ὅκως ἔχοιεν ἐνθεῦτεν [n] ὁρμεώμενοι τὴν γῆν σπείρειν
τε καὶ ἐργάζεσθαι οἱ Μιλήσιοι, αὐτὸς δὲ, ἐκείνων ἐργαζο-
18 μένων, ἔχοι τι καὶ σίνεσθαι [o] ἐσβάλλων. Ταῦτα ποιέων,
ἐπολέμεε ἔτεα ἕνδεκα· ἐν τοῖσι τρώματα μεγάλα δι-
φάσια Μιλησίων ἐγένετο, [a] ἔν τε Λιμενηΐῳ χώρης τῆς
2 σφετέρης μαχεσαμένων, καὶ ἐν Μαιάνδρου πεδίῳ. τὰ

motum et sex annos gestum, continuat post ejus mortem annos quinque. Idem cum Cyaxare Medo bellum gessit

9 [1, 74.] Cimmerios ex Asia expulit: Smyrnam cepit, et Clazomenas invasit.

17.

a Sic M.F. Suid. Alii cum S. ἐπολιόρκησε.

b ἐσέβαλε S.b.d.e. Ald. Infra S. κατέβαλε.

c αὐλῶν Athen. p. 517. et 627. Priscian. p. 1211.

d Ita F.a.c. Suid. Vulgo cum S. γυναικείου. Mox ἀνδρείου S.

e Sic R.M. Eton. F.a.c. κατέσπα P.S. Ald. al.

f Sic S.B.V. Ven. P.F.a.d.e. Ald. ἑστάναι M. Suid. ἑσταμένας R.c.

g καὶ τὸν—τῇ γῇ om. S. in textu, qui supra om. τε. τὸν post καρπὸν om. b.d.e.

h διαφθείροιεν d.

i ἀπαλλάσσαιτο S.V. ἀπαλλάσσεται F.

k Sic Suid. ἐπέδρης F. pr. Vulgo ἐπ' ἕδρης cum S.

l ἔργα S. pr. m.

m κατέβαλεν S.F.c.d.e. Ald.

n Sic Ald. R.V.F. pr. Alii ὁρμώμενοι cum S.

o ἐσβαλὼν S.

18.

a ἔν τε ἐν Λ. M.F. pr. Suidæ mss. in Γύγης. Quod ex prisco scribendi usu idem ac ἐλλιμενηΐῳ valere putat Schweighæuserus, post Reiskium Animadv. III. p. 82, ut Ἐλλιμενήϊον intelligatur fuisse loci nomen, ubi pugnata illa pugna est. Vide etiam Suidam in Τρώματα et Διφάσια.

μέν νυν ἓξ ἔτεα τῶν ἕνδεκα Σαδυάττης ὁ Ἄρδυος ἔτι Λυ-
δῶν ἦρχε, ὁ καὶ [b] ἐσβάλλων τηνικαῦτα ἐς τὴν Μιλησίην
τὴν στρατιήν· ([c] Σαδυάττης γὰρ οὗτος καὶ ὁ τὸν πόλε-
μον ἦν συνάψας·) τὰ δὲ πέντε τῶν ἐτέων τὰ ἑπόμενα
τοῖσι ἓξ Ἀλυάττης ὁ Σαδυάττεω ἐπολέμεε, ὃς παραδε-
ξάμενος (ὡς καὶ πρότερόν μοι δεδήλωται) παρὰ τοῦ
3 πατρὸς τὸν πόλεμον, προσεῖχε ἐντεταμένως. τοῖσι δὲ
Μιλησίοισι [d] οὐδαμοὶ Ἰώνων τὸν πόλεμον τοῦτον [e] συνεπε-
4 λάφρυνον, ὅτι μὴ Χῖοι μοῦνοι. οὗτοι [f] δὲ τὸ [g] ὁμοῖον ἀντ-
αποδιδόντες ἐτιμώρεον· καὶ γὰρ δὴ πρότερον οἱ Μιλή-
σιοι τοῖσι Χίοισι τὸν πρὸς Ἐρυθραίους πόλεμον [h] συνδιή-
19 νεικαν. Τῷ δὲ δυωδεκάτῳ ἔτεϊ ληΐου ἐμπιπραμένου ὑπὸ
τῆς στρατιῆς, [a] συνηνείχθη τι τοιόνδε γενέσθαι πρῆγμα·
ὡς ἄφθη τάχιστα τὸ λήϊον ἀνέμῳ βιώμενον, ἅψατο νηοῦ
2 Ἀθηναίης, ἐπίκλησιν [b] Ἀσσησίης. [c] ἁφθεὶς δὲ ὁ [d] νηὸς,
3 κατεκαύθη. καὶ [e] τὸ παραυτίκα μὲν λόγος οὐδεὶς ἐγέ-
νετο· μετὰ δὲ, τῆς στρατιῆς ἀπικομένης ἐς [f] Σάρδις,
4 ἐνόσησε ὁ Ἀλυάττης. μακροτέρης δέ οἱ γενομένης τῆς
[g] νούσου, πέμπει ἐς Δελφοὺς θεοπρόπους, εἴτε δὴ συμ-
βουλεύσαντός τευ, εἴτε καὶ αὐτῷ ἔδοξε [h] πέμψαντα τὸν

Ejus morbus anno belli Milesiaci duodecimo, et Pythiæ responsum.

[b] Sic F.a.c. Vulgo cum S. ἐσβαλών.

[c] Σαδυάττης οὗτος γὰρ M. Ven. F.a.c. γὰρ οὗτος alii. γὰρ om. S. Plenius post Σαδυάττης mss. F. a.c. interpungere notat Schweighæuserus, unde ei nata suspicio nomen Σαδυάττης temere irrepsisse.

[d] οὐδαμῆ S.d.

[e] συναπελάφρυνον Ald. C.P.e.

[f] δὲ καὶ τὸ S.V.

[g] Sic F.a.c. Vulgo ὅμοιον.

[h] συνδιένειμαν S.V.

19.

[a] συνείχθη V. συνήχθη S. συνηνέχθη F. (συνέβη)

[b] Ασισίης b.d.e. Ald. Polyæn. Ασίης F. pr.

[c] ἀφεὶς F. pr.

[d] νεὼς F.h.l. qui infra νηοῦ et νηόν.

[e] τὸ παραυτίκα disjunctim S.F. et al. Vulgo τοπαραυτίκα.

[f] mss. quidam Σάρδεις. Hanc varietatem in posterum prætermittam.

[g] νόσου F.a.c.e. et infra.

[h] πέμψαντα R.A. et plures apud Schweighæuser. Priscian. XVIII. p. 1174. πέμψαντα (τι) M. πέμψαντι S.d. edd. vett. Priscianus Aldi.

5 θεὸν ἐπείρεσθαι περὶ τῆς νούσου. τοῖσι δὲ ἡ Πυθίη ἀπι-
κομένοισι ἐς Δελφοὺς οὐκ ἔφη χρήσειν, πρὶν ἢ τὸν νηὸν
τῆς Ἀθηναίης [i] ἀνορθώσωσι, τὸν ἐνέπρησαν χώρης τῆς Μι-
20 λησίης ἐν Ἀσσησῷ. Δελφῶν οἶδα ἐγὼ οὕτω ἀκούσας
2 γενέσθαι. Μιλήσιοι δὲ τάδε [a] προστιθεῖσι τούτοισι· Πε-
ρίανδρον [b] τὸν Κυψέλου, ἐόντα Θρασυβούλῳ τῷ τότε Μι-
λήτου τυραννεύοντι ξεῖνον ἐς τὰ μάλιστα, [c] πυθόμενον τὸ
χρηστήριον τὸ τῷ Ἀλυάττῃ γενόμενον, πέμψαντα ἄγγε-
λον κατειπεῖν, ὅκως ἄν τι προειδὼς πρὸς τὸ [d] παρεὸν
3 βουλεύηται. Μιλήσιοι μέν νυν οὕτω λέγουσι γενέσθαι.
21 Ἀλυάττης δὲ, ὥς οἱ ταῦτα [a] ἐξαγγέλθη, αὐτίκα ἔπεμπε
[b] κήρυκα ἐς Μίλητον, βουλόμενος σπονδὰς ποιήσασθαι
Θρασυβούλῳ τε καὶ Μιλησίοισι [c] χρόνον ὅσον ἂν τὸν νηὸν
2 οἰκοδομῇ. ὁ μὲν δὴ ἀπόστολος ἐς τὴν Μίλητον ἦν· Θρα-
σύβουλος δὲ σαφέως [d] προπεπυσμένος πάντα λόγον, καὶ
εἰδὼς τὰ Ἀλυάττης [e] μέλλοι ποιήσειν, μηχανᾶται [f] τοι-
3 άδε. ὅσος ἦν ἐν τῷ ἄστεϊ σῖτος καὶ ἑωυτοῦ καὶ ἰδιωτικὸς,
τοῦτον [g] πάντα συγκομίσας ἐς τὴν ἀγορὴν, προεῖπε Μιλη- 1
σίοισι, ἐπεὰν αὐτὸς σημήνῃ, τότε πίνειν τε πάντας καὶ
22 κώμῳ [h] χρέεσθαι ἐς ἀλλήλους. Ταῦτα δὲ ἐποίεέ τε καὶ

Thrasybulus a Peri- 10 andro monitus, caduceatorem ab Alyatte missum quum decepisset, objecta ei specie rerum apud se affluentium, pacem impetravit.

[i] Sic M.R.A.F.a.c. ἀνορθώσουσι Ald. S.b.d.e.

20.

[a] Malles προστιθέασι. Schw.

[b] τὸν τοῦ Κυψέλλου S. τὸν Κυψέλλου b.d.e.

[c] πευθόμενον Ven. b. πειθόμενον d.

[d] Sic M.R.F.a.c. Vulgo cum S. παρόν. Mox S. βούληται (ευ superscr.).

21.

[a] Sic F.a.c. Vulgo cum S. ἐξηγγέλθη.

[b] Sic quinque mss. teste Schw. κήρυκα (ς superscr.) M. Vulgo cum S. κήρυκας. Mox βουλόμενον S.

[c] ὅσον ἂν χρόνον c.

[d] Sic M.F.a.b.c. Alii προπεπευσμένος cum S.

[e] Sic M.S.F. mss. Par. Alii μέλλει.

[f] Sic R.M. duo Paris. τοιόνδε S.b.d.e. edd. vett.

[g] Sic M.R.F.a.c. ἅπαντα συναγαγὼν S.P. Ald. alii.

[h] Sic R.F.a.c. Vulgo cum S. χρῆσθαι.

[a] προαγόρευε Θρασύβουλος τῶνδε [b] εἵνεκεν, ὅκως ἂν δὴ ὁ
κήρυξ ὁ [c] Σαρδιηνὸς, ἰδών τε σωρὸν μέγαν σίτου κεχυ-
μένον, καὶ τοὺς ἀνθρώπους ἐν εὐπαθείῃσι ἐόντας, ἀγγείλῃ
2 Ἀλυάττῃ. τὰ δὴ καὶ ἐγένετο. ὡς γὰρ δὴ ἰδών τε ἐκεῖνα
ὁ κήρυξ, καὶ [d] εἴπας πρὸς Θρασύβουλον τὰς ἐντολὰς [e] τοῦ
Λυδοῦ, [f] ἀπῆλθε ἐς τὰς Σάρδις, ὡς ἐγὼ πυνθάνομαι, δι'
3 οὐδὲν ἄλλο ἐγένετο ἡ διαλλαγή. [g] ἐλπίζων γὰρ ὁ Ἀλυ-
άττης [h] σιτοδηΐην τε εἶναι ἰσχυρὴν ἐν τῇ Μιλήτῳ, καὶ τὸν
[i] λεὼν [k] τετρῦσθαι ἐς τὸ ἔσχατον κακοῦ, ἤκουε τοῦ κή-
ρυκος νοστήσαντος ἐκ τῆς Μιλήτου τοὺς ἐναντίους λόγους
4 ἢ ὡς αὐτὸς [l] κατεδόκεε. μετὰ δὲ, ἥ τε διαλλαγή σφι
ἐγένετο, ἐπ' ᾧ τε ξείνους ἀλλήλοισι εἶναι καὶ ξυμμάχους.
5 καὶ δύο τε ἀντὶ ἑνὸς νηοὺς τῇ Ἀθηναίῃ ᾠκοδόμησε ὁ Ἀλυ-
άττης ἐν τῇ Ἀσσησῷ, αὐτός τε ἐκ τῆς νούσου ἀνέστη.
[m] κατὰ μὲν τὸν πρὸς Μιλησίους τε καὶ Θρασύβουλον
πόλεμον [n] Ἀλυάττῃ ὧδε ἔσχε.

23 Arion dithyrambi auctor, delphino Tænaron vectus.

Περίανδρος δὲ ἦν [a] Κυψέλου παῖς, οὗτος ὁ τῷ Θρασυ-
βούλῳ τὸ χρηστήριον μηνύσας. ἐτυράννευε δὲ ὁ Περίανδρος
2 Κορίνθου. τῷ δὴ λέγουσι Κορίνθιοι ([b] ὁμολογέουσι δέ σφι
Λέσβιοι) ἐν τῷ βίῳ [c] θῶυμα μέγιστον παραστῆναι· Ἀρίονα

22.

[a] Sic F.a. προσαγόρευε S. προσηγόρευε Ven. b.d. προηγόρευε vulgo.

[b] Sic M.F.a.c. Vulgo εἵνεκα cum S.

[c] Sic M.R.F.a.c. cf. cc. 79. 83. Inscript. Pocock. pag. 85. Σαρδύϊος S. Σαρδήϊος P.b.d.e. vulgo. Mox σίτου μέγαν S.

[d] Sic M.F.a.c. εἰπὼν S.b.d.e. et alii. εἴπασπὼν V. cf. Gregor. dial. Ion. 72.

[e] τοῦ Λυδοῦ τὰς ἐντολὰς S.F.

[f] ὑπῆλθεν P.S.V. Ven. b.d.

[g] v. Priscian. XVIII. p. 1179.

[h] σιτοδείην F.a.c. σιτοδίην b.d. Mox ἐν τῇ Μιλ. ἰσχ. S.

[i] νεὼν pr. F. sed λεὼν corr. et supras. λαόν.

[k] τετρῆσθαι V.S.b.d.e. Ald. et Priscianus Aldi. τετρύσθαι F.a.c.

[l] ἐδόκεε F.a.c.

[m] Sic S.F.a. cf. infr. 70. et 92. καὶ τὰ μὲν κατὰ τὸν πρὸς vulgo. καὶ τὰ pro κατὰ c.

[n] Ἀλυάττης S.

23.

[a] Κυψέλλου b.d.e.

[b] ὁμολογέουσί τε c.

[c] Sic mss. meliores, non θώϋ-

τὸν Μηθυμναῖον ἐπὶ δελφῖνος ἐξενειχθέντα ἐπὶ Ταίναρον,
ἐόντα κιθαρῳδὸν τῶν τότε ἐόντων οὐδενὸς δεύτερον· καὶ δι-
θύραμβον, πρῶτον ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν, ποιήσαντά 11
24 τε καὶ ὀνομάσαντα καὶ [d] διδάξαντα ἐν Κορίνθῳ. Τοῦτον
τὸν [a] Ἀρίονα λέγουσι, [b] τὸν πολλὸν τοῦ χρόνου διατρίβοντα
[c] παρὰ Περιάνδρῳ, ἐπιθυμῆσαι πλῶσαι ἐς Ἰταλίην τε
καὶ Σικελίην· ἐργασάμενον δὲ χρήματα μεγάλα, θελῆ-
2 σαι ὀπίσω ἐς Κόρινθον ἀπικέσθαι. ὁρμᾶσθαι μέν νυν ἐκ
Τάραντος, πιστεύοντα δὲ οὐδαμοῖσι μᾶλλον ἢ Κορινθίοισι,
3 μισθώσασθαι πλοῖον ἀνδρῶν Κορινθίων. τοὺς δὲ ἐν τῷ πε-
λάγει ἐπιβουλεύειν, τὸν Ἀρίονα ἐκβαλόντας, ἔχειν τὰ
4 χρήματα. τὸν δὲ, συνέντα τοῦτο, λίσσεσθαι, χρήματα
5 [d] μέν σφι προϊέντα, ψυχὴν δὲ παραιτεόμενον. οὔκων δὴ
πείθειν αὐτὸν τούτοισι· ἀλλὰ κελεύειν τοὺς πορθμέας ἢ
αὐτὸν διαχρᾶσθαί μιν, ὡς ἂν [e] ταφῆς ἐν γῇ τύχῃ, ἢ ἐκ-
6 πηδᾶν ἐς τὴν θάλασσαν τὴν ταχίστην. ἀπειληθέντα δὲ
τὸν Ἀρίονα ἐς ἀπορίην, παραιτήσασθαι, ἐπειδή σφι οὕτω
[f] δοκέοι, [g] περιϊδέειν αὐτὸν ἐν τῇ [h] σκευῇ πάσῃ στάντα ἐν
τοῖσι [i] ἑδωλίοισι, ἀεῖσαι· ἀείσας δὲ, ὑπεδέκετο ἑωυτὸν
7 [k] κατεργάσασθαι. καὶ τοῖσι ἐσελθεῖν γὰρ ἡδονὴν, εἰ μέλ-
λοιεν ἀκούσεσθαι τοῦ ἀρίστου ἀνθρώπων ἀοιδοῦ, ἀναχω-
8 ρῆσαι ἐκ τῆς πρύμνης ἐς μέσην νέα. τὸν δὲ, ἐνδύντα τε
πᾶσαν τὴν σκευὴν, καὶ λαβόντα τὴν κιθάρην, στάντα ἐν

μα. $\overset{\text{υ}}{\text{θῶμα}}$ F. θωῦμα S. qui mox ἐξενεχθέντα.

[d] δείξαντα e.

24.

[a] Ἀρίωνα d.

[b] τὸ πολλὸν P.

[c] σὺν Περ. S.

[d] Sic F.a. et fere c. ubi σφιν. Vulgo μὲν προϊέντα σφι.

[e] ταφεὶς V. et S. credo pr. ἐν γῇ om. e. τύχοι d.

[f] δοκέει e. Supra $\overset{\text{φ}}{\text{ἀπειληθέντα}}$ S.

[g] περιϊδέειν e. edd. περιιδεῖν S.F. a.b.c.d. Mox αὐτὸν om. e.

[h] σανῇ c.

[i] ἑδώλοισι M. $\overset{\text{λίοι}}{\text{ἑδώλοισι}}$ F. Vulg. habent Suidas et Harpocrat. in Ἑδωλιᾶσαι.

[k] κατεργάσεσθαι a.c.

τοῖσι ἑδωλίοισι, διεξελθεῖν νόμον τὸν [1] ὄρθιον· τελευτῶντος δὲ τοῦ νόμου, ῥῖψαι μιν ἐς τὴν θάλασσαν ἑωυτὸν, ὡς
9 εἶχε, σὺν τῇ [m] σκευῇ πάσῃ. καὶ τοὺς μὲν ἀποπλέειν [n] ἐς Κόρινθον· τὸν δὲ, δελφῖνα λέγουσι ὑπολαβόντα ἐξενεῖκαι
10 [o] ἐπὶ Ταίναρον. ἀποβάντα δὲ αὐτὸν χωρέειν ἐς Κόρινθον σὺν τῇ σκευῇ, καὶ ἀπικόμενον ἀπηγέεσθαι πᾶν τὸ γεγο-
11 νός. Περίανδρον δὲ ὑπὸ ἀπιστίης Ἀρίονα μὲν ἐν φυλακῇ ἔχειν, οὐδαμῇ [p] μετιέντα, [q] ἀνακῶς δὲ ἔχειν τῶν πορθμέων· ὡς δὲ ἄρα παρεῖναι αὐτοὺς, κληθέντας ἱστορέεσθαι εἴ τι
12 λέγοιεν περὶ Ἀρίονος. φαμένων δὲ ἐκείνων ὡς εἴη τε σῶς [r] περὶ Ἰταλίην, καί μιν εὖ [s] πρήσσοντα λίποιεν ἐν Τάραντι, ἐπιφανῆναί σφι τὸν Ἀρίονα, ὥσπερ ἔχων ἐξεπήδησε· [t] καὶ τοὺς, ἐκπλαγέντας, οὐκ ἔχειν ἔτι ἐλεγχομένους ἀρνέεσθαι.
13 Ταῦτα μέν νυν [v] Κορίνθιοί τε καὶ Λέσβιοι λέγουσι. καὶ Ἀρίονός ἐστι ἀνάθημα χάλκεον [w] οὐ μέγα ἐπὶ Ταινάρῳ, ἐπὶ δελφῖνος ἐπεὼν ἄνθρωπος. 12

25 Ἀλυάττης δὲ ὁ Λυδὸς τὸν πρὸς Μιλησίους πόλεμον διενείκας, μετέπειτα τελευτᾷ, βασιλεύσας ἔτεα ἑπτὰ
2 καὶ πεντήκοντα. ἀνέθηκε δὲ, ἐκφυγὼν τὴν νοῦσον δεύτερος οὗτος τῆς οἰκίης ταύτης, ἐς Δελφοὺς κρητῆρά τε ἀργύρεον μέγαν, καὶ ὑποκρητηρίδιον σιδήρεον κολλητὸν, [a] θέης ἄξιον διὰ πάντων τῶν ἐν Δελφοῖσι ἀναθημάτων· Γλαύκου τοῦ Χίου ποίημα, ὃς μοῦνος δὴ πάντων ἀνθρώπων σιδήρου κόλλησιν ἐξεῦρε.

Alyattæ mors a. 560. Glaucus inventor artis ferruminandi.

[1] ὄρθριον S.V.b.d.
[m] στολῇ e.
[n] Sic M.F.a.c. ἐς τὴν Κόρινθον P.S. et alii. Mox ἐξενέγκαι S.
[o] Sic F.a. ἐς Ταίναρον b.d.e.S. Ald. ἐς τὸ Τ. c.
[p] μετιόντα Ven. μετιοέντα b.
[q] ἀνακῶς Suid. in v. Mox ἤει S. ex em.
[r] Sic M.F.a.c.S. Vulgo π. τὴν I.
[s] πρήσαντα S.V.
[t] καὶ τοὺς μὲν c.
[v] τε om. e.
[w] οὐ om. R.S.V.F.a.c.

25.

[a] θέης ἄξιον laudat Eustathius Homer. Il. ζ. p. 626, 52=481. ubi vitiose ὁ δὲ νεκρὸς pro ὁ δὲ κρητήρ.

26 Τελευτήσαντος δὲ Ἀλυάττεω, [a] ἐξεδέξατο τὴν βασι-
ληΐην Κροῖσος ὁ Ἀλυάττεω, ἐτέων [b] ἐὼν ἡλικίην πέντε
καὶ τριήκοντα· ὃς δὴ Ἑλλήνων πρώτοισι ἐπεθήκατο Ἐφε-
2 σίοισι. ἔνθα δὴ οἱ Ἐφέσιοι [c] πολιορκεόμενοι ὑπ' αὐτοῦ,
ἀνέθεσαν τὴν πόλιν τῇ Ἀρτέμιδι, ἐξάψαντες ἐκ τοῦ νηοῦ
3 σχοινίον ἐς τὸ τεῖχος. ἔστι δὲ μεταξὺ [d] τῆς τε παλαιῆς
πόλιος, ἣ τότε ἐπολιορκέετο, καὶ τοῦ νηοῦ, ἑπτὰ στά-
4 διοι. πρώτοισι μὲν δὴ τούτοισι ἐπεχείρησε ὁ Κροῖσος·
μετὰ δὲ, ἐν μέρει ἑκάστοισι Ἰώνων τε καὶ Αἰολέων, ἄλ-
λοισι ἄλλας αἰτίας ἐπιφέρων· τῶν μὲν ἐδύνατο μέζονας
παρευρίσκειν, μέζονα [e] ἐπαιτιώμενος, τοῖσι δὲ [f] αὐτῶν καὶ
27 [g] φαῦλα ἐπιφέρων. Ὡς δὲ ἄρα οἱ ἐν τῇ Ἀσίῃ Ἕλληνες
[a] κατεστράφατο ἐς φόρου ἀπαγωγὴν, τὸ ἐνθεῦτεν ἐπενόεε,
2 νέας ποιησάμενος, ἐπιχειρέειν τοῖσι νησιώτῃσι. [b] ἐόντων
δέ οἱ πάντων ἑτοίμων ἐς τὴν ναυπηγίην, οἱ μὲν Βίαντα
λέγουσι τὸν Πριηνέα ἀπικόμενον [c] ἐς Σάρδις, οἱ δὲ Πιτ-
τακὸν τὸν Μυτιληναῖον, [d] εἰρομένου Κροίσου εἴ τι εἴη νεώ-
τερον περὶ τὴν Ἑλλάδα, εἰπόντα τάδε, καταπαῦσαι τὴν
ναυπηγίην· "Ὦ βασιλεῦ, νησιῶται ἵππον συνωνέονται
"μυρίην, ἐς Σάρδις τε καὶ ἐπὶ σὲ [e] ἔχοντες ἐν νῷ στρα-
3 "τεύεσθαι." Κροῖσον δὲ, ἐλπίσαντα λέγειν ἐκεῖνον ἀλη-
θέα, εἰπεῖν· "Αἲ γὰρ τοῦτο θεοὶ ποιήσειαν ἐπὶ νόον νη-

Crœsus natus a. 595, rex 560, Græcos in Asia bello subactos vectigales fecit.

Insulanos aggressurus, deterretur sive a Biante, sive a Pittaco.

26.

[a] διεδέξατο Ammonius in Τύραννος.
[b] ὢν Ven. S.e. Ald.
[c] πολιορκεύμενοι a.c. πολιερκεύμενοι F. et a. pro v. l. ὑπ' αὐτοῦ om. c.
[d] Sic M.S. et mss. Schweigh. Vulgo om. τε. παλαιᾶς Ven. S.
[e] ἐπαιτιεόμενος c.
[f] αὐτέων Ald. V.R. Ven. αὐτῶν M.S.F.a.b.c.d.e.
[g] φαῦλα omnes. φλαῦρα Schæfer.

27.

[a] κατεστρέφετο e.
[b] ῥεόντων S. e librarii errore, qui scribere debuerat νησιώτῃσιν. ἐόντων.
[c] Sic M.F.S. ἐς Σάρδεις a.c. ἐς Πέρσας b.d. ἐς τοὺς Πέρσας P. ἐς Κροῖσον e. Ald. Mox scripsi Μυτιλ. pro Μιτυλ. cf. 160.
[d] Sic S.M.R. Ven. εἰρομένου δὲ d.e. et vulgo. Mox νεώτερον εἴη S. et νησιῶται post μυρίην.
[e] ἐν νῷ ἔχοντες F.S.

4 “ σιώτῃσι, ἐλθεῖν ἐπὶ Λυδῶν παῖδας σὺν ἵπποισι.” Τὸν δὲ, ὑπολαβόντα φάναι· “ Ὦ βασιλεῦ, προθύμως μοι “ φαίνεαι εὔξασθαι νησιώτας [f] ἱππευομένους λαβεῖν ἐν “ ἠπείρῳ, [g] οἰκότα ἐλπίζων· νησιώτας δὲ τί δοκέεις εὔχ- “ εσθαι ἄλλο, ἢ, ἐπεί τε τάχιστα ἐπύθοντό σε μέλλοντα 1
“ ἐπὶ σφίσι ναυπηγέεσθαι νέας, λαβεῖν [h] ἀρώμενοι Λυδοὺς “ ἐν θαλάσσῃ, ἵνα ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ οἰκημένων Ἑλ-
5 “ λήνων τίσωνταί σε, τοὺς σὺ δουλώσας ἔχεις;” Κάρτα τε ἡσθῆναι Κροῖσον τῷ ἐπιλόγῳ· καί οἱ (προσφυέως γὰρ 13
δόξαι λέγειν) πειθόμενον, παύσασθαι τῆς ναυπηγίης. 6
6 καὶ οὕτω τοῖσι τὰς νήσους οἰκημένοισι Ἴωσι [i] ξεινίην συνεθήκατο.

28

Asiam omnem ad Halyn usque domat.

Χρόνου δὲ [a] ἐπιγινομένου, καὶ κατεστραμμένων σχεδὸν πάντων τῶν ἐντὸς Ἅλυος ποταμοῦ οἰκημένων· πλὴν γὰρ Κιλίκων καὶ Λυκίων, τοὺς ἄλλους πάντας ὑπ᾽ ἑωυτῷ εἶχε καταστρεψάμενος ὁ Κροῖσος· εἰσὶ δὲ οἵδε, [b] Λυδοὶ, Φρύγες, Μυσοὶ, [c] Μαριανδυνοὶ, [d] Χάλυβες, Παφλαγόνες, Θρήϊκες, [e] οἵ Θυνοί τε καὶ Βιθυνοὶ, Κᾶρες, Ἴωνες, Δωριέες,

29

Sardes opibus florentes, aditæ a Sapientibus Græciæ. Solonis post

Αἰολέες, Πάμφυλοι· κατεστραμμένων δὲ τούτων, καὶ προσεπικτωμένου Κροίσου Λυδοῖσι, ἀπικνέονται ἐς Σάρδις ἀκμαζούσας πλούτῳ ἄλλοι [a] τε οἱ πάντες ἐκ τῆς Ἑλλάδος σοφισταὶ, οἳ τοῦτον τὸν χρόνον ἐτύγχανον ἐόντες,

[f] ἱπποδυομένους R.

[g] Sic P.F.a.b.d. ἐοικότα M. εἰκότα Ald. B. Ven. S.V.R.

[h] ἀρώμενοι Ald. Eton. M.S.V. Ven. F.b.d.e. a. pro v. l. ἀρᾶσθαι R.a.c. S. marg. ἀειράμενοι Schw. e conj.

[i] ξενίην Suidas, c.

28.

[a] ἐπιγιγνομένου S. ἐπιγενομένου c. ἐπιγένομενου F.

[b] Λυδοὶ uncis inclusit Reizius, delevit Schæfer. cf. Wessel.

[c] Μαρυανδυνοὶ S. Μαρυανδανδυοὶ V. Μαριανδανοὶ b.d. Μαριανδῆνοὶ F.

[d] Χάλυβες etc. citat Eustath. Dionys. 322. Mox θρῆκες S.

[e] Οἴθυνοί τε S. Ald. Ἰθυνοίτε R. F.a.c.d. Θυνοί τε e.

29.

[a] τε om. V. suprasc. S.

latas Atheniensibus leges peregrinatio decennii.

2 ὡς ἕκαστος [b] αὐτῶν ἀπικνέοιτο· καὶ δὴ καὶ [c] Σόλων,
ἀνὴρ Ἀθηναῖος, ὃς Ἀθηναίοισι νόμους κελεύσασι ποιήσας,
ἀπεδήμησε ἔτεα δέκα, κατὰ θεωρίης πρόφασιν ἐκπλώ-
σας, [d] ἵνα δὴ μή τινα τῶν νόμων ἀναγκασθῇ λῦσαι τῶν
3 ἔθετο. αὐτοὶ γὰρ οὐκ οἷοί τε ἦσαν αὐτὸ ποιῆσαι Ἀθηναῖοι·
ὁρκίοισι γὰρ μεγάλοισι κατείχοντο, δέκα ἔτεα χρή-
30 σεσθαι νόμοισι τοὺς ἂν [e] σφι Σόλων θῆται. [a] Αὐτῶν δὴ
ὦν τούτων καὶ τῆς θεωρίης ἐκδημήσας ὁ Σόλων [b] εἵνεκεν,
ἐς Αἴγυπτον ἀπίκετο παρὰ Ἄμασιν, καὶ δὴ καὶ ἐς Σάρ-
2 δις παρὰ Κροῖσον. ἀπικόμενος δὲ, ἐξεινίζετο ἐν τοῖσι βα-
σιληΐοισι ὑπὸ [c] τοῦ Κροίσου· μετὰ δὲ, ἡμέρῃ τρίτῃ ἢ τε-
τάρτῃ, κελεύσαντος Κροίσου, τὸν Σόλωνα θεράποντες
περιῆγον κατὰ τοὺς θησαυροὺς, καὶ [d] ἐπεδείκνυσαν πάντα
3 [e] ἐόντα μεγάλα τε καὶ ὄλβια. [f] θηησάμενον δέ μιν [g] τὰ
πάντα καὶ σκεψάμενον ὥς οἱ κατὰ καιρὸν ἦν, εἴρετο ὁ
4 Κροῖσος τάδε· "Ξεῖνε Ἀθηναῖε, παρ' ἡμέας γὰρ περὶ
" [h] σέο λόγος ἀπῖκται πολλὸς, καὶ σοφίης εἵνεκεν τῆς 14
" σῆς καὶ πλάνης, ὡς φιλοσοφέων [i] γῆν πολλὴν θεωρίης
5 " εἵνεκεν ἐπελήλυθας. νῦν ὦν ἵμερος ἐπείρεσθαί [k] μοι
" ἐπῆλθε, εἴ τινα ἤδη πάντων εἶδες ὀλβιώτατον;" Ὁ

Ejus apud Crœsum commoratio, et disputatio de fortuna humana. Tellum beatissimum fuisse.

[b] αὐτέων] αὐτῶν M.a.b.c.F.S. Paulo ante ἐτύγχανον om. e.

[c] Σώλων F. pr. et sic constanter.

[d] ἵνα μὴ δὴ S. Ald.

[e] Sic M.a.b.d.e. σφίσι F.S. et vulgo.

30.

[a] Ita M.R.V.S. Ven. F.a.b.c. d. αὐτοῦ δὴ ὦν τούτου e. et vulgo.

[b] Sic plures mss. εἵνεκα Ald.

[c] τοῦ om. S. et δὲ pr. Idem mox ἡμέρην τρίτην ἢ τετάρτην probante Galeo, sine causa. μετὰ δὲ ponitur absolute, ut passim. Wess.

[d] Sic M.S. et alii. ἀπεδείκνυσαν Ven. ἐπεδείκνυον Ald.

[e] μεγάλα ὄντα τε e.

[f] θηησάμενον P. Vulgo θεησάμενον. v. supr. 10. III. 24. IV. 87.

[g] Sic M.S.R.V.F.a.b.c. Vulgo πάντα ἐόντα μεγάλα τε κ. σ.

[h] σεῦ Ven. P.b.d.e. Ald. σε omisso περὶ S.

[i] γῆν πολλὴν A.B.R.F.a.c. τὴν πολλὴν M. τὴν πόλιν Vaticanus unus, reliqui τῆς πολλῆς cum S.V. C. Ven. P. Ald.

[k] Sic S.V. Ven. P.b.d.e. probantibus Schæfero et Valckenærio ad VII. 46. με ἐπῆλθέ σε M. a.c. ἐπ. με ἵμερος ἐπῆλθέ σε F. με ἐπῆλθε absque σε Ald.

μὲν, ἐλπίζων εἶναι ἀνθρώπων ὀλβιώτατος, ταῦτα [l] ἐπει-
6 ρώτα. Σόλων δὲ, οὐδὲν ὑποθωπεύσας, ἀλλὰ τῷ ἐόντι
7 χρησάμενος, λέγει· "Ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον."
[m] Ἀποθωυμάσας δὲ Κροῖσος τὸ λεχθὲν, εἴρετο [n] ἐπιστρε-
φέως· "Κοίῃ δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον;" Ὁ
8 δὲ εἶπε· "Τέλλῳ, [o] τοῦτο μὲν, τῆς πόλιος [p] εὖ ἡκού-
"σης, παῖδες [q] ἦσαν καλοί τε κἀγαθοὶ, καί σφι εἶδε
"ἅπασι τέκνα ἐκγενόμενα, καὶ πάντα παραμείναντα·
"[r] τοῦτο δὲ, τοῦ βίου εὖ ἥκοντι, ὡς τὰ παρ' ἡμῖν, τε-
9 "λευτὴ τοῦ βίου λαμπροτάτη ἐπεγένετο. γενομένης γὰρ
"Ἀθηναίοισι μάχης πρὸς τοὺς ἀστυγείτονας ἐν Ἐλευ-
"σῖνι, βοηθήσας, καὶ τροπὴν ποιήσας τῶν πολεμίων,
10 "ἀπέθανε κάλλιστα. καί μιν Ἀθηναῖοι δημοσίῃ τε ἔθα-
"ψαν αὐτοῦ τῇπερ ἔπεσε, καὶ ἐτίμησαν μεγάλως."

31 Cleobim et Bitonem secundo loco.

Ὡς δὲ τὰ κατὰ τὸν Τέλλον προετρέψατο ὁ Σόλων
τὸν Κροῖσον, [a] εἴπας πολλά τε καὶ ὄλβια, [b] ἐπειρώτα
τίνα δεύτερον μετ' ἐκεῖνον ἴδοι, δοκέων [c] πάγχυ δευτερεῖα
2 γῶν οἴσεσθαι. ὁ δὲ εἶπε· "[d] Κλέοβίν τε καὶ Βίτωνα.
"τούτοισι γὰρ, ἐοῦσι γένος Ἀργείοισι, βίος τε ἀρκέων
"ὑπῆν, καὶ πρὸς τούτῳ, ῥώμη σώματος τοιήδε· ἀεθλο-
"φόροι τε ἀμφότεροι ὁμοίως [e] ἔσαν, καὶ δὴ καὶ λέγεται

[l] ἐπειρώτα P.b.c.d.F. pro v. l. Alii ἐπηρώτα. Schæferus ἐπειρώτεε.

[m] ἀποθωμάσας M. Κροῖσος δὲ ἀποθωμάσας F. ubi ἀποθωυμάσας suprasc.

[n] ἐπιστρεφέως Suid. in v. ἐπιστροφέως F.

[o] Sic R.F.a.c.S. marg. τῷ μὲν V.S. τούτῳ μὲν vulgo.

[p] ἡκούσης S. in marg. Citat Suidas cum Glossatore, Gregor. D. Ion. 87.

[q] ἔσαν Schæfer. Mox ἴδε^υ S.

[r] Sic R.F.a.c. τούτῳ δὲ M. ἐς τοῦτο δὲ P.S. Ald. et alii. Mox ὡς τὰ παρ' ἡμῖν om. e. τε om. S.

31.

[a] εἰπὼν S.V. cf. Gregor. dial. Ion. 72.

[b] Sic P.b.d.e.S. pr. Vulgo ἐπηρώτα.

[c] παγίαν V. quæ lectio unde venerit inspicienti patebit S. ubi πάγχυ marg. πα^γχύαν text.

[d] Sic S.P.F.a.c.d.e. Vulgo Κλέωβιν. Mox πρὸς τοῦτο S.

[e] ἦσαν S.V. et alii. cf. Etymol. p. 381.

3 " [f]ὅδε ὁ λόγος. ἐούσης ὁρτῆς τῇ Ἥρῃ τοῖσι Ἀργείοισι,
" ἔδεε πάντως τὴν μητέρα αὐτῶν ζεύγεϊ κομισθῆναι ἐς
" τὸ ἱρόν· οἱ δέ σφι βόες ἐκ τοῦ ἀγροῦ οὐ [g]παρεγίνοντο
" ἐν ὥρῃ· [h]ἐκκληϊόμενοι δὲ τῇ ὥρῃ οἱ νεηνίαι, ὑποδύντες
" αὐτοὶ ὑπὸ τὴν ζεύγλην, εἷλκον τὴν ἅμαξαν, ἐπὶ τῆς 15
4 " ἁμάξης δέ σφι ὀχέετο ἡ μήτηρ. σταδίους δὲ πέντε
" καὶ [i]τεσσεράκοντα διακομίσαντες, ἀπίκοντο [k]ἐς τὸ
" ἱρόν. ταῦτα δέ σφι ποιήσασι, καὶ ὀφθεῖσι ὑπὸ τῆς
5 " πανηγύριος, τελευτὴ τοῦ βίου ἀρίστη ἐπεγένετο. διέδεξέ
" τε ἐν τούτοισι ὁ θεὸς, ὡς ἄμεινον εἴη ἀνθρώπῳ τεθνάναι
6 " μᾶλλον ἢ ζώειν. Ἀργεῖοι μὲν γὰρ περιστάντες ἐμα-
" κάριζον τῶν [l]νεηνιέων [m]τὴν ῥώμην· αἱ δὲ Ἀργεῖαι,
7 " τὴν μητέρα αὐτῶν, οἵων τέκνων ἐκύρησε. ἡ δὲ μήτηρ
" περιχαρὴς ἐοῦσα τῷ τε ἔργῳ καὶ τῇ φήμῃ, στᾶσα
" ἀντίον τοῦ ἀγάλματος, εὔχετο, [n]Κλέοβί τε καὶ Βί-
" τωνι, τοῖσι ἑωυτῆς τέκνοισι, οἵ μιν ἐτίμησαν μεγάλως,
" [o]δοῦναι τὴν θεὸν τὸ ἀνθρώπῳ [p]τυχεῖν ἄριστόν ἐστι.
8 " μετὰ ταύτην δὲ τὴν εὐχὴν, ὡς ἔθυσάν τε καὶ εὐωχήθη-
" σαν, κατακοιμηθέντες ἐν αὐτῷ τῷ [q]ἱρῷ οἱ νεηνίαι, οὐκ-
9 " έτι ἀνέστησαν, ἀλλ' ἐν τέλει τούτῳ ἔσχοντο. Ἀργεῖοι
" δέ σφεων εἰκόνας ποιησάμενοι, ἀνέθεσαν ἐς Δελφοὺς,
" ὡς ἀνδρῶν ἀρίστων γενομένων."

32 Σόλων μὲν δὴ εὐδαιμονίης δευτερεῖα ἔνεμε τούτοισι.

Rerum quæ homini ac-

[f] Sic M.R.V.F.a.c. ὅδε λ. S. Reliqui ὧδε λόγος. Mox ἱερὸν S.

[g] παρεγένοντο F.a.c.

[h] Sic M.R.S.V.F.a.c. ἐκκληϊζόμενοι P. et alii. Mox νεανίαι a. et ὠχέετο c.e. pro ὀχέετο. ἐπὶ δὲ τῆς ἁ. ὀ. σ. S.

[i] Sic M.e. Plerique alii τεσσαράκοντα.

[k] Sic M.V.S. Ven. et alii. ἐπὶ τὸ e. et al. ἱερὸν S. Mox πανηγύρεως a.c.

[l] νεηνιέων R.B.M.a.c.F. pr. νεηνίων F.d. τεκνίων S.P.b.e. Ald.

[m] τὴν ῥώμην M.F. pr. et duo Parisini apud Wessel. τὴν γνώμην vulgo, S.F. e corr. et quinque Parisini apud Schweigh.

[n] Κλέοβι F.a.c.e. Alii Κλέωβι.

[o] τὴν θεὸν. δοῦναι F.a.

[p] ἄριστόν ἐστι τυχεῖν e.

[q] ἱερῷ S.

cidant in vita, maximam esse varietatem: beatum neminem esse, nisi qui perpetua felicitate usus, vitam placide finierit.

Κροῖσος δὲ [a] σπερχθεὶς, εἶπε· "Ὦ ξεῖνε Ἀθηναῖε, ἡ δὲ
"ἡμετέρη εὐδαιμονίη οὕτω τοι ἀπέρριπται ἐς τὸ μηδὲν,
"ὥστε οὐδὲ ἰδιωτέων ἀνδρῶν ἀξίους ἡμέας ἐποίησας;"
2 Ὁ δὲ εἶπε· "Ὦ Κροῖσε, ἐπιστάμενόν με [b] τὸ θεῖον πᾶν
"ἐὸν φθονερόν τε καὶ ταραχῶδες, ἐπειρωτᾷς ἀνθρωπηΐων
"πρηγμάτων πέρι; ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ
"μέν ἐστι [c] ἰδέειν τὰ μή τις ἐθέλει, πολλὰ δὲ καὶ πα-
3 "θέειν· ἐς γὰρ ἑβδομήκοντα ἔτεα οὖρον τῆς [d] ζόης ἀν-
"θρώπῳ προτίθημι. οὗτοι ἐόντες ἐνιαυτοὶ ἑβδομήκοντα,
"παρέχονται ἡμέρας διηκοσίας καὶ πεντακισχιλίας καὶ
4 "δισμυρίας, ἐμβολίμου μηνὸς μὴ [e] γινομένου. εἰ δὲ δὴ
"ἐθελήσει [f] τοὔτερον τῶν [g] ἐτέων μηνὶ μακρότερον γίνε-
"σθαι, ἵνα δὴ αἱ ὧραι συμβαίνωσι παραγινόμεναι ἐς τὸ
"δέον, μῆνες μὲν παρὰ τὰ ἑβδομήκοντα ἔτεα οἱ ἐμβό-
"λιμοι γίνονται [h] τριήκοντα πέντε· ἡμέραι δὲ ἐκ τῶν μη-
5 "νῶν τούτων, χίλιαι πεντήκοντα. [i] τουτέων τῶν ἁπασέων
"ἡμερέων, τῶν ἐς τὰ ἑβδομήκοντα ἔτεα ἐουσέων πεντή-
"κοντα καὶ διηκοσίων καὶ [k] ἑξακισχιλιέων καὶ δισμυ-
"ριέων, ἡ ἑτέρη αὐτέων τῇ ἑτέρῃ ἡμέρῃ τὸ παράπαν οὐδὲν
6 "ὁμοῖον [l] προσάγει πρῆγμα. [m] οὕτω ὦν, ὦ Κροῖσε, [n] πᾶν

32.

[a] ταραχθεὶς, θυμωθεὶς P. marg. Suid. Gregor. dial. Ion. 88.

[b] τὸ ἀνθρώπινον πᾶν οὐδαμᾶ ἐν τωὔτῷ, ἐπειρωτᾷς τῶν σεωὔτοῦ πρηγμάτων πέρι. Ven. duo. Citat h. l. Eustath. Il. η. p. 690, 24=568, 1. τῶν σεωυτοῦ πρ. e.d.

[c] Sic Ald. R.V.c. ἰδεῖν—παθεῖν M.S. Stobæus 105, 63. (qui supra ἐπηρώτας cum S.) cf. Horrei Obs. Herodot. c. 5.

[d] ζωῆς S.F.b.d. Stobæus; qui mox om. οὗτοι—χίλιαι πεντήκοντα.

[e] Sic F.a.c. Vulgo γενομένου. Mox δὴ om. S.

[f] τοὔτερον a. τὸ ὕτερον S.

[g] ἑτέρων V.S. sed ἐτέων S. marg.

[h] Sic M.V.S. alii τριάκοντα.

[i] Sic M.F.a.c. Stob. Alii τούτων τ. Mox πεντήκοντα—δισμυρίων om. Stobæus.

[k] Sic M. ἑξακισχιλίων καὶ δισμυρίων vulgo.

[l] εἰσάγει Stob. Theo.

[m] οὕτως οὖν ὦ K. S.V. οὕτω ὦ K. Stob. ὦ om. M.F.a.c.

[n] Sic M.S.V. Ven. Ald. Stob. 105, 54. 63. πᾶς ἔστι R. Theo Progym. p. 64. Clem. Alex. Strom. III. p. 517.

7 " ἐστι ἄνθρωπος [o] συμφορή. ἐμοὶ δὲ σὺ καὶ [p] πλουτέειν
" μὲν μέγα φαίνεαι, καὶ [q] βασιλεὺς εἶναι πολλῶν ἀν-
" θρώπων· ἐκεῖνο δὲ τὸ εἴρεό με, οὔκω σε ἐγὼ λέγω,
" πρὶν [r] ἂν τελευτήσαντα καλῶς τὸν αἰῶνα πύθωμαι.
8 " οὐ γάρ [s] τοι ὁ μέγα πλούσιος μᾶλλον τοῦ ἐπ' ἡμέρην
" ἔχοντος ὀλβιώτερός ἐστι. εἰ μή [t] οἱ τύχη ἐπίσποιτο,
" πάντα καλὰ [v] ἔχοντα [w] τελευτῆσαι εὖ τὸν βίον. πολ-
" λοὶ μὲν γὰρ ζάπλουτοι ἀνθρώπων, ἀνόλβιοί εἰσι· πολ-
9 " λοὶ δὲ μετρίως ἔχοντες βίου, εὐτυχέες. ὁ μὲν δὴ μέγα
" πλούσιος, [x] ἀνόλβιος δὲ, δυοῖσι προέχει τοῦ εὐτυχέος
" [y] μούνοισι· οὗτος δὲ, τοῦ πλουσίου καὶ ἀνολβίου πολ-
10 " λοῖσι. ὁ μὲν, ἐπιθυμίην ἐκτελέσαι, καὶ ἄτην μεγάλην
" προσπεσοῦσαν ἐνεῖκαι δυνατώτερος· ὁ δὲ, [z] τοισίδε
" προέχει ἐκείνου· ἄτην μὲν καὶ ἐπιθυμίην οὐκ ὁμοίως
" δυνατὸς ἐκείνῳ ἐνεῖκαι, ταῦτα δὲ ἡ εὐτυχίη οἱ ἀπε-
" ρύκει· [a] ἄπηρος δὲ ἐστὶ, ἄνουσος, ἀπαθὴς κακῶν, εὔ-
11 " παις, εὐειδής. εἰ δὲ πρὸς τούτοισι ἔτι τελευτήσει τὸν
" βίον εὖ, οὗτος ἐκεῖνος, τὸν σὺ ζητεῖς, ὄλβιος κεκλῆσθαι

[o] συμφορῇ Ald. S. pr. b.e. ξυμφορὴ F.a.c.

[p] πλουτέειν M.V.S.R. Ven. F. a.b.c. Stobæus, qui μὲν in mss. omissam addidit. Vulgo πλουτέων. In F. καὶ om. Καὶ σοὶ—φαίνεται Stobæi ms.

[q] βασιλεὺς πολλῶν εἶναι F. Stobæus.

[r] ἂν om. F.a.c. Stob. ἐγὼ supra om. Stob. et mox τὸν ante αἰῶνα ms.

[s] τι S.F.b.c. τις Stobæi ms.

[t] Sic M.S. Et. Ald. Stob. οἱ ἡ τύχη d. Vulgo. ἡ τύχη.

[v] Sic M. Stob. V.R.F. m. sec. a.c. ἔχοντι S.P.b.d.e.Ald. ἔχοντα πάντα καλὰ Stobæus.

[w] τελευτῆσαι εὖ Et. Stob. εὖ τελευτῆσαι S.P.F.a. Al. om. εὖ. cujus loco Stobæus ms. ἐς.

[x] ἄνολβος Ven. Stob. b.e. Paulo post ἀνόλβου Stob. b.F.

[y] μούνοισι Stob. Omnes fere codd. et Ald. μοῦνον. μόνον c. Mox Stob. ἀνόλβου, ut S. pr.

[z] τοῖσδε Stob. F. pr. τοῖσι δὲ P. d. τοῖσιδε a.S.F. m. sec. τοῖσι τε c. τοῖσι sine δὲ Ald. e. τοῖσι δὴ Steph. τοισίδε Schæfer. Mox ἄτην δὲ Stobæus. Infra καὶ ἐκείνῳ S.

[a] Sic duo Vatt. quemadmodum Heinsius e conj. teste Jungerm. ad Poll. II. 61. alter e corr. ἄπορος d. Vulgo ἄπειρος, et d. in marg. cum Stobæo, qui mox om. κακῶν.

12 " ἄξιός ἐστι. πρὶν δ' ἂν [b] τελευτήσῃ, [c] ἐπισχέειν, μηδὲ 17
13 " καλέειν [d] κω ὄλβιον, ἀλλ' εὐτυχέα. τὰ πάντα μέν νυν
" ταῦτα συλλαβεῖν ἄνθρωπον ἐόντα ἀδύνατόν ἐστι, ὥσπερ
" χώρη [e] οὐδεμία [f] καταρκέει πάντα ἑωυτῇ παρέχουσα,
" ἀλλὰ ἄλλο μὲν [g] ἔχει, [h] ἑτέρου δὲ ἐπιδέεται· ἣ δὲ ἂν
14 " τὰ πλεῖστα [i] ἔχῃ, [k] ἀρίστη αὕτη. ὣς δὲ καὶ ἀνθρώπου
" σῶμα ἓν οὐδὲν αὔταρκές ἐστι· τὸ μὲν γὰρ ἔχει, ἄλλου
15 " δὲ ἐνδεές ἐστι. ὃς δ' ἂν [l] αὐτῶν πλεῖστα ἔχων δια-
" τελέῃ, καὶ ἔπειτα τελευτήσῃ εὐχαρίστως τὸν βίον, οὗ-
" τος παρ' ἐμοὶ τὸ οὔνομα τοῦτο, [m] ὦ βασιλεῦ, δίκαιός
16 " ἐστι φέρεσθαι. σκοπέειν δὲ χρὴ παντὸς χρήματος τὴν
17 " τελευτὴν κῇ ἀποβήσεται. πολλοῖσι γὰρ δὴ ὑποδέξας
" ὄλβον ὁ θεὸς, προρρίζους ἀνέτρεψε."

33 *Solonis abitus a Crœso.* Ταῦτα [a] λέγων τῷ Κροίσῳ οὔ κως οὔτε ἐχαρίζετο, οὔτε λόγου μιν ποιησάμενος οὐδενὸς, ἀποπέμπεται· κάρτα δόξας [b] ἀμαθὴς εἶναι, ὃς τὰ παρεόντα ἀγαθὰ μετεὶς, τὴν τελευτὴν παντὸς χρήματος ὁρᾷν ἐκέλευε.

34 *Crœsi somnium de filio.* Μετὰ δὲ Σόλωνα οἰχόμενον, ἔλαβε [a] ἐκ θεοῦ νέμεσις μεγάλη Κροῖσον· ὡς εἰκάσαι, ὅτι ἐνόμισε ἑωυτὸν εἶναι 2 ἀνθρώπων ἁπάντων ὀλβιώτατον. αὐτίκα [b] δέ οἱ εὕδοντι

[b] τελευτήσει P.b. τελευτήσοι e.
[c] Sic Ald. V.R.e. ἐπισχεῖν M. S. Stob. et plures mss. ἐπιχεῖν Ven. De differentia inter ὄλβιον et εὐτυχέα v. Ammonius in ὄλβιος.
[d] καὶ V.S. pr. Mox ταῦτα om. S.
[e] Sic Ven. P.R. Ald. μιῇ S.V. οὐδεμία M. Stob. F. qui hanc scripturam constanter servat. οὐδεμίη (α) a.
[f] καταρκέειν S.V.P.
[g] παρέχει d.
[h] ἄλλου δέεται e. ἐπιδεύεται Stobæi ms.
[i] Sic M. Stob. ἔχει S. ἔχοι c. e. Ald.
[k] αὕτη ἀρίστη F. Stob.
[l] αὐτέων Ald. R.V. αὐτῶν M.F. S.a.c.d.
[m] Sic Stob. Codd. omnes ὡς βασιλεύς.

33.
[a] Ita libri plures et meliores. λέγοντι τῷ Κροίσῳ R.A. λέγοντι Κροῖσος cum Geinozio Schweighæuserus. οὔτε ἐχαρίζετο om. F. pr.
[b] ἀμαθὴς S. et Valla. ἀμαθέα Ald. cum omnibus fere aliis.

34.
[a] Sic M.F.a. ἐκ θεῶν P.b.c.d.e. S. Ald. Mox εἰκάσαι (ς) S.
[b] δὲ om. d.e.

ἐπέστη ὄνειρος, ὅς οἱ τὴν [c] ἀληθηΐην ἔφαινε τῶν μελλόν-
3 των γενέσθαι κακῶν κατὰ τὸν παῖδα. ἦσαν δὲ τῷ Κροί-
σῳ δύο [d] παῖδες· τῶν οὕτερος μὲν διέφθαρτο· ἦν γὰρ [e] δὴ
κωφός· ὁ δὲ ἕτερος, τῶν ἡλίκων μακρῷ τὰ πάντα πρῶ-
4 τος· οὔνομα δέ οἱ ἦν Ἄτυς. τοῦτον δὴ ὦν τὸν Ἄτυν ση-
μαίνει τῷ Κροίσῳ [f] ὁ ὄνειρος, ὡς ἀπολέει μιν αἰχμῇ [g] σι-
5 δηρέῃ βληθέντα. ὁ δὲ ἐπεί τε [h] ἐξεγέρθη, καὶ ἑωυτῷ λό-
γον ἔδωκε, [i] καταρρωδήσας τὸν ὄνειρον, ἄγεται μὲν τῷ
παιδὶ γυναῖκα· ἐωθότα δὲ στρατηγέειν μιν τῶν Λυδῶν,
οὐδαμῇ [k] ἔτι ἐπὶ τοιοῦτο πρῆγμα ἐξέπεμπε· ἀκόντια [l] δὲ
καὶ δοράτια, καὶ τὰ τοιαῦτα πάντα τοῖσι [m] χρέονται ἐς
πόλεμον ἄνθρωποι, ἐκ τῶν ἀνδρεώνων ἐκκομίσας, ἐς τοὺς
θαλάμους [n] συνένησε, μή τι οἱ κρεμάμενον τῷ παιδὶ ἐμ-
35 πέσῃ. Ἔχοντος δέ οἱ ἐν χερσὶ τοῦ παιδὸς τὸν γάμον, Adrasti adventus.
ἀπικνέεται ἐς [a] τὰς Σάρδις ἀνὴρ συμφορῇ [b] ἐχόμενος, καὶ
οὐ καθαρὸς χεῖρας ἐών, Φρὺξ μὲν γενεῇ, [c] γένεος δὲ τοῦ
2 βασιληΐου. παρελθὼν δὲ οὗτος ἐς τὰ Κροίσου [d] οἰκία,
κατὰ νόμους τοὺς ἐπιχωρίους καθαρσίου ἐδέετο [e] κυρῆσαι·
Κροῖσος δέ μιν ἐκάθηρε. ἔστι δὲ παραπλησίη ἡ κάθαρ-
3 σις τοῖσι Λυδοῖσι καὶ τοῖσι Ἕλλησι. ἐπεί τε δὲ τὰ νο- 18
μιζόμενα ἐποίησε ὁ Κροῖσος, ἐπυνθάνετο ὁκόθεν τε καὶ

[c] ἀληθείην F.d. ἀληθίην a.c.
[d] παῖδε d.
[e] δὴ om. e.
[f] ὁ om. F.d.S.
[g] σιδηρήῃ V. αἰχμὴ σιδηρῇ S. σιδηρώῃ F. pr.
[h] Sic F.a.c. ἐξηργέθη S. Vulgo ἐξηγέρθη.
[i] Ita a.c. Reiz. ut Wessel. emendaverat. κατορρωδήσας libri plerique.
[k] ἔτι om. S. Mox τοιοῦτο M.A. B. τοιοῦτον S.F.b.d.e. Ald.
[l] δὲ om. S.V.
[m] Sic plures mss. χρέωνται b. d.S.
[n] συνένεικε Steph. marg.

35.

[a] τὰς om. S.
[b] χρεόμενος e.
[c] γένος F.
[d] οἰκεῖα b. οἰκήματα d.
[e] Sic M.F.b. ἐπικυρῆσαι P.a.c. e.d. Ald. pro v. l. S. marg. qui vocabulum om. in textu. ἐπικυρῶσαι d. Mox ἔτι S. pro ἔστι, et τε om. post ὁκόθεν.

τίς εἴη, λέγων τάδε· “ [f] Ὤνθρωπε, τίς τε [g] ἐὼν, καὶ κό- “ θεν τῆς Φρυγίης ἥκων, [h] ἐπίστιος ἐμοὶ ἐγένεο; [i] τίνα
4 “ τε ἀνδρῶν ἢ γυναικῶν ἐφόνευσας;” Ὁ δὲ ἀμείβετο· “ Ὦ βασιλεῦ, Γορδίεω μὲν τοῦ Μίδεώ εἰμι παῖς, [k] οὐνο- “ μάζομαι δὲ Ἄδρηστος· φονεύσας δὲ [l] ἀδελφεὸν ἐμεωυ- “ τοῦ ἀέκων, πάρειμι ἐξεληλαμένος τε ὑπὸ τοῦ πατρὸς
5 “ καὶ ἐστερημένος πάντων.” Κροῖσος δέ μιν ἀμείβετο [m] τοῖσδε· “ Ἀνδρῶν τε φίλων τυγχάνεις ἔκγονος ἐὼν, καὶ “ ἐλήλυθας ἐς φίλους· ἔνθα [n] ἀμηχανήσεις χρήματος οὐ-
6 “ δενὸς, μένων [o] ἐν ἡμετέρου. [p] συμφορὴν δὲ ταύτην ὡς “ κουφότατα φέρων, κερδανέεις πλεῖστον.” Ὁ μὲν δὴ δίαιταν εἶχε [q] ἐν Κροίσου.

36

Aper in Olympo Mysio. Mysi a Crœso petunt, ut ipsis auxilium duce filio mittat.

Ἐν δὲ τῷ αὐτῷ χρόνῳ τούτῳ, ἐν τῷ [a] Μυσίῳ [b] Οὐλύμπῳ [c] συὸς χρῆμα γίνεται μέγα· [d] ὁρμεώμενος δὲ οὗτος ἐκ τοῦ [e] οὔρεος τούτου, τὰ τῶν Μυσῶν ἔργα [f] διαφθείρεσκε.
2 [g] πολλάκι δὲ οἱ Μυσοὶ ἐπ᾽ αὐτὸν [h] ἐξελθόντες, ποιέεσκον μὲν οὐδὲν κακὸν, ἔπασχον δὲ πρὸς αὐτοῦ. τέλος δὲ, ἀπικόμενοι παρὰ τὸν Κροῖσον τῶν Μυσῶν ἄγγελοι, ἔλεγον
3 τάδε· “ Ὦ βασιλεῦ, ὗος χρῆμα μέγιστον ἀνεφάνη ἡμῖν “ ἐν τῇ χώρῃ, ὃς τὰ ἔργα διαφθείρει. τοῦτον προθυμεό-

[f] Sic M.F. et alii. Vulgo ἄνθρωπε, cum S.

[g] ὢν S.d.e.

[h] ἐπίστιός μοι F. e corr. ἐπέστιος pr. et e.

[i] τίνα δὲ e.

[k] Sic F. Vulgo ὀνομάζομαι cum S.

[l] ἀδελφὸν e.

[m] τοισίδε Schæfer.

[n] ἀμηχανήσεις citat Thomas Mag. in v.

[o] Sic M.F.e. Vulgo ἐν ἡμετέροις et F. suprasc.

[p] συμφορίην τὲ F.

[q] ἐκ Κροίσου R.V.c.e. Ald.

36.

[a] Μυσίων d.

[b] Sic M. et alii. cf. c. 43. Ὀλύμπῳ S.F.a.b.d.e.

[c] συὸς—μέγα] cf. Eustath. Il. ι. p. 773, 6=681, 28.

[d] Sic R.V. Ald. F. pr. ὁρμιώμενος F. e corr. ὁρμώμενος M.S. Parisini.

[e] Sic Ald. V.S.R.F. ὄρεος M. a.c.

[f] διεφθείρεσκε e.

[g] πολλάκις S.V.F.a.c.d.e.

[h] Sic M.F.b.d. ἐλθόντες S.a.c.e. et alii. Mox ἐποίεσκον e. et κακὸν οὐδὲν F.S.

4 " μενοι ἐλέειν, οὐ δυνάμεθα. νῦν [i] ὦν προσδεόμεθά σευ,
" τὸν παῖδα καὶ λογάδας νεηνίας καὶ κύνας συμπέμ-
5 " ψαι ἡμῖν, ὡς ἄν μιν [k] ἐξέλωμεν ἐκ τῆς χώρης." Οἱ
μὲν δὴ τούτων ἐδέοντο. Κροῖσος δὲ, μνημονεύων τοῦ ὀνεί-
ρου τὰ ἔπεα, ἔλεγέ σφι τάδε· " Παιδὸς μὲν πέρι τοῦ
" ἐμοῦ μὴ μνησθῆτε ἔτι· οὐ γὰρ ἂν ὑμῖν συμπέμψαιμι·
6 " [l] νεόγαμός τε γάρ ἐστι, καὶ ταῦτά οἱ νῦν μέλει. Λυ-
" δῶν μέντοι λογάδας καὶ τὸ κυνηγέσιον πᾶν συμ-
" πέμψω· καὶ διακελεύσομαι τοῖσι ἰοῦσι, εἶναι ὡς προ-
" θυμοτάτοισι [m] συνεξελέειν ὑμῖν τὸ θηρίον ἐκ τῆς χώρης."
37 Ταῦτα ἀμείψατο· [a] ἀποχρεωμένων δὲ τούτοισι τῶν Μυ-
σῶν, ἐπεισέρχεται ὁ τοῦ Κροίσου παῖς, ἀκηκοὼς τῶν ἐδέ-
2 οντο οἱ Μυσοί. οὐ φαμένου δὲ τοῦ Κροίσου τόν γε παῖδά
σφι συμπέμψειν, λέγει πρὸς αὐτὸν ὁ νεηνίης τάδε· " Ὦ
" πάτερ, τὰ κάλλιστα πρότερόν κοτε καὶ γενναιότατα
" ἡμῖν ἦν, ἔς τε πολέμους καὶ ἐς ἄγρας φοιτέοντας εὐ-
" δοκιμέειν· νῦν δὲ ἀμφοτέρων με τούτων ἀποκληΐσας 19
" ἔχεις, [b] οὔτε τινὰ δειλίην μοι παριδὼν, οὔτε ἀθυμίην.
3 " νῦν τε τέοισί με χρὴ ὄμμασι ἔς τε ἀγορὴν καὶ ἐξ ἀγο-
" ρῆς φοιτέοντα φαίνεσθαι; κοῖός μέν τις τοῖσι πολιή-
" τῃσι δόξω εἶναι; κοῖος δέ τις τῇ νεογάμῳ γυναικί;
" κοίῳ δὲ ἐκείνη [c] δόξει ἀνδρὶ συνοικέειν; ἐμὲ ὦν σὺ ἢ
" [d] μέθες ἰέναι ἐπὶ τὴν θήρην, ἢ λόγῳ ἀνάπεισον ὅκως
38 " μοι ἀμείνω ἐστὶ ταῦτα οὕτω ποιεόμενα." Ἀμείβεται

Filius impetrat veniam eundi.

[i] οὖν S. et mox χώρας qui χώρης rursus in fine capitis.
[k] ἐξελῶσιν Et.
[l] τε om. S.b.d.e. Ald.
[m] Sic F. ξυνελεῖν S. Vulgo συνεξελεῖν.

37.

[a] οὐκ ἀποχρεωμένων Valla, probante H. Steph. ἀποχρεομένων S. et mox σφίσι.
[b] Citat Thomas M. in Ἀθυμία. Mox edd. ante Wessel. τεοῖσι, et S.
[c] δόξοι S.
[d] μέτες Schæfer. Idem mox ποιεύμενα pro ποιεόμενα.

[a] Κροῖσος [b] τοῖσδε· “Ὦ παῖ, [c] οὔτε δειλίην, οὔτε ἄλλο
“ οὐδὲν ἄχαρι παριδών τοι, ποιέω ταῦτα· ἀλλά μοι
“ ὄψις ὀνείρου ἐν τῷ ὕπνῳ ἐπιστᾶσα [d] ἔφη σε ὀλιγοχρό-
“ νιον ἔσεσθαι, ὑπὸ γὰρ αἰχμῆς σιδηρέης ἀπολέεσθαι.
2 “ πρὸς ὦν τὴν ὄψιν ταύτην, τόν τε γάμον [e] τοι τοῦτον
“ ἔσπευσα, καὶ ἐπὶ τὰ [f] παραλαμβανόμενα οὐκ ἀπο-
“ πέμπω, φυλακὴν ἔχων εἴ κως δυναίμην ἐπὶ τῆς [g] ἐμῆς
3 “ σε [h] ζόης διακλέψαι. [i] εἷς γάρ μοι μοῦνος τυγχάνεις
“ ἐὼν παῖς· τὸν γὰρ δὴ ἕτερον, διεφθαρμένον [k] τὴν ἀκοὴν,
39 “ οὐκ εἶναί μοι λογίζομαι.” Ἀμείβεται ὁ νεηνίης τοῖσδε·
“ Συγγνώμη μὲν, ὦ πάτερ, τοὶ, ἰδόντι γε ὄψιν τοιαύτην,
“ περὶ ἐμὲ φυλακὴν ἔχειν· [a] τὸ δὲ οὐ μανθάνεις, ἀλλὰ
“ λέληθέ σε τὸ ὄνειρον, [b] ἐμέ τοι δίκαιόν ἐστι φράζειν.
2 “ φῄς τοι τὸ ὄνειρον ὑπὸ αἰχμῆς σιδηρέης φάναι ἐμὲ τε-
“ λευτήσειν· ὑὸς δὲ κοῖαι μέν εἰσι χεῖρες, κοίη δὲ αἰχμὴ
“ σιδηρέη, ἣν σὺ [c] φοβέαι; εἰ μὲν γὰρ ὑπὸ ὀδόντος τοι
“ εἶπε τελευτήσειν με, ἢ ἄλλου τευ ὅ τι τούτῳ ἔοικε,
“ χρῆν δή σε ποιέειν τὰ ποιέεις· νῦν δὲ ὑπὸ αἰχμῆς.
“ ἐπεί τε ὦν οὐ πρὸς ἄνδρας ἡμῖν γίνεται ἡ μάχη, [d] μέθες
40 “ με.” Ἀμείβεται [a] Κροῖσος· “Ὦ παῖ, ἔστι τῇ με
“ νικᾷς, γνώμην ἀποφαίνων περὶ τοῦ ἐνυπνίου. ὡς ὦν

38.

[a] ὁ Κροῖσος d.

[b] τοισίδε Schæfer, et infra 39.

[c] Citat Thomas M. in Παρεῖδεν.

[d] ἔφησεν S.F.a.b.c.d. Mox ἀπολέσθαι S.F.

[e] τοι om. F.

[f] παραβαλλόμενα a. et F. suprasc.

[g] ἐμῆς γε e.

[h] Sic F.a.c. Vulgo ζωῆς. Placeret Schweighæusero ἐπὶ τῆς ἐμῆς γε ζόης διακλ.

[i] ἦ γὰρ R.c. εἷς ἦ a. sed notata posteriore vocula tanquam delenda.

[k] τῇ ἀκοῇ S. cf. Horrei Obs. Herod. p. 73.

39.

[a] τὸν δὲ S.

[b] ἐμέ τοι—τὸ ὄνειρον om. F. In prægressis τοῦ ὀνείρου conjiciunt Wesseling. et al. sine causa.

[c] φοβέεαι a.b.F. e corr. Schæfer.

[d] μέτες Schæfer.

40.

[a] Sic M.V.S. τοῖσδε addunt edd. e. S. marg. ὁ Κροῖσος d.

"νενικημένος ὑπὸ σέο, μεταγινώσκω, [b] μετίημί τε σε "ἰέναι ἐπὶ τὴν ἄγρην."

Ei additur custos Adrastus.

41 Εἴπας δὲ ταῦτα ὁ Κροῖσος, μεταπέμπεται τὸν Φρύγα Ἄδρηστον, ἀπικομένῳ δέ οἱ λέγει τάδε· "Ἄδρηστε, "ἐγώ σε συμφορῇ πεπληγμένον [a] ἀχάρι, τήν τοι οὐκ "[b] ὀνειδίζω, ἐκάθηρα, καὶ [c] οἰκίοισι ὑποδεξάμενος ἔχω,
2 "παρέχων πᾶσαν δαπάνην· νῦν ὦν (ὀφείλεις γὰρ, ἐμεῦ "[d] προποιήσαντος χρηστὰ ἐς σὲ, χρηστοῖσί με ἀμείβε- 20 "σθαι) φύλακα παιδός σε τοῦ ἐμοῦ [e] χρηΐζω γενέσθαι, "ἐς ἄγρην [f] ὁρμεομένου· μή τινες κατ᾽ ὁδὸν κλῶπες κα-
3 "κοῦργοι ἐπὶ δηλήσει φανέωσι ὑμῖν. [g] πρὸς δὲ τούτῳ, "καὶ σέ τοι [h] χρεών ἐστι ἰέναι ἔνθα [i] ἀπολαμπρύνεαι "τοῖσι ἔργοισι· πατρώϊόν τε γάρ τοι ἐστὶ, καὶ προσέτι
42 "ῥώμη ὑπάρχει." Ἀμείβεται ὁ Ἄδρηστος· "Ὦ βασι- "λεῦ, ἄλλως μὲν ἔγω γε ἂν οὐκ ἤϊα ἐς ἄεθλον τοιόνδε· "οὔτε γὰρ συμφορῇ τοιῇδε κεχρημένον [a] οἰκός ἐστι ἐς "ὁμήλικας εὖ πρήσσοντας ἰέναι, οὔτε τὸ βούλεσθαι πάρα·
2 "πολλαχῇ τε [b] ἂν ἴσχον ἐμεωυτόν. νῦν δὲ, ἐπεί τε σὺ "σπεύδεις, καὶ δεῖ τοι χαρίζεσθαι, (ὀφείλω γάρ σε "ἀμείβεσθαι χρηστοῖσι,) ποιέειν εἰμὶ ἑτοῖμος ταῦτα. "παῖδά τε [c] σὸν, τὸν διακελεύεαι φυλάσσειν, ἀπήμονα

[b] μέτημί S.

41.

[a] ἀχαρίτην τοι M.P. ἀχάρι τήν τοι F.a. ἄχαρι b.c.d.V.S. ἄχαρί τι τοι Ald. R.e.

[b] Sic M.S.F.a.c. ὀνειδίζων b.d.e. et vulgo.

[c] οἰκείοισιν d. οἰκίησι e. οἰκίησιν S.

[d] πρὸς ποιήσαντος S.

[e] Ita Schæfer. Vulgo χρῄζω.

[f] Sic S.F.a.c.d.e. Vulgo ὁρμεωμένου.

[g] Sic S.F.a.c. Reiskius. Vulgo πρὸς δὲ τοῦτο. Valckenærius τοῦτο delet.

[h] χρεόν F. et sic constanter. Similiter a.

[i] Sic M.F.a.c. ἀπολαμπρύνεται Ald. V.S.

42.

[a] Sic M.F. et Parisini. Vulgo εἰκός. Mox ὁμίληκας S.

[b] Ita Ald. P.R.S. Wesselingio interprete, *multis me modis continuissem*. ἂν ἔσχον d. cum ἴσχον in marg. Alii ἀνίσχον.

[c] τὸν σὸν d.

" τοῦ φυλάσσοντος [d] εἵνεκεν προσδόκα τοι ἀπονοστή- " σειν."

43 Τοιούτοισι ἐπεί τε οὗτος ἀμείψατο Κροῖσον, [a] ἤϊσαν μετὰ ταῦτα ἐξηρτυμένοι λογάσι τε [b] νεηνίῃσι καὶ κυσί. 2 ἀπικόμενοι δὲ ἐς τὸν [c] Οὔλυμπον τὸ ὄρος, ἐζήτεον τὸ θηρίον· εὑρόντες δὲ, καὶ περιστάντες [d] αὐτὸ κύκλῳ, ἐσηκόντιζον. ἔνθα δὴ ὁ ξεῖνος, [e] οὗτος δὴ ὁ [f] καθαρθεὶς τὸν φόνον, καλεόμενος δὲ Ἄδρηστος, ἀκοντίζων τὸν [g] σῦν, τοῦ μὲν ἁμαρτάνει, τυγχάνει δὲ τοῦ Κροίσου παιδός. ὁ μὲν δὴ βληθεὶς τῇ αἰχμῇ ἐξέπλησε τοῦ ὀνείρου τὴν [h] φήμην. ἔθεε 3 δέ τις ἀγγελέων [i] τῷ Κροίσῳ τὸ γεγονός· ἀπικόμενος δὲ ἐς τὰς Σάρδις, τήν τε μάχην καὶ τὸν τοῦ παιδὸς μόρον [k] ἐσήμηνέ οἱ.

Adrastus jaculo aprum feriturus, ab eo aberrans, Crœsi filium occidit.

44 Ὁ δὲ Κροῖσος, τῷ θανάτῳ τοῦ παιδὸς συντεταραγμένος, μᾶλλόν τι ἐδεινολογέετο, ὅτι μιν ἀπ- 2 έκτεινε τὸν αὐτὸς φόνου ἐκάθηρε. [a] περιημεκτέων δὲ τῇ συμφορῇ δεινῶς, ἐκάλεε μὲν Δία Καθάρσιον, μαρτυρόμενος τὰ ὑπὸ τοῦ ξείνου πεπονθὼς εἴη· ἐκάλεε δὲ [b] Ἐπίστιόν τε καὶ Ἑταιρήϊον, τὸν αὐτὸν τοῦτον ὀνομάζων θεόν· τὸν μὲν Ἐπίστιον καλέων, [c] διότι δὴ [d] οἰκίοισι ὑποδεξάμενος τὸν ξεῖνον, φονέα τοῦ παιδὸς ἐλάνθανε βόσκων· τὸν δὲ

Luctus Crœsi.

[d] εἵνεκε e.

43.

[a] ἤεισαν S.

[b] Sic M.F.a.c.d. Vulgo νεηνίῃσί τε et S.

[c] Sic Ald. Ὄλυμπον M.S.P.F. a.c.e. Mox οὖρος pro ὄρος Schæferus. τὸ om. S.

[d] αὐτῷ S.

[e] Sic M. et alii. αὐτὸς δὴ S.b. e. et alii.

[f] Ita mss. et edd. vett. καταρθεὶς Stephanus.

[g] ὗν S.

[h] φῆμιν S. Recepit Schæfer. Conf. III. 153. Omnes φήμη V. 72. Formam Ionicam esse φῆμις notat Eustath. Il. p. 799, 10=716, 38. Od. p. 1956=828, 38.

[i] τῷ om. M.F.

[k] Sic M.e. proxime F. ubi ἐσήμεινε. Vulgo ἐσήμαινε.

44.

[a] ἠμεκτέων Lex. Herod. Suid. in Ἠμάκτεον.

[b] ἐπέστιον e. et mox.

[c] Sic M.V.S. et alii. Vulgo ὅτι.

[d] οἰκίῃσιν V.S.e. ἀποδεξάμενος S.b.d.

᾿Εταιρήϊον, ὡς φύλακα συμπέμψας [e] αὐτὸν, εὑρήκοι πο-
45 λεμιώτατον. Παρῆσαν δὲ μετὰ τοῦτο οἱ Λυδοὶ φέροντες [a] τὸν νεκρόν· ὄπισθε [b] δὲ εἵπετό οἱ ὁ φονεύς. στὰς δὲ οὗτος πρὸ τοῦ νεκροῦ, παρεδίδου ἑωυτὸν Κροίσῳ, προτείνων τὰς χεῖρας, ἐπικατασφάξαι μιν κελεύων τῷ νεκρῷ· λέγων τήν τε προτέρην ἑωυτοῦ συμφορὴν, καὶ ὡς ἐπ᾽ ἐκείνῃ τὸν [c] καθήραντα ἀπολωλεκὼς εἴη, οὐδέ οἱ εἴη βιώσιμον.
2 Κροῖσος δὲ τούτων [d] ἀκούσας, τόν τε Ἄδρηστον [e] κατοικτείρει, καίπερ ἐὼν ἐν κακῷ [f] οἰκηΐῳ τοσούτῳ, καὶ λέγει πρὸς αὐτόν· "Ἔχω, ὦ ξεῖνε, παρὰ σεῦ πᾶσαν τὴν
3 " δίκην, ἐπειδὴ [g] σεωυτοῦ καταδικάζεις θάνατον. εἶς δὲ " οὐ σύ μοι τοῦδε τοῦ κακοῦ αἴτιος, εἰ μὴ ὅσον ἀέκων " [h] ἐξεργάσαο· ἀλλὰ θεῶν κου τις, ὅς μοι καὶ πάλαι " προεσήμαινε τὰ μέλλοντα ἔσεσθαι." Κροῖσος [i] μέν
4 νυν ἔθαψε ὡς [k] οἰκὸς ἦν [l] τὸν ἑωυτοῦ παῖδα. Ἄδρηστος δὲ [m] ὁ Γορδίεω τοῦ Μίδεω, οὗτος δὴ ὁ φονεὺς μὲν τοῦ ἑωυτοῦ ἀδελφεοῦ γενόμενος, φονεὺς δὲ τοῦ καθήραντος, ἐπεί τε ἡσυχίη τῶν ἀνθρώπων ἐγένετο [n] περὶ τὸ σῆμα, συγγινωσκόμενος ἀνθρώπων εἶναι τῶν αὐτὸς [o] ἤειδε βαρυσυμφορώτατος, ἑωυτὸν [p] ἐπικατασφάζει τῷ τύμβῳ.

Adrastus culpa va- 21 cans, et meritus veniam, se ipse in mortui busto mactat.

[e] Sic M.V.S.P. αὐτῷ εὑρίσκοι P.c.d.e. Ald. αὐτῷ a.S.

45.

[a] τὸν om. S. a.c.

[b] δέ οἱ εἵπετο c.

[c] Sic M. καθήραντα F.a. καθάραντα S.P. et al.

[d] Sic S.P. et alii. ἀκούων M.F.

[e] κατοικτίζει e.

[f] οἰκείῳ F.

[g] σὺ ἑωυτοῦ S. et mox εἶ δὲ—τοῦ κακοῦ τούτου αἴτιος. Citat hæc Hermogenes Method. c. 32.

[h] ἐξεργάσας S.e. ἐξειργάσας d.

[i] μέν νιν S. Convenit scribentis mori abundans illa repetitio, ut VI. 109. IX. 21. Wess.

[k] Sic Reizius e Wesselingii emend. εἰκὸς P. et vulgo. ἐοικὸς M.F.

[l] θάψαι τὸν ἑωυτοῦ S.V.

[m] ὁ Γορδίεω—ἑωυτὸν ἐπικατασφ. om. V. et S. in textu.

[n] Sic M.F.a.c. παρὰ τὸ alii.

[o] Sic M.S.F.a.b.c. εἶδε P. et vulg. ἐντὸς εἶδε d. αὐτὸς εἶδε e. ἤδεε Steph. marg. ἠείδεε Schæfer. Wesselingius citat Hom. Od. ί. 205. ubi ἠείδει, et Il. χ. 280. ubi ἠείδεις.

[p] ἐπικατασφάζει τῷ τύμβῳ ἑαυτόν F.

Κροῖσος δὲ ἐπὶ δύο ἔτεα [q] ἐν πένθεϊ μεγάλῳ [r] καθῆστο, τοῦ παιδὸς ἐστερημένος.

Duobus annis post, Medis a Cyro devictis [1, 128.] Crœsus de Persarum potentia sollicitus, oracula explorat.

46 Μετὰ δὲ, ἡ [a] Ἀστυάγεος τοῦ Κυαξάρεω ἡγεμονίη
[b] καταιρεθεῖσα ὑπὸ Κύρου τοῦ Καμβύσεω, καὶ τὰ τῶν
[c] Περσέων πρήγματα αὐξανόμενα, πένθεος μὲν Κροῖσον
ἀπέπαυσε· ἐνέβησε δὲ ἐς φροντίδα, εἴ κως δύναιτο, πρὶν
[d] μεγάλους γενέσθαι τοὺς Πέρσας, [e] καταλαβεῖν αὐτῶν
2 αὐξανομένην τὴν δύναμιν. Μετὰ ὦν τὴν διάνοιαν ταύτην
[f] αὐτίκα ἀπεπειρᾶτο τῶν μαντηΐων τῶν τε ἐν Ἕλλησι,
καὶ [g] τοῦ ἐν Λιβύῃ· διαπέμψας ἄλλους ἄλλῃ, τοὺς μὲν
ἐς Δελφοὺς ἰέναι, τοὺς δὲ [h] ἐς Ἄβας τὰς Φωκέων, τοὺς
δὲ ἐς Δωδώνην· οἱ δέ τινες ἐπέμποντο παρά τε [i] Ἀμ-
φιάρεων καὶ παρὰ Τροφώνιον· οἱ δὲ, τῆς Μιλησίης ἐς
Βραγχίδας. ταῦτα μέν νυν τὰ Ἑλληνικὰ μαντήϊα, ἐς
3 τὰ ἀπέπεμψε μαντευσόμενος Κροῖσος. Λιβύης δὲ παρὰ
Ἄμμωνα [k] ἀπέστειλε ἄλλους χρησομένους. διέπεμπε δὲ
[l] πειρεώμενος τῶν μαντηΐων ὅ τι φρονέοιεν· ὡς, εἰ φρο-
νέοντα τὴν [m] ἀληθηΐην εὑρεθείη, ἐπείρηταί σφεα δεύτερα
πέμπων, εἰ [n] ἐπιχειρέοι ἐπὶ Πέρσας στρατεύεσθαι.

Modus, quo tenta-

47 Ἐν-

[q] ἐπένθει S.V. omissis reliquis, usque ad ἐστερημένος.

[r] κατῆστο Schæfer; et sic sane edidit Schweigh. qui msstorum scripturam non temere deserendam ostendit in annotationibus.

46.

[a] Αστυάγεω S. probante Wesselingio. ἡ om. c.

[b] καθαιρεθεῖσα a.S.

[c] Περσῶν a.b.c.e.

[d] μεγάλως αὐξηθῆναι R. Steph. marg. αὐξηθῆναι c.

[e] Sic M.S. et plerique. Al. καταβαλεῖν.

[f] αὐτίκα om. c.

[g] τῶν ἐν Λ. R.F. m. sec. τοῦ ἐν Δελφίσι S. ἐν Δελφοῖσι V. Seqq. usque ad c. 53. om. S.V.

[h] Sic M. et alii. τὰς F.a.m. sec. ubi fuit τῶν. ἐς Σάβας τῶν φ. Ald. Vide Leopardi Em. VI. 22.

[i] Αμφιάρηον F. Αμφιάρεον e. Ald.

[k] Sic Ald. P. et alii. ἀπέστελλε M.F.

[l] Sic Ald. P. et Parisini. πειρώμενος M.F.

[m] Sic Ald. ἀληθείην F. et Parisini.

[n] ἐπιχειρέῃ Schæferus ad Bosii Ellips. p. 754=470. cf. c. 53.

τειλάμενος δὲ τοῖσι Λυδοῖσι τάδε, [a] ἀπέπεμπε ἐς τὴν
διάπειραν τῶν χρηστηρίων· ἀπ' ἧς ἂν ἡμέρης ὁρμηθέωσι
ἐκ Σαρδίων, ἀπὸ ταύτης ἡμερολογέοντας τὸν λοιπὸν χρό-
νον, [b] ἑκατοστῇ ἡμέρῃ χρῆσθαι τοῖσι χρηστηρίοισι, [c] ἐπει-
ρωτέοντας ὅ τι ποιέων [d] τυγχάνοι ὁ Λυδῶν βασιλεὺς
2 Κροῖσος ὁ Ἀλυάττεω. ἅσσα δ' ἂν ἕκαστα τῶν χρηστη-
ρίων θεσπίσῃ, συγγραψαμένους ἀναφέρειν παρ' ἑωυτόν.
3 Ὅ τι μέν νυν τὰ λοιπὰ τῶν χρηστηρίων [e] ἐθέσπισε, οὐ
λέγεται πρὸς οὐδαμῶν· ἐν δὲ Δελφοῖσι ὡς [f] ἐσῆλθον
τάχιστα ἐς τὸ μέγαρον οἱ Λυδοὶ χρησόμενοι τῷ θεῷ, καὶ
[g] ἐπειρώτεον τὸ ἐντεταλμένον, ἡ Πυθίη ἐν ἑξαμέτρῳ τόνῳ
λέγει τάδε·

vit Crœsus oracula. Delphicum responsum. 22

4 Οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν, καὶ μέτρα θαλάσσης,
καὶ κωφοῦ συνίημι, καὶ οὐ φωνεῦντος ἀκούω.
[h] Ὀδμή μ' ἐς φρένας ἦλθε [i] κραταιρίνοιο χελώνης
ἑψομένης ἐν χαλκῷ ἅμ' ἀρνείοισι κρέεσσι,
ᾗ χαλκὸς μὲν ὑπέστρωται, χαλκὸν δ' ἐπιέσται.

48 Ταῦτα οἱ Λυδοὶ θεσπισάσης τῆς Πυθίης συγγραψάμενοι,
2 οἴχοντο ἀπιόντες ἐς τὰς Σάρδις. ὡς δὲ καὶ [a] ὧλλοι οἱ
περιπεμφθέντες παρῆσαν φέροντες τοὺς χρησμοὺς, [b] ἐν-

Probatum a Crœso.

47.

[a] ἀπέπεμψε F.

[b] Ita Bergler. Vid. Act. Lips. 1716. p. 421. ἕκαστος τῇ Ald. M.P.F.b.e. ἕκαστον τῇ a.c. Steph.

[c] Sic P. ἐπηρωτέοντας Ald. et alii. ἐπειρωτῶντας M.F. Sed F. habet ἐπειρωτῶντες pro v. l. et similiter ἡμερολογέοντας (τες).

[d] τυγχάνοι M.F. et alii. τυγχάνει Ald. c.

[e] Sic M.F.a.c. θεσπίσοι vulg. et e. θεσπίσῃ b. θεσπήσῃ d.

[f] ἦλθον F. pr.

[g] Sic P. ἐπηρώτεον Ald. C. ἐπειρώτων M.F.

[h] ὀδμὴ δ' ἐς P.

[i] Sic M.R. et credo F.a.c. κραταιρρίνοιο P. κραταιρήνοιο Ald. b.d.e. κρατειρὴ οἷα Steph. Marmor Cyriaci Ancon. p. 28. Murator. Thes. II. p. 587, 3. Citant hoc oraculum Aristides II. p. 377. Eusebius Pr. V. 34. Suidas in Κροῖσος. Mox χαλκὸς δ' ἐπιέσται Suid. improbante Wesselingio.

48.

[a] ὧλλοι] Sic a.c. ὤλλοι F.p.m. ὦλλοι edd. vett. ἄλλοι ed. Wessel. ὦλλοι Schæfer. οἱ ἄλλοι d.e.

[b] ἐνταῦθα e. et mox ἐπηρώτα.

θαῦτα ὁ Κροῖσος ἕκαστα ἀναπτύσσων ἐπώρα τῶν συγ-
3 γραμμάτων. τῶν μὲν δὴ οὐδὲν προσίετό μιν· ὁ δὲ, ὡς
τὸ ἐκ Δελφῶν ἤκουσε, αὐτίκα [c] προσεύχετό τε καὶ προσ-
εδέξατο, νομίσας μοῦνον εἶναι μαντήϊον τὸ ἐν Δελφοῖσι, 23
4 ὅτι οἱ ἐξευρήκεε τὰ αὐτὸς ἐποίησε. ἐπεί τε γὰρ δὴ διέ-
πεμψε παρὰ τὰ χρηστήρια τοὺς θεοπρόπους, φυλάξας
τὴν κυρίην τῶν ἡμερέων, [d] ἐμηχανήσατο τοιάδε· ἐπινοήσας
τὰ ἦν ἀμήχανον ἐξευρεῖν τε καὶ ἐπιφράσασθαι· [e] χελώ-
νην καὶ ἄρνα κατακόψας, ὁμοῦ ἕψεε αὐτὸς ἐν λέβητι
49 χαλκέῳ, χάλκεον ἐπίθημα [f] ἐπιθείς. Τὰ μὲν δὴ ἐκ
Δελφῶν οὕτω τῷ Κροίσῳ ἐχρήσθη· κατὰ δὲ τὴν Ἀμ-
φιάρεω τοῦ μαντηΐου [a] ἀπόκρισιν, οὐκ ἔχω [b] εἶπαι ὅ τι
τοῖσι Λυδοῖσι ἔχρησε ποιήσασι περὶ τὸ ἱρὸν τὰ νομιζό-
μενα. [c] οὐ γὰρ ὦν οὐδὲ [d] τοῦτο λέγεται ἄλλο γε, ἢ ὅτι
καὶ τοῦτο ἐνόμισε μαντήϊον ἀψευδὲς [e] ἐκτῆσθαι.

Amphiarai responsum ignorari, sed verum fuisse.

50 Μετὰ δὲ ταῦτα θυσίῃσι μεγάλῃσι τὸν ἐν Δελφοῖσι
θεὸν ἱλάσκετο. κτήνεά τε γὰρ τὰ θύσιμα πάντα τρισ-
χίλια ἔθυσε, κλίνας τε ἐπιχρύσους καὶ ἐπαργύρους, καὶ
φιάλας χρυσέας, καὶ εἵματα πορφύρεα, καὶ [a] κιθῶνας,
[b] νηήσας πυρὴν μεγάλην, κατέκαιε· ἐλπίζων τὸν θεὸν
2 μᾶλλόν [c] τι τούτοισι [d] ἀνακτήσεσθαι· Λυδοῖσί τε πᾶσι

Quibus rebus Deum Delphicum Crœsus placarit, et quæ munera Delphos miserit.

[c] προσήυχετο b.d.

[d] Sic P. Ald. et alii. ἐκμηχανᾶτο M.F.

[e] Vid. Luciani Jov. Confut. 14. Jov. Tragœd. 30. Bis accus. 1. etc.

[f] ἐνθεὶς d.

49.

[a] ὑπόκρισιν Schæferus.

[b] Sic Schæferus fere cum e. ubi εἶπας. Vulgo εἰπεῖν. cf. 57. Supra 22. III. 116.

[c] οὐ γὰρ ὡς δὴ τοῦτο λέγεται ἢ ὅτι d. λέγεται οὐδ' ἄλλο γε suspicatur Schweigh.

[d] τοῦτον F.a.b.c.d. scil. τὸν Ἀμφιάρεον.

[e] Sic Ald. b. et al. κεκτῆσθαι M.F.a.c.

50.

[a] χιτῶνας sex mss. Schweighæuseri.

[b] Sic R.F. Vulgo νήσας. cf. II. 107.

[c] τι om. e.

[d] Sic M.R. Parisini et F. e corr. Vulgo ἀνακτήσασθαι et F. pr.

προεῖπε, [e] θύειν πάντα τινὰ αὐτῶν [f] τοῦτο ὅ τι ἔχοι ἕκα-
στος. ὡς δὲ ἐκ τῆς θυσίης ἐγένετο, καταχεάμενος χρυσὸν
ἄπλετον, ἡμιπλίνθια ἐξ αὐτοῦ ἐξήλαυνε· ἐπὶ μὲν τὰ
μακρότερα, ποιέων [g] ἑξαπάλαιστα· ἐπὶ δὲ τὰ βραχύ-
3 τερα, τριπάλαιστα· ὕψος δὲ, παλαιστιαῖα· ἀριθμὸν
δὲ, ἑπτακαίδεκα καὶ ἑκατόν· καὶ [h] τουτέων, [i] ἀπέφθου
χρυσοῦ τέσσαρα, [k] τρίτον ἡμιτάλαντον ἕκαστον ἕλκοντα·
τὰ δὲ ἄλλα ἡμιπλίνθια, λευκοῦ χρυσοῦ, σταθμὸν διτά-
4 λαντα. [l] ἐποιέετο δὲ καὶ λέοντος εἰκόνα χρυσοῦ ἀπέφθου,
5 ἕλκουσαν σταθμὸν τάλαντα δέκα. οὗτος ὁ λέων, ἐπεί τε
κατεκαίετο ὁ ἐν Δελφοῖσι νηὸς, κατέπεσε ἀπὸ τῶν ἡμι-
πλινθίων· [m] ἐπὶ γὰρ τούτοισι ἵδρυτο· καὶ νῦν κεῖται ἐν
τῷ Κορινθίων θησαυρῷ, ἕλκων σταθμὸν ἕβδομον ἡμιτά-
51 λαντον. ἀπετάκη γὰρ αὐτοῦ τέταρτον ἡμιτάλαντον. Ἐπι-
τελέσας δὲ ὁ Κροῖσος ταῦτα ἀπέπεμπε ἐς Δελφούς· καὶ
τάδε ἄλλα [a] ἅμα τοῖσι· κρητῆρας δύο [b] μεγάθεϊ μεγά-
λους, χρύσεον καὶ ἀργύρεον· τῶν ὁ μὲν χρύσεος [c] ἐκέετο 24
ἐπὶ δεξιὰ ἐσιόντι ἐς τὸν νηὸν, ὁ δὲ ἀργύρεος ἐπ' ἀριστερά.
2 μετεκινήθησαν δὲ καὶ οὗτοι ὑπὸ τὸν νηὸν κατακαέντα·
καὶ ὁ μὲν χρύσεος κεῖται ἐν τῷ Κλαζομενίων θησαυρῷ,
ἕλκων σταθμὸν [d] ἔννατον ἡμιτάλαντον καὶ ἔτι δυώδεκα
μνέας· ὁ δὲ ἀργύρεος, ἐπὶ τοῦ [e] προνηΐου τῆς γωνίης,

[e] θύειν om. e.
[f] Sic F. τούτῳ ὅ τι vulgo. Mox ἔχει c.
[g] ἐξαπάλαστα — τριπάλαστα — παλαστιαῖα M.F.
[h] τοῦτον b.d.
[i] Etymol. p. 650, 35.
[k] Ita Schweighæuserus. Vulgo τριά ἡμιτάλαντα.
[l] Citat Priscianus de Ponder. p. 1347. cf. Gronovius Pec. Vet. I. 3. δὲ om. e.
[m] ἐπὶ γὰρ—Κορινθίων om. d.e. et mox ἀπετάκη—ἡμιτάλαντον.

51.

[a] ἅμα αὐτοῖσι F.c. et a. pro v. l.
[b] μεγέθεϊ M.a. μεγέθει F.
[c] ἔκειτο F. Mox ὑπὸ τὸν νηὸν κατακαέντα citat Priscian. XVIII. p. 1211.
[d] ἔνατον F.a. ἕβδομον R.c.
[e] νηΐου d.e.

χωρέων ἀμφορέας ἑξακοσίους. ἐπικίρναται γὰρ ὑπὸ Δελ-
3 φῶν [f] Θεοφανίοισι. φασὶ δέ μιν Δελφοὶ Θεοδώρου [g] τοῦ Σαμίου ἔργον εἶναι· καὶ ἐγὼ δοκέω, οὐ γὰρ τὸ συντυχὸν φαίνεταί μοι ἔργον εἶναι. καὶ πίθους τε ἀργυρέους [h] τέσσαρας ἀπέπεμψε, οἳ ἐν τῷ Κορινθίων θησαυρῷ ἑστᾶσι·
4 καὶ [i] περιρραντήρια δύο ἀνέθηκε, χρύσεόν τε καὶ ἀργύρεον· τῶν τῷ χρυσέῳ ἐπιγέγραπται, ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ,
5 φαμένων εἶναι ἀνάθημα· οὐκ ὀρθῶς λέγοντες. ἔστι γὰρ καὶ τοῦτο Κροίσου. ἐπέγραψε δὲ τῶν τις Δελφῶν, Λακεδαιμονίοισι βουλόμενος [k] χαρίσασθαι· τοῦ ἐπιστάμενος τὸ [l] οὔνομα, οὐκ ἐπιμνήσομαι. ἀλλ' ὁ μὲν παῖς, δι' οὗ τῆς χειρὸς ῥέει τὸ ὕδωρ, Λακεδαιμονίων ἐστί· οὐ μέντοι
6 τῶν γε περιρραντηρίων οὐδέτερον. ἄλλα τε ἀναθήματα οὐκ ἐπίσημα πολλὰ ἀπέπεμψε ἅμα τούτοισι [m] ὁ Κροῖσος, καὶ χεύματα ἀργύρεα κυκλοτερέα· καὶ δὴ καὶ γυναικὸς εἴδωλον χρύσεον τρίπηχυ, τὸ Δελφοὶ τῆς ἀρτοκόπου τῆς Κροίσου εἰκόνα λέγουσι εἶναι. πρὸς δὲ, καὶ τῆς ἑωυτοῦ γυναικὸς τὰ ἀπὸ τῆς δειρῆς ἀνέθηκε ὁ Κροῖσος, καὶ τὰς ζώνας. Ταῦτα μὲν ἐς Δελφοὺς ἀπέπεμψε.

52 Quæ item Amphiarao.

τῷ δὲ Ἀμφιάρεῳ, πυθόμενος αὐτοῦ τήν τε ἀρετὴν καὶ τὴν πάθην, ἀνέθηκε σάκος τε χρύσεον πᾶν, ὁμοίως καὶ αἰχμὴν στερεὴν πᾶσαν χρυσέην, [a] τὸ ξυστὸν [b] τῇσι λόγχῃσι ἐὸν ὁμοίως χρύσεον· τὰ [c] ἔτι καὶ ἀμφότερα ἐς ἐμὲ ἦν κείμενα ἐν Θήβῃσι, καὶ Θηβαίων ἐν τῷ νηῷ τοῦ Ἰσμηνίου Ἀπόλλωνος.

[f] Sic M.F.a.b.c. Θεοφανίῃσι Ald. Vulg. μιν mox om. e.
[g] τοῦ Σαμίων P.d. Mox ἔργων b.
[h] τέσσερας Schæferus.
[i] περιρράντια P.d.
[k] Sic Ald. χαρίζεσθαι M. et alii.
[l] ὄνομα c.
[m] ὁ om. e.

52.

[a] καὶ τὸ ξυστὸν e. edd. vett. καὶ om. M.P. et alii. Videatur Ammonius p. 100.
[b] τοῖσι λόγχοισι P.
[c] Sic M.F.a.c. καὶ om. P. al. Mox Θηβέων Reiskius.

53 [a]Τοῖσι δὲ ἄγειν μέλλουσι τῶν Λυδῶν ταῦτα τὰ δῶρα ἐς τὰ ἱρὰ ἐνετέλλετο ὁ Κροῖσος [b]ἐπειρωτᾶν τὰ χρηστήρια, εἰ [c]στρατεύηται ἐπὶ Πέρσας Κροῖσος, καὶ εἴ τινα 2 στρατὸν ἀνδρῶν [d]προσθέοιτο φίλον; Ὡς δὲ [e]ἀπικόμενοι ἐς τὰ ἀπεπέμφθησαν οἱ Λυδοὶ ἀνέθεσαν τὰ ἀναθήματα, ἐχρέωντο τοῖσι χρηστηρίοισι, λέγοντες· “Κροῖσος, ὁ Λυδῶν τε καὶ ἄλλων ἐθνέων βασιλεὺς, νομίσας τάδε 25 μαντήϊα εἶναι μοῦνα ἐν ἀνθρώποισι, ὑμῖν τε ἄξια δῶρα ἔδωκε τῶν ἐξευρημάτων, καὶ νῦν ὑμέας [f]ἐπειρωτᾷ, εἰ [g]στρατεύηται ἐπὶ Πέρσας, καὶ εἴ τινα στρατὸν ἀν- 3 δρῶν προσθέοιτο σύμμαχον;” Οἱ μὲν ταῦτα [h]ἐπειρώτεον. τῶν δὲ μαντηΐων ἀμφοτέρων ἐς τὠυτὸ αἱ γνῶμαι συνέδραμον, προλέγουσαι Κροίσῳ, ἢν στρατεύηται ἐπὶ Πέρσας, μεγάλην ἀρχήν μιν [i]καταλῦσαι. τοὺς δὲ Ἑλλήνων δυνατωτάτους συνεβούλευόν οἱ [k]ἐξευρόντα φίλους προσθέσθαι.

Utriusque oraculi de bello Persis inferendo responsa.

54 Ἐπεί τε δὲ [a]ἀνενειχθέντα τὰ θεοπρόπια ἐπύθετο ὁ Κροῖσος, ὑπερήσθη τε τοῖσι χρηστηρίοισι· [b]πάγχυ τε ἐλπίσας καταλύσειν τὴν Κύρου βασιληΐην, [c]πέμψας αὖτις ἐς Πυθὼ, Δελφοὺς δωρέεται, πυθόμενος αὐτῶν τὸ πλῆθος, κατ' ἄνδρα δύο στατῆρσι ἕκαστον χρυ-

Crœsi gaudium, et in singulos Delphos liberalitas, remunerantes rursus Crœsum et Lydos.

53.

[a] Cum superioribus c. 46. ita conjungunt V.S. τοῖσι δὲ πεμπομένοισι κήρυξι μετὰ δώρων τοιαῦτα ἐνετέλλετο ἐρωτᾷν εἰ etc.

[b] εἰρωτᾷν e.

[c] στρατεύοιτο P. probante Wesselingio. Sed cf. 46. et infra 75.

[d] Sic M.V.S.R.P.F.a.b.c.d.e. Ald. προσθέηται Steph. ed. sec. probante Schæfero ad Bosium v. ἄν.

[e] ἀπίκοντο V.S. Iidem ἐπέμφθησαν οἱ κήρυκες et mox καὶ ἔχρεον. Schæferus ἐχρέοντο. Mox ὁ Λυδῶν βασιλεὺς καὶ ἄλλων ἐθνῶν S.

[f] Sic mss. nonnulli. Vulgo ἐπερωτᾷ cum S.

[g] στρατεύοιτο P. Mox προσθέηται edd. post Stephanum, renitentibus mss. cum Aldo.

[h] Sic P. Parisini. ἐπηρώτων S. ἐπηρώτεον Ald. ἐπειρώτων M.F.

[i] Sic vel καταλύσαι M.S.V.R. F.a.c. Alii καταλύσειν.

[k] ἐξευρόντας sine φίλους e.

54.

[a] ἀνενεχθέντα F.S. sed ut videtur e corr.

[b] ταχὺ S.V. Mox καταλῦσαι S.

[c] πέμψας αὖτις usque ad ἐνεφορέετο αὐτοῦ om. S.V. αὖθις pro αὖτις F.a.

2 σοῦ. Δελφοὶ δὲ ἀντὶ τούτων ἔδοσαν Κροίσῳ καὶ Λυδοῖσι προμαντηΐην καὶ [d] ἀτελείην καὶ προεδρίην, καὶ ἐξεῖναι τῷ βουλομένῳ [e] αὐτέων [f] γενέσθαι Δελφὸν ἐς τὸν [g] ἀεὶ χρόνον.

55 Pythia quid responderit Crœso tertium consulenti de imperii sui diuturnitate.

55 Δωρησάμενος δὲ τοὺς Δελφοὺς ὁ Κροῖσος, ἐχρηστηριάζετο τὸ τρίτον. ἐπεί τε γὰρ δὴ παρέλαβε τοῦ μαντηΐου [a] ἀληθηΐην, ἐνεφορέετο αὐτοῦ. [b] ἐπειρώτα δὲ τάδε χρηστηριαζόμενος, εἴ οἱ πολυχρόνιος ἔσται ἡ μουναρχίη.
2 ἡ δὲ Πυθίη οἱ [c] χρᾷ τάδε·

Ἀλλ' [d] ὅτ' ἂν ἡμίονος βασιλεὺς Μήδοισι γένηται,
καὶ τότε, Λυδὲ ποδαβρὲ, [e] πολυψήφιδα παρ' Ἕρμον
φεύγειν, μηδὲ μένειν, μήδ' αἰδεῖσθαι κακὸς εἶναι.

56 Crœsi gaudium auctum, et consilium de adjungenda sibi Græcorum amicitia. Lacedæmonii, oriundi ab Hellenibus, principes generis Dorici;

56 Τούτοισι ἐλθοῦσι τοῖσι ἔπεσι ὁ Κροῖσος πολλόν τι μάλιστα πάντων ἥσθη, ἐλπίζων ἡμίονον [a] οὐδαμὰ ἀντ' ἀνδρὸς [b] βασιλεύσειν Μήδων· οὐδ' ὦν αὐτὸς, οὐδὲ οἱ ἐξ
2 αὐτοῦ, [c] παύσεσθαί κοτε τῆς ἀρχῆς. Μετὰ δὲ ταῦτα ἐφρόντιζε ἱστορέων, τοὺς [d] ἂν Ἑλλήνων δυνατωτάτους ἐόντας προσκτήσαιτο φίλους. ἱστορέων δὲ, εὕρισκε Λακεδαιμονίους καὶ Ἀθηναίους προέχοντας, τοὺς μὲν τοῦ Δω-
3 ρικοῦ [e] γένεος, τοὺς δὲ τοῦ Ἰωνικοῦ. [f] ταῦτα γὰρ ἦν τὰ 26

[d] Sic M.R.F.a.b.c. ἀγγελίην d. e. et vulgo.
[e] αὐτῶν a.c.d.
[f] γίνεσθαι F.a.b.c.d.
[g] αἰεὶ F.d.

55.

[a] Sic Ald. e. ἀληθείην F. et alii Paris. τὴν ἀληθηΐην Schæferus. Aliquid in F. ante τοῦ erasum.
[b] καὶ δὴ καὶ ἐς Δελφοὺς χρηστηριαζόμενος ἐπηρώτα V.S.
[c] χρᾶται S.
[d] Habet Dio Chrys. XIII. p. 220. Mox δὴ τότε ex formula reponendum docet Porsonus Advers. p. 311. Sed vulg. servat Rufinus de Metris Comicis f. CXLV. b. ed. Paris. Conf. Bastii Comment. Palæogr. p. 826.
[e] Citat Plato Rep. VIII. p. 566. Clausula in Athenæo XIV. p. 630. Euseb. Præp. V. 24. ubi μηδὲ δεῖσθαι κακὸν εἶναι. Schweigh. dedit πολυψήφιδα cum S.F.a.c. πολυψηφίδα Ald. πολυψηφῖδα alii.

56.

[a] οὐδαμῇ S. οὐδαμὰ F.a.
[b] Sic M.V.S.F.a.c.d.e. Vulgo βασιλεύειν.
[c] παύσασθαι Ald. b.S.
[d] ἂν om. S. ubi mox προσκοτῆσαι. et paullo infra Λακεδαιμονίους τε καί.
[e] γένους a.
[f] Hinc usque ad principium c. 69. desunt S.V. Vatic. Pro ἐόντα Dobræus conjecit ἔθνεα non

προκεκριμένα ἐόντα τὸ ἀρχαῖον· τὸ μὲν, Πελασγικόν·
τὸ δὲ, Ἑλληνικὸν ἔθνος. καὶ τὸ μὲν, [g] οὐδαμῇ κω ἐξεχώ-
4 ρησε· τὸ δὲ, [h] πουλυπλάνητον κάρτα. ἐπὶ μὲν γὰρ Δευ-
καλίωνος βασιλῆος οἴκεε γῆν τὴν [i] Φθιῶτιν· ἐπὶ δὲ Δώ-
ρου τοῦ Ἕλληνος, τὴν ὑπὸ τὴν [k] Ὄσσαν τε καὶ τὸν [l] Οὔ-
λυμπον χώρην, καλεομένην δὲ Ἱστιαιῶτιν· ἐκ δὲ τῆς
Ἱστιαιώτιδος ὡς ἐξανέστη ὑπὸ Καδμείων, οἴκεε ἐν Πίνδῳ,
5 [m] Μακεδνὸν καλεόμενον. ἐνθεῦτεν δὲ [n] αὖτις ἐς τὴν Δρυο-
πίδα μετέβη, καὶ ἐκ τῆς Δρυοπίδος οὕτως ἐς Πελοπόν-
νησον ἐλθὸν, Δωρικὸν ἐκλήθη.

Athenienses, a Pelasgis, Ionici. Hellenicæ gentis variæ sedes.

57 Ἣν τινα δὲ γλῶσσαν [a] ἵεσαν οἱ Πελασγοὶ, οὐκ ἔχω
ἀτρεκέως [b] εἶπαι. [c] εἰ δὲ [d] χρεών ἐστι τεκμαιρόμενον λέ-
γειν τοῖσι νῦν ἔτι ἐοῦσι Πελασγῶν, τῶν ὑπὲρ Τυρσηνῶν
Κρηστῶνα πόλιν οἰκεόντων, οἳ ὅμουροί κοτε ἦσαν τοῖσι
νῦν Δωριεῦσι καλεομένοισι, οἴκεον δὲ τηνικαῦτα γῆν τὴν
2 νῦν Θεσσαλιῶτιν καλεομένην· [e] καὶ τὴν Πλακίην τε καὶ
Σκυλάκην Πελασγῶν [f] οἰκισάντων ἐν Ἑλλησπόντῳ, οἳ
σύνοικοι ἐγένοντο Ἀθηναίοισι· καὶ ὅσα ἄλλα Πελασγι-
κὰ ἐόντα πολίσματα τὸ οὔνομα μετέβαλε· [g] εἰ τούτοισι
τεκμαιρόμενον δεῖ λέγειν, ἦσαν οἱ Πελασγοὶ βάρβαρον

Pelasgi barbara lingua usi. Gens Attica, Pelasgicarum una, transiit ad Hellenas.

improbante Porsono. Vide *Tracts* p. 260.

[g] οὐδαμή κω e. οὐδαμῆι κω F.

[h] Sic Ald. πολυπλάνητον F. πολλυπλάνητον c. Monet Koenius ad Gregor. dial. Ion. 12. formam πουλὺς nusquam alibi apud nostrum reperiri nisi h. l. et III. 38. ubi F. πολύ. Citat hæc Steph. Byzant. in Bibl. Coisl. p. 288.

[i] Φθιῆτιν Schæfer. et mox Ἱστιαιῆτιν.

[k] Ὄσσην H. Steph. et recentiores ante Gronovium. mss. ὄσσαν, et VII. 128.

[l] Sic Ald. Ὄλυμπον P.F.a.b.c.d. et M. ut videtur.

[m] Μακεδνὸν habet hinc Steph. Byz. in voce, sed errans: non enim loci, sed gentis nomen est. Vide VIII. 43. et Salmas. Ling. Hellen. p. 277. Wess.

[n] αὖθις F.

57.

[a] ἴεσαν d.e.F. pr. Ald.

[b] Sic c. Schæfer. Vulgo εἰπεῖν.

[c] εἰ δὲ om. Ald. d.e.

[d] χρεόν F.

[e] καὶ τῶν τὴν Π. Schæfer.

[f] οἰκησάντων mss. et edd. ante Wesseling.

[g] ἐν τ. Ald. b.d.

3 γλῶσσαν ἱέντες. εἰ τοίνυν ἦν καὶ πᾶν [h] τοιοῦτο τὸ Πε-
λασγικὸν, τὸ Ἀττικὸν ἔθνος, [i] ἐὸν Πελασγικὸν, ἅμα τῇ
μεταβολῇ τῇ ἐς Ἕλληνας καὶ τὴν γλῶσσαν μετέμαθε.
4 καὶ γὰρ δὴ οὔτε [k] οἱ Κρηστωνιῆται οὐδαμοῖσι τῶν νῦν
σφεας περιοικεόντων εἰσὶ ὁμόγλωσσοι, οὔτε οἱ Πλακιη- 27
νοί· σφίσι δὲ, ὁμόγλωσσοι· [l] δηλοῦσί τε, ὅτι, τὸν [m] ἠνεί-
καντο γλώσσης χαρακτῆρα μεταβαίνοντες ἐς ταῦτα τὰ
58 χωρία, τοῦτον ἔχουσι ἐν φυλακῇ. Τὸ δὲ Ἑλληνικὸν
γλώσσῃ μὲν, ἐπεί τε ἐγένετο, αἰεί κοτε τῇ αὐτῇ [a] δια-
2 χρέεται, ὡς [b] ἐμοὶ καταφαίνεται εἶναι. ἀποσχισθὲν μέν-
τοι ἀπὸ τοῦ Πελασγικοῦ, ἐὸν [c] ἀσθενὲς, ἀπὸ σμικροῦ
τεο τὴν ἀρχὴν [d] ὁρμεώμενον, αὔξηται ἐς πλῆθος τῶν ἐθνέων
[e] πολλῶν, μάλιστα προσκεχωρηκότων αὐτῷ καὶ ἄλλων
3 ἐθνέων βαρβάρων συχνῶν. [f] ὡς δὴ ὦν [g] ἐμοί τε δοκέει οὐδὲ
τὸ Πελασγικὸν ἔθνος, ἐὸν βάρβαρον, [h] οὐδαμὰ μεγάλως
αὐξηθῆναι.

Quare plurimum creverint Hellenes; Pelasgi, minus.

59 Τούτων δὴ ὦν τῶν ἐθνέων τὸ μὲν Ἀττικὸν κατεχόμενόν
τε καὶ [a] διεσπασμένον ἐπυνθάνετο ὁ Κροῖσος ὑπὸ Πεισι-
στράτου τοῦ Ἱπποκράτεος, τοῦτον τὸν χρόνον τυραννεύοντος
2 Ἀθηναίων. Ἱπποκράτεϊ γὰρ, ἐόντι ἰδιώτῃ, καὶ θεωρέοντι
τὰ Ὀλύμπια, τέρας ἐγένετο μέγα. θύσαντος γὰρ αὐτοῦ
τὰ ἱρὰ, οἱ λέβητες ἐπεστεῶτες, καὶ κρεῶν τε ἐόντες ἔμ-

Pisistratus Crœsi tempore Atheniensium tyrannus, ab a. 561. ad 528, tribus intervallis annos duode-

[h] Sic F. a. c. Vulgo τοιοῦτον. Mox ἔθνος τὸ Ἀττικὸν Ald.

[i] ἐὸν τὸ Π. c. Πελασγικὸν in F. obelo notatum suprasc. habet γρ. πέλας.

[k] Dionys. Hal. Antiq. I. 29. p. 77. hæc citans habet Κροτωνιᾶται.

[l] δηλοῦσι δὲ e.

[m] ἠνείκαντο F. Vulgo εἰνείκαντο.

58.

[a] Ita Schæferus. διαχρᾶται M. F. a. χρέεται Ald. e. cf. IV. 50. χρᾶται c. d.

[b] ἐμοὶ om. F.

[c] ἀσφενὲς Ald. e.

[d] ὁρμεώμενον Ald. et alii. ὁρμώμενον M. F. c.

[e] πολλῶ b. d. Mox βαρβάρων om. e.

[f] Sic Ald. e. πρὸς δὴ ὦν M. F. a. b. c. d.

[g] ἐμοί γε Schæferus ex Reiskii emend.

[h] οὐδαμὰ F. a. c.

59.

[a] διεσπαρμένον e.

πλεοι καὶ ὕδατος, ἄνευ πυρὸς ἔζεσαν, καὶ ὑπερέβαλον.
3 [b] Χίλων δὲ ὁ Λακεδαιμόνιος [c] παρατυχὼν, καὶ θεησάμενος τὸ τέρας, [d] συνεβούλευε Ἱπποκράτεϊ, πρῶτα μὲν γυναῖκα [e] τεκνοποιὸν μὴ ἄγεσθαι ἐς τὰ οἰκία· εἰ δὲ [f] τυγχάνει ἔχων, δεύτερα τὴν γυναῖκα ἐκπέμπειν· καὶ εἴ
4 τίς οἱ τυγχάνει ἐὼν παῖς, τοῦτον ἀπείπασθαι. οὔκων, ταῦτα παραινέσαντος Χίλωνος, πείθεσθαι θέλειν τὸν Ἱπποκράτεα. [g] γενέσθαι οἱ μετὰ ταῦτα τὸν Πεισίστρατον τοῦτον, ὃς, στασιαζόντων τῶν παράλων καὶ τῶν ἐκ τοῦ πεδίου Ἀθηναίων, καὶ τῶν μὲν [h] προεστεῶτος Μεγακλέος τοῦ [i] Ἀλκμαίωνος, τῶν δὲ ἐκ τοῦ πεδίου Λυκούργου Ἀριστολαΐδεω, [k] καταφρονήσας τὴν τυραννίδα, ἤγειρε τρίτην
5 στάσιν. συλλέξας δὲ [l] στασιώτας, καὶ τῷ λόγῳ τῶν ὑπερακρίων προστὰς, μηχανᾶται [m] τοιάδε. τρωματίσας ἑωυτόν τε καὶ ἡμιόνους, ἤλασε ἐς τὴν ἀγορὴν τὸ ζεῦγος, ὡς ἐκπεφευγὼς τοὺς ἐχθροὺς, οἵ μιν ἐλαύνοντα ἐς ἀγρὸν ἠθέλησαν ἀπολέσαι δῆθεν· ἐδέετό τε τοῦ δήμου φυλακῆς τινος πρὸς αὐτοῦ κυρῆσαι, πρότερον εὐδοκιμήσας ἐν τῇ πρὸς Μεγαρέας γενομένῃ στρατηγίῃ, [n] Νίσαιάν τε ἑλὼν,
6 καὶ ἄλλα ἀποδεξάμενος μεγάλα ἔργα. Ὁ δὲ δῆμος ὁ τῶν Ἀθηναίων ἐξαπατηθεὶς, ἔδωκέ οἱ τῶν ἀστῶν καταλέξας ἄνδρας τούτους, οἳ δορυφόροι μὲν οὐκ ἐγένοντο Πεισιστράτου, κορυνηφόροι δέ. ξύλων γὰρ κορύνας ἔχον-
7 τες [o] εἵποντό οἱ ὄπισθε. συνεπαναστάντες δὲ οὗτοι ἅμα

viginti regnans. [5, 65.] Tyrannus laudabilis. Ejus patri quod portentum obtigerit, et quid consilii dederit Chilon. Atheniensium civitas in tres factiones scissa, Megacle, Lycurgo, Pisistrato, alio alias partes foventibus. Quo astu sibi dominationem Pisistratus compararit. 28

[b] Sic M. Ald. omnes Schweighæuseri. Χείλων Steph. et recentiores ante Gronovium.
[c] ἐπιτυχὼν e.
[d] συνεβούλες Gronovius ex M.
[e] τεκνοποιεῖν c. γυναῖκα μὴ ἄγεσθαι τεκνοποιὸν F.
[f] τυγχάνοι hic et mox Schæferus; quod hic præbet P.
[g] γενέσθαι δέ οἱ Reiskius.
[h] Sic F.a.c. προεστῶτος b.e. Ald. Mox Μεγακλέους b.c.d.
[i] Ἀλκμέωνος M.F.a. cf. 61. et 64.
[k] Citat Priscian. p. 1187.
[l] στρατιώτας R.F.c.
[m] τοιόνδε R.c.
[n] Νίσσαιαν c.
[o] ἕποντο Schæfer.

Πεισιστράτῳ, ἔσχον τὴν ἀκρόπολιν. ἔνθα δὴ ὁ Πεισίστρα-
τος ἦρχε Ἀθηναίων, οὔτε τιμὰς τὰς ἐούσας συνταράξας,
οὔτε θέσμια μεταλλάξας· ἐπί τε τοῖσι κατεστεῶσι
60 [p] ἔνεμε τὴν πόλιν, κοσμέων καλῶς τε καὶ εὖ. Μετὰ δὲ
οὐ πολλὸν χρόνον τὠυτὸ φρονήσαντες οἵ τε τοῦ Μεγα-
κλέους [a] στασιῶται καὶ οἱ τοῦ Λυκούργου, ἐξελαύνουσί
2 μιν. οὕτω μὲν Πεισίστρατος ἔσχε τὸ πρῶτον Ἀθήνας,
καὶ τὴν τυραννίδα οὔκω κάρτα ἐρριζωμένην ἔχων, ἀπέ-
3 βαλε. οἱ δὲ ἐξελάσαντες Πεισίστρατον, αὖτις ἐκ νέης
ἐπ᾽ ἀλλήλοισι ἐστασίασαν. περιελαυνόμενος δὲ τῇ [b] στά-
σει ὁ Μεγακλέης, ἐπεκηρυκεύετο Πεισιστράτῳ, εἰ βού-
λοιτό οἱ τὴν θυγατέρα ἔχειν γυναῖκα ἐπὶ τῇ τυραννίδι.
4 ἐνδεξαμένου δὲ τὸν λόγον καὶ ὁμολογήσαντος ἐπὶ τού-
τοισι Πεισιστράτου, μηχανῶνται δὴ ἐπὶ τῇ κατόδῳ
πρῆγμα εὐηθέστατον, ὡς ἐγὼ εὑρίσκω, μακρῷ· ἐπεί γε
ἀπεκρίθη ἐκ παλαιτέρου [c] τοῦ βαρβάρου ἔθνεος τὸ Ἑλλη-
νικὸν, ἐὸν καὶ δεξιώτερον, καὶ εὐηθίης ἠλιθίου ἀπηλλαγ-
μένον μᾶλλον· εἰ καὶ [d] τότε γε οὗτοι ἐν Ἀθηναίοισι,
[e] τοῖσι πρώτοισι λεγομένοισι εἶναι Ἑλλήνων σοφίην, μη-
5 χανῶνται τοιάδε. Ἐν τῷ δήμῳ τῷ Παιανιέϊ ἦν γυνὴ,
τῇ οὔνομα ἦν Φύη, [f] μέγαθος ἀπὸ [g] τεσσέρων πηχέων
6 ἀπολείπουσα τρεῖς δακτύλους, καὶ ἄλλως εὐειδής. ταύ-
την τὴν γυναῖκα σκευάσαντες πανοπλίῃ, ἐς ἅρμα [h] ἐσ-

Ejectus, imperium rursus consequitur.

[p] Sic M.F.c. ἔμενε Ald. P. et duo Paris.

60.

[a] Sic R.M. et alii. στρατιῶται vulgo cum F.e.

[b] στάσι Schæferus, στάσεϊ cum Ald. Borheckius.

[c] Sic b.d.e. edd. ante Gronov. τὸ βάρβαρον ἔθνος τοῦ Ἑλληνικοῦ M. R.F.a. τὸ βαρβαρικὸν ἔθνος τοῦ E. c. ἔθνεος τοῦ βαρβάρου τὸ Ἑλληνικὸν P.

[d] τό γε d. γε om. e.

[e] αὐτοῖσι c. F.m. sec. et a. Ἑλλήνων σοφίην om. e.

[f] Sic b. et Schæfer. Ceteri μέγεθος.

[g] τεσσέρων πηχέων M.F. τεσσάρων π. a.b.c.d. πηχέων τεσσάρων Ald. e.

[h] ἐμβιβάσαντες P.d.e.

βιβάσαντες, καὶ προδέξαντες σχῆμα οἷόν τι ἔμελλε [i] εὐπρεπέστατον [k] φανέεσθαι ἔχουσα, ἤλαυνον ἐς τὸ ἄστυ, προδρόμους κήρυκας προπέμψαντες, οἳ τὰ ἐντεταλμένα
7 ἠγόρευον [l] ἐς τὸ ἄστυ ἀπικόμενοι, λέγοντες τοιάδε· "Ὦ "Ἀθηναῖοι, δέκεσθε ἀγαθῷ νόῳ Πεισίστρατον, τὸν αὐτὴ "ἡ Ἀθηναίη τιμήσασα ἀνθρώπων μάλιστα, κατάγει ἐς
8 "τὴν ἑωυτῆς ἀκρόπολιν." Οἱ μὲν δὴ ταῦτα διαφοιτέοντες ἔλεγον· αὐτίκα δὲ ἔς τε τοὺς δήμους φάτις ἀπί- 29
κετο, ὡς Ἀθηναίη Πεισίστρατον κατάγει· καὶ [m] οἱ ἐν τῷ ἄστεϊ [n] πειθόμενοι τὴν γυναῖκα εἶναι αὐτὴν τὴν θεὸν, προσεύχοντό τε τὴν ἄνθρωπον, καὶ ἐδέκοντο [o] τὸν Πεισίστρατον.

61 Ἀπολαβὼν δὲ τὴν τυραννίδα τρόπῳ τῷ εἰρημένῳ ὁ Πεισίστρατος, κατὰ τὴν ὁμολογίην τὴν πρὸς Μεγακλέα
2 γενομένην γαμέει [a] τοῦ Μεγακλέους τὴν θυγατέρα. [b] οἷα δὲ παίδων τέ οἱ ὑπαρχόντων [c] νεηνιέων, καὶ λεγομένων ἐναγέων εἶναι τῶν [d] Ἀλκμαιωνιδέων, οὐ βουλόμενός οἱ γενέσθαι ἐκ τῆς νεογάμου γυναικὸς τέκνα, ἐμίσγετό οἱ
3 οὐ [e] κατὰ νόμον. τὰ μέν νυν πρῶτα ἔκρυπτε ταῦτα ἡ γυνή· μετὰ δὲ, εἴτε ἱστορεύσῃ, εἴτε καὶ οὔ, φράζει τῇ
4 ἑωυτῆς μητρί· ἡ δὲ, τῷ ἀνδρί. τὸν δὲ δεινόν τι ἔσχε, ἀτιμάζεσθαι [f] πρὸς Πεισιστράτου. [g] ὀργῇ δὲ, ὡς εἶχε, κα-
5 ταλλάσσετο τὴν ἔχθρην τοῖσι [h] στασιώτῃσι. μαθὼν δὲ ὁ

Uxore abutens, quam alteram duxerat, Megaclis filiam, coactus rursus decedere, ivit Eretriam, et ibi se opibus muniit.

[i] εὐπρεπέστατος Schæfer. Si quid mutandum εὐπρεπεστάτη mallet Schweighæuser.
[k] Sic F. et al. φανεῖσθαι Ald. φαίνεσθαι b.d.e.
[l] ἀπικόμενοι ἐς τὸ ἄστυ F.
[m] οἱ om. vulgo. Suprascriptum est in F.a.p.m.
[n] Sic Ald. πυθόμενοι M.c.d.F. pr.
[o] τὸν om. F.a.c.d.

61.

[a] Sic M.F.a.b.c.d. Vulgo τὴν θυγατέρα αὐτοῦ.
[b] οἷα δὴ c.
[c] νεηνίων b.d.
[d] Ἀλκμεωνιδέων P.F.a.c.
[e] Sic M. Plutarch. Malign. p. 858. et alii. κατὰ τὸν v.e. et vulg.
[f] ἐκ c.
[g] ὀργῆς δὲ Schæfer. ἔσχε pro εἶχε e.
[h] στρατιώτ. Ald. P.b.d.e. F. pr. Emendavit Leopardus Em. VII.

Πεισίστρατος τὰ ποιεύμενα [i] ἐπ' ἑωυτῷ, ἀπαλλάσσετο
ἐκ τῆς χώρης τὸ παράπαν. ἀπικόμενος δὲ ἐς [k] Ἐρέτριαν,
6 ἐβουλεύετο ἅμα τοῖσι παισί. Ἱππίεω δὲ [l] γνώμην νική-
σαντος, ἀνακτᾶσθαι ὀπίσω τὴν τυραννίδα, ἐνθαῦτα ἤγειρον
δωτίνας ἐκ τῶν πολίων, αἵ τινές σφι [m] προηδέατό κού
τι. πολλῶν [n] δὲ μεγάλα παρασχόντων χρήματα, Θη-
7 βαῖοι [o] ὑπερεβάλοντο τῇ δόσεϊ τῶν χρημάτων. μετὰ δέ,
οὐ πολλῷ λόγῳ [p] εἰπεῖν, χρόνος διέφυ, καὶ πάντα σφι
8 ἐξήρτυτο ἐς τὴν κάτοδον. καὶ γὰρ Ἀργεῖοι μισθωτοὶ
[q] ἀπίκοντο ἐκ Πελοποννήσου· καὶ Νάξιός σφι ἀνὴρ ἀπιγ-
μένος ἐθελοντὴς, τῷ οὔνομα ἦν Λύγδαμις, προθυμίην πλεί-
στην παρείχετο, κομίσας καὶ χρήματα καὶ ἄνδρας.

62 Ἐξ

Anno undecimo exilii Marathonem occupat. Amphilyti vaticinium.

Ἐρετρίης δὲ ὁρμηθέντες, διὰ [a] ἑνδεκάτου ἔτεος [b] ἀπίκοντο
2 ὀπίσω. καὶ πρῶτον τῆς Ἀττικῆς ἴσχουσι Μαραθῶνα. ἐν
δὲ τούτῳ τῷ [c] χώρῳ σφι στρατοπεδευομένοισι, οἵ τε ἐκ
τοῦ ἄστεος [d] στασιῶται ἀπίκοντο, ἄλλοι τε ἐκ τῶν δήμων
προσέρρεον, οἷσι ἡ τυραννὶς πρὸ ἐλευθερίης ἦν ἀσπαστό-
3 τερον. [e] οὗτοι μὲν δὴ [f] συνηλίζοντο. Ἀθηναίων δὲ οἱ ἐκ τοῦ
ἄστεος, ἕως μὲν Πεισίστρατος τὰ χρήματα ἤγειρε, καὶ
[g] μεταῦτις ὡς ἔσχε Μαραθῶνα, λόγον οὐδένα εἶχον. ἐπεί
τε δὲ ἐπύθοντο ἐκ τοῦ Μαραθῶνος αὐτὸν [h] πορεύεσθαι ἐπὶ
4 τὸ ἄστυ, οὕτω δὴ βοηθέουσι ἐπ' αὐτόν. καὶ [i] οὗτοί τε

7. Similem confusionem in I. 59. III. 144. V. 104. IX. 2. notat Wesseling.

[i] ἀπ' ἑαυτοῦ e.

[k] Ἐρέτρειαν F. et c. seq. Ἐρετρείης.

[l] γνώμῃ R.F.a.c. Supra Ἱππίου e. Ald.

[m] Sic R. προηδέατο M.P.F. προειδέατο edd.

[n] δὲ καὶ μ. d.

[o] ὑπερεβάλλοντο c. Mox δόσι conj. Schweighæuserus.

[p] εἶπαι Schæferus.

[q] ἀπίκατο Schæferus.

62.

[a] ἑνδεκαιδεκάτου P.

[b] ἀπικέατο Schæferus, et infra ἐποθέατο pro ἐπύθοντο.

[c] χρόνῳ R.c.e. Ald.

[d] στρατιῶται F. pr. Mox ἀπίκαντο b.

[e] Sic M.R. codd. Schweighæuseri. οὕτω edd.

[f] συνηυλίζοντο P.

[g] μετ' αὖτις F. μεταῦθις e. Mox ἔσκε Ald.

[h] Sic M.R.F.a.b.c.d. στρατεύεσθαι Ald. e.

[i] οὗτοι γε P.

πανστρατιῇ [k] ἤϊσαν ἐπὶ τοὺς κατιόντας· καὶ οἱ ἀμφὶ Πεισίστρατον, ὡς ὁρμηθέντες ἐκ Μαραθῶνος ἤϊσαν ἐπὶ τὸ 30 ἄστυ, ἐς τὠυτὸ συνιόντες [l] ἀπικνέονται ἐπὶ Παλληνίδος
5 Ἀθηναίης ἱρὸν, καὶ ἀντία ἔθεντο τὰ ὅπλα. ἐνθαῦτα θείῃ πομπῇ [m] χρεώμενος παρίσταται Πεισιστράτῳ Ἀμφίλυτος ὁ [n] Ἀκαρνὰν, χρησμολόγος ἀνὴρ, ὅς οἱ προσιὼν χρᾷ ἐν ἑξαμέτρῳ τόνῳ, τάδε λέγων·

Ἔρριπται δ' ὁ βόλος, τὸ δὲ δίκτυον ἐκπεπέτασται·
[o] θύννοι δ' οἰμήσουσι σεληναίης διὰ νυκτός.

Inde adortus Athenienses, urbem tertio recipit.

63 Ὁ μὲν δή οἱ ἐνθεάζων χρᾷ τάδε· Πεισίστρατος δὲ, [a] συλλαβὼν τὸ χρηστήριον, καὶ φὰς δέκεσθαι τὸ χρησθὲν,
2 ἐπῆγε τὴν στρατιήν. Ἀθηναῖοι δὲ οἱ ἐκ τοῦ ἄστεος πρὸς ἄριστον τετραμμένοι [b] ἦσαν δὴ τηνικαῦτα· καὶ μετὰ τὸ ἄριστον [c] μετεξέτεροι αὐτῶν, οἱ μὲν, πρὸς κύβους, οἱ δὲ, πρὸς ὕπνον. οἱ δὲ ἀμφὶ Πεισίστρατον ἐσπεσόντες, τοὺς
3 Ἀθηναίους τρέπουσι. φευγόντων δὲ τούτων, βουλὴν ἐνθαῦτα σοφωτάτην Πεισίστρατος ἐπιτεχνᾶται, ὅκως μήτε
4 [d] ἁλισθεῖεν ἔτι οἱ Ἀθηναῖοι, διεσκεδασμένοι τε εἶεν. ἀναβιβάσας τοὺς παῖδας ἐπὶ ἵππους, προέπεμπε· οἱ δὲ καταλαμβάνοντες τοὺς φεύγοντας, ἔλεγον τὰ ἐντεταλμένα ὑπὸ Πεισιστράτου, θαρσέειν τε κελεύοντες, καὶ ἀπιέναι [e] ἕκαστος ἐπὶ τὰ ἑωυτοῦ.

Obsides capti, et missi Naxum bello

64 Πειθομένων δὲ τῶν Ἀθηναίων, οὕτω δὴ Πεισίστρατος τὸ τρίτον σχὼν Ἀθήνας,

[k] Ita Schæferus. ἦσαν Ald. et mss. cf. supra 43.

[l] ἀπικνέεται—ἔθετο Ald. ἀπικνέεται—ἔθεντο e. Ceteri omnes quod editum est.

[m] χρώμενος c.

[n] Ἀκαρνᾶν b.d. Ἀχαρνεὺς Schæferus cum Valcken.

[o] θῦνοι] θύνοι c.b.F. θύννοι F. ex em.

63.

[a] λαβὼν e.

[b] ἔσαν Schæferus ex Wesseling. emend.

[c] μετεξέτεροι. Suidas in v.

[d] ἁλισθεῖεν. Suidas in v.

[e] Sic Ald. et mss. plerique. ἕκαστοϛ a. ἕκαστον Steph. Schæfer.

domitam: Delus expiata: Megacles et alii profugi.

ἐρρίζωσε τὴν τυραννίδα ἐπικούροισί τε πολλοῖσι, καὶ χρη-
μάτων [a] συνόδοισι, τῶν μὲν, αὐτόθεν, τῶν δὲ, ἀπὸ Στρυ-
2 μόνος ποταμοῦ συνιόντων· ὁμήρους τε τῶν παραμεινάντων
Ἀθηναίων καὶ μὴ αὐτίκα φυγόντων παῖδας λαβὼν, καὶ
καταστήσας ἐς Νάξον· (καὶ γὰρ ταύτην ὁ Πεισίστρα-
τος κατεστρέψατο πολέμῳ, καὶ ἐπέτρεψε [b] Λυγδάμι·)
[c] πρός γε ἔτι τούτοισι, τὴν νῆσον Δῆλον καθήρας ἐκ τῶν
3 λογίων. καθήρας δὲ ὧδε. ἐπ᾽ ὅσον ἔποψις τοῦ ἱροῦ εἶχε,
ἐκ τούτου τοῦ χώρου παντὸς ἐξορύξας τοὺς νεκροὺς, μετε-
4 φόρεε ἐς ἄλλον χῶρον τῆς Δήλου. καὶ Πεισίστρατος
μὲν ἐτυράννευε Ἀθηναίων· Ἀθηναίων δὲ οἱ μὲν ἐν τῇ μάχῃ 31
ἐπεπτώκεσαν, οἱ δὲ αὐτῶν μετὰ [d] Ἀλκμαιωνίδεω ἔφευγον
ἐκ τῆς [e] οἰκηΐης.

65

Lacedæmoniis post pessimas leges quibus usi erant, optimæ a Lycurgo datæ a. 884.

Τοὺς μέν νυν Ἀθηναίους τοιαῦτα τὸν χρόνον τοῦτον
ἐπυνθάνετο ὁ Κροῖσος κατέχοντα· τοὺς δὲ Λακεδαιμο-
νίους ἐκ [a] κακῶν τε μεγάλων πεφευγότας, καὶ ἐόντας
2 ἤδη τῷ πολέμῳ κατυπερτέρους Τεγεητέων. ἐπὶ γὰρ
Λέοντος βασιλεύοντος καὶ [b] Ἡγησικλέος ἐν Σπάρτῃ, τοὺς
ἄλλους πολέμους εὐτυχέοντες οἱ Λακεδαιμόνιοι, πρὸς
3 Τεγεήτας [c] μούνους προσέπταιον. τὸ δὲ ἔτι πρότερον τού-
των, καὶ κακονομώτατοι [d] ἦσαν σχεδὸν πάντων Ἑλλήνων,
κατά τε σφέας αὐτοὺς, καὶ ξείνοισι ἀπρόσμικτοι. με-
4 τέβαλον δὲ ὧδε ἐς εὐνομίην. Λυκούργου, τῶν Σπαρ-
τιητέων δοκίμου ἀνδρὸς, ἐλθόντος ἐς Δελφοὺς ἐπὶ τὸ
χρηστήριον, ὡς ἐσήϊε ἐς τὸ μέγαρον, εὐθὺς ἡ Πυθίη λέ-
γει τάδε·

64.

[a] προσόδοισι (συν) e.

[b] Sic M. Λύγδαμι F. Λυγδάμῃ P.b.e. Λυγδάμει edd.

[c] πρὸς δὲ Schæfer.

[d] Ἀλκμεωνίδ. M.F.a.

[e] Sic M.F.a.c. οἰκίης b.d.e. edd.

65.

[a] κακῶν τε καὶ b.

[b] Ἡγησικλέους c.

[c] μόνους Ald. a.e.

[d] ἔσαν Schæferus semper.

5 Ἥκεις, ὦ [c] Λυκόοργε, ἐμὸν [f] ποτὶ πίονα νηὸν,
Ζηνὶ φίλος, καὶ πᾶσιν Ὀλύμπια δώματ' ἔχουσι.
[g] διζῶ ἤ σε θεὸν μαντεύσομαι, [h] ἢ ἄνθρωπον.
ἀλλ' ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι, ὦ Λυκόοργε.

6 Οἱ μὲν δή τινες πρὸς τούτοισι λέγουσι καὶ φράσαι αὐτῷ τὴν Πυθίην τὸν νῦν κατεστεῶτα κόσμον Σπαρτιήτῃσι. ὡς δ' αὐτοὶ Λακεδαιμόνιοι λέγουσι, Λυκοῦργον ἐπιτροπεύσαντα [i] Λεωβώτεω, ἀδελφιδέου μὲν ἑωυτοῦ, βασιλεύοντος δὲ Σπαρτιητέων, ἐκ Κρήτης ἀγαγέσθαι ταῦτα. ὡς γὰρ ἐπετρόπευσε τάχιστα, μετέστησε τὰ [k] νόμιμα πάντα, καὶ ἐφύλαξε ταῦτα μὴ παραβαίνειν. 7 μετὰ δὲ, τὰ ἐς πόλεμον ἔχοντα, ἐνωμοτίας καὶ τριηκάδας καὶ συσσίτια, πρός τε τούτοισι τοὺς ἐφόρους καὶ γέροντας ἔστησε Λυκοῦργος.

66 Οὕτω μὲν μεταβαλόντες εὐνομήθησαν. τῷ δὲ Λυκούργῳ τελευτήσαντι ἱρὸν εἱσάμενοι, σέβονται μεγάλως. οἷα δὲ ἔν τε χώρῃ ἀγαθῇ, καὶ πλήθεϊ οὐκ ὀλίγων ἀνδρῶν, ἀνά τε ἔδραμον αὐτίκα, καὶ [a] εὐθηνήθησαν. 2 καὶ δή σφι οὐκέτι [b] ἀπέχρα ἡσυχίην ἄγειν, ἀλλὰ καταφρονήσαντες Ἀρκάδων κρέσσονες εἶναι, ἐχρηστηριάζοντο ἐν Δελφοῖσι ἐπὶ πάσῃ τῇ Ἀρκάδων χώρῃ. ἡ δὲ Πυθίη σφι χρᾷ τάδε·

Lycurgus a Lacedæmoniis relatus inter Heroas. Illorum prima clades in bello Tegeatico primo. 32

3 [c] Ἀρκαδίην μ' αἰτεῖς; μέγα μ' αἰτεῖς· οὔ [d] τοι δώσω.

[e] Sic M.F. e corr. Λυκοῦργε b. Λυκοέργε vulgo. Vid. Homer. Il. ζ'. 130. η'. 144. Apoll. Rhod. I. 162. et schol.

[f] Schol. Leid. ad Aristid. I. p. 189. ποτὶ ναὸν ἀνιών.

[g] Sic F.a.b. Vulgo δίζω.

[h] Sic M.F.a.c. Plutarch. II. p. 1098. Max. Tyr. XXIX. p. 347. Galen. Protr. pr. Euseb. Præp. V. 27. Themist. XV. p. 193. ἠὲ καὶ ἄνθρωπον b. ἠὲ καὶ ἄνδρα d.e. edd. Themist. XIX. p. 225.

[i] Λεωβάτεω R.a.c.F. e corr.

[k] νόμια R.a. νόμαια probaret Wesseling. collato III. 99. Mox παραβαίνων R.

66.

[a] Sic Steph. ed. 2. et seqq. εὐθυνήθησαν Ald. e. εὐθενήθησαν F. a. Steph. ed. 1.

[b] Sic M.F.a.c. ἀπέχρη b.d.e. et vulgo.

[c] Citant Dio Chrys. XVII. p. 251. Pausan. VIII. 1. Eustath. Il. β'. p. 301, fin.=228, med.

[d] Habet Polyæn. I. 8. Steph. Byz. in Τεγέα.

πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασι,
οἵ σ' ἀποκωλύσουσιν. ἐγὼ δέ τοι οὔ τι μεγαίρω·
δώσω τοι Τεγέην ποσσίκροτον ὀρχήσασθαι,
καὶ καλὸν πεδίον σχοίνῳ διαμετρήσασθαι.

4 Ταῦτα ὡς ἀπενειχθέντα ἤκουσαν οἱ Λακεδαιμόνιοι, Ἀρκάδων μὲν τῶν ἄλλων ἀπείχοντο· οἱ δὲ, πέδας φερόμενοι, ἐπὶ Τεγεήτας [e] ἐστρατεύοντο, χρησμῷ κιβδήλῳ
5 πίσυνοι, ὡς δὴ [f] ἐξανδραποδιούμενοι τοὺς Τεγεήτας. ἑσσωθέντες δὲ τῇ συμβολῇ, ὅσοι [g] αὐτῶν ἐζωγρήθησαν, πέδας τε ἔχοντες τὰς [h] ἐφέροντο αὐτοὶ, καὶ σχοίνῳ διαμε-
6 τρησάμενοι τὸ πεδίον τὸ Τεγεητέων, ἐργάζοντο. αἱ δὲ πέδαι αὗται, ἐν τῇσι ἐδεδέατο, ἔτι καὶ [i] ἐς ἐμὲ ἦσαν σῶαι ἐν Τεγέῃ, περὶ τὸν νηὸν τῆς [k] Ἀλέης Ἀθηναίης κρεμάμεναι.

67 Id totum infelix. Pythiæ responsa. Qui sint *Agathoergi* Spartæ.

Κατὰ μὲν δὴ τὸν πρότερον πόλεμον συνεχέως αἰεὶ κακῶς ἀέθλεον πρὸς τοὺς Τεγεήτας. κατὰ δὲ τὸν κατὰ Κροῖσον χρόνον, καὶ τὴν Ἀναξανδρίδεώ τε καὶ Ἀρίστωνος βασιληΐην ἐν Λακεδαίμονι, ἤδη οἱ Σπαρτιῆται κατυπέρτεροι τῷ πολέμῳ [a] ἐγεγόνεσαν, τρόπῳ τοιῷδε γενόμενοι.
2 ἐπειδὴ αἰεὶ τῷ πολέμῳ [b] ἑσσοῦντο ὑπὸ Τεγεητέων, πέμψαντες θεοπρόπους ἐς Δελφοὺς, [c] ἐπειρώτεον, τίνα ἂν θεῶν ἱλασάμενοι κατύπερθε τῷ πολέμῳ Τεγεητέων γε-
3 νοίατο. ἡ δὲ Πυθίη σφι ἔχρησε, τὰ Ὀρέστεω τοῦ Ἀγαμέμνονος ὀστέα ἐπαγαγομένους. ὡς δὲ ἀνευρεῖν οὐκ οἷοί τε [d] ἐγινέατο τὴν θήκην τοῦ Ὀρέστεω, ἔπεμπον αὖτις

[e] ἐστρατοπεδεύοντο P.b.d.
[f] ἐξανδραποδιεύμενοι Schæfer.
[g] αὐτέων Ald. αὐτῶν M.F.a. b.d.
[h] ἔφερον b.d.e.
[i] ἐς ἐμεῦ Ald. Mox σόαι Schæferus.
[k] Sic Ald. M. Ἀλαίης Steph.

67.
[a] ἐγεγόνεισαν b.d.e.
[b] Sic mss. plures. ἑσσῶντο a. et vulg.
[c] ἐπηρώτεον Ald. ἐπηρώτων M.
[d] Sic Ald. P.R.b.d.e. ἐγίνοντο M.F.a. ἐγένοντο c. Supra ἐπαγομένους Ald.

[e] τὴν ἐς θεὸν [f] ἐπειρησομένους τὸν χῶρον ἐν τῷ κέοιτο [g] ὁ
4 Ὀρέστης. εἰρωτῶσι δὲ ταῦτα τοῖσι θεοπρόποισι λέγει ἡ Πυθίη τάδε·

[h] Ἔστι τις [i] Ἀρκαδίης Τεγέη [k] λευρῷ ἐνὶ χώρῳ,
ἔνθ' ἄνεμοι πνείουσι δύο κρατερῆς ὑπ' ἀνάγκης,
καὶ τύπος ἀντίτυπος, καὶ πῆμ' ἐπὶ [l] πήματι κεῖται.
ἔνθ' Ἀγαμεμνονίδην κατέχει φυσίζοος αἶα·
τὸν σὺ κομισσάμενος, [m] Τεγέης ἐπιτάρροθος ἔσσῃ.

5 Ὡς δὲ καὶ ταῦτα ἤκουσαν [n] οἱ Λακεδαιμόνιοι, ἀπεῖχον 33
τῆς ἐξευρέσιος οὐδὲν ἔλασσον, πάντα διζήμενοι· ἐς οὗ δὴ
[o] Λίχης, τῶν ἀγαθοεργῶν καλεομένων Σπαρτιητέων,
6 ἀνεῦρε. οἱ δὲ ἀγαθοεργοὶ εἰσὶ τῶν ἀστῶν, ἐξιόντες ἐκ τῶν ἱππέων αἰεὶ οἱ πρεσβύτατοι, πέντε ἔτεος ἑκάστου· [p] τοὺς δεῖ τοῦτον τὸν ἐνιαυτὸν, τὸν ἂν ἐξίωσι ἐκ τῶν ἱππέων, Σπαρτιητέων τῷ κοινῷ διαπεμπομένους μὴ [q] ἐλινύειν ἄλ-
68 λους ἄλλῃ. [a] Τούτων ὦν τῶν ἀνδρῶν [b] Λίχης ἀνεῦρε ἐν Τεγέῃ, καὶ συντυχίῃ χρησάμενος καὶ σοφίῃ. ἐούσης γὰρ τοῦτον τὸν χρόνον ἐπιμιξίης πρὸς τοὺς Τεγεήτας, ἐλθὼν ἐς χαλκήϊον, ἐθηεῖτο σίδηρον ἐξελαυνόμενον· καὶ [c] ἐν θώυ-
2 ματι ἦν, [d] ὁρέων τὸ [e] ποιεόμενον. μαθὼν δέ μιν ὁ χαλκεὺς ἀποθωυμάζοντα, εἶπε [f] παυσάμενος τοῦ ἔργου·

Orestis ossa Tegeæ sepulta cubitorum septem, inventa per Licham. Bello superiores facti Lacedæmonii, et Peloponnesus

[e] Sic M.F.c.b. ἐς τὸν θεὸν Ald. τὴν delet Wesseling.
[f] Sic M. et alii. ἐπερεισομένους e. ἐπερησομ. Ald.
[g] ὁ om. F.a.b.e.
[h] Corruptissime citat Schol. Aristid. II. p. 172.
[i] Αρκαδίη Τεγέης P.d.e.
[k] λευκῷ c.R.
[l] πήμασι Ald. et κομισάμενος. Hoc cum c.b.e.F. pr. Vide Steph. Byz. in Τεγέα.
[m] Τεγέαις Steph. Byz. Τεγέῃς conj. Schweighæuser.
[n] οἱ Λακεδαιμόνιοι om. P.b.d.e.
[o] Λιχίδης b.
[p] τοὺς δὴ d.e.
[q] Sic F. ἐλιννύειν P.a.c. Vide VII. 56. VIII. 71. Apollon. Rhod. I. 589. Leopard. Em. I. 24. Koen. ad Gregor. Dial. Ion. 92. Foes. Oecon. Hippocr. in v.
68.
[a] τούτων M.F.a.c. τουτέων vulg.
[b] γρ. Λίχνης Steph. marg.
[c] θώματι P.b.
[d] Sic Ald. P. ὁρῶν M.F.a.c.
[e] ποιεύμενον d. et Schæfer.
[f] παυσαμένου Steph. marg.

ex magna parte ab iis devicta.

“ [g]Ἦ κου ἂν, ὦ ξεῖνε Λάκων, εἴ περ εἶδες τό περ ἐγὼ,
“ κάρτα ἂν ἐθώυμαζες, ὅκου νῦν οὕτω τυγχάνεις θῶυμα
3 “ [h]ποιεύμενος τὴν ἐργασίην τοῦ σιδήρου. ἐγὼ γὰρ [i]ἐν 95
“ τῇδε θέλων τῇ αὐλῇ φρέαρ ποιήσασθαι, ὀρύσσων ἐπ-
“ έτυχον σορῷ ἑπταπήχεϊ· ὑπὸ δὲ ἀπιστίης [k]μὴ μὲν
“ γενέσθαι [l]μηδαμὰ μέζονας ἀνθρώπους τῶν νῦν, ἀνῷξα
“ αὐτὴν, καὶ εἶδον τὸν νεκρὸν μήκεϊ ἶσον ἐόντα τῇ σορῷ.
4 “ μετρήσας δὲ, συνέχωσα ὀπίσω.” Ὁ μὲν [m]δή οἱ ἔλεγε
τά περ ὀπώπεε· ὁ δὲ, [n]ἐννώσας τὰ λεγόμενα, [o]συνεβάλ-
λετο τὸν Ὀρέστεα κατὰ τὸ θεοπρόπιον τοῦτον εἶναι, τῇδε
[p]συμβαλλεόμενος· τοῦ χαλκέος δύο ὁρέων φύσας, τοὺς
ἀνέμους εὕρισκε ἐόντας· τὸν δὲ ἄκμονα καὶ τὴν σφύραν,
τόν τε τύπον καὶ τὸν ἀντίτυπον· τὸν δὲ ἐξελαυνόμενον
σίδηρον, τὸ πῆμα ἐπὶ [q]πήματι κείμενον· κατὰ τοιόνδε τι
5 εἰκάζων, ὡς ἐπὶ κακῷ ἀνθρώπου σίδηρος ἀνεύρηται. Συμ-
βαλλεόμενος δὲ ταῦτα, καὶ ἀπελθὼν ἐς Σπάρτην, ἔφραζε
Λακεδαιμονίοισι πᾶν τὸ πρῆγμα. οἱ δὲ, ἐκ λόγου πλα-
6 στοῦ ἐπενείκαντές οἱ αἰτίην, [r]ἐδίωξαν. ὁ δὲ, ἀπικόμενος
ἐς Τεγέην, καὶ φράζων τὴν ἑωυτοῦ συμφορὴν πρὸς τὸν
χαλκέα, ἐμισθοῦτο παρ' οὐκ [s]ἐκδιδόντος τὴν αὐλήν. χρό- 34
7 νῳ δὲ ὡς ἀνέγνωσε, ἐνοικίσθη. ἀνορύξας δὲ τὸν τάφον,
καὶ τὰ ὀστέα συλλέξας, οἴχετο φέρων ἐς Σπάρτην. καὶ
ἀπὸ τούτου τοῦ χρόνου, ὅκως [t]πειρῴατο ἀλλήλων, πολ-

[g] ἦ που Etymol. p. 434.
[h] Sic M. et alii. ποιεόμενος c. ποιούμενος vulgo.
[i] Sic Ald. ἐν τῇδε θέλων ἐν τῇ M.F.a.b.c.d.
[k] μηδὲν Reiskius. Sed v. Gregor. Dial. Ion. 62. et Koen.
[l] μηδαμᾶ] μηδαμὰ F.a.c.
[m] Sic M.F. οἱ om. c.e. edd.
[n] ἐννοήσας e. vulg. explicat Suidas.
[o] συνεβάλετο a.d.
[p] συμβαλλόμενος M.F.b.c. συμβαλόμενος a.d. Infra συμβαλόμενος M.F.a.c. συμβαλλόμενος b.d.e. δὲ om. b.d.e.
[q] πήμασι Ald.
[r] ἐδίωκον R.c.
[s] ἐκδιδοῦντος b.d.e. Citat hæc Pollux I. 75.
[t] ἐπιπειρῴατο corr. Schweighæuserus vulg. ἐπειρώατο, qui et πειρῴατο suggessit, quod melius putavi. ἐπειρέατο c.

λῷ κατυπέρτεροι τῷ πολέμῳ ἐγίνοντο οἱ Λακεδαιμόνιοι· ἤδη δέ σφι καὶ ἡ πολλὴ τῆς Πελοποννήσου ἦν κατεστραμμένη.

Fœdus inter Crœsum et Lacedæmonios initum.

69 Ταῦτα δὴ ὦν πάντα πυνθανόμενος ὁ Κροῖσος, ἔπεμπε ἐς Σπάρτην [a] ἀγγέλους δῶρά τε φέροντας, καὶ δεησομένους συμμαχίης, ἐντειλάμενός τε [b] τὰ λέγειν χρῆν. οἱ
2 δὲ, ἐλθόντες ἔλεγον· "Ἔπεμψε ἡμέας Κροῖσος ὁ Λυδῶν "τε καὶ ἄλλων ἐθνέων βασιλεὺς, λέγων τάδε· Ὦ Λα"κεδαιμόνιοι, χρήσαντος τοῦ θεοῦ τὸν Ἕλληνα φίλον "[c] προσθέσθαι, ὑμέας γὰρ πυνθάνομαι προεστάναι τῆς "Ἑλλάδος, ὑμέας ὦν κατὰ τὸ χρηστήριον προσκαλέο"μαι, φίλος τε θέλων γενέσθαι καὶ σύμμαχος [d] ἄνευ
3 "τε δόλου καὶ ἀπάτης." Κροῖσος μὲν δὴ ταῦτα [e] δι' ἀγγέλων ἐπεκηρυκεύετο. Λακεδαιμόνιοι δὲ, ἀκηκοότες καὶ αὐτοὶ τὸ θεοπρόπιον τὸ Κροίσῳ γενόμενον, ἥσθησάν [f] τε τῇ ἀφίξεϊ τῶν Λυδῶν, καὶ ἐποιήσαντο ὅρκια ξεινίης πέρι καὶ [g] ξυμμαχίης· καὶ γάρ τινες αὐτοὺς εὐεργεσίαι
4 εἶχον ἐκ Κροίσου πρότερον ἔτι γεγονυῖαι. πέμψαντες γὰρ οἱ Λακεδαιμόνιοι ἐς Σάρδις, χρυσὸν ὠνέοντο, ἐς ἄγαλμα βουλόμενοι χρήσασθαι [h] τούτῳ, τὸ νῦν τῆς Λακωνικῆς ἐν [i] Θόρνακι ἵδρυται Ἀπόλλωνος· Κροῖσος δέ σφι ὠνεομένοισι ἔδωκε δωτίνην.

Crater a Lacedæmoniis Crœso missus, interceptus.

70 [a] Τούτων τε ὦν [b] εἵνεκεν οἱ Λακεδαιμόνιοι τὴν συμμαχίην ἐδέξαντο, καὶ ὅτι ἐκ

69.

[a] ἀγγέλους om. e. Cum superioribus ita nectit S. τοῦ ἰωνικοῦ. (c. 56.) καὶ δὴ καὶ ἐξέπεμψεν ἐς Σ. ἀ. ἴα τε φέροντας δῶρά τε φέροντας.

[b] τὰ χρῆν λέγειν F. τὰ χρὴ λέγειν b.d.

[c] προθέσθαι d.e.

[d] ἄνευ δόλου τε καὶ c. τε om. e.

[e] διαγγέλλων S.V.e. Vulg. defendit Wessel. citans c. 99. VII. 203. Alcidam. Or. Ulyss. p. 185. Strabon. XV. p. 1040. B.

[f] τῇ τε ἀ. b.e. ἀπίξι Schæfer.

[g] συμμαχίης Ald. F.c.e. ξενίης—συμμαχίης S.

[h] τοῦτο τὸ P.F.a.c. Schæfer. Schweig.

[i] Θώρακι S.V.

70.

[a] τούτων S.M.F.a.e. τουτέων Ald.

[b] Sic M.S.V. Vulgo εἵνεκα. εἵνεκε e. ib. mox δὲ ὦν.

2 πάντων σφέας προκρίνας [c] Ἑλλήνων, αἱρέετο φίλους. καὶ
τοῦτο μὲν, αὐτοὶ [d] ἦσαν ἑτοῖμοι [e] ἐπαγγείλαντι· τοῦτο δὲ,
ποιησάμενοι κρητῆρα χάλκεον, ζωδίων τε ἔξωθεν πλή-
σαντες περὶ τὸ χεῖλος, καὶ [f] μεγάθεϊ τριηκοσίους [g] ἀμ-
φορέας χωρέοντα [h] ἦγον, δῶρον βουλόμενοι ἀντιδοῦναι
3 Κροίσῳ. οὗτος ὁ κρητὴρ οὐκ ἀπίκετο ἐς Σάρδις, δι' αἰτίας
διφασίας λεγομένας τάσδε· οἱ μὲν Λακεδαιμόνιοι λέ-
γουσι, ὡς ἐπεί τε ἀγόμενος ἐς τὰς Σάρδις ὁ κρητὴρ [i] ἐγί-
νετο κατὰ τὴν Σαμίην, πυθόμενοι Σάμιοι [k] ἀπελοίατο
4 αὐτὸν, νηυσὶ μακρῇσι ἐπιπλώσαντες. αὐτοὶ δὲ Σάμιοι
λέγουσι, ὡς ἐπεί τε [l] ὑστέρησαν οἱ ἄγοντες τῶν Λακεδαι-
μονίων τὸν κρητῆρα, ἐπυνθάνοντο δὲ Σάρδις τε καὶ Κροῖ-
σον ἡλωκέναι, ἀπέδοντο τὸν κρητῆρα [m] ἐν Σάμῳ, ἰδιώτας
δὲ ἄνδρας πριαμένους ἀναθεῖναί μιν ἐς τὸ [n] Ἡραῖον· τά-
χα δὲ ἂν καὶ οἱ ἀποδόμενοι λέγοιεν, ἀπικόμενοι ἐς Σπάρ-
την, [o] ὡς ἀπαιρεθείησαν ὑπὸ Σαμίων. κατὰ μέν νυν τὸν
κρητῆρα [p] οὕτως ἔσχε.

7 Sandanis Lydius Crœso dissuadet bellum cum Persis, ab eorum victus paupertate.

Κροῖσος δὲ ἁμαρτὼν τοῦ χρησμοῦ, ἐποιέετο [a] στρατηΐην
ἐς Καππαδοκίην, ἐλπίσας καταιρήσειν Κῦρόν [b] τε καὶ τὴν
2 Περσέων δύναμιν. παρασκευαζομένου δὲ Κροίσου στρα- 35
τεύεσθαι ἐπὶ Πέρσας, τῶν τις [c] Λυδῶν, νομιζόμενος καὶ
πρόσθεν εἶναι σοφὸς, ἀπὸ δὲ ταύτης τῆς γνώμης καὶ τὸ

[c] Ἑλλήνων om. e.
[d] ἦσαν S.F.a.b.c.d.e. ἔσαν edd.
[e] ἐπαγγείλαντες S. e ras. sed pr. m. ut videtur. Idem mox κρητῆρα ποιησάμενοι.
[f] μεγέθει S.V.F.
[g] ἀμφορέοντας S.V.
[h] ἄγον Ald. b.d.e. cf. 103. 166. et 169. ἦττον S.V. ἦγον M.F.a.c. et sic omnes III. 47. ubi de eodem cratere.
[i] ἐγένετο d. S.
[k] Sic M.R. Et. F.a.c. ἀπελύατο b.d.e. ἀπεληΐσαντο S. vulgo.
[l] ὑστέρισαν e. cf. VI. 89.
[m] ἐς Σάμον e.
[n] ἱερὸν S.V. ἱρὸν d.
[o] ὡς om. S.
[p] Sic M.S. codd. Schweighæuseri. οὕτω edd. et Schæfer. Paullo supra νυν om. S.

71.

[a] στρατίην V.S.
[b] τε om. d. κ. τε Κῦρον καὶ τὴν Περσικὴν δ. e.
[c] Λυδὸς V.S.

κάρτα οὔνομα [d] ἐν Λυδοῖσι ἔχων, [e] συνεβούλευσε Κροίσῳ
3 τάδε· (οὔνομά οἱ ἦν Σάνδανις·) " [f] Ὦ βασιλεῦ, ἐπ' ἄν-
" δρας τοιούτους στρατεύεσθαι παρασκευάζεαι, οἳ σκυ-
" τίνας μὲν ἀναξυρίδας, σκυτίνην δὲ τὴν ἄλλην ἐσθῆτα
" φορέουσι· σιτέονται δὲ οὐκ ὅσα ἐθέλουσι, ἀλλ' ὅσα
" ἔχουσι, χώρην ἔχοντες τρηχείην· πρὸς δὲ, [g] οὐκ οἴνῳ
" [h] διαχρέονται, ἀλλὰ ὑδροποτέουσι· οὐ σῦκα δὲ ἔχουσι
4 " τρώγειν, οὐκ ἄλλο ἀγαθὸν οὐδέν. τοῦτο μὲν δὴ, εἰ νι-
" κήσεις, τί [i] σφεας ἀπαιρήσεαι, [k] τοῖσί γε μή ἐστι
" μηδέν; τοῦτο δὲ, ἢν νικηθῇς, μάθε ὅσα ἀγαθὰ ἀπο-
" βαλέεις. γευσάμενοι [l] γὰρ τῶν ἡμετέρων ἀγαθῶν, πε-
5 " ριέξονται, οὐδὲ ἀπωστοὶ ἔσονται. ἐγὼ μέν νυν θεοῖσι
" ἔχω χάριν, οἳ οὐκ ἐπὶ νόον ποιέουσι Πέρσῃσι στρατεύ-
" εσθαι ἐπὶ Λυδούς." Ταῦτα λέγων, οὐκ [m] ἔπειθε τὸν
Κροῖσον. Πέρσῃσι γὰρ, πρὶν Λυδοὺς καταστρέψασθαι,
72 ἦν οὔτε [n] ἁβρὸν, οὔτε ἀγαθὸν οὐδέν. Οἱ δὲ [a] Καππαδό-
και ὑπὸ Ἑλλήνων Σύριοι ὀνομάζονται· [b] ἦσαν δὲ οἱ Σύριοι
οὗτοι, τὸ μὲν [c] πρότερον ἢ Πέρσας ἄρξαι, Μήδων κατή-
2 κοοι, τότε δὲ Κύρου. ὁ γὰρ [d] οὖρος ἦν τῆς τε Μηδικῆς
ἀρχῆς καὶ τῆς Λυδικῆς ὁ Ἅλυς ποταμός· ὃς ῥέει ἐξ
Ἀρμενίου οὔρεος διὰ Κιλίκων· μετὰ δὲ, [e] Ματιηνοὺς μὲν

Cappadoces, a Græcis dicti Syrii. Halys fluvius imperii Medici ac Lydii fines terminans, quo cursu feratur.

[d] ἐν Λυδοῖσι om. e. ἔχων ἐν Λυδοῖσι S.

[e] συνεβούλευε b.d.

[f] Citat Athenæus III. p. 78. E. ὦ β. σὺ δ' ἐπ'. probante Valckenærio, et conferente VII. 10.

[g] Citat Julianus Ep. 24. Eustath. Od. ω'. p. 1964, 18=839, 11.

[h] νὴ Δία χρέονται Athenæus. διαχρέωνται S. Ald. et mox νικήσῃς S.

[i] σφε ἀπαιρήσεις S.V. ἀπαιρήσεο F. pr.

[k] Sic M.S.V. et alii. Vulgo om. γε μή. Mox εἰ νικηθῇς S.

[l] δὲ d. γευσόμενοι γὰρ S.

[m] ἔπεισε c.

[n] Suidas in v. ἁβρὸν b.S.

72.

[a] Καππαδόκαι] h. l. et V. 49. VII. 72. spectat Steph. Byz. in Καππαδοκία.

[b] ἔσαν Ald. ἦσαν F.a.b.d.e.S.

[c] πρῶτον S.

[d] Sic Ald. V.b. ὅρος S.M.F.a.c. Vid. Eustathius p. 149, 15=112. extr. Mox ὄρεος F.a.b.c.d.e.

[e] Μαντηίνους S. Μαντηΐνοὺς F. pr.

ἐν δεξιῇ ἔχει ῥέων, ἐκ δὲ τοῦ ἑτέρου Φρύγας· παραμειβόμενος δὲ τούτους, καὶ ῥέων ἄνω πρὸς βορέην ἄνεμον, ἔνθεν μὲν [f] Συρίους Καππαδόκας [g] ἀπέργει, ἐξ εὐωνύμου δὲ

3 Παφλαγόνας. [h] οὕτω ὁ Ἅλυς ποταμὸς [i] ἀποτάμνει σχεδὸν πάντα τῆς Ἀσίης τὰ κάτω ἐκ θαλάσσης τῆς ἀντίον Κύπρου ἐς τὸν Εὔξεινον πόντον. ἔστι δὲ αὐχὴν οὗτος τῆς χώρης [k] ταύτης ἁπάσης· μῆκος ὁδοῦ, εὐζώνῳ ἀνδρὶ πέντε ἡμέραι ἀναισιμοῦνται.

73

Crœsus vult Cappadociam subigere, ac pœnas de Cyro sumere. Illius cum Astyage affinitas.

Ἐστρατεύετο δὲ ὁ Κροῖσος ἐπὶ τὴν Καππαδοκίην τῶνδε [a] εἵνεκα· καὶ [b] γῆς ἱμέρῳ, προσκτήσασθαι πρὸς τὴν ἑωυτοῦ [c] μοῖραν βουλόμενος· καὶ μάλιστα, τῷ χρηστηρίῳ πίσυνος ἐὼν, καὶ τίσασθαι [d] θέλων ὑπὲρ [e] Ἀστυάγεος

2 Κῦρον. Ἀστυάγεα γὰρ, τὸν Κυαξάρεω, ἐόντα Κροίσου 36
μὲν γαμβρὸν, Μήδων δὲ [f] βασιλέα, Κῦρος ὁ Καμβύσεω καταστρεψάμενος εἶχε, γενόμενον γαμβρὸν Κροίσῳ ὧδε. Σκυθέων τῶν νομάδων [g] εἴλη ἀνδρῶν στασιάσασα,

3 ὑπεξῆλθε ἐς γῆν τὴν Μηδικήν. [h] ἐτυράννευε δὲ τὸν χρόνον τοῦτον Μήδων Κυαξάρης, ὁ Φραόρτεω, τοῦ Δηϊόκεω· ὃς τοὺς Σκύθας τούτους τὸ μὲν πρῶτον περιεῖπε εὖ, ὡς ἐόντας [i] ἱκέτας· ὥστε δὲ περὶ πολλοῦ ποιεόμενος αὐτοὺς,

[f] Σ. καὶ Καπ. S. Σύρους e. reliqui Συρίους, ut 76. II. 104. III. 90. V. 49. Contra omnes I. 6. VII. 72. Σύρους, cum Strabone XII. p. 819=544. Vide Steph. Byz. in Καππαδοκία, Eustath. Dionys. 784.

[g] ἀπείργει F.S.

[h] οὗτος d.e. οὕτως S.

[i] Sic M.F.a.c.S. Vulgo ἀποτέμνει.

[k] ταύτης om. S. et mox ἀνδρὶ, ut infra 104.

73.

[a] Sic M.S. ἕνεκα F. e corr. εἵνεκε vel εἵνεκεν alii.

[b] γῆν ἐπιθυμῶν ἥμερον προσκτ. S. et V. ubi tamen ἱμέρῳ.

[c] μοῖραν M.S.F.a.c. μοίρην Ald. Mox τῷ om. S.

[d] Sic S.V.M.F.a.b.c.d.e. ἐθέλων cum edd. vett. Schæferus. τίσεσθαι item S.

[e] Ἀστυάγεω S. Schæfer. Mox Ἀστυάγην S.

[f] βασιλῆα Ald. βασιλέα S.F.a. b.c.d.e.

[g] Sic M.F. ἴλη a.b.d. Ald. ἶλη c.e. Conf. Wessel. Diod. Sic. XVII. 33. Desunt hæc S.V. usque ad medium c. 75.

[h] ἐτυράννεε b.e.

[i] οἰκέτας d.

[k] παῖδάς σφι παρέδωκε τὴν γλῶσσάν τε [l] ἐκμαθέειν, καὶ
4 τὴν τέχνην τῶν τόξων. χρόνου δὲ γενομένου, καὶ αἰεὶ φοιτεόντων τῶν Σκυθέων ἐπ᾽ ἄγρην, καὶ αἰεί τι φερόντων, καί κοτε συνήνεικε ἑλεῖν σφεας μηδέν· νοστήσαντας δὲ αὐτοὺς [m] κεινῇσι χερσὶ, ὁ Κυαξάρης (ἦν γὰρ, ὡς [n] διέδεξε,
5 [o] ὀργὴν ἄκρος) τρηχέως κάρτα πειριέσπε ἀεικείῃ. οἱ δὲ, ταῦτα πρὸς Κυαξάρεω παθόντες, ὥστε ἀνάξια σφέων [p] αὐτῶν πεπονθότες, [q] ἐβούλευσαν τῶν παρὰ σφίσι διδασκομένων παίδων ἕνα κατακόψαι· σκευάσαντες δὲ αὐτὸν ὥσπερ [r] ἐώθεσαν καὶ τὰ θηρία σκευάζειν, Κυαξάρεϊ δοῦναι [s] φέροντες, ὡς ἄγρην δῆθεν· δόντες δὲ, τὴν ταχίστην κομίζεσθαι παρὰ Ἀλυάττεα τὸν Σαδυάττεω
6 ἐς Σάρδις. ταῦτα [t] καὶ δὴ ἐγένετο. καὶ γὰρ Κυαξάρης καὶ οἱ παρεόντες δαιτυμόνες τῶν κρεῶν [v] τούτων ἐπάσαντο· καὶ οἱ Σκύθαι ταῦτα ποιήσαντες, Ἀλυάττεω ἱκέται ἐγένοντο.

74 Μετὰ δὲ ταῦτα (οὐ γὰρ δὴ ὁ Ἀλυάττης ἐξεδίδου τοὺς Σκύθας ἐξαιτέοντι Κυαξάρεϊ) πόλεμος τοῖσι Λυδοῖσι καὶ [a] τοῖσι Μήδοισι ἐγεγόνεε ἐπ᾽ ἔτεα πέντε· ἐν τοῖσι πολλάκις μὲν οἱ Μῆδοι τοὺς Λυδοὺς ἐνίκησαν, πολλάκις δὲ οἱ Λυδοὶ τοὺς Μήδους· ἐν δὲ, καὶ
2 νυκτομαχίην τινὰ ἐποιήσαντο. διαφέρουσι δέ σφι ἐπὶ ἴσης τὸν πόλεμον, τῷ ἕκτῳ ἔτεϊ συμβολῆς γενομένης,

Bellum propter Scythas inter Cyaxarem et Alyattem ab a. 590 ad 585. quo ultimo anno die 28 Maii facta est solis defectio, a Thalete Ionibus

[k] Sic P.F.a.c.d.e. παῖδα M.b. et vulgo.

[l] Sic Ald. ἐκμαθεῖν M.F.a.b.c.d.

[m] Sic Et. P. et alii. cf. VII. 28. IX. 84. κοινῇσι e. κενῇσι vulg. Supra συνῆκε Ald. pro συνήνεικε.

[n] Sic F.a.c. ἔδεξε e. ἔδεξεν b. ἔδειξεν d.

[o] Sic b.d.e. Schæfer. Vulgo ὀργὴν οὐκ ἄκρος.

[p] Sic M.F.a.b.c.d. Vulgo σφέων ἑωυτέων.

[q] Sic M.F.a.c. cf. III. 84. VI. 52. ἐβουλεύσαντο vulgo, probante Wesselingio, et citante VII. 10. VIII. 101.

[r] εἰώθεσαν F.b.d.

[s] Sic a.b.c.d. φέροντας Ald. M. F.e.

[t] δὴ om. P.M.F.a.b.c.d. δὴ καὶ e.

[v] τουτέων P.e. Ald. τούτων M.a. b.c.d.

74.

[a] Sic M.F.a.b.c.d. Vulgo om. τοῖσι.

prædicta. Pax quibus auctoribus, qua lege, quo ritu facta.

συνήνεικε ὥστε τῆς μάχης [b] συνεστεώσης τὴν ἡμέρην
3 ἐξαπίνης νύκτα γενέσθαι. τὴν δὲ μεταλλαγὴν ταύτην
τῆς ἡμέρης Θαλῆς ὁ Μιλήσιος τοῖσι Ἴωσι προηγόρευσε
ἔσεσθαι, οὖρον προθέμενος ἐνιαυτὸν τοῦτον, [c] ἐν ᾧ δὴ καὶ
4 ἐγένετο ἡ μεταβολή. οἱ δὲ Λυδοί τε καὶ οἱ Μῆδοι ἐπεί τε 37
εἶδον νύκτα ἀντὶ ἡμέρης [d] γινομένην, τῆς μάχης τε ἐπαύ-
σαντο, καὶ μᾶλλόν τι ἔσπευσαν καὶ ἀμφότεροι εἰρήνην
5 ἑωυτοῖσι γενέσθαι. οἱ δὲ συμβιβάσαντες αὐτοὺς, [e] ἦσαν
οἵδε, Συέννεσίς τε ὁ Κίλιξ, καὶ [f] Λαβύνητος ὁ Βαβυ-
λώνιος· οὗτοί σφι καὶ τὸ ὅρκιον οἱ σπεύσαντες γενέσθαι
ἦσαν, καὶ γάμων [g] ἐπαλλαγὴν ἐποίησαν· Ἀλυάττεα γὰρ
ἔγνωσαν δοῦναι τὴν θυγατέρα [h] Ἀρύηνιν Ἀστυάγεϊ τῷ Κυ-
αξάρεω παιδί. [i] ἄνευ γὰρ ἀναγκαίης ἰσχυρῆς συμβάσιες
6 ἰσχυραὶ οὐκ ἐθέλουσι συμμένειν. Ὅρκια δὲ ποιέεται
ταῦτα τὰ ἔθνεα τά περ τε Ἕλληνες· καὶ πρὸς τούτοισι,
ἐπεὰν τοὺς βραχίονας ἐπιτάμωνται ἐς τὴν [k] ὁμοχροιΐην, τὸ
αἷμα ἀναλείχουσι ἀλλήλων.

75

Crœsus Halym penetrat.

Τοῦτον δὴ ὦν [a] τὸν Ἀστυάγεα [b] Κῦρος, ἐόντα ἑωυτοῦ
μητροπάτορα, καταστρεψάμενος ἔσχε δι' αἰτίην τὴν ἐγὼ
2 ἐν τοῖσι ὀπίσω λόγοισι σημανέω. τὰ Κροῖσος ἐπιμεμ-
φόμενος τῷ Κύρῳ, ἔς τε [c] τὰ χρηστήρια ἔπεμπε, εἰ στρα-
τεύηται ἐπὶ [d] Πέρσας, καὶ δὴ καὶ ἀπικομένου χρησμοῦ
κιβδήλου, ἐλπίσας πρὸς ἑωυτοῦ τὸν χρησμὸν εἶναι, ἐσ-
3 τρατεύετο ἐς τὴν Περσέων [e] μοῖραν. Ὡς δὲ ἀπίκετο ἐπὶ

[b] συνεστώσης καὶ τὴν b.d.e. συνεστώσης Ald. qui mox ταύτης τῆς ἡμέρης.

[c] ἐν τῷ Schæfer.

[d] γενομένην F.b.d.e.

[e] ἔσαν hic et infra Ald. ἦσαν mss. præter e.

[f] Λαβύνιτος P.d. Λαβώνητος e.

[g] ἀπαλλαγὴν Ald.

[h] Ἀρυήνιν b. edd. ante Gronov. Ἀρυήνην F. Αρυίνην e. Αρηΐνην d.

[i] Citat Stobæus 28, 17. ubi πίστιες pro συμβάσιες.

[k] ὁμοχροιΐην F. ὁμοχροΐην d.

75.

[a] τὸν om. M. ὦν om. e.

[b] ὁ Κῦρος d.

[c] τὸ χρηστήριον d.

[d] Πέρσας εἰρωτέων e. Ald. v. Wessel. ad Diod. Sic. XIV. 112.

[e] μοίραν M.F.a.c. cf. 73. μοίρην Ald. Mox ἐντεῦθεν S.

τὸν Ἅλυν ποταμὸν ὁ Κροῖσος, τὸ ἐνθεῦτεν, ὡς μὲν ἐγὼ
λέγω, κατὰ τὰς ἐούσας γεφύρας διεβίβασε τὸν στρα-
τόν· ὡς δὲ ὁ πολλὸς λόγος Ἑλλήνων, [f] Θαλῆς οἱ ὁ Μι-
4 λήσιος διεβίβασε. ἀπορέοντος γὰρ Κροίσου ὅκως οἱ δια-
βήσεται τὸν ποταμὸν ὁ στρατὸς, (οὐ γὰρ δὴ εἶναί [g] κω
τοῦτον τὸν χρόνον τὰς γεφύρας ταύτας,) λέγεται πα-
ρεόντα τὸν Θαλῆν ἐν τῷ στρατοπέδῳ, ποιῆσαι αὐτῷ τὸν
ποταμὸν, ἐξ ἀριστερῆς χειρὸς ῥέοντα τοῦ στρατοῦ, καὶ
5 ἐκ δεξιῆς ῥέειν· ποιῆσαι δὲ ὧδε. ἄνωθεν τοῦ στρατοπέδου
ἀρξάμενον, διώρυχα [h] βαθέην ὀρύσσειν, ἄγοντα μηνοειδέα,
ὅκως ἂν τὸ στρατόπεδον ἱδρυμένον κατὰ [i] νώτου [k] λάβοι,
ταύτῃ κατὰ τὴν διώρυχα ἐκτραπόμενος ἐκ τῶν ἀρχαίων
ῥεέθρων, καὶ αὖτις παραμειβόμενος τὸ στρατόπεδον, ἐς
6 τὰ ἀρχαῖα [l] ἐσβάλλοι. ὥστε, ἐπεί τε καὶ ἐσχίσθη τά-
χιστα ὁ ποταμὸς, ἀμφοτέρῃ διαβατὸς ἐγένετο. οἱ δὲ
καὶ τὸ παράπαν λέγουσι καὶ τὸ ἀρχαῖον [m] ῥέεθρον ἀπο-
ξηρανθῆναι. ἀλλὰ τοῦτο μὲν [n] οὐ προσίεμαι· [o] κῶς γὰρ 38
76 ὀπίσω πορευόμενοι διέβησαν αὐτόν; Κροῖσος δὲ, ἐπεί τε
διαβὰς σὺν τῷ στρατῷ ἀπίκετο τῆς Καππαδοκίης ἐς τὴν
Πτερίην καλεομένην· ἡ δὲ Πτερίη ἐστὶ τῆς χώρης ταύτης
τὸ ἰσχυρότατον, κατὰ Σινώπην πόλιν τὴν ἐν Εὐξείνῳ πόν-
τῳ μάλιστά [a] κῃ κειμένη· ἐνθαῦτα ἐστρατοπεδεύετο, φθεί-
2 ρων τῶν Συρίων τοὺς κλήρους. καὶ εἷλε μὲν [b] τῶν Πτε-
ρίων τὴν πόλιν, καὶ ἠνδραποδίσατο· εἷλε δὲ τὰς περιοι-

Pteriorum urbem, et alias quæ circa erant, expugnatas diripit. Prælium in agro Pterio commissum æquo Marte inter Crœsum et Cyrum a. 546.

[f] Sic M.S.F.b.c.d. διεβίβασε οἱ Ald. a.
[g] κατὰ τοῦτον S.
[h] βαθείην S. Vid. Tzetzes Chil. I. c. 30. Schol. Aristoph. Nub. 180.
[i] νῶτα S. ut supra 9.
[k] λάβῃ e. Mox αὖθις S.
[l] ἐσβάλοι b.e. Ald. καὶ post ἐπεί τε om. d. καὶ post οἱ δὲ et λέγουσι om. e.
[m] ῥεῖθρον a.c.M.
[n] οὐδὲ προσιέναι S.V.
[o] κως γὰρ ἂν ὁ. Schæferus.

76.

[a] κῃ om. S.V. κειμένη Borheck. ex em. Wessel. κεομένη Schæferus pro κειμένην cum mss. edd. omnibus. Mox ἐνταῦθα S.
[b] τῶν om. S.

κίδας αὐτῆς πάσας· Συρίους τε, οὐδὲν ἐόντας αἰτίους,
3 ἀναστάτους ἐποίησε. Κῦρος δὲ [c] ἀγείρας τὸν ἑωυτοῦ
στρατὸν, καὶ παραλαβὼν τοὺς μεταξὺ οἰκέοντας πάν-
τας, ἠντιοῦτο Κροίσῳ. πρὶν δὲ ἐξελαύνειν ὁρμῆσαι τὸν
στρατὸν, πέμψας [d] κήρυκας ἐς τοὺς Ἴωνας, ἐπειρᾶτο
4 σφέας ἀπὸ Κροίσου [e] ἀπιστάμεναι. Ἴωνες [f] μέν νυν οὐκ
ἐπείθοντο. Κῦρος δὲ ὡς ἀπίκετο, καὶ ἀντεστρατοπεδεύ-
σατο Κροίσῳ, ἐνθαῦτα ἐν τῇ Πτερίῃ χώρῃ [g] ἐπειρώατο
5 κατὰ τὸ ἰσχυρὸν ἀλλήλων. μάχης δὲ καρτερῆς γενομέ-
νης, καὶ πεσόντων [h] ἀμφοτέρων πολλῶν, τέλος οὐδέτεροι
νικήσαντες διέστησαν, νυκτὸς ἐπελθούσης. καὶ τὰ μὲν
στρατόπεδα ἀμφότερα οὕτως ἠγωνίσατο.

77 Quo consilio redierit Sardes Crœsus. Miles conductitius dimissus.

Κροῖσος δὲ, μεμφθεὶς κατὰ τὸ πλῆθος τὸ ἑωυτοῦ στράτευμα· ἦν γάρ οἱ ὁ συμβαλὼν στρατὸς πολλὸν ἐλάσσων ἢ ὁ Κύρου· [a] τοῦτο μεμφθεὶς, ὡς τῇ ὑστεραίῃ οὐκ [b] ἐπειρᾶτο ἐπιὼν ὁ Κῦρος, ἀπήλαυνε ἐς τὰς Σάρδις, [c] ἐν νόῳ ἔχων, [d] παρακαλέσας μὲν Αἰγυπτίους κατὰ τὸ
2 ὅρκιον, (ἐποιήσατο γὰρ καὶ πρὸς Ἄμασιν βασιλεύοντα
Αἰγύπτου συμμαχίην πρότερον [e] ἤπερ πρὸς Λακεδαιμο-
νίους,) μεταπεμψάμενος δὲ καὶ Βαβυλωνίους, (καὶ γὰρ
πρὸς τούτους αὐτῷ ἐπεποίητο συμμαχίη· ἐτυράννευε δὲ
[f] τῶν Βαβυλωνίων τὸν χρόνον τοῦτον Λαβύνητος·) [g] ἐπαγ-

[c] ἐγείρας V. et nescio an S. tali sc. compendio quale delineavit Bastius Tab. III. 5. quem vide in Comm. Pal. p. 743.

[d] κήρυκα S.M.F. cf. 141.

[e] Sic Ald. F.b.d.e. ἀπιστάναι Steph. a.c.S.

[f] μέν νιν S. νυν om. d. Mox τῷ Κροίσῳ ἐνταῦθα S.

[g] Sic b.d.F. ubi η super ει scriptum. ἐπειράατο Ald. e. ἐπειρῶντο S.a.c. Steph.

[h] ἀμφοτέρων om. S.V. Sed cf. 81. III. 11.

77.

[a] τοῦτο (ω super ο) e.

[b] ἐπειρᾶτο ἔτι μένειν d.

[c] ἐν νόῳ ἔχων] Hæc absunt S.V. usque ad med. c. 79.

[d] παρακαλέσαι e. Ald.

[e] ἤπερ Λακ. F. ἢ πρὸς Λ. c.

[f] τὸν χρ. τοῦτον τῶν Βαβ. F.

[g] ἀπαγγείλας d.

γείλας δὲ καὶ [h] Λακεδαιμονίους παρεῖναι ἐς χρόνον ῥητόν· ἁλίσας [i] τε δὴ τούτους, καὶ τὴν ἑωυτοῦ συλλέξας στρατιὴν, ἐνένωτο, τὸν χειμῶνα παρεὶς, ἅμα τῷ [k] ἦρι στρα-
3 τεύειν ἐπὶ τοὺς Πέρσας. καὶ ὁ μὲν, ταῦτα φρονέων, [l] ὡς ἀπίκετο ἐς τὰς Σάρδις, [m] ἔπεμπε κήρυκας κατὰ τὰς συμμαχίας, προερέοντας ἐς πέμπτον μῆνα συλλέγεσθαι
4 ἐς Σάρδις. τὸν δὲ παρεόντα καὶ μαχεσάμενον στρατὸν Πέρσῃσι, ὃς ἦν αὐτοῦ ξεινικὸς, πάντα [n] ἀπεὶς, διεσκέδασε· οὐδαμὰ ἐλπίσας μή κοτε ἄρα ἀγωνισάμενος οὕτω παραπλησίως Κῦρος [o] ἐλάσει ἐπὶ Σάρδις.

78 Ταῦτα ἐπιλεγομένῳ Κροίσῳ τὸ προάστειον πᾶν ὀφίων ἐνεπλήσθη. φανέντων δὲ [a] αὐτῶν, οἱ ἵπποι μετιέντες τὰς νομὰς νέμεσθαι, [b] φοιτέοντες κατήσθιον. ἰδόντι δὲ [c] τοῦτο Κροίσῳ,
2 ὥσπερ καὶ ἦν, ἔδοξε τέρας εἶναι. αὐτίκα δὲ ἔπεμπε 39
θεοπρόπους [d] ἐς τῶν ἐξηγητέων [e] Τελμησσέων. ἀπικομένοισι δὲ τοῖσι θεοπρόποισι, καὶ μαθοῦσι πρὸς Τελμησσέων τὸ θέλει σημαίνειν τὸ τέρας, οὐκ ἐξεγένετο Κροίσῳ
3 ἀπαγγεῖλαι. πρὶν γὰρ ἢ ὀπίσω σφέας ἀναπλῶσαι ἐς τὰς Σάρδις, ἥλω [f] ὁ Κροῖσος. Τελμησσέες μέν τοι τάδε ἔγνωσαν, στρατὸν ἀλλόθροον προσδόκιμον εἶναι Κροίσῳ ἐπὶ τὴν χώρην, ἀπικόμενον δὲ τοῦτον [g] καταστρέψεσθαι

Portentum Sardibus factum: divini Telmessenses consulti.

[h] Λακεδαιμονίοισι Schæferus.
[i] Sic M.F. et alii. δὲ δὴ vulg. δὲ e.
[k] ἔαρι Schæfer.
[l] Sic M.a.b.c. ὡς om. d.e. edd. vett.
[m] ἔπεμπέ τε Ald.
[n] Sic a. et Schæfer. Vulgo ἀφεὶς. Mox οὐδαμὰ F.a.c. Vulg. οὐδαμᾶ.
[o] ἐλάσῃ M. F. a. c. Wessel. Vulgo ἐλάσει, quod revocarunt Schæfer. et Schweighæuser.

78.

[a] αὐτῶν M. F. a. b. c. e. αὐτέων edd. vett.
[b] φοιτῶντες M. φοιτέωντες F. φοιτέοντας Ald. Vulgatum dedit Steph. ἐσφοιτέοντες (nempe τὸ προάστειον) malit Valckenærius.
[c] Sic M. et alii. τούτῳ Κροίσῳ F. τῷ Κρ. τοῦτο b. Ald.
[d] ἐς τοὺς ἐξηγητέας] Sic Ald. e. Wesseling. ἐς τῶν ἐξηγητέων M.F. a.b.c. Gronov. probante Schweighæusero. ἐς τὸν ἐξηγητέων d.
[e] Sic M. Τελμισσέων Ald. Τελμισέων d. Τελμινσέων e.
[f] ὁ om. Ald. b.d.e.
[g] καταστρέψασθαι b.d. καταστρέφεσθαι e. Ald.

τοὺς ἐπιχωρίους· λέγοντες ὄφιν [h] εἶναι γῆς παῖδα, ἵπ-
4 πον δὲ, [i] πολέμιόν τε καὶ ἐπήλυδα. Τελμησσέες μέν νυν ταῦτα [k] ὑπεκρίναντο Κροίσῳ ἤδη ἡλωκότι, οὐδέν κω εἰδότες τῶν ἦν περὶ Σάρδις τε καὶ αὐτὸν Κροῖσον.

79 Cyri Crœsum persequentis celeritas.

Κῦρος δὲ, αὐτίκα ἀπελαύνοντος Κροίσου μετὰ τὴν μάχην τὴν γενομένην ἐν [a] τῇ Πτερίῃ, μαθὼν ὡς ἀπελάσας [b] μέλλοι Κροῖσος διασκεδᾷν τὸν στρατὸν, βουλευόμενος εὕρισκε πρῆγμά οἱ εἶναι ἐλαύνειν [c] ὡς δύναιτο τάχιστα ἐπὶ τὰς Σάρδις, [d] πρὶν ἢ τὸ δεύτερον ἁλισθῆναι
2 [e] τῶν Λυδῶν τὴν [f] δύναμιν. ὡς δέ οἱ ταῦτα ἔδοξε, καὶ ἐποίεε κατὰ τάχος. [g] ἐλάσας γὰρ τὸν στρατὸν ἐς τὴν
3 Λυδίην, αὐτὸς ἄγγελος Κροίσῳ [h] ἐληλύθεε. ἐνθαῦτα Κροῖσος ἐς ἀπορίην πολλὴν [i] ἀπιγμένος, ὥς οἱ παρὰ δόξαν ἔσχε τὰ πρήγματα ἢ [k] ὡς αὐτὸς κατεδόκεε, ὅμως τοὺς
4 Λυδοὺς ἐξῆγε ἐς μάχην. ἦν δὲ τοῦτον τὸν χρόνον ἔθνος οὐδὲν ἐν τῇ Ἀσίῃ οὔτε ἀνδρειότερον, οὔτε ἀλκιμώτερον τοῦ Λυδίου. ἡ δὲ μάχη σφέων ἦν [l] ἀπ' ἵππων, δούρατά τε ἐφόρεον μεγάλα, καὶ αὐτοὶ [m] ἦσαν ἱππεύεσθαι ἀγαθοί.

80 Prælium ad Sardes, eo-

Ἐς τὸ πεδίον δὲ συνελθόντων τοῦτο τὸ πρὸ τοῦ ἄστεός ἐστι τοῦ Σαρδιηνοῦ, ἐὸν μέγα τε καὶ [a] ψιλὸν, (διὰ δὲ

[h] Sic M.F.a.c.d. εἶναι om. Ald. e.

[i] πολέμιον εἶναι καὶ Ald. e.

[k] Spectavit hoc Eustath. Hom. p. 787, 13. Suidas in v. Wessel. Citat Th. Mag. in Ὑποκρίνομαι.

79.

[a] τῇ om. b. Πτερύῃ e.

[b] Sic M. et plerique. μέλλει Ald. e.

[c] ὡς δύναται τὰ τάχιστα F.

[d] ὅκως πρὶν ἢ S.V.b.d.e. Ald. τὴν δύναμιν ἁλισθῆναι τὸ δεύτερον τῶν Λ. αὐτὸς ἐπικαταλάβοι S.

[e] Sic P.F.a.c. τὴν om. M. τὴν τ. Λ. alii.

[f] δύναμιν αὐτὸς ἐπικαταλάβοι Ald. d.e. αὐτὸς καταλάβοι b.

[g] Sic Steph. a.c. δὲ pro γὰρ Ald. F.e. Deest particula b.d.S.

[h] ἐλήλυθε F. Mox ἐνταῦθα S. et sic alibi. Qui habet tamen ἐνθαῦτα 80, 6. 82, 3. etc.

[i] ἀπηγμένος P.

[k] ὡς ἂν αὐτὸς P.

[l] Sic V.F.a.b.c.d. Ald. ἀφ' ἵππων S.P.K. ἀφίππων M.

[m] ἦσαν F.a.b.c.d.S. ἔσαν vulg.

80.

[a] Sic M.K.F.a. ὑψηλὸν Ald. V. S.b.c.d.e. Paullo ante Σαρδηϊνοῦ S.

αὐτοῦ ποταμοὶ ῥέοντες καὶ ἄλλοι καὶ [b]Ὕλλος [c]συρρη-
γνῦσι ἐς τὸν μέγιστον, καλεόμενον δὲ Ἕρμον, ὃς ἐξ [d]οὔ-
ρεος ἱροῦ [e]Μητρὸς [ee]Δινδυμήνης ῥέων, ἐκδιδοῖ ἐς θάλασσαν
2 κατὰ [f]Φωκαίην πόλιν,) ἐνθαῦτα ὁ Κῦρος ὡς εἶδε τοὺς
Λυδοὺς ἐς μάχην τασσομένους, καταρρωδήσας τὴν ἵππον,
ἐποίησε, Ἁρπάγου ὑποθεμένου ἀνδρὸς Μήδου, τοιόνδε.
3 ὅσαι τῷ στρατῷ τῷ ἑωυτοῦ [g]ἕποντο σιτοφόροι τε καὶ
σκευοφόροι κάμηλοι, ταύτας πάσας ἁλίσας, καὶ [h]ἀπε-
λὼν τὰ ἄχθεα, ἄνδρας ἐπ᾽ αὐτὰς [i]ἀνέβησε ἱππάδα στο-
λὴν [k]ἐνεσταλμένους. σκευάσας δὲ αὐτούς, προσέταξε τῆς 40
ἄλλης στρατιῆς προϊέναι πρὸς τὴν Κροίσου ἵππον, τῇ δὲ
καμήλῳ ἕπεσθαι τὸν πεζὸν στρατὸν ἐκέλευε· ὄπισθε δὲ
4 τοῦ πεζοῦ ἐπέταξε τὴν πᾶσαν ἵππον. ὡς δέ οἱ πάντες
διετετάχατο, παραίνεσε τῶν μὲν ἄλλων Λυδῶν μὴ φειδο-
μένους, κτείνειν πάντα τὸν [l]ἐμποδὼν [m]γινόμενον; Κροῖσον
δὲ αὐτὸν μὴ κτείνειν, μηδὲ ἢν συλλαμβανόμενος [n]ἀμύ-
5 νηται. ταῦτα μὲν παραίνεσε. τὰς δὲ καμήλους ἔταξε
ἀντία τῆς ἵππου, τῶνδε [o]εἵνεκεν· κάμηλον ἵππος φοβέ-
εται, καὶ οὐκ ἀνέχεται οὔτε τὴν ἰδέην [p]αὐτῆς ὁρέων, οὔτε
τὴν [q]ὀδμὴν ὀσφραινόμενος. αὐτοῦ δὴ ὧν τούτου εἵνεκεν

dem a. 546. Cyri calliditas, hostium equitatui camelos opponentis. Lydorum virtus, et ad extremum fuga.

[b] Sic M.K.R.F.a.c.d. Ἕλλος Ald.
[c] Sic F.a. ξυρρηγνῦσι Schæfer. Vulgo συρρήγνυσι.
[d] ὄρεος M.K. Supra δὴ Ἕρμον S.
[e] Δήμητρος e.
[ee] Δινευμίνης R. Δινευμήνης e.
[f] Sic M.K.F. Strabo. Φωκίην Ald. V.S.b.e. Φωκίων d. Mox ἴδε S. e ras. et deinde κατορρωδήσας.
[g] Sic F. et Schæferus. Vulgo εἵποντο. Supra ὅσοι S. qui τῷ sec. om.
[h] ἀφελὼν F.a.c.S.
[i] Sic M.K.R. Suid. in v. Vulgo ἔβησε. Mox ἱππάδα στολὴν explicat Hesychius in v.
[k] ἐσταλμένους Schæferus.
[l] Citant Thomas M. et Suidas in v. Supra πάντας S.
[m] Sic F.a.c. Suid. Thom. Vulgo γενόμενον.
[n] ἀμύνηται M.K.
[o] εἵνεκεν vel εἵνεκε M.S.V.R.K. F.a.b.c.d.e. Vulgo εἵνεκα. Hanc varietatem in posterum non enotabo.
[p] αὐτοῦ F.a. ἰδέαν αὐτῆς S.
[q] ὀσμὴν S.V.b.e.

ἐσεσόφιστο, ἵνα τῷ Κροίσῳ ἄχρηστον ᾖ τὸ ἱππικὸν, τῷ
6 [r] δή τι καὶ ἐπεῖχε ἐλλάμψεσθαι [s] ὁ Λυδός. ὡς δὲ καὶ
[t] συνήεσαν ἐς τὴν μάχην, ἐνθαῦτα [v] ὡς ὄσφραντο τάχιστα
τῶν καμήλων οἱ ἵπποι, καὶ [w] εἶδον αὐτὰς, ὀπίσω ἀνέ-
7 στρεφον, διέφθαρτό τε τῷ Κροίσῳ ἡ ἐλπίς. οὐ [x] μέντοι οἵ
γε Λυδοὶ τὸ ἐνθεῦτεν δειλοὶ [y] ἦσαν· ἀλλ', ὡς ἔμαθον τὸ
γινόμενον, [z] ἀποθορόντες ἀπὸ τῶν ἵππων, πεζοὶ τοῖσι Πέρ-
8 σῃσι [a] συνέβαλλον. χρόνῳ δὲ, πεσόντων ἀμφοτέρων πολ-
λῶν, ἐτράποντο οἱ Λυδοί. κατειληθέντες δὲ ἐς τὸ τεῖχος,
ἐπολιορκέοντο ὑπὸ τῶν [b] Περσέων.

81 Crœsus obsessus mittit, qui sociorum auxilia propere arcessant.

Τοῖσι μὲν δὴ κατεστήκεε πολιορκίη. Κροῖσος δὲ δο-
κέων οἱ χρόνον ἐπὶ [a] μακρὸν ἔσεσθαι τὴν πολιορκίην,
ἔπεμπε ἐκ τοῦ τείχεος ἄλλους ἀγγέλους ἐς τὰς συμ-
2 μαχίας. οἱ μὲν γὰρ πρότερον διεπέμποντο, ἐς πέμπτον
μῆνα προερέοντες [b] συλλέγεσθαι ἐς Σάρδις· τούτους δὲ
ἐξέπεμπε τὴν ταχίστην δέεσθαι [c] βοηθέειν, ὡς [d] πολιορ-
κεομένου Κροίσου.

82 Contentio Spartanorum et Argivorum de Thyrea. Othryades Laco victor. Ar-

Ἔς τε δὴ ὦν τὰς ἄλλας ἔπεμπε συμ-
μαχίας, καὶ δὴ καὶ ἐς Λακεδαίμονα. τοῖσι δὲ καὶ αὐ-
τοῖσι [a] τοῖσι Σπαρτιήτῃσι κατ' αὐτὸν τοῦτον τὸν χρόνον
[b] συνεπεπτώκεε ἔρις ἐοῦσα πρὸς Ἀργείους, περὶ χώρου
2 καλεομένου Θυρέης. τὰς γὰρ Θυρέας ταύτας, ἐούσας τῆς

[r] Sic M.S.K.F.a.b.c.d. Schol. Hermogen. p. 396. δή τοι Ald. V.
[s] Sic F.a. Steph. ὁ αὐτὸς V.S. b.d.e. Ald. ‛ὠυτὸς R.c.F. pro v. l.
[t] συνήνεσαν F. ξυνήϊσαν Schæfer.
[v] Sic R.a. ὡς ὤσφραντο M.K.F. ὤσφραντο absque ὡς S.b.d.e. edd. vett.
[w] ἰδόντες V.S. edd. vett.
[x] μέντοι γε οἱ S.
[y] ἔσαν Schæfer.
[z] ἀποθορῶντες d.e.
[a] συνέβαλον c.d.e.
[b] Περσῶν b.d.e.S.

81.

[a] μακρὸν M.K.R. μακρότερον S. alii cum Ald. Mox ἔπεμπον S.
[b] τὸ σ. S.V.
[c] βοηθήϊην S. βοηθεείην V. Vulg. defendit Wesselingius ex c. 83. ubi δεόμενος βοηθέειν.
[d] πολιορκουμ. b.e. πολιορκευμ. Schæfer.

82.

[a] Sic M.K.F.a. τοῖσι om. S.b. c.d.e. edd. vett.
[b] συνεπέπτωκεν b.

Ἀργολίδος [c] μοίρης, [d] ἀποταμόμενοι ἔσχον οἱ Λακεδαιμόνιοι. ἦν δὲ καὶ ἡ μέχρι Μαλεῶν [e] ἡ πρὸς ἑσπέρην Ἀργείων, ἥ τε ἐν τῇ ἠπείρῳ χώρη, καὶ ἡ [f] Κυθηρίη νῆσος, καὶ 3 αἱ λοιπαὶ τῶν νήσων. βοηθησάντων δὲ Ἀργείων τῇ σφετέρῃ ἀποταμνομένῃ, ἐνθαῦτα συνέβησαν ἐς λόγους συνελθόντες, ὥς τε τριηκοσίους ἑκατέρων [g] μαχέσασθαι· ὁκότεροι δ' ἂν περιγένωνται, [h] τούτων εἶναι τὸν χῶρον· τὸ δὲ πλῆθος τοῦ στρατοῦ ἀπαλλάσσεσθαι [i] ἑκάτερον ἐς τὴν ἑωυτοῦ, μηδὲ [k] παραμένειν ἀγωνιζομένων, τῶνδε εἵνεκεν, ἵνα μὴ παρεόντων τῶν στρατοπέδων, [l] ὁρῶντες οἱ ἕτεροι

4 [m] ἑσσουμένους τοὺς σφετέρους, ἐπαμύνοιεν. Συνθέμενοι [n] ὧν ταῦτα, ἀπαλλάσσοντο· λογάδες δὲ ἑκατέρων ὑπολειφθέντες [o] συνέβαλλον. μαχομένων δέ σφεων, καὶ γινομένων ἰσοπαλέων, [p] ὑπελείποντο ἐξ ἀνδρῶν ἑξακοσίων τρεῖς· Ἀργείων μὲν, [q] Ἀλκήνωρ τε καὶ Χρόμιος· Λακεδαιμονίων δὲ, Ὀθρυάδης. ὑπελείφθησαν δὲ οὗτοι νυκτὸς ἐπελ-

5 θούσης. οἱ μὲν [r] δὴ δύο τῶν Ἀργείων, ὡς νενικηκότες, ἔθεον ἐς τὸ Ἄργος· ὁ δὲ τῶν Λακεδαιμονίων Ὀθρυάδης, [s] σκυλεύσας τοὺς Ἀργείων νεκροὺς, καὶ προσφορήσας τὰ ὅπλα πρὸς τὸ ἑωυτοῦ στρατόπεδον, ἐν τῇ τάξει εἶχε

givi a Spartanis iterum victi. Ea de causa utrique apud se legem tulerunt, et suæ ipsorum consuetudini, et alterorum legi contrariam illam: Argivi, ut comas tonderent; Spartani, ut essent comati.

41

[c] μόρης F.
[d] ἀποταμόμενοι M.K.R.V.S.F. a.c. ἀποτεμόμενοι Ald. b.d.e.
[e] ἡ om. e.
[f] Sic M.K.R.V. Vulgo Κύθηρα et e. Κυθρίη (α supra) S.
[g] φέρεσθαι R. μάχεσθαι c.
[h] τούτων F.a. τοῦτον c. τουτέων S.
[i] ἑκατέρων malit Wesselingius sine causa.
[k] παραμένειν M.S.K.F.a.c. περιμένειν alii.
[l] ὁρέωντες F. ὁρέοντες Schæferus.
[m] Sic K.M.V.F.a.d. ἡσσημένους S. ἑσσομένους b. ἡσσωμένους c. edd. ἑσσωμένους Ald.
[n] ὧν om. M.K.F.a.b.c.d.e. συνθέντες ὧν S.
[o] συνέβαλον F.a.c.
[p] Sic F.c.d.e. Vulgo ὑπελίποντο. ὑπολίποντο S.
[q] Sic M.K.S.F.a.b.c.d. Ἀλκίνωρ Ald. e. Mox Χρόνιος c. Videatur Stobæus 7, 67. ubi Wesselingius de conjectura, quod nos e ms. reposuimus. De Othryade Hemsterhus. ad Lucian. Contempl. c. ult.
[r] δὴ om. b.d.e.
[s] συννήσας R.A.

6 ἑωυτόν. ἡμέρῃ δὲ δευτέρῃ παρῆσαν πυνθανόμενοι ἀμφό-
τεροι. τέως μὲν δὴ αὐτοὶ ἑκάτεροι ἔφασαν νικᾷν· [t] λέ-
γοντες, οἱ μὲν, ὡς ἑωυτῶν πλεῦνες περιγεγόνασι· οἱ δὲ,
τοὺς μὲν ἀποφαίνοντες πεφευγότας, τὸν δὲ σφέτερον πα-
ραμείναντα, καὶ σκυλεύσαντα τοὺς ἐκείνων νεκρούς. [v] τέ-
λος δὲ, ἐκ τῆς ἔριδος συμπεσόντες ἐμάχοντο· πεσόντων
7 δὲ [w] καὶ ἀμφοτέρων πολλῶν, ἐνίκων Λακεδαιμόνιοι. Ἀρ-
γεῖοι μέν νυν ἀπὸ τούτου τοῦ χρόνου κατακειράμενοι τὰς
κεφαλὰς, πρότερον ἐπάναγκες κομῶντες, ἐποιήσαντο νό-
μον τε καὶ κατάρην, μὴ πρότερον θρέψειν κόμην Ἀργείων
[x] μηδένα, μηδὲ τὰς γυναῖκάς [y] σφι χρυσοφορήσειν, πρὶν
8 [z] ἂν Θυρέας ἀνασώσωνται. Λακεδαιμόνιοι δὲ τὰ ἐναντία
τούτων ἔθεντο νόμον, οὐ γὰρ κομῶντες [a] πρὸ τούτου, ἀπὸ
τούτου κομᾷν. τὸν δὲ ἕνα λέγουσι τὸν περιλειφθέντα τῶν
τριηκοσίων, Ὀθρυάδην, αἰσχυνόμενον ἀπονοστέειν ἐς Σπάρ-
την, τῶν οἱ συλλοχιτέων διεφθαρμένων, [b] αὐτοῦ μιν ἐν
83 τῇσι Θυρέῃσι καταχρήσασθαι ἑωυτόν. Τοιούτων δὲ τοῖσι
Σπαρτιήτῃσι [a] ἐνεστεώτων πρηγμάτων, ἧκε ὁ Σαρδιηνὸς
κήρυξ, δεόμενος Κροίσῳ βοηθέειν πολιορκεομένῳ. οἱ δὲ
ὅμως, ἐπεί τε [b] ἐπύθοντο τοῦ κήρυκος, ὁρμέατο βοηθέειν.
2 καί σφι ἤδη [c] παρεσκευασμένοισι, καὶ νεῶν ἐουσέων ἑτοί-
μων, ἦλθε ἄλλη ἀγγελίη, ὡς [d] ἡλώκοι τὸ τεῖχος [e] τῶν

Spartanis abituris opem latum Crœso, nuntius venit, eum jam captum esse: anno eodem 546 extremo.

[t] Citat Thomas M. in Περιεγένετο.
[v] τέως K.
[w] καὶ om. d.
[x] μηδένα om. S. Sic et e. ubi κόμας Ἀργείους.
[y] σφι om. S.b.d.e.
[z] ἂν om. M.F.a.c. Sed defendit Wesseling. e Platone citans Phæd. p. 89. C. ἔνορκον ἂν ποιησαίμην, ὥσπερ Ἀργεῖοι, μὴ πρότερον κομήσειν, πρὶν ἂν κομήσω ἀναμαχόμενος.
[a] πρὸ τοῦ Schæferus. πρῴην Eustath. Il. p. 165, 19=125, 5.
[b] αὐτοῦ μιν etc.] Citat Thomas M. in Διαχρῶμαι. Plutarch. Malign. p. 858. Supra συλλοχίωντε S. 83.
[a] Sic M.R.F.a.c. et K. addito τῶν. ἐνισταμένων τῶν S. b.d.e. edd. vett.
[b] ἐπυθέατο Schæferus.
[c] παρασκευασμένοισι F.b.
[d] ἡλώκει e.
[e] τῶν om. a.

Λυδῶν, καὶ ἔχοιτο Κροῖσος ζωγρηθείς. οὕτω δὴ οὗτοι [f] μὲν,
συμφορὴν ποιησάμενοι μεγάλην, [g] ἐπέπαυντο.

84 Σάρδιες δὲ [a] ἥλωσαν ὧδε. ἐπειδὴ [b] τεσσερεσκαιδεκάτη
ἐγένετο ἡμέρη πολιορκεομένῳ Κροίσῳ, Κῦρος τῇ στρατιῇ
τῇ ἑωυτοῦ, διαπέμψας ἱππέας, προεῖπε, τῷ πρώτῳ ἐπι-
2 βάντι τοῦ τείχεος δῶρα δώσειν. μετὰ δὲ τοῦτο, [c] πειρη-
σαμένης τῆς στρατιῆς, ὡς οὐ [d] προεχώρεε, ἐνθαῦτα τῶν
ἄλλων [e] πεπαυμένων, ἀνὴρ Μάρδος ἐπειρᾶτο προσβαίνων,
τῷ οὔνομα ἦν Ὑροιάδης, κατὰ τοῦτο τῆς ἀκροπόλιος τῇ
οὐδεὶς ἐτέτακτο [f] φύλακος· οὐ γὰρ ἦν δεινὸν, κατὰ τοῦτο
3 μὴ ἁλῷ κοτέ. ἀπότομός τε γάρ ἐστι ταύτῃ ἡ ἀκρόπολις,
καὶ ἄμαχος· τῇ οὐδὲ [g] Μήλης, ὁ [h] πρότερον βασιλεὺς
Σαρδίων, μούνῃ οὐ περιήνεικε τὸν λέοντα, τόν οἱ ἡ παλ-
λακὴ ἔτεκε, [i] Τελμησσέων δικασάντων, ὡς περιενειχθέντος
4 τοῦ λέοντος τὸ τεῖχος, ἔσονται Σάρδιες ἀνάλωτοι. ὁ δὲ
Μήλης κατὰ τὸ ἄλλο τεῖχος περιενείκας, τῇ ἦν ἐπίμα-
χον τὸ χωρίον τῆς ἀκροπόλιος, κατηλόγησε τούτου, ὡς
ἐὸν ἄμαχόν τε καὶ ἀπότομον· ἔστι δὲ [k] πρὸς τοῦ Τμώλου
5 τετραμμένον τῆς πόλιος. Ὁ ὦν δὴ Ὑροιάδης [l] οὗτος ὁ
Μάρδος, ἰδὼν τῇ προτεραίῃ [m] τῶν τινα Λυδῶν κατὰ τοῦτο

Quis murum Sardianum primus conscenderit, et ejus muri quæ antiqua fata. Meles, veterum Lydiæ regum unus.

42

[f] μὲν om. d.e.

[g] ἐπέπαυτο S.d. Schweighæusero placeret ἐπεπαύατο.

84.

[a] Sic R.M.K.F.a.c. ἡλώκεσαν V.S.b.d.e. Ald. Σάρδεις S. in extremo cap. cum vulg. consentiens. Idem mox ἐπέας pro ἱππέας.

[b] Sic d. Plerique τεσσαρ. cum Ald.

[c] Sic K.M.R.F.a.c. Vulgo πειρησάμενος cum b.d.e. πειρασαμένης S.

[d] Ita Gronovius, προσεχώρεε S. b.d.e. edd. vett.

[e] πεπαυσαμένων V.S. qui mox Μάρδης. cf. Steph. Byz.

[f] Hinc Suidas in v.

[g] Μῆλος c.

[h] Sic M.K.F. πρότερος S. Paris. et al.

[i] Sic M.K. Τελμισσέων sive Τελμισέων (S.)—alii. Τελμινσέων e. Τελμινσσέων Ald. Mox κατηλόγησε τοῦτο Reiskius coll. 144. et III. 121.

[k] πρὸς τὸν Τμῶλον Reiskius. Mox πόλεος S.

[l] Ita Reiskius. Vulgo αὐτός. Tum Μάρδης S.

[m] τόν τινα M.K. Mox ἀκροπόλεος S.

τῆς ἀκροπόλιος καταβάντα ἐπὶ κυνέην ἄνωθεν κατακυ-
λισθεῖσαν, καὶ ἀνελόμενον, ἐφράσθη καὶ ἐς θυμὸν [n] ἐβά-
6 λετο. τότε δὲ δὴ ὁ [o] αὐτός τε ἀναβεβήκεε, καὶ [p] κατ'
αὐτὸν ἄλλοι Περσέων ἀνέβαινον. προσβάντων δὲ συχνῶν,
[q] οὕτω δὴ Σάρδιές τε [r] ἡλώκεσαν, καὶ πᾶν τὸ ἄστυ
ἐπορθέετο.

85 Κατ' αὐτὸν δὲ Κροῖσον τάδε [a] ἐγένετο. ἦν οἱ παῖς, τοῦ
καὶ πρότερον ἐπεμνήσθην, τὰ μὲν ἄλλα ἐπιεικής, ἄφω-
2 νος δέ. ἐν τῇ ὦν παρελθούσῃ [b] εὐεστοῖ ὁ Κροῖσος τὸ πᾶν
[c] ἐς αὐτὸν ἐπεποιήκεε, ἄλλα τε ἐπιφραζόμενος, καὶ δὴ
καὶ ἐς Δελφοὺς περὶ αὐτοῦ ἐπεπόμφεε [d] χρησομένους. 43
ἡ δὲ Πυθίη οἱ εἶπε τάδε·

Crœsi filius mutus, idemque surdus, [1, 34 et 38.] irruente in patrem Persa, loqui cœpit.

3 Λυδὲ γένος, πολλῶν βασιλεῦ, μέγα νήπιε Κροῖσε,
μὴ [e] βούλευ πολύευκτον ἰὴν ἀνὰ δώματ' ἀκούειν
παιδὸς φθεγγομένου. [f] τόδε σοι πολὺ λώϊον ἀμφὶς
ἔμμεναι. αὐδήσει γὰρ ἐν ἤματι πρῶτον ἀνόλβῳ.

4 Ἁλισκομένου [g] δὲ τοῦ τείχεος, ἤϊε γὰρ [h] τῶν τις Περσέων
[i] ἀλλογνώσας Κροῖσον ὡς ἀποκτενέων, Κροῖσος [k] μέν νυν
ὁρέων ἐπιόντα, ὑπὸ τῆς παρεούσης συμφορῆς [l] παρημε-
λήκεε, οὐδέ τι οἱ διέφερε πληγέντι ἀποθανέειν· ὁ δὲ παῖς

[n] ἐβάλλετο b.c.d.e. Ald.
[o] Sic K.F.a.c.d.e. ὁ αὐτός τε vulgo. ἀναβέβηκε S.
[p] Sic M.S.V.K. alii. μετ' e. edd. vett.
[q] Sic M.K.V.F.a.c. Vulg. om. δή.
[r] ἑαλώκεσαν S.

85.

[a] ἐγίνετο S.a.d.e. Ald. Κροῖσον om. F. in contextu.
[b] Sic K.F.a. εὐετοῖ M. εὐθηνίᾳ Ald. S.b.c.d.e.F. pro v. l.
[c] Sic M.K.F.a.b.c.d. ἐς ἑαυτὸν V.S. ἐς ἑωυτὸν e. vulg.
[d] Sic K.S.V.M.R.F.a.b.c.d. Vulgo χρησόμενος cum e.
[e] Sic S. Ald. βούλου M.K.F. a.c.
[f] τὸ δέ F.a.b.c.S.
[g] δὴ F.a.c.
[h] Sic M.K.S. et alii. τῶν om. edd. e.
[i] Sic K.M.R.F.a.c. ἄλλον γνώσας S. et alii.
[k] Posses, si opus esset, μέν μιν suspicari, quod cum isto permutatum erat I. 183. Sed hic nil variant libri. Schweighæuser. μέν νιν diserte S.
[l] παρημεληκέναι F. cum παρημέλεε pro v. l.

οὗτος ὁ ἄφωνος, ὡς εἶδε ἐπιόντα τὸν Πέρσην, ὑπὸ [m] δέους τε καὶ κακοῦ ἔρρηξε φωνὴν, εἶπε δέ· “[n] Ὤνθρωπε, μὴ
5 “[o] κτεῖνε Κροῖσον.” Οὗτος μὲν δὴ τοῦτο πρῶτον ἐφθέγξατο· μετὰ δὲ τοῦτο ἤδη ἐφώνεε τὸν πάντα χρόνον τῆς
86 [p] ζόης. Οἱ δὲ Πέρσαι τάς τε δὴ Σάρδις ἔσχον, [a] καὶ αὐτὸν Κροῖσον ἐζώγρησαν, ἄρξαντα ἔτεα [b] τεσσερεσκαίδεκα, καὶ τεσσερεσκαίδεκα ἡμέρας πολιορκηθέντα, κατὰ τὸ [c] χρηστήριόν τε καταπαύσαντα τὴν ἑωυτοῦ μεγάλην ἀρχήν· λαβόντες δὲ αὐτὸν οἱ Πέρσαι ἤγαγον παρὰ Κῦ-
2 ρον. ὁ δὲ, [d] συννήσας πυρὴν μεγάλην, ἀνεβίβασε ἐπ' αὐτὴν τὸν Κροῖσόν [e] τε ἐν πέδῃσι δεδεμένον, καὶ δὶς ἑπτὰ Λυδῶν παρ' [f] αὐτὸν παῖδας· ἐν νόῳ ἔχων εἴτε δὴ ἀκροθίνια ταῦτα καταγιεῖν θεῶν [g] ὅτεῳ δὴ, εἴτε καὶ εὐχὴν ἐπιτελέσαι θέλων· εἴτε [h] καὶ πυθόμενος τὸν Κροῖσον εἶναι θεοσεβέα, τοῦδε [i] εἵνεκεν ἀνεβίβασε ἐπὶ τὴν πυρὴν, βουλόμενος εἰδέναι εἴ τις μιν δαιμόνων ῥύσεται τοῦ μὴ ζῶντα
3 κατακαυθῆναι. τὸν μὲν δὴ ποιέειν ταῦτα· τῷ δὲ Κροίσῳ, ἑστεῶτι ἐπὶ τῆς πυρῆς, ἐσελθεῖν, [k] καί περ ἐν κακῷ ἐόντι τοσούτῳ, τὸ τοῦ Σόλωνος, ὥς οἱ εἴη σὺν θεῷ εἰρημένον, τὸ “Μηδένα [l] εἶναι τῶν [m] ζωόντων ὄλβιον.” ὡς δὲ ἄρα μιν [n] προστῆναι τοῦτο, [o] ἀνενεικάμενόν τε καὶ ἀναστενάξαντα

Crœsus compedibus vinctus, et rogo impositus ut combureretur, Solonis recordatus, eum ingemiscens ter nominavit. Cujus rei Cyrus causam edoctus, rogum jam ardentem exstingui jubet.

[m] δέους δέ κου ἔρρηξε S.
[n] ὤνθρωπε M.K.S.R. Gregor. dial. Ion. 29. F. alii. Ald. ἄνθρωπε al. cum A. Gellio V. 9.
[o] κτεῖναι Schæferus.
[p] ζωῆς V.S.b.e.

86.

[a] κ. α. δὴ e.
[b] Sic F. cum Gronov. τεσσαρεσκ. S. Parisini. Ald. Mox τεσσερ. solus d.
[c] Sic M.K.F.b.c.d. χ. τε καὶ S. Ald. b. χ. καὶ e.
[d] Suidas in v.
[e] τε om. e. δεδεμένον ἐν πέδῃσι S.
[f] αὐτῶν F. sed αὐτὸν corr. pr. m.
[g] ὁτεῳδὴ om. S. ubi supra καταγγιεῖν. ὅτεῳ δὴ F.b.e.
[h] καὶ om. S.V.
[i] Sic M.S.K.F. al. εἵνεκα Ald. e.
[k] Sic mss. Expectaveram autem καὶ γὰρ, *quippe quum*, vel *quippe qui*. Schweigh. Mox ὄντι S.
[l] Sic mss. plures. εἶναι om. M.
[m] Sic F.a.c. Vulgo ζώντων.
[n] Sic mss. Ald. παραστῆναι Stephanus in ed. 2. e. conj.
[o] Hinc Eustath. Od. θ'. p. 1604, 8=319, 24.

4 ἐκ πολλῆς [p] ἡσυχίης, ἐς τρὶς ὀνομάσαι [q] Σόλωνα. καὶ τὸν 44
Κῦρον ἀκούσαντα, κελεῦσαι τοὺς ἑρμηνέας [r] ἐπείρεσθαι
τὸν Κροῖσον, τίνα τοῦτον ἐπικαλέοιτο· καὶ τοὺς προσελ-
5 θόντας ἐπειρωτᾶν. Κροῖσον δὲ [s] τέως μὲν σιγὴν ἔχειν
[t] ἐρωτεώμενον· μετὰ δὲ, [v] ὡς ἠναγκάζετο, εἰπεῖν· "Τὸν
"ἂν ἐγὼ πᾶσι τυράννοισι προετίμησα μεγάλων χρη-
"μάτων ἐς λόγους ἐλθεῖν." Ὡς δέ σφι ἄσημα ἔφραζε,
6 πάλιν [w] ἐπειρώτεον τὰ λεγόμενα. [x] λιπαρεόντων δὲ αὐ-
τῶν, καὶ ὄχλον παρεχόντων, ἔλεγε δὴ, ὡς ἦλθε ἀρχὴν ὁ
Σόλων, ἐὼν Ἀθηναῖος, καὶ θεησάμενος πάντα τὸν ἑωυτοῦ
ὄλβον [y] ἀποφλαυρίσειε· οἷα δὴ εἴπας, [z] ὥστε αὐτῷ πάν-
τα [a] ἀποβεβήκοι τῇπερ ἐκεῖνος εἶπε, οὐδέν τι μᾶλλον ἐς
ἑωυτὸν λέγων, ἢ ἐς ἅπαν τὸ [b] ἀνθρώπινον, καὶ μάλιστα
τοὺς παρὰ [c] σφίσι αὐτοῖσι δοκέοντας ὀλβίους εἶναι. Τὸν
μὲν Κροῖσον ταῦτα ἀπηγέεσθαι· τῆς δὲ πυρῆς ἤδη ἁμ-
7 μένης, καίεσθαι τὰ περιέσχατα. καὶ τὸν Κῦρον ἀκού-
σαντα τῶν ἑρμηνέων [d] τὰ εἶπε Κροῖσος, μεταγνόντα τε,
καὶ [e] ἐννώσαντα ὅτι καὶ αὐτὸς ἄνθρωπος ἐὼν, ἄλλον ἄν-
θρωπον, γενόμενον ἑωυτοῦ εὐδαιμονίῃ οὐκ ἐλάσσω, [f] ζώοντα

[p] Sic M.K.R. Eustath. F.a.c. λειποψυχίης V. S. b. d. e. Ald. F. marg.

[q] Sic V.S. Σόλων M.K. et alii. τὸ Σόλων edd. vett.

[r] ἐπήρεσθαι F. et mox ἐπηρωτᾶν cum S.

[s] ἕως S. e. Eustath. Il. α'. p. 80, 22=60, fin. quem v. Od. γ'. p. 1460, 20.=117, 3. Vide Herodotum VIII. 74. II. 169. Sed τέως I. 82. 94.

[t] Sic edd. ἐρωτώμενον M.K.S.F. a.b.c.d.e. ἐπειρωτώμενον Steph. marg.

[v] ὡς om. V.S.b.e. Ald.

[w] ἐπειρώτων M.K.a.b.c. ἐπηρώτων F.S.

[x] Citat Thomas M. in Ὄχλος.

[y] Sic F.a.c.d. et forte M. Vulgo ἀποφλαυρίσειέ οἱ· ἃ δὴ cum S.

[z] Sic R.S.V.K.F.a.c.d. et forte M. Vulgo τῇ αὐτῷ.

[a] Sic K. Alii codd. vel ἀποβέβηκέ οἱ, vel ἀποβεβήκεε οἱ, vel ἀποβεβήκεε sine οἱ, ut S.

[b] ἀνθρωπήϊον Schæferus, suggerente Wesselingio.

[c] σφίσι αὐτοῖς ὀλβίους δοκέοντας εἶναι F. σφισιν αὐτοῖσιν ὀ. δ. ε. S. Mox περὶ ἔσχατα edd. ante Wesseling. vid. V. 101. περιέσχατα S.

[d] τὰ Κροῖσος εἶπε K.S.F.

[e] Eustath. Il. α'. p. 288, 15=218, 11.

[f] Sic F. Vulgo ζῶντα.

[g] πυρὶ διδοίη· πρός τε τούτοισι, δείσαντα τὴν τίσιν, καὶ
ἐπιλεξάμενον ὡς οὐδὲν εἴη [h] τῶν ἐν ἀνθρώποισι ἀσφαλέως
ἔχον, [i] κελεύει σβεννύναι τὴν ταχίστην τὸ καιόμενον πῦρ,
καὶ καταβιβάζειν Κροῖσόν τε καὶ τοὺς μετὰ Κροίσου·
καὶ τοὺς, πειρωμένους, οὐ δύνασθαι ἔτι τοῦ πυρὸς [k] ἐπι-
87 κρατῆσαι. Ἐνθαῦτα λέγεται ὑπὸ Λυδῶν, Κροῖσον μα-
θόντα τὴν Κύρου μετάγνωσιν, ὡς [a] ὥρα πάντα μὲν ἄνδρα
σβεννύντα τὸ πῦρ, δυναμένους δὲ οὐκέτι [b] καταλαβεῖν,
ἐπιβώσασθαι, τὸν Ἀπόλλωνα ἐπικαλεόμενον, εἴ τί οἱ
κεχαρισμένον ἐξ αὐτοῦ [c] ἐδωρήθη, παραστῆναι, καὶ [d] ῥύ-
2 σασθαί μιν ἐκ τοῦ παρεόντος κακοῦ. τὸν μὲν, δακρύοντα
ἐπικαλέεσθαι τὸν θεόν· ἐκ δὲ αἰθρίης τε καὶ νηνεμίης
[e] συνδραμέειν ἐξαπίνης νέφεα, καὶ χειμῶνά τε καταρρα-
γῆναι, καὶ ὗσαι ὕδατι λαβροτάτῳ, [f] κατασβεσθῆναί τε
τὴν πυρήν. οὕτω δὴ μαθόντα τὸν Κῦρον, ὡς εἴη [g] ὁ Κροῖσος
καὶ θεοφιλὴς καὶ ἀνὴρ ἀγαθὸς, καταβιβάσαντα αὐτὸν
3 ἀπὸ τῆς πυρῆς, εἴρεσθαι τάδε· "Κροῖσε, τίς σε ἀνθρώ-
"πων [h] ἀνέγνωσε, ἐπὶ γῆν τὴν ἐμὴν στρατευσάμενον,
"πολέμιον ἀντὶ φίλου ἐμοὶ καταστῆναι;" Ὁ δὲ εἶπε·
"Ὦ βασιλεῦ, ἐγὼ ταῦτα ἔπρηξα τῇ σῇ μὲν εὐδαιμονίῃ,
"τῇ ἐμεωυτοῦ δὲ κακοδαιμονίῃ, αἴτιος δὲ τούτων ἐγένετο 45
4 "ὁ Ἑλλήνων θεὸς, [i] ἐπαείρας ἐμὲ [k] στρατεύεσθαι. οὐδεὶς

Exsuperante igne, quum Apollinem Crœsus invocasset, maxima pluvia orta, rogus exstinctus. Quid Cyrus Crœsum interrogarit, et quid ab eo responsi acceperit.

[g] Sic M.S.K.R.F.a.c.d. Vulgo πυρῇ. Mox παραδιδοίη c.
[h] τῶν ἀνθρωπίνων R.c.
[i] κελεύειν correxit H. Steph.
[k] ἐπικρατέειν R.c.

87.

[a] ὅρα d.
[b] καταβαλεῖν R. ut corr. Portus.
[c] κεχορήγηται R.
[d] ῥ. αὐτὸν M.K.R.F.a.c.
[e] Sic Ald. συνδραμεῖν S.M.K.F. a.b.c.d.
[f] καὶ σβεσθῆναι S.
[g] Sic S.K.F.a.b. ὁ al. om.
[h] Schol. Dionysii Thracis Bekker. Anecd. p. 743, 17. ἀνέγνω. Vid. Villoisoni Anecd. II. p. 179. Schæfer. Gregor. p. 505.
[i] ἐπαήρας P. qui voluit ἐπαείρας docente Wesselingio. Vulgo ἐπάρας. In S. ἐπάρας.
[k] στρατοπεδεύεσθαι K. Sequentia habet Stobæus 55, 10. Mox αἱρέται S.

" γὰρ οὕτω ἀνόητός ἐστι, ὅς τις πόλεμον πρὸ εἰρήνης " αἱρέεται. ἐν μὲν γὰρ τῇ, οἱ παῖδες τοὺς πατέρας θά- " πτουσι· ἐν δὲ τῷ, οἱ πατέρες τοὺς παῖδας. ἀλλὰ " ταῦτα [1] δαίμοσί κου φίλον ἦν οὕτω γενέσθαι."

Colitur Crœsus a Cyro, idemque bonum ei consilium dat.

88 Ὁ μὲν ταῦτα ἔλεγε. Κῦρος δὲ αὐτὸν λύσας [a] κάτισέ τε ἐγγὺς ἑωυτοῦ, καὶ κάρτα ἐν πολλῇ προμηθίῃ εἶχε, [b] ἀπεθώυμαζέ τε ὁρέων καὶ αὐτὸς, καὶ οἱ περὶ ἐκεῖνον
2 ἐόντες πάντες. ὁ δὲ, συννοίῃ ἐχόμενος, ἥσυχος ἦν. μετὰ δὲ, ἐπιστραφείς τε καὶ [c] ἰδόμενος τοὺς Πέρσας τὸ τῶν Λυδῶν ἄστυ κεραΐζοντας, εἶπε· "Ὦ βασιλεῦ, [d] κότερα " λέγειν πρὸς σὲ τὰ νοέων τυγχάνω, ἢ σιγᾶν ἐν τῷ
3 " παρεόντι [e] χρή;" Κῦρος δέ μιν θαρσέοντα ἐκέλευε λέ- γειν ὅ τι βούλοιτο. ὁ δὲ αὐτὸν [f] εἰρώτα, [g] λέγων· "Οὗ- " τος ὁ πολλὸς ὅμιλος τί ταῦτα [h] σπουδῇ πολλῇ ἐργά- " ζεται;" Ὁ δὲ εἶπε· "Πόλιν τε τὴν σὴν διαρπάζει,
4 " καὶ χρήματα τὰ σὰ [i] διαφορέει." Κροῖσος δὲ ἀμεί- βετο· "Οὔτε [k] πόλιν τὴν ἐμὴν, οὔτε χρήματα τὰ ἐμὰ " διαρπάζει· οὐδὲν γὰρ ἐμοὶ ἔτι τούτων [l] μέτα. ἀλλὰ
89 " φέρουσί τε καὶ ἄγουσι τὰ σά." Κύρῳ δὲ [a] ἐπιμελὲς ἐγένετο τὰ Κροῖσος εἶπε· μεταστησάμενος δὲ τοὺς ἄλ- λους, εἴρετο Κροῖσον ὅ τι οἱ ἐνορῴη ἐν τοῖσι [b] ποιευμένοισι.
2 ὁ δὲ εἶπε· "Ἐπεί τε με θεοὶ [c] δῶκαν δοῦλόν σοι, δικαιῶ,

[1] δαίμοσί κου M.K.F.a. δαίμοσί που R.c. δαίμονί κου edd. b.d.S.

88.

[a] κατεῖσέ M.K.a.c. κάτεισέ F.

[b] ἀπεθώμαζε F.

[c] αἰδόμενος V.S. εἰδόμενος F.

[d] Sic Ald. Herodotus infra 91. κότερον M.K.S.V.F.a.b.c.d.

[e] χρόνῳ χρή; R.M. χρόνῳ absque χρὴ K.P.F.a.c. παρεόντι χρὴ sine χρόνῳ S.b.d. Ald. παρεόντι χρεὼν Schæferus.

[f] ἠρώτα F.S.

[g] λέγων οὕτως· ὁ S. Ald.

[h] πολλῇ om. S.b.d. πολλῇ σπουδῇ F. πουλῇ Ald.

[i] Sic M.K.R.F.a.c.d. διαφθορέει S. edd. vett. cf. Leopardi Em. VII. 9.

[k] τὴν π. τ. b.

[l] μετὸν K.

89.

[a] ἐπιμελῶς K. Sequentia expressit Philostr. Ic. II. p. 824.

[b] πορευομένοισιν S.

[c] Sic S. Ald. ἔδωκαν F.a.c.

" εἴ τι [d] ἐνορέω πλέον, σημαίνειν σοι. Πέρσαι, φύσιν
3 " ἐόντες ὑβρισταὶ, εἰσὶ ἀχρήματοι. ἢν ὦν σὺ τούτους
" [e] περιί̈δῃς διαρπάσαντας καὶ κατασχόντας χρήματα
" μεγάλα, τάδε τοι ἐξ [f] αὐτῶν ἐπίδοξα γενέσθαι· ὃς ἂν
" αὐτῶν πλεῖστα [g] κατάσχῃ, τοῦτον [h] προσδέκεσθαί τοι
4 " ἐπαναστησόμενον. νῦν ὦν ποίησον ὧδε, [i] εἴ τοι [k] ἀρέσκει
" τὰ ἐγὼ λέγω. [l] κάτισον τῶν δορυφόρων ἐπὶ πάσῃσι
" τῇσι πύλῃσι φυλάκους, οἳ λεγόντων πρὸς τοὺς ἐκφέ-
" ροντας τὰ χρήματα ἀπαιρεόμενοι, ὥς σφεα ἀναγ-
5 " καίως ἔχει [m] δεκατευθῆναι τῷ Διΐ. καὶ σύ τε σφι οὐκ
" ἀπεχθήσεαι βίῃ ἀπαιρεόμενος τὰ χρήματα· καὶ ἐκεῖ-
" νοι, συγγνόντες ποιέειν σε δίκαια, ἑκόντες ποιήσουσι."

Infensus Græcorum Deo Crœsus, Cyri venia missis legatis, mala sua illi exprobrat.

90 Ταῦτα ἀκούων ὁ Κῦρος, ὑπερήδετο, ὥς οἱ ἐδόκεε [a] εὖ ὑπο-
τίθεσθαι. αἰνέσας δὲ πολλὰ, καὶ ἐντειλάμενος τοῖσι δορυ-
φόροισι τὰ Κροῖσος ὑπεθήκατο ἐπιτελέειν, εἶπε πρὸς
2 Κροῖσον τάδε· " Κροῖσε, [b] ἀναρτημένου σεῦ ἀνδρὸς [c] βα-
" σιλέος χρηστὰ ἔργα καὶ ἔπεα ποιέειν, [d] αἰτέο [e] δόσιν
" τήν τινα βούλεαί τοι γενέσθαι παραυτίκα." Ὁ δὲ
3 εἶπε· " Ὦ δέσποτα, ἐάσας με [f] χαριεῖ μάλιστα τὸν
" θεὸν τῶν Ἑλλήνων, [g] τὸν ἐτίμησα ἐγὼ θεῶν μάλιστα,

[d] Sic F. Vulgo ἐνορῶ.
[e] περιείδῃς S.
[f] αὐτέων] αὐτῶν S.M.K.F.a.b. c.d. Mox πλεῖστα αὐτῶν S.
[g] κατάσχοι b.d.
[h] προσδέχεσθαι Steph.
[i] εἴ τι S.d.
[k] Sic F. a. b. c. Schæferus. Vulgo ἀρέσκοι.
[l] θάρρησον S. et mox ἀπαιρεούμενοι—ὥς σφε.
[m] δὴ καταθῆναι S. δὴ κατευθῆναι K. Mox ἀπαιχθήσεται S. sed τ extritum.

90.

[a] εὖ om. V.S.b.
[b] Sic P.K.F.a.c. ἀνηρτ. S.b.d. alii.
[c] Sic K.b.d.F. pro v. l. βασιλέως S. vulgo.
[d] αἴτεο ed. Wess. etc. minus recte; est enim ex αἰτέεο, resecto posteriore ε. Sic ἐξηγέο III. 72. ἀκέο III. 40. et similia. cf. Maittaire Dial. p. 122. SCHWEIG. αἰτέο diserte S. edd. vett.
[e] τὴν δόσιν S.d. edd. vett. τὴν om. M.K.
[f] Sic M.F. Vulgo χαριῇ.
[g] τὸν ἐγὼ ἐτίμησα θεὸν S. τὸν ἐγὼ ἐτίμησα θεῶν K.P.F. Brevius c. τὸν, θεῶν τῶν Ἑλλήνων ἐτίμησα ἐγὼ

"ἐπείρεσθαι, πέμψαντα τάσδε [h] τὰς πέδας, εἰ ἐξαπα-
4 "τᾶν τοὺς εὖ [i] ποιεῦντας νόμος ἐστί οἱ." Κῦρος δὲ [k] εἴρετο ὅ τι οἱ τοῦτο [l] ἐπηγορεύων παραιτέοιτο. Κροῖσος δέ οἱ [m] ἐπανηλόγησε πᾶσαν τὴν ἑωυτοῦ διάνοιαν, καὶ τῶν 46 χρηστηρίων τὰ [n] ὑποκρίσιας, καὶ μάλιστα τὰ ἀναθήματα· καὶ ὡς ἐπαρθεὶς τῷ μαντηΐῳ, ἐστρατεύσατο ἐπὶ
5 Πέρσας. λέγων δὲ ταῦτα, κατέβαινε αὖτις παραιτεόμενος, ἐπεῖναί οἱ τῷ θεῷ [o] τούτων [p] ὀνειδίσαι. Κῦρος δὲ γελάσας εἶπε· "Καὶ τούτου τεύξεαι παρ' [q] ἐμεῦ, Κροῖσε,
6 "καὶ [r] ἄλλου παντὸς τοῦ ἂν ἑκάστοτε δέῃ." Ὡς δὲ ταῦτα [s] ἤκουσε ὁ Κροῖσος, πέμπων τῶν Λυδῶν ἐς Δελφοὺς, ἐνετέλλετο, τιθέντας τὰς πέδας ἐπὶ τοῦ νηοῦ τὸν οὐδὸν, εἰρωτᾶν εἰ οὔ τι ἐπαισχύνεται τοῖσι μαντηΐοισι [t] ἐπάρας Κροῖσον στρατεύεσθαι ἐπὶ Πέρσας, ὡς καταπαύσοντα τὴν Κύρου δύναμιν, ἀπ' ἧς οἱ ἀκροθίνια τοιαῦτα γενέσθαι· δεικνύντας τὰς πέδας. [v] ταῦτά τε ἐπειρωτᾶν, καὶ εἰ [w] ἀχαρίστοισι νόμος [x] εἶναι τοῖσι Ἑλληνικοῖσι
91 θεοῖσι. Ἀπικομένοισι [a] δὲ τοῖσι Λυδοῖσι, [b] καὶ λέγουσι

Apollinis responsum,

μάλιστα, probante Schweighæusero.

[h] τὰς om. K.

[i] ποιοῦντας K.S.b.d.

[k] ἤρετο F. ᾔρετο c.

[l] ὑπηγ. K. Vide Lobeck. ad Phryn. p. 702.

[m] ἐπαλιλλόγησε ed. Schæfer. ex emend. Leopardi VII. 9. Valckenærio et Wesselingio probata. Et sic Pollux II. 120. Vulgatum defendit Schweighæuserus, Lobeckio reprehensus ad Phrynich. p. 703. Non tacenda autem msstorum Pollucis varietas: quorum unus ἐπαλληλόγησε, alter ἐπαντιλογήσει. Quibus ad vulgatam Pollucis lectionem immutandam equidem non moveor. Nemo, opinor, infra c. 118. ἐπαλιλλόγητο in controversiam vocabit, etsi edd. ante Reizianam ἐπαλλιλόγητο, codices ἐπαλληλόγητο et ἐπαληλόγητο exhibent.

[n] ὑποκρίσις ed. Schæfer.

[o] Sic Ald. b. τούτῳ S.P.K.F. d. τοῦτο R.a.c.

[p] ὀνειδίσειν S.

[q] ἐμοῦ S.

[r] ἄλλων c.

[s] Sic M.K.R.F.a.c.d. ἤκουε S. b. et vulgo. Mox ὁ om. S.

[t] ἐπάρας S.F.a. ἐπαείρας Schæfer. cf. 87. Mox καταπαύσαντα S.

[v] Sic M.K.F.a.c. Alii τοιαῦτα.

[w] ἀχαριστεῖν R.c.

[x] εἴη c. ἐστὶ d.

91.

[a] δὲ om. F.

[b] Sic V.S.M.K.R.F.a.c.d. Alii

Deos culpa liberantis, et oracula interpretantis. Cyrus, mulus.

τὰ ἐντεταλμένα, τὴν Πυθίην λέγεται εἰπεῖν τάδε· “ [c]Τὴν
“ πεπρωμένην [d]μοῖραν ἀδύνατά ἐστι ἀποφυγέειν καὶ
2 “ θεῷ. Κροῖσος δὲ πέμπτου [e]γονέος ἁμαρτάδα ἐξέ-
“ πλησε, ὃς ἐὼν δορυφόρος Ἡρακλειδέων, δόλῳ γυναικηΐῳ
“ [f]ἐπισπόμενος, ἐφόνευσε τὸν δεσπότεα, καὶ ἔσχε τὴν
“ ἐκείνου τιμὴν οὐδέν οἱ προσήκουσαν. [g]προθυμεομένου δὲ
“ Λοξίεω, ὅκως ἂν κατὰ τοὺς παῖδας [h]τοὺς Κροίσου
“ γένοιτο τὸ Σαρδίων πάθος, καὶ μὴ κατ' αὐτὸν Κροῖσον,
3 “ οὐκ [i]οἷόν τε [k]ἐγένετο παραγαγεῖν μοίρας. ὅσον δὲ
“ ἐνέδωκαν [l]αὗται, ἠνύσατο, καὶ ἐχαρίσατό οἱ. τρία γὰρ
“ ἔτεα [m]ἐπανεβάλετο τὴν Σαρδίων ἅλωσιν· καὶ τοῦτο
“ ἐπιστάσθω Κροῖσος, ὡς ὕστερον τοῖσι ἔτεσι τούτοισι
“ ἁλοὺς τῆς πεπρωμένης. δεύτερα δὲ τούτων, καιομένῳ
4 “ αὐτῷ ἐπήρκεσε. Κατὰ δὲ τὸ μαντήϊον τὸ γενόμενον,
“ οὐκ ὀρθῶς Κροῖσος μέμφεται. προηγόρευε γάρ οἱ Λο-
“ ξίης, ἢν στρατεύηται ἐπὶ Πέρσας, μεγάλην ἀρχὴν [n]αὐ-
“ τὸν καταλύσειν. τὸν δὲ πρὸς ταῦτα χρῆν, [o]εὖ μέλ-
“ λοντα βουλεύεσθαι, ἐπείρεσθαι πέμψαντα, κότερα τὴν
5 “ ἑωυτοῦ ἢ τὴν Κύρου [p]λέγοι ἀρχήν. οὐ [q]συλλαβὼν δὲ
“ τὸ ῥηθὲν, οὐδ' ἐπανειρόμενος, ἑωυτὸν αἴτιον ἀποφαινέτω.

Λυδοῖσι λέγουσι ταῦτα δὴ τὰ ἐ. Aldus καὶ λέγ. Sic et b.

[c] Citat Libanius II. p. 643. D. et Choricius Or. in Procopium Gazæum c. 25. Wess.

[d] μοίραν F.a.c. μοίρην vulg.

[e] Sic M.K.A. Vulgo γένεος, et sic F. contra sensum. γονέα *progenitorem* valere docuit Gronovius.

[f] Sic F.a.b.c.d. Homerus Od. γ'. 215. ἐπισπόμενοι θεοῦ ὀμφῇ. Sophocl. El. 973. ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασι, Wesselingio citati. Vulgo ἐπισπώμενος.

[g] προθεμένου F. in contextu, alterum in marg.

[h] Sic M.K.F. Alii τοῦ Κρ. τοὺς Κρ. παῖδας c.

[i] οἷός τε S.V. Schæferus.

[k] ἐγίνετο F.

[l] αὐταὶ, ἤνυσέ τε Schæferus.

[m] Sic R.S.a.c ἐπανεβάλλετο F. b.d. vulgo. Mox τὴν om. S.

[n] Sic M.R.K.a.c.F. αὐτὸν al. om.

[o] εὖ om. S.V.b.d. Ald.

[p] λέγοι M.K.a. λέγει S. et vulg.

[q] ξυμβαλὼν Schæferus. Sanum est vulg.

" ᾧ καὶ τὸ τελευταῖον χρηστηριαζομένῳ εἶπε [r] τὰ εἶπε
6 " Λοξίης περὶ ἡμιόνου· οὐδὲ τοῦτο [s] συνέλαβε. ἦν γὰρ
" [t] δὴ ὁ Κῦρος οὗτος ἡμίονος· ἐκ γὰρ δυοῖν οὐκ ὁμοεθνέων 47
7 " ἐγεγόνεε, μητρὸς ἀμείνονος, πατρὸς δὲ ὑποδεεστέρου. ἡ
" μὲν γὰρ ἦν Μηδὶς, καὶ [v] Ἀστυάγεος θυγάτηρ τοῦ Μή-
" δων βασιλέος· ὁ δὲ, Πέρσης τε ἦν, καὶ ἀρχόμενος ὑπ'
" ἐκείνοισι· καὶ ἔνερθε ἐὼν τοῖσι ἅπασι, δεσποίνῃ τῇ
8 " ἑωυτοῦ [w] συνοίκεε." Ταῦτα μὲν ἡ Πυθίη ὑπεκρίνατο
τοῖσι Λυδοῖσι· οἱ δὲ ἀνήνεικαν ἐς Σάρδις, καὶ ἀπήγγειλαν [x] τῷ Κροίσῳ. ὁ δὲ ἀκούσας, [y] συνέγνω ἑωυτοῦ εἶναι τὴν ἁμαρτάδα, καὶ [z] οὐ τοῦ θεοῦ. Κατὰ μὲν δὴ τὴν Κροίσου τε ἀρχὴν, καὶ Ἰωνίης τὴν πρώτην καταστροφὴν, ἔσχε οὕτω.

92

Donaria Crœsi multa in variis Græciæ templis. Pantaleon, Crœsi frater ex patre. Quam fœde Crœsus interemerit fratris fautorem.

[a] Κροίσῳ δὲ ἔστι καὶ ἄλλα ἀναθήματα ἐν τῇ Ἑλλάδι πολλὰ, καὶ οὐ τὰ εἰρημένα μοῦνα. ἐν μὲν γὰρ Θήβῃσι τῇσι Βοιωτῶν τρίπους χρύσεος, τὸν ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Ἰσμηνίῳ· ἐν δὲ Ἐφέσῳ, αἵ τε βόες αἱ χρύσεαι, καὶ τῶν κιόνων αἱ πολλαί· ἐν δὲ [b] Προνηΐης τῆς
2 ἐν Δελφοῖσι, ἀσπὶς χρυσέη μεγάλη. ταῦτα μὲν καὶ ἔτι ἐς ἐμὲ ἦν περιεόντα· τὰ δ' ἐξαπόλωλε [c] τῶν ἀναθημάτων. τὰ δ' ἐν Βραγχίδῃσι [d] τῇσι Μιλησίων ἀναθήματα

[r] τὰ εἶπε om. S.V. Valla, et Schæferus, qui paullo ante τὸ δὲ τὸ pro ᾧ καὶ τό.

[s] Sic Ald. συνέβαλε mss. fere omnes.

[t] δὴ om. b. Mox οὗτος ὁ ἡμίονος Schæferus. Infra ἀμίνοος S.

[v] Ἀστυάγεω—βασιλέος S. Ἀστυάγεω d. βασιλέως F.b.d. Ald.

[w] Sic M.K.S.F.a.b.c.d. Vulgo συνῴκεε.

[x] τῷ om. M.F.a.

[y] συνέγνω τ. ἁ. citat Priscian. XVIII. p. 1206.

[z] οὐχὶ b.d. οὐκὶ Schæferus.

92.

[a] Κροίσῳ etc. Desunt hæc usque ad c. 93. V.S.b.d. Valla.

[b] Sic K.M.F.a. Vulgo προνηΐοις τοῖσι. τοῖς Ald.

[c] Vulgo τὰ τῶν ἀ. Schæferus τὰ delevit. Sic et Schweighæuser. cui τὰ τῶν ἀ. e gl. irrepsisse videntur.

[d] τῆς conj. Schweigh. τοῖσι Reiskius. ἀναθήματα om. Ald.

Κροίσῳ, ὡς ἐγὼ πυνθάνομαι, ἴσα τε σταθμὸν καὶ ὁμοῖα
3 τοῖσι ἐν Δελφοῖσι. τὰ μέν νυν ἔς τε Δελφοὺς καὶ ἐς τοῦ
Ἀμφιάρεω ἀνέθηκε, οἰκήϊά τε ἐόντα, καὶ τῶν πατρῴων
χρημάτων ἀπαρχήν· τὰ δὲ ἄλλα ἀναθήματα ἐξ ἀνδρὸς
ἐγένετο οὐσίης ἐχθροῦ, ὅς οἱ, πρὶν ἢ βασιλεῦσαι, [e] ἀντι-
στασιώτης κατεστήκεε, συσπεύδων Πανταλέοντι γενέσθαι
4 τὴν Λυδῶν ἀρχήν. ὁ δὲ Πανταλέων ἦν Ἀλυάττεω μὲν
παῖς, Κροίσου δὲ ἀδελφεὸς οὐκ ὁμομήτριος. Κροῖσος
μὲν γὰρ ἐκ Καείρης ἦν γυναικὸς Ἀλυάττῃ· Πανταλέων
5 δὲ, ἐξ Ἰάδος. ἐπεί τε δὲ, δόντος τοῦ πατρὸς, ἐκράτησε
τῆς ἀρχῆς ὁ Κροῖσος, τὸν ἄνθρωπον τὸν ἀντιπρήσσοντα
ἐπὶ [f] κνάφου ἕλκων διέφθειρε· τὴν δὲ οὐσίην αὐτοῦ ἔτι
πρότερον κατιρώσας, τότε τρόπῳ τῷ εἰρημένῳ ἀνέθηκε ἐς
τὰ εἴρηται. καὶ περὶ μὲν ἀναθημάτων τοσαῦτα εἰρήσθω.

Ingens Alyattæ sepulcrum. Lydiæ puellæ, meretrices. Palus Gygæa.

93 [a] Θώματα δὲ γῆ Λυδίη ἐς συγγραφὴν οὐ μάλα ἔχει,
οἷά τε καὶ ἄλλη χώρη, πάρεξ τοῦ ἐκ τοῦ Τμώλου κατα-
φερομένου ψήγματος. [b] Ἓν δὲ ἔργον πολλὸν μέγιστον
παρέχεται, χωρὶς τῶν τε Αἰγυπτίων ἔργων καὶ τῶν Βα-
2 βυλωνίων. [c] ἔστι αὐτόθι Ἀλυάττεω τοῦ Κροίσου πατρὸς
σῆμα, τοῦ ἡ κρηπὶς μέν ἐστι λίθων μεγάλων, τὸ δὲ ἄλλο
σῆμα, χῶμα γῆς. [d] ἐξειργάσαντο δέ μιν οἱ ἀγοραῖοι 48
ἄνθρωποι, καὶ οἱ [e] χειρώνακτες, καὶ αἱ ἐνεργαζόμεναι
3 παιδίσκαι. [f] οὖροι δὲ, πέντε ἐόντες, ἔτι καὶ ἐς ἐμὲ ἦσαν
ἐπὶ τοῦ σήματος ἄνω· καί σφι γράμματα ἐνεκεκόλαπτο,

[e] ἀντιστασιώτης M.K.R.a.c.F. Vulgo ἀντιστασιώτας.

[f] Sic Lexic. Herodot. Hesych. Suid. Vulgo κναφηΐου. γνάφου Plutarchus Wyttenbachii p. 858. E. ubi edd. vett. νάφου. Steph. τάφου.

93.

[a] Θώματα F. Θῶϋμα Ald. b.S.

[b] Desunt hæc usque ad καταπορνεύουσι c. 94. b.d. Vall. S.

[c] Citat Strabo XIII. p. 930=627.

[d] ἐξεργ. Schæferus. et sic mox mss. excepto F.

[e] χειρώνακτες ex h. l. Pollux I. 50.

[f] Vide Eustath. Il. α'. p. 149, 15=112. extr.

τὰ ἕκαστοι ἐξεργάσαντο. καὶ ἐφαίνετο μετρεόμενον τὸ
4 τῶν παιδισκέων ἔργον ἐὸν μέγιστον. [g] Τοῦ γὰρ δὴ Λυδῶν
δήμου αἱ θυγατέρες πορνεύονται πᾶσαι, συλλέγουσαι
5 σφίσι φερνὰς, ἐς ὃ ἂν [h] συνοικήσωσι τοῦτο ποιέουσαι. ἐκ-
διδόασι δὲ αὐταὶ ἑωυτάς. ἡ μὲν δὴ περίοδος τοῦ σήματος,
εἰσὶ στάδιοι ἓξ, καὶ δύο πλέθρα· τὸ δὲ εὖρός ἐστι πλέθρα
6 τριακαίδεκα. λίμνη δὲ ἔχεται τοῦ σήματος μεγάλη, τὴν
λέγουσι Λυδοὶ ἀείναον εἶναι· καλέεται δὲ αὕτη Γυγαίη.
τοῦτο μὲν δὴ [i] τοιοῦτό ἐστι.

94

Lydi primi aurum et argentum signarunt: primi cauponas instituerunt: primi ludos omnis generis invenerunt. Lydorum colonia sub Tyrrheno Atyis regis filio ducta in Umbriam.

Λυδοὶ δὲ νόμοισι μὲν παραπλησίοισι [a] χρέωνται καὶ
Ἕλληνες· χωρὶς ἢ ὅτι [b] τὰ θήλεα τέκνα καταπορνεύουσι.
[c] πρῶτοι δὲ ἀνθρώπων, τῶν ἡμεῖς ἴδμεν, νόμισμα χρυσοῦ
καὶ ἀργύρου κοψάμενοι ἐχρήσαντο· πρῶτοι δὲ καὶ κά-
2 πηλοι ἐγένοντο. Φασὶ δὲ αὐτοὶ Λυδοὶ, [d] καὶ τὰς παι-
γνίας τὰς νῦν σφίσι τε καὶ Ἕλλησι κατεστεώσας, ἑωυ-
3 τῶν ἐξεύρημα γενέσθαι. ἅμα δὲ ταύτας τε ἐξευρεθῆναι
παρὰ σφίσι λέγουσι, καὶ Τυρσηνίην [e] ἀποικίσαι· ὧδε
περὶ αὐτῶν λέγοντες. ἐπὶ Ἄτυος τοῦ Μάνεω [f] βασιλέος
[g] σιτοδηΐην ἰσχυρὴν ἀνὰ τὴν Λυδίην πᾶσαν γενέσθαι· καὶ
τοὺς Λυδοὺς τέως μὲν διάγειν λιπαρέοντας· μετὰ δὲ, ὡς
οὐ παύεσθαι, ἄκεα [h] δίζησθαι· ἄλλον δὲ ἄλλο ἐπιμη-
4 χανᾶσθαι αὐτῶν. ἐξευρεθῆναι δὴ ὦν τότε καὶ τῶν κύβων,

g Habet Strabo XI. extr. XIII. p. 930=627.

h συνοικήσουσι] συνοικήσωσι R.F. c. Werferus.

i τοιοῦτον F.

94.

a χρέονται Schæfer.

b Thomas M. v. Ἑταῖρα.

c Λυδοὶ γὰρ δὴ καὶ πρῶτοι b.d.S.

d καὶ παίγνια πρῶτοι ἐξευρέσθαι λέγονται παρὰ Ἑλλήνων τῶν τε κύβων καὶ τῶν ἀστραγάλων etc. b.d. S. qui Λυδοὶ δὲ αὐτοὶ absque φασί. Mox σφαίρας S.

e Sic M.K.a.F. ἀπονικῆσαι R.c. Ald. ἀποικῆσαι H. Steph.

f Sic a.c. Vulgo βασιλῆος. βασιλέως hic et infra F. Mox βασιλέα F.a.c. Herodotum βασιλέα et βασιλέος semper scripsisse opinatur Schweighæuserus.

g Sic em. Wesselingius. Vulgo σιτοδείην, ut 22.

h Sic K.F. δίζεσθαι a.c. et vulg. cf. 95. II. 38. Mox ὦν om. Ald.

καὶ τῶν ἀστραγάλων, καὶ τῆς σφαίρης, καὶ [i] τῶν ἀλλέων πασέων παιγνιέων τὰ εἴδεα, πλὴν [k] πεσσῶν. [l] τούτων γὰρ ὦν τὴν [m] ἐξεύρεσιν οὐκ οἰκηϊοῦνται Λυδοί. ποιέειν 49
5 τῶν γὰρ ὦν τὴν ἐξεύρεσιν …

δὲ ὧδε, πρὸς τὸν λιμὸν ἐξευρόντας· τὴν μὲν ἑτέρην τῶν ἡμερέων παίζειν πᾶσαν, ἵνα δὴ μὴ ζητέοιεν σιτία· τὴν δὲ ἑτέρην σιτέεσθαι, παυομένους τῶν παιγνιέων. τοιούτῳ
6 τρόπῳ διάγειν ἐπ' ἔτεα δυῶν δέοντα εἴκοσι. ἐπεί τε δὲ οὐκ ἀνιέναι τὸ κακὸν, ἀλλ' [n] ἐπὶ μᾶλλον ἔτι βιάζεσθαι, οὕτω δὴ τὸν βασιλέα αὐτῶν, δύο μοίρας διελόντα Λυδῶν πάντων, κληρῶσαι, τὴν μὲν ἐπὶ μονῇ, τὴν δὲ ἐπὶ ἐξόδῳ ἐκ
7 τῆς χώρης. καὶ ἐπὶ μὲν τῇ [o] μένειν αὐτοῦ λαγχανούσῃ τῶν μοιρέων ἑωυτὸν τὸν βασιλέα προστάσσειν· ἐπὶ δὲ τῇ ἀπαλλασσομένῃ, τὸν ἑωυτοῦ παῖδα, τῷ οὔνομα εἶναι
8 Τυρσηνόν. λαχόντας δὲ αὐτῶν τοὺς ἑτέρους ἐξιέναι ἐκ τῆς χώρης, [p] καταβῆναι ἐς Σμύρνην, καὶ μηχανήσασθαι πλοῖα, ἐς τὰ ἐσθεμένους τὰ πάντα ὅσα σφι ἦν χρηστὰ [q] ἐπίπλοα, ἀποπλέειν κατὰ βίου τε καὶ γῆς ζήτησιν· ἐς ὃ, ἔθνεα πολλὰ παραμειψαμένους, ἀπικέσθαι ἐς Ὀμβρικούς· ἔνθα σφέας ἐνιδρύσασθαι πόλιας, καὶ οἰκέειν τὸ
9 μέχρι τοῦδε. ἀντὶ δὲ Λυδῶν μετονομασθῆναι αὐτοὺς ἐπὶ τοῦ βασιλέος τοῦ παιδὸς, ὅς σφεας ἀνήγαγε· ἐπὶ τούτου τὴν ἐπωνυμίην ποιευμένους, ὀνομασθῆναι Τυρσηνούς. Λυδοὶ μὲν δὴ ὑπὸ Πέρσῃσι [r] δεδούλωντο.

[i] Sic M.K.V.F.a.d. τῶν ἄλλων c. τῶν ἀλέων S.b. ἄλλων sine τῶν Ald.

[k] πεσῶν M.K.V.b. περσέων S. πεσσῶν P.F.a.c.d. πεσσέων Ald. Tangit hæc Eustath. Od. α'. p. 1396=27. extr.

[l] Desunt usque ad Τυρσηνοὺς sub finem capitis V.S.b.d.

[m] Sic M.K.F. (e corr. ubi pr. ἐξεύρησιν) a.b.c.d. Vulgo εὕρεσιν.

[n] ἔτι ἐπὶ μᾶλλον K.F. ἐπιμᾶλλον ἔτι a.c.

[o] ἐπιμένειν λαχούσῃ R. Citat hæc Dionysius Hal. Ant. I. p. 21.

[p] Sic F. Vulgo καὶ κατ. Supra λαχόντα F.

[q] Pollux X. 10.

[r] Sic K.V.S.F.b.d. edd. vett. Vide Wesseling. ad Diodor. II. 8. ἐδεδούλωντο M.

95

De Cyro Persas varie tradere. Imperium Asiæ penes Assyrios inde ab a. 1231 ad 711. quo tempore ab iis Medi et gentes aliæ defecerunt.

[a] Ἐπιδίζηται δὲ δὴ τὸ ἐνθεῦτεν ἡμῖν ὁ λόγος τόν τε
Κῦρον, ὅστις ἐὼν τὴν Κροίσου ἀρχὴν κατεῖλε· καὶ τοὺς
2 Πέρσας, ὅτεῳ τρόπῳ ἡγήσαντο τῆς Ἀσίης. Ὡς ὦν Περ-
σέων μετεξέτεροι λέγουσι, οἱ μὴ βουλόμενοι σεμνοῦν τὰ 95
περὶ Κῦρον, ἀλλὰ τὸν ἐόντα λέγειν λόγον, κατὰ ταῦτα
γράψω· ἐπιστάμενος περὶ Κύρου καὶ τριφασίας ἄλλας
3 λόγων ὁδοὺς φῆναι. [b] Ἀσσυρίων ἀρχόντων τῆς ἄνω Ἀσίης
ἐπ᾽ ἔτεα εἴκοσι καὶ πεντακόσια, πρῶτοι ἀπ᾽ αὐτῶν Μῆ-
δοι ἤρξαντο ἀπίστασθαι· καί κως οὗτοι περὶ τῆς ἐλευ-
θερίης μαχεσάμενοι τοῖσι Ἀσσυρίοισι, ἐγένοντο ἄνδρες
ἀγαθοί· καὶ ἀπωσάμενοι τὴν δουλοσύνην, ἠλευθερώθησαν.
4 μετὰ δὲ τούτους, καὶ τὰ ἄλλα ἔθνεα ἐποίεε τὠυτὸ [c] τοῖσι
Μήδοισι. Ἐόντων δὲ αὐτονόμων πάντων ἀνὰ τὴν ἤπειρον,

96

Deioces imperium apud Medos affectans, justitiæ laudi studuit.

ὧδε αὖτις ἐς τυραννίδας περιῆλθον. Ἀνὴρ [a] ἐν τοῖσι Μή-
δοισι ἐγένετο σοφὸς, τῷ οὔνομα ἦν Δηϊόκης, παῖς δὲ ἦν
Φραόρτεω. οὗτος ὁ Δηϊόκης, [b] ἐρασθεὶς τυραννίδος, ἐποίεε
2 [c] τοιάδε. Κατοικημένων τῶν Μήδων κατὰ κώμας, [d] ἐν
τῇ ἑωυτοῦ ἐὼν καὶ πρότερον δόκιμος, καὶ [e] μᾶλλόν τι καὶ
προθυμότερον δικαιοσύνην ἐπιθέμενος ἤσκεε· καὶ ταῦτα

95.

[a] Sic K.S.V.F.a.b.c.d. ἐπιδίζεται edd. vett. Mox δὲ om. d.

[b] Desunt S.V.b.d. Valla usque ad περιῆλθον c. 96.

[c] Sic M.K.F.a.b.c.d. Vulgo om. τοῖσι.

96.

[a] Sic V.S.K.R. Ald. ἐν om. M. F.a.c. cf. Wesseling. ad Diodor. XIII. p. 79. Mox ἐγένετο om. S.

[b] Hæc usque ad fin. c. 100. in compendium redacta sunt in V.S.b.d. Vall. hoc modo: Οὗτος ὁ Δηϊόκης διὰ ὦν τὴν ἑωυτοῦ εὐνομίην ἐβασίλευε Μήδων. ποιέουσι δὲ ταῦτα οἱ Μῆδοι· οἰκοδομέουσί τε οἰκοδομήματα μεγάλα, καὶ δορυφόρους αὐτῷ ἐπιτρέπουσιν ἐκ πάντων Μήδων καταλέξασθαι πρὸς τὸ μὴ εἰσιέναι παρὰ βασιλέα μηδένα συγχωρέειν, δι᾽ ἀγγέλων δὲ πάντα χρέεσθαι, ὁρᾶσθαι δὲ βασιλέα ὑπὸ μηδενός· πρός τε τούτοισιν ἔτι γελᾶν τε καὶ πτύειν ἀντίον, καὶ ἅπασιν εἶναι τοῦτό γε αἰσχρόν. ταῦτα δὲ περὶ ἑωυτὸν ποιέονται, ὅκως μὴ ὁρῶντες οἱ ὁμήλικες ἐόντες καὶ σύντροφοι ἀγαθοί τε καὶ ἄλκιμοι, λυπεοίατο καὶ ἐπιβουλεύοιεν. Δηϊόκης μὲν νῦν etc. c. 101.

[c] τάδε F.

[d] Sic M.K.F. Parr. ἐν γῇ Ald. Mox ἑωυτῶν K.

[e] Sic M. et alii mss. cum Ald. μᾶλλόν τε Steph.

μέντοι, ἐούσης ἀνομίης πολλῆς ἀνὰ πᾶσαν τὴν Μηδικὴν,
ἐποίεε, ἐπιστάμενος ὅτι τῷ δικαίῳ τὸ ἄδικον πολέμιον
ἐστί. οἱ δ' ἐκ τῆς αὐτῆς κώμης Μῆδοι, [f] ὁρῶντες αὐτοῦ
τοὺς τρόπους, δικαστήν μιν ἑωυτῶν αἱρέοντο. ὁ δὲ δὴ, οἷα
3 [g] μνεώμενος ἀρχὴν, ἰθύς τε καὶ δίκαιος ἦν. ποιέων τε
ταῦτα, ἔπαινον εἶχε οὐκ ὀλίγον πρὸς τῶν πολιτέων, οὕτω
ὥστε πυνθανόμενοι [h] οἱ ἐν τῇσι ἄλλῃσι κώμῃσι ὡς Δηϊό-
κης εἴη ἀνὴρ μοῦνος κατὰ τὸ ὀρθὸν δικάζων, πρότερον
περιπίπτοντες ἀδίκοισι γνώμῃσι, τότε ἐπεί τε ἤκουσαν,
ἄσμενοι [i] ἐφοίτεον παρὰ τὸν Δηϊόκεα καὶ αὐτοὶ δικασό-
97 μενοι· τέλος δὲ, οὐδενὶ ἄλλῳ ἐπετράποντο. Πλεῦνος δὲ
αἰεὶ γινομένου τοῦ [a] ἐπιφοιτέοντος, οἷα πυνθανομένων τὰς
δίκας ἀποβαίνειν κατὰ τὸ ἐὸν, γνοὺς ὁ Δηϊόκης ἐς ἑωυ-
τὸν πᾶν ἀνακείμενον, οὔτε κατίζειν ἔτι ἤθελε ἔνθα περ
2 πρότερον προκατίζων ἐδίκαζε, οὔτ' ἔφη δικᾶν ἔτι. οὐ γάρ
οἱ λυσιτελέειν, τῶν ἑωυτοῦ ἐξημεληκότα, τοῖσι πέλας δι'
3 ἡμέρης δικάζειν. ἐούσης ὦν ἁρπαγῆς καὶ ἀνομίης ἔτι
πολλῷ μᾶλλον ἀνὰ τὰς κώμας ἢ πρότερον ἦν, συνε-
λέχθησαν οἱ Μῆδοι ἐς τὠυτὸ, καὶ ἐδίδοσαν σφίσι λόγον,
λέγοντες περὶ τῶν κατηκόντων. ὡς δ' ἐγὼ δοκέω, [b] μά-
4 λιστα ἔλεγον οἱ τοῦ Δηϊόκεω φίλοι· "Οὐ γὰρ δὴ, τρόπῳ
"τῷ παρεόντι [c] χρεώμενοι, δυνατοί εἰμεν οἰκέειν τὴν χώ-
"ρην· φέρε, στήσωμεν ἡμέων αὐτῶν βασιλέα· [d] καὶ
"οὕτω ἥ τε χώρη εὐνομήσεται, καὶ αὐτοὶ πρὸς ἔργα τρε-
"ψόμεθα, οὐδὲ ὑπ' ἀνομίης ἀνάστατοι ἐσόμεθα." Ταῦ-
98 τά κη λέγοντες, πείθουσι ἑωυτοὺς βασιλεύεσθαι. Αὐ-

Medi consultant de statu rerum communium.

Deioces a. 700 rex

[f] ὁρέωντες F. ὁρέοντες Schæfer.
[g] μνεώμενος Ald. R.F.a.b.c.d. μνώμενος M.K. Præcedentia citat Plutarch. de Nobil. cap. 4.
[h] οἱ om. marg. Steph.
[i] Sic R.a.b.c.d. edd. ἐφοίτων M.K. ἐφοίτεων F.

97.
[a] ἐπιφοιτέωντες F.
[b] Sic M.K.R.F.a.b.c.d. κάλλιστα edd. vett.
[c] χρώμενοι F. χρεόμενοι Schæfer.
[d] καὶ om. F.

creatus, condidit Ecbatana.

τίκα δὲ προβαλλομένων [a] τόν τινα στήσονται βασιλέα, ὁ Δηϊόκης ἦν πολλὸς ὑπὸ παντὸς ἀνδρὸς καὶ προβαλλόμενος καὶ αἰνεόμενος· ἐς ὃ τοῦτον καταινέουσι βασιλέα σφίσι εἶναι.
2 Ὁ δ᾽ ἐκέλευε αὐτοὺς οἰκία τε ἑωυτῷ ἄξια τῆς βασιληΐης οἰκοδομῆσαι, καὶ κρατῦναι αὐτὸν δορυφόροισι.
3 [b] ποιεῦσι δὴ ταῦτα οἱ Μῆδοι. οἰκοδομέουσί τε γὰρ αὐτῷ οἰκία μεγάλα τε καὶ ἰσχυρὰ, ἵνα αὐτὸς ἔφρασε τῆς χώρης· καὶ δορυφόρους αὐτῷ ἐπιτρέπουσι ἐκ πάντων Μήδων καταλέξασθαι.
4 Ὁ δὲ, ὡς ἔσχε τὴν ἀρχὴν, τοὺς Μήδους ἠνάγκασε [c] ἓν πόλισμα ποιήσασθαι, καὶ τοῦτο
5 περιστέλλοντας, τῶν ἄλλων ἧσσον ἐπιμέλεσθαι. πειθομένων δὲ καὶ ταῦτα τῶν Μήδων, οἰκοδομέει τείχεα μεγάλα τε καὶ καρτερὰ, ταῦτα τὰ νῦν [d] Ἀγβάτανα κέ-
6 κληται, ἕτερον ἑτέρῳ κύκλῳ [e] ἐνεστεῶτα. μεμηχάνηται δὲ 51
οὕτω [f] τοῦτο τὸ τεῖχος, ὥστε ὁ ἕτερος τοῦ ἑτέρου κύκλος
7 τοῖσι προμαχεῶσι [g] μούνοισι ἐστὶ ὑψηλότερος. τὸ [h] μέν κου τι καὶ τὸ χωρίον συμμαχέει, κολωνὸς [i] ἐὸν, ὥστε τοιοῦτο εἶναι· τὸ δὲ καὶ μᾶλλόν τι ἐπετηδεύθη, κύκλων ἐόντων τῶν [k] συναπάντων ἑπτὰ, [l] ἐν δὲ τῷ τελευταίῳ τὰ
8 βασιλήϊα ἔνεστι καὶ οἱ θησαυροί. τὸ δὲ αὐτῶν μέγιστόν ἐστι τεῖχος κατὰ τὸν [m] Ἀθηνέων κύκλον μάλιστά κη τὸ [n] μέγαθος. τοῦ μὲν δὴ πρώτου κύκλου οἱ προμαχεῶνές εἰσι λευκοί· τοῦ δὲ δευτέρου, μέλανες· τρίτου δὲ κύκλου, φοινίκεοι· τετάρτου δὲ, κυάνεοι· πέμπτου δὲ, [o] σαν-

98.

[a] Sic F. Vulgo ὅν τινα.

[b] Sic M.K.F. Parr. ποιέουσι Ald.

[c] ἐμπόλισμα a.c.

[d] Sic M.P. Ἐκβάτανα F.a.c. et al.

[e] Sic M.K.F.a.c. Vulgo ἐνεστῶτα.

[f] Sic M.K.F.a. τοῦτο al. om.

[g] μούνοις F.

[h] Sic M.K.F.a. Alii μέν τι κου.

[i] ἐὼν K.F.

[k] Sic M.K.F. συναπτόντων a.c. Ald.

[l] ἐν δὴ conj. Schweighæuser.

[m] Sic Wesselingius. Ἀθηναίων edd. mss.

[n] Sic Ald. μέγεθος F.a.c.

[o] στονδαράαινοι Ald. c. στωνδα-

9 δαράκινοι. οὕτω πάντων τῶν κύκλων [p] οἱ προμαχεῶνες
ἠνθισμένοι εἰσὶ φαρμάκοισι. δύο δὲ [q] οἱ τελευταῖοι, εἰσὶ
ὁ μὲν καταργυρωμένους, ὁ δὲ κατακεχρυσωμένους ἔχων
τοὺς προμαχεῶνας.

99 Ταῦτα μὲν δὴ ὁ Δηϊόκης ἑωυτῷ τε ἐτείχεε, καὶ περὶ — Quibus institutis regnum firmarit.
τὰ ἑωυτοῦ οἰκία· τὸν δὲ ἄλλον δῆμον πέριξ ἐκέλευε τὸ
2 τεῖχος οἰκέειν. οἰκοδομηθέντων δὲ πάντων, κόσμον τόνδε
Δηϊόκης πρῶτός ἐστι ὁ καταστησάμενος· μήτε ἐσιέναι
παρὰ βασιλέα μηδένα, [a] δι' ἀγγέλων δὲ πάντα χρέε-
σθαι, ὁρᾶσθαί τε βασιλέα ὑπὸ μηδενός· πρός τε τούτοισι
ἔτι, γελᾶν τε καὶ [b] πτύειν ἀντίον [c] καὶ ἅπασι [d] εἶναι τοῦ-
3 τό γε αἰσχρόν. Ταῦτα δὲ [e] περὶ ἑωυτὸν ἐσέμνυνε τῶνδε
εἵνεκεν, ὅκως ἂν μὴ [f] ὁρῶντες οἱ ὁμήλικες, ἐόντες [g] σύν-
τροφοί τε ἐκείνῳ, καὶ οἰκίης οὐ φλαυροτέρης, οὐδὲ ἐς ἀν-
δραγαθίην λειπόμενοι, λυπεοίατο καὶ ἐπιβουλεύοιεν, ἀλλ'
100 [h] ἑτεροῖός σφι δοκέοι εἶναι μὴ [i] ὁρῶσι. Ἐπεί τε δὲ ταῦ- — Jus dixit severe.
τα διεκόσμησε, καὶ ἐκράτυνε ἑωυτὸν τῇ τυραννίδι, ἦν τὸ
δίκαιον φυλάσσων χαλεπός. καὶ τάς τε δίκας γρά-
φοντες, εἴσω παρ' ἐκεῖνον ἐσεπέμπεσκον· καὶ ἐκεῖνος
2 διακρίνων τὰς ἐσφερομένας, ἐκπέμπεσκε. ταῦτα μὲν

ῥάκινοι K. F. a. σανδαρακινοὶ H. Steph. nescio an e ms. στονδρακινοὶ P. cum gl. ὃ λαζουρί φασι. cf. Du Cangii Lex. Gr. Med. v. λαζούριον.

[p] Citat Thomas M. in Φάρμακα. Φαρμάκοισι· βαφαῖς, ex Herodoto Suidas.

[q] οἱ om. K.

99.

[a] Sic M.K.F.a.c. συγχωρέειν, δι' ἀγγέλων Ald.

[b] ἀντίον πτύειν F. cf. Suidas in Κάρδαμα, Xenoph. Cyropæd. I. 2, 16.

[c] Suspicari possis excidisse verbum aliquod quale καὶ ἀπομύττεσθαι, quod in eadem re adjecit Xenoph. l. c. Sed nil opus: καὶ cum ἅπασι junctum intendit significationem, *etiam omnibus* i. e. *prorsus omnibus*. Schweig.

[d] τοῦτό γε εἶναι F. Ald.

[e] Sic M.R.K.F.a.c. Vulgo περὶ ἑ. ποιέονται ὅκως μή.

[f] Sic M.R.K.a.c. ὁρέοντες V.S. ὁρέωντες F.b.d. Ald.

[g] Sic K.M.R.F.a.c. nisi quod F. φαυλότεροι habet. καὶ σύντροφοι ἀγαθοί τε καὶ ἄλκιμοι λυπεοίατο Ald.

[h] Sic M.K.a.c.F. Alii ἑτεροῖον.

[i] Sic M.K. ὁρέωσι R.F.a.c. Ald. ὁρέουσι Schæferus. In extr. τὴν ante χώρην om. Ald.

κατὰ τὰς δίκας ἐποίεε· τὰ δὲ δὴ ἄλλα ἐκεκοσμέατό οἱ. εἴ τινα πυνθάνοιτο ὑβρίζοντα, τοῦτον ὅκως μεταπέμψαιτο, κατ' ἀξίην ἑκάστου ἀδικήματος ἐδικαίευ· καί οἱ κατάσκοποί τε καὶ κατήκοοι ἦσαν ἀνὰ πᾶσαν τὴν χώρην τῆς ἦρχε.

101 Medorum populi.

101 Δηϊόκης μέν νυν τὸ Μηδικὸν ἔθνος [a] συνέστρεψε μοῦνον, καὶ τούτου ἦρξε. ἔστι δὲ Μήδων τοσάδε γένεα, [b] Βου- 52
σαὶ, [c] Παρητακηνοὶ, Στρούχατες, Ἀριζαντοὶ, Βούδιοι, Μάγοι. γένεα [d] μὲν δὴ Μήδων ἐστὶ τοσάδε.

102 Phraortes rex ab a. 647. Persis et aliis Asiæ gentibus imperio adjunctis, Assyrios aggressus, periit.

102 Δηϊόκεω [a] δὲ παῖς γίνεται Φραόρτης, ὃς, [b] τελευτήσαντος Δηϊόκεω, βασιλεύσαντος τρία καὶ πεντήκοντα ἔτεα, παρεδέξατο
2 τὴν ἀρχήν. παραδεξάμενος δὲ, οὐκ [c] ἀπεχρᾶτο [d] μούνων ἄρχειν τῶν Μήδων· ἀλλὰ στρατευσάμενος ἐπὶ τοὺς Πέρσας, πρώτοισί τε τούτοισι ἐπεθήκατο, καὶ πρώτους Μή-
3 δων ὑπηκόους ἐποίησε. μετὰ δὲ, ἔχων δύο ταῦτα ἔθνεα, καὶ ἀμφότερα ἰσχυρὰ, κατεστρέφετο τὴν Ἀσίην, ἀπ'
4 ἄλλου ἐπ' ἄλλο ἰὼν ἔθνος. [e] ἐς ὃ στρατευσάμενος ἐπὶ τοὺς Ἀσσυρίους, καὶ [f] Ἀσσυρίων τούτους οἳ Νῖνον [g] εἶχον, καὶ ἦρχον πρότερον πάντων, τότε δὲ ἦσαν μεμουνωμένοι 1
μὲν συμμάχων, ἅτε ἀπεστεώτων, ἄλλως μέντοι ἑωυτῶν εὖ ἥκοντες· ἐπὶ τούτους δὴ στρατευσάμενος ὁ Φραόρτης, αὐτός τε διεφθάρη, ἄρξας [h] δύο καὶ εἴκοσι ἔτεα, καὶ ὁ στρατὸς αὐτοῦ ὁ πολλός.

101.

[a] συνεστρέψατο S.

[b] Sic Ald. Βουσαῖ F.a.c. Βοῦσαι Steph. Byz. ex h. l.

[c] Παρηκοντακηνοὶ V.S. cf. Cellarius Geogr. Ant. III. 19. p. 808.

[d] Sic M.S.K.R. δὴ om. F.b. edd. Mox τάδε pro τοσάδε b. d.S. Ald.

102.

[a] μὲν b.d.

[b] τελευτήσαντα τρία mediis om. S.

[c] ἀπεχρῆτο S. ἀπεχρέετο Schæfer. Vulg. habet Suidas.

[d] Μήδων μούνων ἄρχειν K.F. μούνων M. ἅ. a.c.

[e] ἐς τὸ Schæferus.

[f] Ἀσσυρίους S.

[g] ἔχον] εἶχον S.F.c.d. ἔσχον R.

[h] Sic M.K.F.a.c. δύο τε S.b.d. vulgo.

103 Φραόρτεω δὲ τελευτήσαντος, [a] ἐξεδέξατο Κυαξάρης ὁ
2 Φραόρτεω τοῦ Δηϊόκεω παῖς. οὗτος λέγεται [b] πολλὸν ἔτι
γενέσθαι ἀλκιμώτερος τῶν προγόνων· καὶ πρῶτός τε
[c] ἐλόχισε κατὰ τέλεα τοὺς ἐν τῇ Ἀσίῃ, καὶ πρῶτος διέ-
ταξε χωρὶς ἑκάστους εἶναι, τούς τε αἰχμοφόρους, καὶ
τοὺς [d] τοξοφόρους, καὶ τοὺς ἱππέας· [e] πρὸ τοῦ δὲ ἀναμὶξ
3 [f] ἦν πάντα ὁμοίως ἀναπεφυρμένα. Οὗτος ὁ τοῖσι Λυ-
δοῖσί ἐστι μαχεσάμενος, ὅτε νὺξ ἡ ἡμέρη [g] ἐγένετό σφι
μαχομένοισι· καὶ ὁ τὴν Ἅλυος ποταμοῦ ἄνω Ἀσίην πᾶ-
4 σαν συστήσας ἑωυτῷ. [h] Συλλέξας δὲ τοὺς ὑπ' ἑωυτῷ
ἀρχομένους πάντας, ἐστρατεύετο ἐπὶ τὴν Νῖνον, τιμωρέων
5 τε τῷ πατρὶ, καὶ τὴν πόλιν ταύτην θέλων ἐξελεῖν. καί
οἱ, ὡς συμβαλὼν ἐνίκησε τοὺς Ἀσσυρίους, περικατημένῳ
τὴν Νῖνον, ἐπῆλθε Σκυθέων στρατὸς μέγας· [i] ἄγε δὲ αὐ-
τοὺς βασιλεὺς ὁ Σκυθέων Μαδύης, Πρωτοθύεω παῖς· οἳ
[k] ἐσέβαλον μὲν ἐς τὴν Ἀσίην, Κιμμερίους ἐκβαλόντες ἐκ
τῆς Εὐρώπης, τούτοισι δὲ [l] ἐπισπόμενοι φεύγουσι, οὕτω
104 ἐς τὴν Μηδικὴν χώρην ἀπίκοντο. Ἔστι δὲ ἀπὸ τῆς
λίμνης τῆς Μαιήτιδος ἐπὶ Φᾶσιν ποταμὸν καὶ ἐς Κόλ-
2 χους τριήκοντα ἡμερέων εὐζώνῳ ὁδός. ἐκ δὲ τῆς Κολχίδος
οὐ πολλὸν ὑπερβῆναι ἐς τὴν Μηδικὴν, ἀλλὰ ἓν τὸ διὰ
μέσου ἔθνος αὐτῶν ἐστὶ, [a] Σάσπειρες· τοῦτο δὲ παραμει-
3 βομένοισι, εἶναι ἐν τῇ Μηδικῇ. οὐ μέντοι οἵ γε Σκύθαι

Cyaxares a. 625. secutus, militum genera distinxit, et in ordines partitus est. Hic ille, qui Lydis bellum fecit. [1, 74.] Obsidenti ei Ninum urbem a. 624 supervenit Scytharum ex Europa in Asiam eruptio. [4, 10. sq.]

Scythæ victores de Medis, omni Asia potiti.

103.

a ἐδέξατο F.

b πολλῶν S.

c Sic F.a.c. ἐλόχησε S.K.b.d. Suidas et Zonaras.

d Sic S.K.F. ἱππέας—τοξοφόρους vulgo.

e Sic F. πρὸ δὲ τοῦδε d. προτοῦ δὲ vulgo.

f ἦν et ὁμοίως om. S. Hinc sumsit colorem Themistius XXVI. p. 319. Wess.

g σφιν ἐγ. S.

h Desunt seqq. usque ad Βαβυλωνίης μοίρης fin. 106. S.V.b.d. Vall.

i Sic F.a. ἄγε γε c. ἄγαγε Ald. ἦγε δὲ Steph.

k ἐσέβαλλον F.

l ἐπισπομένοισι c. Ald.

104.

a Σάπειρες Larcherus. cf. 110. IV. 37. 40.

ταύτῃ ἐσέβαλον, ἀλλὰ τὴν κατύπερθε ὁδὸν πολλῷ μα-
κροτέρην ἐκτραπόμενοι, [b] ἐν δεξιῇ ἔχοντες τὸ Καυκάσιον
4 ὄρος. ἐνθαῦτα οἱ μὲν Μῆδοι συμβαλόντες τοῖσι Σκύ-
θῃσι, καὶ ἑσσωθέντες τῇ μάχῃ, τῆς ἀρχῆς κατελύθησαν·
105 οἱ δὲ Σκύθαι τὴν Ἀσίην πᾶσαν ἐπέσχον. Ἐνθεῦτεν δὲ
[a] ἤϊσαν ἐπ᾽ Αἴγυπτον· καὶ ἐπεί τε ἐγένοντο ἐν τῇ Παλαι- 53
στίνῃ Συρίῃ, Ψαμμίτιχός σφεας Αἰγύπτου βασιλεὺς ἀν-
τιάσας δώροισί τε καὶ λιτῇσι [b] ἀποτρέπει [c] τὸ προσωτέρω
2 μὴ πορεύεσθαι. οἱ δὲ, ἐπεί τε ἀναχωρέοντες ὀπίσω,
[d] ἐγένοντο τῆς Συρίης ἐν Ἀσκάλωνι [e] πόλι, τῶν πλεόνων
Σκυθέων παρεξελθόντων ἀσινέων, ὀλίγοι τινὲς αὐτῶν [f] ὑπο-
λειφθέντες, ἐσύλησαν τῆς Οὐρανίης Ἀφροδίτης τὸ ἱρόν.
3 [g] ἔστι δὲ τοῦτο τὸ ἱρὸν, ὡς ἐγὼ πυνθανόμενος εὑρίσκω,
4 πάντων ἀρχαιότατον ἱρῶν ὅσα ταύτης τῆς θεοῦ. καὶ γὰρ
τὸ ἐν Κύπρῳ ἱρὸν ἐνθεῦτεν ἐγένετο, ὡς αὐτοὶ [h] λέγουσι
Κύπριοι· καὶ τὸ ἐν Κυθήροισι Φοίνικές εἰσι οἱ ἱδρυσά-
5 μενοι, ἐκ ταύτης τῆς Συρίης [i] ἐόντες. τοῖσι δὲ τῶν Σκυ-
θέων συλήσασι τὸ ἱρὸν τὸ ἐν Ἀσκάλωνι, καὶ τοῖσι [k] τού-
των αἰεὶ ἐκγόνοισι, ἐνέσκηψε [l] ἡ θεὸς [m] θήλειαν νοῦσον·
ὥστε ἅμα λέγουσί τε οἱ Σκύθαι διὰ τοῦτό σφεας [n] νο-
σέειν, καὶ ὁρᾶν παρ᾽ ἑωυτοῖσι τοὺς ἀπικνεομένους ἐς τὴν
Σκυθικὴν χώρην ὡς διακέαται, τοὺς καλέουσι Ἐναρέας

Pergentibus iis in Ægyptum, occurrit Psammitichus rex, iisque persuadet ut redeant. Scytharum parva manus ædem Veneris Cælestis Ascalone despoliat. His et eorum posteris morbum inflictum esse muliebrem.

[b] ἐν δεξιῇ δὲ F.

105.

[a] Sic Schæferus. ᾖσαν Steph. ἦσαν Ald. F.

[b] ἀποτράπει Schæferus.

[c] Sic F.a. τοπροσ. M.K. προσωτέρω sine τὸ vulgo.

[d] ἐγίνοντο K. ἐγενέατο Schæferus.

[e] Sic M.K.c. πόλει F.a. et vulgo.

[f] ἀπολειφθ. F. pro v. l.

[g] ἔστι δὲ τοῦτο τὸ ἱ. om. Ald. c. et mox εὑρίσκω om. Ald.

[h] Κύπριοι λέγουσι F.

[i] Sic mss. Ald. ὄντες ed. Steph. sec.

[k] τουτέων] Sic Ald. τούτων M. F.a.b.

[l] Ita Wesseling. e Longino περὶ Ὕψ. c. 27. ὁ θεὸς edd. mss.

[m] θηλέην Schæferus cum Koenio Gregor. Dial. Ion. 41. Θήλεαν inf. III. 102.

[n] νοσέειν K.M.F. Alii νοσεῖν.

106 οἱ Σκύθαι. Ἐπὶ μέν νυν ὀκτὼ καὶ εἴκοσι ἔτεα ἦρχον τῆς Ἀσίης οἱ Σκύθαι, καὶ τὰ πάντα σφι ὑπό τε ὕβριος καὶ ὀλιγωρίης ἀνάστατα ἦν. χωρὶς μὲν γὰρ φόρων, ἔπρησσον παρ᾽ ἑκάστων [a] τὸ ἑκάστοισι [b] ἐπέβαλλον· χωρὶς δὲ τοῦ φόρου, ἥρπαζον περιελαύνοντες τοῦτο [c] ὅ τι ἔχοιεν ἕκαστοι.
2 καὶ τούτων μὲν τοὺς πλεῦνας Κυαξάρης τε καὶ Μῆδοι [d] ξεινίσαντες καὶ καταμεθύσαντες κατεφόνευσαν. καὶ οὕτω ἀνεσώσαντο τὴν ἀρχὴν Μῆδοι, καὶ ἐπεκράτεον τῶν
3 περ καὶ πρότερον. καὶ τήν τε Νῖνον εἷλον, (ὡς δὲ εἷλον, 54
ἐν ἑτέροισι λόγοισι δηλώσω,) καὶ τοὺς Ἀσσυρίους ὑπο- 61
4 χειρίους ἐποιήσαντο, πλὴν τῆς Βαβυλωνίης μοίρης. μετὰ δὲ ταῦτα, [e] Κυαξάρης μὲν, βασιλεύσας [f] τεσσεράκοντα ἔτεα, σὺν τοῖσι Σκύθαι ἦρξαν, τελευτᾷ.

Scythæ Asia ejecti a. 596. Ninus capta [et eversa, dominantibus adhuc Scythis,] a. 606.

107 Ἐκδέκεται δὲ Ἀστυάγης, [a] ὁ Κυαξάρεω παῖς, τὴν βασιληΐην. καί οἱ ἐγένετο θυγάτηρ, τῇ οὔνομα ἔθετο Μαν-
2 δάνην. τὴν ἐδόκεε Ἀστυάγης ἐν τῷ ὕπνῳ οὐρῆσαι τοσοῦτον, ὥστε πλῆσαι μὲν τὴν ἑωυτοῦ πόλιν, ἐπικατακλύσαι
3 δὲ καὶ τὴν Ἀσίην πᾶσαν. [b] ὑπερθέμενος δὲ τῶν μάγων τοῖσι ὀνειροπόλοισι τὸ ἐνύπνιον, ἐφοβήθη, παρ᾽ [c] αὐτῶν
4 αὐτὰ ἕκαστα [d] μαθών. μετὰ δὲ, [e] τὴν Μανδάνην ταύτην, ἐοῦσαν ἤδη ἀνδρὸς ὡραίην, Μήδων μὲν τῶν ἑωυτοῦ ἀξίων οὐδενὶ διδοῖ γυναῖκα, δεδοικὼς τὴν ὄψιν· ὁ δὲ Πέρσῃ διδοῖ, τῷ οὔνομα ἦν Καμβύσης· τὸν εὕρισκε [f] οἰκίης μὲν

Astyages a. 585 factus rex, et idem pater Mandanes, [ex Aryeni uxore anno ante ducta, 1, 74.] ob somnium de filia sibi oblatum, conditione quæsita extranea, dat eam uxorem Cambysi Persæ a. 572.

106.

[a] τὰ ἑ. Schæferus.

[b] ἐπέβαλονF. probante Schweighæusero.

[c] Sic K.M.F.a. ὅπερ edd.

[d] Sic F.a. Schæfer. Vulgo ξενίσαντες.

[e] Hic rursus inc. V.S. ubi om. σὺν τοῖσι Σκ. ἦρξαν.

[f] Sic M.K. Vulgo τεσσαράκ.

107.

[a] ὁ om. K.F.c. Mox τὴν οὔνομα ἔθετο S.

[b] Sic Schæferus, ex sententia H. Stephani Wesselingio probata. ὑποθέμενος edd. mss.

[c] αὐτέων] Sic Ald. αὐτῶν S. et ceteri.

[d] Sic S.K.M.F.a.b.c.d. ἐκμαθὼν edd.

[e] Sic K.S.P.F.a.b.c.d. τὴν μὲν M.' M. Ald.

[f] Sic K.S.F.a.b.c.d. οἰκηΐης M. Ald.

ἐόντα ἀγαθῆς, τρόπου δὲ [g] ἡσυχίου· πολλῷ ἔνερθε ἄγων

Ob aliud somnium Astyages, filia gravida primo nuptiarum anno ex Persis arcessita, quem ea puerum peperit, Harpago dat necandum.

108 αὐτὸν μέσου ἀνδρὸς Μήδου. Συνοικεούσης δὲ τῷ Καμ-
βύσῃ τῆς Μανδάνης, ὁ Ἀστυάγης τῷ πρώτῳ ἔτεϊ εἶδε
2 ἄλλην ὄψιν. [a] ἐδόκεε δέ οἱ ἐκ τῶν αἰδοίων τῆς θυγατρὸς
ταύτης φῦναι ἄμπελον· τὴν δὲ ἄμπελον ἐπισχεῖν τὴν
3 Ἀσίην πᾶσαν. ἰδὼν δὲ τοῦτο, καὶ [b] ὑπερθέμενος τοῖσι
ὀνειροπόλοισι, μετεπέμψατο ἐκ τῶν Περσέων τὴν θυγα-
4 τέρα [c] ἐπίτεκα [d] ἐοῦσαν. ἀπικομένην δὲ ἐφύλασσε, βου-
λόμενος τὸ [e] γεννώμενον ἐξ αὐτῆς διαφθεῖραι· ἐκ γάρ οἱ
τῆς ὄψιος οἱ τῶν μάγων ὀνειροπόλοι ἐσήμαινον, ὅτι [f] μέλ-
λοι ὁ τῆς θυγατρὸς αὐτοῦ γόνος βασιλεύσειν ἀντὶ ἐκείνου.
5 Ταῦτα δὴ ὦν φυλασσόμενος ὁ Ἀστυάγης, ὡς ἐγένετο ὁ
Κῦρος, καλέσας Ἅρπαγον, ἄνδρα οἰκήϊον, καὶ πιστό-
τατόν τε Μήδων, καὶ πάντων ἐπίτροπον τῶν ἑωυτοῦ,
6 ἔλεγέ οἱ [g] τοιάδε· "Ἅρπαγε, πρῆγμα τὸ ἄν τοι προσ-
" θέω, [h] μηδαμῶς παραχρήσῃ· μηδὲ ἐμέ τε παραβάλῃ,
" καὶ ἄλλους ἑλόμενος, ἐξ ὑστέρης [i] σοὶ ἑωυτῷ περι-
7 " πέσῃς. λάβε [k] τὸν Μανδάνη ἔτεκε παῖδα· φέρων δὲ
" [l] ἐς σεωυτοῦ, ἀπόκτεινον· μετὰ δὲ, θάψον τρόπῳ ὅτεῳ

[g] ἡσύχιον S. et mox μέσον ἀ. Wesselingius confert Justin. I. 4.

108.

[a] Sic M.K.F.a.c. Vulgo om. δὲ cum S.

[b] Sic vulg. et F.a.b.c.d. ὑποθέμενος S.K.

[c] Sic Ald. R.a.c. Vide Hemsterhus. ad Thom. Mag. v. Ἐπίτεξ. Bast. Gregor. p. 155. ἐπίτοκα S.M.V.K.F.b.d.

[d] οὖσαν b.

[e] γενόμενον c.d. Mox καὶ ἐκ γὰρ edd. vett. et b.

[f] Sic S.R.M.K.F.a.c.d. Vulgo μέλλει.

[g] τάδε S. Mox προθέω Ald.

[h] μηδαμᾷ R.V.b.d. μηδαμοῦ S. μηδαμῶς M.K.F. μηδαμὰ a.c. μηδαμῇ edd. In msstorum discordia vetustissimi libri scripturam servavi.

[i] Sic M.a. σὺ ἑωυτῷ K.S.F. Vulgo ἑωυτῷ tantum. σοι αὐτῷ c. σεωυτῷ Schæfer. Ald. ἐξυστερήσεις, σὺ ἑωυτῷ d.

[k] τὸν ἂν S. Edd. b. ἂν om. M. K. et alii.

[l] Sic M.K.F.a.b.c.d. ἐς ἐσεωυτοῦ P. ἐς ἑωυτοῦ S. alii. cf. III. p. 36. Observ. Miscell. III. p. 142.

8 “ αὐτὸς [m] βούλεαι.” Ὁ δὲ ἀμείβεται· “ Ὦ βασιλεῦ,
“ οὔτε [n] ἄλλοτέ κω [o] παρεῖδες ἀνδρὶ τῷδε ἄχαρι οὐδὲν,
“ φυλασσόμεθα δὲ ἐς σὲ καὶ ἐς τὸν [p] μετέπειτα χρόνον
“ μηδὲν ἐξαμαρτεῖν. ἀλλ᾽ [q] εἴ τοι φίλον τοῦτο οὕτω γί-
“ νεσθαι, χρὴ δὴ, τό γε ἐμὸν, ὑπηρετέεσθαι [r] ἐπιτηδέως.”

109 Τούτοισι ἀμειψάμενος ὁ Ἅρπαγος, ὥς οἱ παρεδόθη τὸ
παιδίον κεκοσμημένον τὴν ἐπὶ [a] θανάτῳ, [b] ἤϊε κλαίων ἐς
τὰ [c] οἰκία. παρελθὼν δὲ ἔφραζε τῇ ἑωυτοῦ γυναικὶ τὸν
πάντα [d] Ἀστυάγεος ῥηθέντα λόγον. ἡ δὲ πρὸς αὐτὸν
2 λέγει· “ Νῦν ὦν τί σοι ἐν νόῳ ἐστὶ ποιέειν;” Ὁ δὲ
ἀμείβεται· “ Οὐκ [e] ᾗ ἐνετέλλετο Ἀστυάγης· οὐδ᾽ εἰ
“ [f] παραφρονήσει τε καὶ μανεῖται κάκιον ἢ νῦν μαίνεται,
“ οὔ οἱ ἔγωγε προσθήσομαι τῇ γνώμῃ, οὐδὲ ἐς [g] φόνον
3 “ τοιοῦτον ὑπηρετήσω. πολλῶν δὲ [h] εἵνεκα οὐ φονεύσω
“ μιν· καὶ ὅτι αὐτῷ μοι συγγενής ἐστιν ὁ παῖς, καὶ ὅτι
“ Ἀστυάγης μέν ἐστι γέρων, καὶ ἄπαις [i] ἔρσενος γόνου.
4 “ εἰ δὲ [k] θελήσει, τούτου τελευτήσαντος, ἐς τὴν θυγατέρα
“ ταύτην ἀναβῆναι ἡ τυραννὶς, ἧς νῦν τὸν υἱὸν κτείνει δι᾽
“ ἐμεῦ, ἄλλο τί ἢ λείπεται τὸ ἐνθεῦτεν ἐμοὶ κινδύνων ὁ
“ μέγιστος; ἀλλὰ τοῦ μὲν ἀσφαλέος εἵνεκα ἐμοὶ, δεῖ
“ τοῦτον τελευτᾶν τὸν παῖδα· δεῖ μέν τοι τῶν τινα Ἀσ-
“ τυάγεος αὐτοῦ φονέα γενέσθαι, καὶ [l] μὴ τῶν ἐμῶν.”

110 Ταῦτα [a] εἶπε, καὶ αὐτίκα ἄγγελον ἔπεμπε ἐπὶ [b] τῶν

55 Is medio consilio usus, Mitradati regis bubulco exponendum in montibus tradit.

[m] βούλοιο R.
[n] ἄλλο τέ κοτε d.
[o] παρίδον S. παρίδες b.d.
[p] ἐσέπειτα c.
[q] εἴ τι S.
[r] ἐπιτηδείως S.b.

109.

[a] θάνατον S.
[b] Sic Schæfer. ἴῃ b. ἴει d. Vulgo ἤει cum S.
[c] Sic S. et alii. Vulgo οἰκεῖα.
[d] Ἀστυάγεω S. hic et mox. Sic et Schæfer. Mox ῥηθέντα om. c.
[e] ὡς ἐνετείλατο P. marg.
[f] Sic M.K.S. et alii. παραφρονήσειέ τε Ald.
[g] φόρον S.
[h] εἵνεκεν d. Schæfer.
[i] Sic F.a.c. Ald. ἄρσενος V.S. b.d.
[k] θελήσοι S.
[l] οὐ τῶν a.

110.

[a] Sic S.M.V.K.F.a.b.c.d. εἶπας absque καὶ Ald.
[b] Sic M.K. τὸν βουκόλον τὸν F.

βουκόλων τῶν Ἀστυάγεος τὸν ἠπίστατο νομάς τε [c] ἐπι-
τηδεωτάτας νέμοντα, καὶ [d] οὔρεα θηριωδέστατα· τῷ οὔ-
νομα ἦν [e] Μιτραδάτης, συνοίκεε δὲ τῇ ἑωυτοῦ [f] συνδούλῳ·
οὔνομα δὲ τῇ γυναικὶ ἦν τῇ συνοίκεε, Κυνὼ, κατὰ [g] τὴν
Ἑλλήνων γλῶσσαν· κατὰ δὲ τὴν Μηδικὴν, Σπακώ· τὴν
2 γὰρ κύνα καλέουσι σπάκα Μῆδοι. αἱ δὲ ὑπώρεαί εἰσι
τῶν [h] οὐρέων ἔνθα τὰς νομὰς τῶν βοῶν εἶχε οὗτος δὴ ὁ
βουκόλος, πρὸς βορέω τε ἀνέμου τῶν [i] Ἀγβατάνων, καὶ
3 πρὸς τοῦ πόντου τοῦ Εὐξείνου. ταύτῃ μὲν [k] γὰρ ἡ Μηδικὴ
χώρη πρὸς [l] Σασπείρων ὀρεινή ἐστι κάρτα, [m] καὶ ὑψηλή
τε καὶ ἴδῃσι συνηρεφής· [n] ἡ δὲ ἄλλη Μηδικὴ χώρη ἐστὶ
4 πᾶσα ἄπεδος. ἐπεὶ ὦν ὁ βουκόλος σπουδῇ πολλῇ κα-
λεόμενος ἀπίκετο, ἔλεγε ὁ Ἅρπαγος τάδε· "Κελεύει
"σε Ἀστυάγης τὸ παιδίον τοῦτο λαβόντα, θεῖναι ἐς τὸ
"ἐρημότατον τῶν [o] οὐρέων, ὅκως ἂν τάχιστα διαφθα-
5 "ρείη. καὶ τάδε τοι ἐκέλευσε εἰπεῖν, ἢν μὴ ἀποκτείνῃς
"αὐτὸ, ἀλλά τεῳ τρόπῳ [p] περιποιήσῃ, ὀλέθρῳ τῷ κα-
"κίστῳ σε [q] διαχρήσεσθαι· ἐπορᾶν δὲ ἐκκείμενον [r] δια-

III Bubulcus rem uxori narrat:

"τέταγμαι ἐγώ." Ταῦτα ἀκούσας ὁ βουκόλος, καὶ
ἀναλαβὼν τὸ παιδίον [a] ἤϊε τὴν αὐτὴν ὀπίσω ὁδὸν, καὶ

a.c. Ald. τὸν βουκόλον τοῦ b.d.S. Mox Ἀστυάγεως S. et ἐπίστατο.

[c] Sic F.a c. ἐπιτηδεοτάτας K. ἐπιτηδειότατα S. ἐπιτηδεώτατα Ald. ἐπιτηδειοτάτας b. ἐπιτηδειότατον d.

[d] ὄρεα M.F. Mox θηριοδέστατα S.

[e] Μητραδ. semper P.

[f] Sic S. vid. II. 134. συνδούλῃ omisso τῇ M.K.F.a.c. δὲ τῇ ἑ. συνδούλῃ b. edd. vett. τὴν ἑ. συνδούλην d.

[g] Sic M.K.S. τὴν τῶν Ἑ. alii.

[h] ὀρέων M.K.S. Paulo ante δὲ om. S.

[i] Sic M.V.K.S.F.b.d. Ald. Ἐκβ. a.c. Steph.

[k] γὰρ δὴ ἡ b.

[l] Sic Gronovius et mss. Paris. Σαππείρων Ald. ἀπείρων S. προσοσπείρων F.

[m] καὶ ὑψηλή τε usque ad βουκόλος om. S.V. qui deinde σπουδῇ ὦν absque πολλῇ habent, et καὶ ἔλεγεν. Sic et b. in quo h. l. non nisi ἐπεὶ ὦν ὁ β. om.

[n] Thomas M. v. Ἄπεδος. Mox σε post κελεύει om. S.

[o] ὀρέων M.K.S.

[p] περιποιήσει P. marg.

[q] διαχρήσασθαι ἐπηρᾶν S.

[r] Sic K.S.V. Ald. τέταγμαι M. F.a.c.

III.

[a] Sic S. Ald. ἴηε d. ἦε F. qui mox ἦια et c. 113. ἤιε.

2 ἀπικνέεται ἐς τὴν ἔπαυλιν. τῷ δ' ἄρα καὶ αὐτῷ ἡ γυνὴ,
ἐπίτεξ ἐοῦσα πᾶσαν ἡμέρην, [b] τότε κως κατὰ δαίμονα
τίκτει, οἰχομένου τοῦ βουκόλου ἐς πόλιν. ἦσαν δὲ ἐν
φροντίδι ἀμφότεροι ἀλλήλων πέρι· ὁ μὲν, τοῦ τόκου τῆς
γυναικὸς ἀρρωδέων· ἡ δὲ γυνὴ, ὅτι οὐκ ἐωθὼς ὁ Ἅρπαγος 56
3 [c] μεταπέμψαιτο αὐτῆς τὸν ἄνδρα. ἐπεί τε δὲ ἀπονοστή- 41
σας ἐπέστη, οἷα ἐξ [d] ἀέλπτου ἰδοῦσα ἡ γυνὴ, εἴρετο προ-
τέρη, ὅ τι μιν οὕτω προθύμως Ἅρπαγος μεταπέμψαιτο.
4 ὁ δὲ εἶπε· "Ὦ γύναι, εἶδόν τε ἐς πόλιν ἐλθὼν καὶ
"ἤκουσα τὸ μήτε ἰδεῖν [e] ὄφελον, μήτε κοτε γενέσθαι
"ἐς [f] δεσπότας τοὺς ἡμετέρους. οἶκος [g] μὲν πᾶς Ἁρπά-
"γου κλαυθμῷ κατείχετο· ἐγὼ δὲ ἐκπλαγεὶς, [h] ἤϊα
5 "ἔσω. ὡς δὲ τάχιστα [i] ἐσῆλθον, ὁρέω παιδίον προκεί-
"μενον, ἀσπαῖρόν τε καὶ [k] κραυγανόμενον, κεκοσμημένον
6 "χρυσῷ τε καὶ ἐσθῆτι ποικίλῃ. Ἅρπαγος δὲ ὡς εἶδέ
"με, ἐκέλευε τὴν ταχίστην ἀναλαβόντα τὸ παιδίον,
"οἴχεσθαι φέροντα, καὶ θεῖναι ἔνθα θηριωδέστατον εἴη
"τῶν [l] οὐρέων· φὰς Ἀστυάγεα εἶναι τὸν [m] ταῦτα ἐπι-
"θέμενόν μοι, πολλὰ ἀπειλήσας εἰ μή σφεα [n] ποιή-
7 "σαιμι. καὶ ἐγὼ ἀναλαβὼν ἔφερον, δοκέων τῶν τινος
"οἰκετέων εἶναι· οὐ γὰρ ἄν κοτε [o] κατέδοξα [p] ἔνθεν γε
"ἦν. ἐθάμβεον δὲ ὁρέων χρυσῷ τε καὶ εἵμασι κεκοσμη-

[b] τὸ τέκος S.V. Mox ὀρρωδέων S. et paulo post οὐκ ὀρθῶς pro οὐκ ἐωθώς.

[c] Sic S.K.R.F.a.b.c. Vulgo μετεπέμψατο.

[d] ἀπέλπτου V. Deinde μεταπέμψαιτο Gronovius e M. ubi μετεπέμψατο S.K.F.b.c.d.

[e] ὤφελον V.S. cf. Thomas M. in v.

[f] δεσπότεας vulgo. δεσπότας M. K.S.F.a.d. quod omnes habent c. 129. Mox τοὺς om. b.S. Ald.

[g] μὲν γὰρ ἅπας d.

[h] ἦα K.

[i] εἰσῆλθον F.

[k] κραυγανώμενον F.c. κραυγαυόμενον b. conf. Lobeck. Phryn. p. 337. Mox ἴδε pro εἶδε S.

[l] ὀρέων M. Vulg. habet S.

[m] Sic K.M.F.a.c. τοιαῦτα S. b.d. edd. vett.

[n] ποιοῖμι c.

[o] κατέδεξα Ald.

[p] Sic M.K.F.a.c.d. ἔνθεν γενεὴν vulgo. ἔνθε γενεήν S. Mox χρυσέω S.

“ μένον· πρὸς δὲ, καὶ κλαυθμὸν κατεστεῶτα [q] ἐμφανέα
8 “ ἐν Ἁρπάγου. καὶ [r] πρόκα τε δὴ κατ' ὁδὸν πυνθάνομαι
“ τὸν πάντα λόγον [s] θεράποντος, ὃς ἐμὲ προπέμπων ἔξω
“ πόλιος, ἐνεχείρισε τὸ βρέφος· ὡς [t] ἄρα Μανδάνης τε
“ εἴη παῖς τῆς [v] Ἀστυάγεω θυγατρὸς, καὶ Καμβύσεω
“ τοῦ Κύρου, καί μιν Ἀστυάγης ἐντέλλεται ἀποκτεῖναι.
112 “ νῦν τε [w] ὅδε ἐστί.” Ἅμα δὲ ταῦτα ἔλεγε ὁ βουκόλος,
καὶ ἐκκαλύψας ἀπεδείκνυε. ἡ δὲ, ὡς εἶδε τὸ παιδίον
μέγα τε καὶ εὐειδὲς ἐὸν, δακρύσασα, καὶ λαβομένη τῶν
γουνάτων τοῦ ἀνδρὸς, [a] ἔχρηζε μηδεμιῇ τέχνῃ ἐκθεῖναί μιν.
2 ὁ δὲ οὐκ ἔφη οἷός τε εἶναι ἄλλως αὐτὰ ποιέειν· ἐπιφοιτήσειν γὰρ κατασκόπους ἐξ Ἁρπάγου [b] ἐποψομένους· [c] ἀπολέεσθαί τε κάκιστα, ἢν μή σφεα ποιήσῃ. ὡς δὲ οὐκ ἔπειθε [d] ἄρα τὸν ἄνδρα, [e] δεύτερα λέγει ἡ γυνὴ τάδε·
3 “ Ἐπεὶ τοίνυν οὐ δύναμαί σε πείθειν μὴ ἐκθεῖναι, σὺ δὲ
“ ὧδε ποίησον, εἰ δὴ [f] πᾶσά γε ἀνάγκη ὀφθῆναι ἐκκεί-
4 “ μενον· τέτοκα γὰρ καὶ ἐγὼ, τέτοκα δὲ τεθνεός· τοῦτο

Ejus consilio puerum quem ipsa mortuum pepererat, pro altero exponit: hunc autem, qui postea Cyrus dictus est, pro suo educat.

[q] ἐμφανέα om. S.V.

[r] πρόκα τε om. S.V.b.d. Ald. habent F.a.c. et lexicographi interpretantes εὐθὺς, παραχρῆμα, ἐξαίφνης. Ceterum in F.h.l. et alibi constanter πρόκατε tanquam una vox scribitur: quod videndum ne rectius sit factum, quum præsertim constanter καὶ particula præponatur: cf. VI. 134. VIII. 65. 135. quo et pertinet quod apud Hesych. sub litera K. legitur, accentu quidem parum commode posito, Καὶ προκατέδη, ἀντὶ τοῦ ἄφνω. SCHWEIGH.

[s] θεράποντι ὃς ἐμπροπέμπων S.

[t] πάρα S. qui mox om. παῖς.

[v] Ἀστυάγεος M.K.F.a.c. Ἀστυάγεω S.b.d. edd. vett. Schæfer. καὶ post θυγατρὸς om. S.

[w] Sic F.a.c.K. Vulgo ὧδε cum S.

112.

[a] ἔχρηιζε F. ἐχρήϊζε Schæfer. ἔχρηζε vulgo. Paullo ante γονάτων F.a.

[b] Sic R. K. M. F. a. c. κατοψ. Ald. et al. ἐξ Ἁρπάγου κατασκόπους κατοψομένους S.

[c] ἀπολέσθαι S.

[d] ἄρα om. S.

[e] δεύτερον S.b.d. Mox ὧ ποιήσον S.

[f] Sic Ald. S.V.R.F.a.c.d. γε om. M.K. Gronov. Wesseling. quorum hic sequentia colligit loca; ubi particula ista negligitur scil. II. 22. 35. IV. 179. V. 52. Soph. Elect. 1527. Plato Phædr. p. 243. D. Euthyph. p. 7. D.

“ [g] μὲν φέρων πρόθες, τὸν δὲ τῆς [h] Ἀστυάγεος θυγατρὸς
“ παῖδα ὡς ἐξ ἡμέων ἐόντα [i] τρέφωμεν· καὶ οὕτω οὔτε
“ σὺ ἁλώσεαι ἀδικέων τοὺς [k] δεσπότας, οὔτε ἡμῖν κακῶς
5 “ βεβουλευμένα ἔσται. ὅ τε γὰρ τεθνεὼς βασιληΐης τα-
“ φῆς κυρήσει, καὶ ὁ [l] περιεὼν οὐκ [m] ἀπολέει τὴν ψυ-
113 “ χήν.” Κάρτα τε ἔδοξε τῷ βουκόλῳ πρὸς τὰ παρεόντα
2 εὖ λέγειν ἡ γυνὴ, καὶ αὐτίκα ἐποίεε ταῦτα. τὸν μὲν ἔφερε
θανατώσων παῖδα, τοῦτον [a] μὲν παραδιδοῖ τῇ ἑωυτοῦ
γυναικί· τὸν δὲ ἑωυτοῦ, ἐόντα νεκρὸν, λαβὼν ἔθηκε ἐς τὸ
ἄγγος ἐν τῷ ἔφερε τὸν ἕτερον· κοσμήσας δὲ τῷ κόσμῳ
παντὶ τοῦ ἑτέρου παιδὸς, φέρων ἐς τὸ ἐρημότατον τῶν 57
3 [b] οὐρέων τιθεῖ. ὡς δὲ τρίτη ἡμέρη τῷ παιδίῳ ἐκκειμένῳ
ἐγένετο, ἤϊε ἐς πόλιν ὁ βουκόλος, τῶν τινα [c] προβόσκων
4 [d] φύλακον αὐτοῦ καταλιπών. ἐλθὼν δὲ ἐς τοῦ Ἁρπά-
γου, ἀποδεικνύναι ἔφη ἑτοῖμος εἶναι τοῦ παιδίου τὸν
νέκυν. πέμψας δὲ ὁ Ἅρπαγος τῶν ἑωυτοῦ δορυφόρων
τοὺς πιστοτάτους, εἶδέ τε διὰ τούτων, καὶ ἔθαψε τοῦ
5 βουκόλου τὸ παιδίον. καὶ τὸ μὲν [e] ἐτέθαπτο· τὸν δὲ
ὕστερον τούτων Κῦρον ὀνομασθέντα παραλαβοῦσα ἔτρεφε
ἡ γυνὴ τοῦ βουκόλου, οὔνομα ἄλλο κοῦ τι καὶ οὐ Κῦρον
θεμένη.

114 Καὶ [a] ὅτε δὴ ἦν δεκαέτης ὁ παῖς, πρῆγμα ἐς αὐτὸν
2 τοιόνδε γενόμενον ἐξέφηνέ μιν. ἔπαιζε ἐν τῇ κώμῃ ταύτῃ
ἐν τῇ ἦσαν καὶ αἱ βουκολίαι αὗται, [b] ἔπαιζε δὲ μετ᾽

Cyrus decennis a. 561 rex in lusu a congerronibus fa-

[g] μὲν μὴ b.
[h] Ἀστυάγεω S. qui infra ἡμῶν.
[i] τρέφομεν F.b.
[k] δεσπότεας Ald. V.R. δεσπότας S.M.K.F.c.d. cf. 111.
[l] περιὼν S.a.c.
[m] ἀπολέει M.K.F.a.c. ἀπολέσει S.V.b.d. Ald.

113.

[a] μὲν om. S.F.b.
[b] ὀρέων M. Vulg. habet S.
[c] προβοσκῶν F.a.c.
[d] Sic M.K.S.V.F.a.c.d. φύλακα vulgo et b. Mox ἐς τὸ Ἁρπάγου S.
[e] ἐτέθαπτο R.M.K.F.a.c. Alii ἐθάπτετο cum S. Mox τοῦτον Ald.

114.

[a] Sic Ald. V.S.R. δὴ om. M. F.a.c. ὅτε ἦν δὴ d.
[b] ἔπαιδε μετ᾽ S.

ctus, puero nobili verberato, accusatur ab ejus patre Artembare apud Astyagen.

ἄλλων ἡλίκων ἐν ὁδῷ· καὶ οἱ παῖδες παίζοντες εἵλοντο
[c] ἑωυτῶν βασιλέα εἶναι τοῦτον δὴ τὸν [d] τοῦ βουκόλου
ἐπίκλησιν παῖδα. ὁ δὲ [e] αὐτῶν διέταξε τοὺς μὲν, οἰκίας 1
οἰκοδομέειν· τοὺς δὲ, δορυφόρους εἶναι· [f] τὸν δέ κου τινὰ
αὐτῶν, ὀφθαλμὸν βασιλέος εἶναι· τῷ δέ τινι, τὰς ἀγ-
γελίας [g] ἐσφέρειν ἐδίδου γέρας· ὡς ἑκάστῳ ἔργον προσ-
3 τάσσων. εἷς δὴ τούτων τῶν παιδίων συμπαίζων, ἐὼν
[h] Ἀρτεμβάρεος παῖς, ἀνδρὸς δοκίμου ἐν Μήδοισι· οὐ γὰρ
δὴ [i] ἐποίησε τὸ προσταχθὲν ἐκ τοῦ Κύρου· ἐκέλευε αὐτὸν
4 τοὺς ἄλλους παῖδας [k] διαλαβεῖν. πειθομένων δὲ τῶν
παίδων, ὁ Κῦρος τὸν παῖδα τρηχέως κάρτα [l] περιέσπε
μαστιγέων· ὁ δὲ, [m] ἐπεί τε μετείθη τάχιστα, ὥς γε δὴ
ἀνάξια ἑωυτοῦ παθὼν, μᾶλλόν τι περιημέκτεε· κατελ-
θὼν [n] δὲ ἐς πόλιν, πρὸς τὸν πατέρα ἀποικτίζετο τῶν ὑπὸ
[o] Κύρου [p] ἤντησε, λέγων δὲ [q] οὐ Κύρου, (οὐ γάρ κω ἦν
τοῦτο [r] τοὔνομα,) ἀλλὰ πρὸς τοῦ βουκόλου τοῦ Ἀστυ-
5 άγεος παιδός. Ὁ δὲ Ἀρτεμβάρης ὀργῇ, ὡς εἶχε, ἐλθὼν
παρὰ τὸν Ἀστυάγεα, καὶ ἅμα ἀγόμενος τὸν παῖδα,
ἀνάρσια πρήγματα [s] ἔφη πεπονθέναι, λέγων· "Ὦ βα-
"σιλεῦ, ὑπὸ τοῦ σοῦ δούλου, βουκόλου δὲ παιδὸς, ὧδε
"περιϋβρίσμεθα." (δεικνὺς τοῦ παιδὸς τοὺς ὤμους.)

[c] ἑωυτὸν S.

[d] τοῦ om. b.d.S. Tum βουκόλον S.

[e] αὐτέων Ald. V. αὐτῶν M.S. F.b.c.

[f] τῶν M.K.F.a.c.d. Vulg. malunt Schæfer. et Wyttenbach. Sel. Hist. p. 351. Mox αὐτῶν S.

[g] Sic Ald. V.S.R.a.b.c.d. φέρειν M.K.F.

[h] Sic M.K.F. Ἀρτεμβάρεω Ald. et al. Ἀρτεβάρεω S.

[i] οὐκ ἐποίησε Steph. marg.

[k] διαλαβεῖν S.M.F. Parisini. διαλαβέειν Ald. Mox τρηχέως om. S.

[l] περίεπε S.V.b. περιέσπαισε K.

[m] Sic K.M.F.a. ἐπείτε ἐμετείθη Ald. μετηχήθη V. ἔπειτε ἐμαστίχθη S. ἐπεὶ ἐμετείθη b.d. ἐπεί γε μετείθη c.

[n] δὲ om. S.

[o] τοῦ Κύρου b.

[p] ἤρτησε c.

[q] οὐ Κύρον S.d. ὁ Κύρου F.

[r] ὄνομα b. Mox Ἀστυάγεω S.

[s] ἔφησε S. cf. VI. 136. Mox δὲ post βουκόλου om. S. qui infra τοὺς ὤμους τοῦ παιδός.

115 Ἀκούσας δὲ καὶ ἰδὼν [a] ὁ Ἀστυάγης, θέλων τιμωρῆσαι
τῷ παιδὶ τιμῆς τῆς Ἀρτεμβάρεος [b] εἵνεκα, μετεπέμπετο
2 τόν τε βουκόλον καὶ τὸν παῖδα. ἐπεί τε δὲ παρῆσαν
ἀμφότεροι, βλέψας πρὸς τὸν Κῦρον ὁ Ἀστυάγης, ἔφη·
“ [c] Σὺ δὴ, ἐὼν τοῦδε τοιούτου ἐόντος παῖς, ἐτόλμησας τὸν
“ τοῦδε παῖδα, ἐόντος πρώτου παρ' ἐμοὶ, [d] ἀεικίῃ τοιῇδε
3 “ περισπεῖν;” Ὁ δὲ [e] ἀμείβετο ὧδε· “ Ὦ δέσποτα,
“ [f] ἐγὼ δὲ ταῦτα τοῦτον ἐποίησα σὺν δίκῃ. οἱ γάρ με
“ [g] ἐκ τῆς κώμης παῖδες, τῶν καὶ ὅδε ἦν, παίζοντες, 58
4 “ σφέων αὐτῶν ἐστήσαντο βασιλέα. ἐδόκεον γάρ σφι
“ εἶναι ἐς τοῦτο [h] ἐπιτηδεώτατος. οἱ μέν νυν ἄλλοι παῖ-
“ δες τὰ ἐπιτασσόμενα ἐπετέλεον· οὗτος δὲ ἀνηκουστεέ-
“ τε, καὶ λόγον εἶχε οὐδένα· ἐς ὃ [i] ἔλαβε τὴν δίκην. εἰ
“ ὦν δὴ τοῦδε εἵνεκα [k] ἄξιός τευ κακοῦ εἰμὶ, [l] ὧδέ τοι
116 “ πάρειμι.” Ταῦτα λέγοντος τοῦ παιδὸς, τὸν Ἀστυ-
άγεα ἐσῄει ἀνάγνωσις αὐτοῦ· καί οἱ ὅ τε χαρακτὴρ τοῦ
προσώπου προσφέρεσθαι ἐδόκεε [a] ἐς ἑωυτὸν, καὶ ἡ ὑπό-
κρισις [b] ἐλευθερωτέρη εἶναι· ὅ τε χρόνος τῆς [c] ἐκθέσιος τῇ
2 ἡλικίῃ τοῦ παιδὸς ἐδόκεε συμβαίνειν. ἐκπλαγεὶς δὲ τού-
τοισι, ἐπὶ χρόνον ἄφθογγος ἦν. μόγις δὲ δή κοτε [d] ἀνε-

Cyri a rege interrogati constantia.

Rex eum agnoscit, et bubulcus verum fatetur.

115.

[a] ὁ om. K.S.a.b.d. Ald.

[b] Sic F.b.S. ἕνεκα alii. ἕνεκεν c. εἵνεκεν Schæfer. Supra Ἀρτεμβάρεω S.

[c] σὺ δὲ c.S.

[d] ἀεικείῃ M.K.F.a.b.c. cf. I. 73. (qui locus deest S.) III. 160. ἀεικίῃ Ald. Schæfer. ἀδικίῃ V.d. ἀκίῃ S. Vid. Heynius ad Hom. Il. ω'. 19.

[e] Sic K.S.P.F.b. Vulgo ἀμείβεται.

[f] Sic S. δὲ om. F.a.b.c.d. et al.

[g] ἐκ om. d.

[h] ἐπιτηδειότατος V. ἐπιτηδειότητος S.

[i] ἔβαλε S.

[k] ἄξιός τε F.

[l] ὅδε F.a.c. cf. 111. extr.

116.

[a] Sic V.S.a.b.c.d. ὡς ἑωϋτὸν edd. vett. ἐς αὐτοὺς M.K.F. plaudente Gronovio.

[b] ἐλευθεροτέρη F. ἐλευθεριωτέρη Porti (Lexic. v. ὑπόκρισις) probarunt Reiskius et Wesselingius, recepit Reizius.

[c] Sic M.K.F.a.c.d. Vulgo ἐκθέσεως cum S.

[d] ἀνανεχθεὶς S. ἀνενεχθεὶς Eustathius Od. θ'. p. 1604, 7=319, 20. Zonaræ Lex. p. 216.

νειχθεὶς, εἶπε, θέλων ἐκπέμψαι τὸν Ἀρτεμβάρεα, ἵνα
3 τὸν βουκόλον [e] μοῦνον λαβὼν βασανίσῃ· "Ἀρτέμβαρες,
"ἐγὼ ταῦτα ποιήσω, [f] ὥστε σὲ καὶ τὸν παῖδα τὸν σὸν
4 "μηδὲν ἐπιμέμφεσθαι." Τὸν μὲν δὴ Ἀρτεμβάρεα πέμ-
πει· τὸν δὲ Κῦρον ἦγον [g] ἔσω οἱ θεράποντες, κελεύσαντος
5 τοῦ [h] Ἀστυάγεος. ἐπεὶ δὲ ὑπελέλειπτο ὁ βουκόλος μοῦ-
νος, [i] μουνωθέντα δὲ αὐτὸν [k] εἴρετο ὁ Ἀστυάγης, κόθεν
λάβοι τὸν παῖδα, καὶ τίς εἴη ὁ παραδούς; ὁ δὲ ἐξ ἑωυ-
τοῦ τε ἔφη γεγονέναι, καὶ τὴν τεκοῦσαν αὐτὸν [l] ἔτι εἶναι
6 παρ' ἑωυτῷ. Ἀστυάγης δέ μιν οὐκ εὖ βουλεύεσθαι ἔφη,
ἐπιθυμέοντα ἐς ἀνάγκας μεγάλας ἀπικνέεσθαι· ἅμα τε
λέγων ταῦτα, [m] ἐσήμαινε τοῖσι δορυφόροισι λαμβάνειν
7 αὐτόν. ὁ δὲ, ἀγόμενος ἐς τὰς [n] ἀνάγκας, [o] οὕτω δὴ
8 ἔφαινε τὸν ἐόντα λόγον. ἀρχόμενος δὴ ἀπ' ἀρχῆς [p] δι-
εξήει, τῇ ἀληθηΐῃ χρεώμενος· καὶ κατέβαινε ἐς λιτάς τε,
117 καὶ συγγνώμην ἑωυτῷ [q] κελεύων ἔχειν αὐτόν. Ἀστυ-
Harpagi excusatio.
άγης δὲ, τοῦ μὲν βουκόλου τὴν [a] ἀληθηΐην ἐκφήναντος,
λόγον ἤδη καὶ ἐλάσσω ἐποιέετο· Ἁρπάγῳ δὲ καὶ μεγά-
λως μεμφόμενος, καλέειν αὐτὸν τοὺς δορυφόρους ἐκέλευε.
ὡς δέ οἱ παρῆν ὁ Ἅρπαγος, εἴρετό μιν ὁ Ἀστυάγης·
"Ἅρπαγε, τέῳ δὴ [b] μόρῳ τὸν παῖδα κατεχρήσαο, τὸν

[e] μόνον F. λαβὼν om. S.K.
[f] Sic M.K.R.F.a.c. ὥστε καὶ παῖδα d. edd. vett. S.
[g] Sic K.F.a.c. εἴσω S. vett. edd. Supra ἄγον F. pro ἦγον.
[h] Ἀστυάγεω S. Mox ὑπελέλιπτο S.
[i] μουνωθὲνταδὲ S. μουνωθέντα, τάδε Ald. R.V.P.F.a.c. μουνωθέντα δὲ, τάδε b.d. μούνοθεν τάδε M.K. probante Gronovio. μουνωθέντα δὴ corrigunt Wessel. et Valcken. Mox ὁ delet Valcken.
[k] ἤρετο F. Mox εἶ pro εἴη S.
[l] εἶναι ἔτι F. et sic forte M.
[m] ἐσήμηνε c.
[n] ἀγκάλας S.
[o] οὕτω δὲ F.a. Mox ἀρχόμενος δὲ S.
[p] διεξήϊε Schæfer, et mox χρεόμενος.
[q] κελεύων M.K.R.F.a.b.c. κελεύειν d.S. edd. κελεύει Schæfer.

117.

[a] ἀληθείην F.c. ἀλήθειαν a. Supra ἀληθείᾳ F.a. Mox ὁ ante Ἅρπαγος om. Ald.
[b] Sic vulg. cum Thom. Mag. in Διαχρῶμαι. τρόπῳ Ald. b. μόνῳ S. Mox κατεχρήσω K.

2 " τοι παρέδωκα ἐκ θυγατρὸς γεγονότα τῆς ἐμῆς;" Ὁ
δὲ Ἅρπαγος, ὡς εἶδε τὸν βουκόλον ἔνδον ἐόντα, οὐ τρέ-
πεται [c] ἐπὶ ψευδέα ὁδὸν, ἵνα μὴ ἐλεγχόμενος ἁλίσκηται·
ἀλλὰ λέγει τάδε· "Ὦ βασιλεῦ, ἐπεί τε παρέλαβον τὸ
" παιδίον, ἐβούλευον σκοπῶν ὅκως σοί τε [d] ποιήσω κατὰ
" νόον, καὶ ἐγὼ πρὸς σὲ [e] γινόμενος ἀναμάρτητος, [f] μήτε
3 " θυγατρὶ τῇ σῇ, μήτε αὐτῷ σοι εἴην αὐθέντης. [g] ποιέω
" δὴ ὧδε. καλέσας τὸν βουκόλον τόνδε, παραδίδωμι τὸ
" παιδίον, φὰς σέ τε εἶναι τὸν κελεύοντα ἀποκτεῖναι
" αὐτό. καὶ λέγων τοῦτό γε, οὐκ ἐψευδόμην· σὺ γὰρ 59
4 " ἐνετέλλεο οὕτω. παραδίδωμι μέντοι τῷδε κατὰ τάδε,
" ἐντειλάμενος θεῖναί μιν ἐς ἐρῆμον [h] οὖρος, καὶ παρα-
" μένοντα φυλάσσειν [i] ἄχρι οὗ [k] τελευτήσει· ἀπειλήσας
5 " παντοῖα τῷδε, ἢν μὴ τάδε ἐπιτελέα ποιήσῃ. ἐπεί τε
" δὲ, ποιήσαντος τούτου τὰ κελευόμενα, ἐτελεύτησε τὸ
" παιδίον, πέμψας τῶν εὐνούχων τοὺς πιστοτάτους,
" [l] καὶ εἶδον δι' ἐκείνων, καὶ [m] ἔθαψά μιν. οὕτως ἔσχε,
" ὦ βασιλεῦ, περὶ τοῦ πρήγματος τούτου· καὶ τοιούτῳ
" μόρῳ ἐχρήσατο ὁ παῖς."

118 Ἅρπαγος μὲν δὴ τὸν ἰθὺν ἔφαινε λόγον. Ἀστυάγης
δὲ, κρύπτων τόν οἱ [a] ἐνείχεε [b] χόλον διὰ τὸ γεγονὸς, [c] πρῶ-
τα μὲν κατάπερ ἤκουσε [d] αὐτὸς πρὸς τοῦ βουκόλου τὸ

Astyages iram dissimulat.

[c] Schweighæuserus suspicabatur τὴν ἐπὶ ψεύδεα.

[d] Sic Ald. S.F.a.b.c. ποιῶ M. K.P. Paullo ante σκοπὸν S.

[e] Sic F.a.b.c.d.S.K.P. γενόμενος edd. vett.

[f] Usque ad αὐθέντης habet Thom. M. in Δεσποτεία.

[g] Sic F.a.c. ποιῶ M.S.K. Mox δὲ δὴ F. δὲ S. pro δή. Idem infra ἐνετέλλετο.

[h] ὄρος a.c. οὖρος F.

[i] Sic M.F.a.b.c.d. Alii ἄχρις cum S.

[k] τελευτήσῃ F.a. τελευτήσεεν c.

[l] καί ἑ εἶδον S. καὶ ἴδον a.b.

[m] ἐθαψάμην Thom. Mag. p. 416. ἔθαψάν μιν d. Mox τούτου post πρήγματος om. S. Ald.

118.

[a] Sic mss. omnes. ἐνεῖχε Steph. ed. 2. et al.

[b] λόγον F.b.S.

[c] πρῶτον b.d. Mox καθάπερ S.

[d] αὐτὸς deest edd. b.

πρῆγμα, πάλιν ἀπηγέετο τῷ Ἁρπάγῳ· μετὰ δὲ, ὥς
οἱ [e] ἐπαλιλλόγητο, κατέβαινε λέγων, ὡς "περίεστί τε ὁ
2 "παῖς, καὶ τὸ γεγονὸς ἔχει καλῶς. Τῷ τε γὰρ πε-
"ποιημένῳ, ἔφη λέγων, ἐς τὸν παῖδα τοῦτον ἔκαμνον
"μεγάλως, καὶ θυγατρὶ τῇ ἐμῇ διαβεβλημένος οὐκ [f] ἐν
3 "ἐλαφρῷ ἐποιεύμην. ὡς ὦν τῆς [g] τύχης εὖ μετεστεώ-
"σης, τοῦτο μὲν, τὸν σεωυτοῦ παῖδα ἀπόπεμψον παρὰ
"τὸν παῖδα τὸν νεήλυδα· τοῦτο δὲ, (σῶστρα [h] γὰρ τοῦ
"παιδὸς μέλλω θύειν τοῖσι θεῶν τιμὴ αὕτη προσκέε-
119 "ται,) [i] πάρισθί μοι ἐπὶ δεῖπνον." Ἅρπαγος μὲν, ὡς
ἤκουσε ταῦτα, προσκυνήσας, καὶ μεγάλα ποιησάμενος
ὅτι τε ἡ ἁμαρτάς οἱ ἐς δέον ἐγεγόνεε, καὶ ὅτι ἐπὶ τύ-
χῃσι χρηστῇσι ἐπὶ δεῖπνον [a] κέκλητο, ἤιε ἐς τὰ [b] οἰκία.
2 ἐσελθὼν δὲ τὴν ταχίστην, ἦν γάρ οἱ [c] παῖς εἷς μοῦνος,
ἔτεα τρία καὶ δέκα κου μάλιστα γεγονὼς, τοῦτον ἐκ-
πέμπει, ἰέναι τε κελεύων ἐς [d] Ἀστυάγεος, καὶ ποιέειν
ὅ τι ἂν ἐκεῖνος [e] κελεύῃ. αὐτὸς δὲ περιχαρὴς ἐὼν, φράζει
3 τῇ γυναικὶ τὰ συγκυρήσαντα. Ἀστυάγης δὲ, ὥς οἱ
ἀπίκετο ὁ Ἁρπάγου παῖς, σφάξας αὐτὸν, καὶ κατὰ
μέλεα διελὼν, τὰ μὲν ὤπτησε, τὰ δὲ [f] ἕψησε τῶν κρεῶν.
4 [g] εὔτυκτα δὲ ποιησάμενος, εἶχε [h] ἑτοῖμα. ἐπεί τε δὲ, τῆς
ὥρης γινομένης τοῦ δείπνου, παρῆσαν οἵ τε ἄλλοι δαι-

Harpagus in convivio apud regem pastus filii sui carnibus, potuit calamitate sua intellecta regem adulari.

[e] ἐπαλλιλόγητο S. edd. vett. ἐπαλληλόγητο P.F. pr. ἐπαληλόγητο e corr. οἱ om. d. Mox ἔχοι S.

[f] ἐλαφρῶς S.

[g] ψυχῆς F.

[h] Sic S.K.F.a.b. Vulgo τοῦ παιδὸς γάρ. Mox προσκέηται S.

[i] Sic M.K.F. πάριθι Ald. S.a. b.c. πάρειθι d.

119.

[a] Sic F. Al. ἐκέκλητο cum S.

[b] Sic S.F.a.c. Vulgo οἰκεῖα.

[c] παῖς μοῦνος ἔτι τρία μάλιστα ἔτεα γεγονώς. P. παῖς εἷς μοῦνος ἔτι τρία καὶ δέκα κου μάλιστα γεγονὼς ἔτεα F. ἔτη S. Ald. pro ἔτεα.

[d] Ἀστυάγεω S.

[e] Sic F.a.b.c.d.S. e ras. Vulg. κελεύοι.

[f] ἤψησε K.

[g] εὔτυκα P. textu. F.a. εὔτοκα c. Citat Suid. in v.

[h] ἑτοῖμα om. S. Tum ἐπεί τε M.K. cf. Koen. ad Gregor. Dial. Ion. 26. ἔπειτα edd. S.b.

τυμόνες καὶ ὁ Ἅρπαγος, τοῖσι μὲν ἄλλοισι καὶ αὐτῷ
Ἀστυάγεϊ παρετιθέατο [i] τράπεζαι ἐπιπλέαι μηλείων κρε-
ῶν· Ἁρπάγῳ δὲ, [k] τοῦ παιδὸς τοῦ ἑωυτοῦ, [l] πλὴν κε-
φαλῆς τε καὶ ἄκρων χειρῶν τε καὶ ποδῶν, τὰ ἄλλα 60
πάντα· ταῦτα δὲ χωρὶς ἔκειτο ἐπὶ κανέῳ κατακεκα-
5 λυμμένα. ὡς δὲ τῷ Ἁρπάγῳ ἐδόκεε ἅλις ἔχειν τῆς
βορῆς, Ἀστυάγης εἴρετό μιν, εἰ ἡσθείη τι τῇ θοίνῃ· φα-
μένου δὲ [m] Ἁρπάγου καὶ κάρτα ἡσθῆναι, [n] παρέφερον,
τοῖσι προσέκειτο, τὴν κεφαλὴν τοῦ παιδὸς κατακεκα-
λυμμένην, καὶ τὰς χεῖρας καὶ τοὺς πόδας· Ἅρπαγον
δὲ ἐκέλευον [o] προστάντες [p] ἀποκαλύπτειν τε καὶ λαβεῖν
6 τὸ βούλεται [q] αὐτῶν. πειθόμενος δὲ ὁ Ἅρπαγος, καὶ
ἀποκαλύπτων, ὁρᾷ τοῦ παιδὸς τὰ λείμματα· ἰδὼν δὲ,
οὔτε ἐξεπλάγη, ἐντός τε ἑωυτοῦ γίνεται. εἴρετο δὲ αὐτὸν
ὁ Ἀστυάγης, εἰ [r] γινώσκοι ὅτευ θηρίου κρέα [s] βεβρώκοι.
7 ὁ δὲ καὶ γινώσκειν ἔφη, καὶ ἀρεστὸν εἶναι πᾶν τὸ ἂν
βασιλεὺς [t] ἔρδῃ. τούτοισι δὲ ἀμειψάμενος, καὶ ἀναλα-
βὼν τὰ λοιπὰ τῶν κρεῶν, ἤιε ἐς τὰ οἰκία. ἐνθεῦτεν δὲ
ἔμελλε, ὡς ἐγὼ δοκέω, ἁλίσας [v] θάψειν τὰ πάντα.

120 Ἁρπάγῳ μὲν Ἀστυάγης δίκην [a] ταύτην ἐπέθηκε. Κύ-
ρου δὲ πέρι βουλεύων, ἐκάλεε τοὺς αὐτοὺς τῶν μάγων

Rex de Cyro deliberans, Magis attir-

[i] Sic V.M.K.F.a.d. τρ. ἐπίπλειαι c. τράπεζα ἐπίπλεια b. Ald. τράπεζαι absque ἐπιπλέαι S. Vulgo τράπεζα ἐπιπλέα. Vid. Theophil. ad Autol. III. p. 282. ed. Wolf. Tum μηλίων Ald.

[k] Sic M.K.F.a.b.c. τοῦ ἑωυτοῦ π. edd. d. S.

[l] πλὴν τῆς κ. P.b.S. τε addidere M.K.S. et al. Vulgo om. Mox τὰ ἄλλα S. pro τἄλλα.

[m] τοῦ Ἁρπ. F.

[n] Thomas M. in πρόσκειμαι.

[o] προσστάντες dedit Schweighæuserus pro προστάντες. Male.

[p] ἀνακαλύπτειν R.

[q] αὐτῶν M.S.F.a.b.c.d. Vulgo αὐτέων.

[r] γινώσκει b.

[s] Sic M.K.F.a.b.d.S. βεβρώκει Ald. c.

[t] Sic M.S.K.F.a.c. ἔρδοι edd. d. R. ἔρδοι b.

[v] θάπτειν b.d.

120.

[a] Sic M.K.V.S.F.a.b.c.d. Vulgo τοιαύτην. Mox ἐκέλευε S. pro ἐκάλεε, et infra τι pro τῇ.

mantibus credit, somnii fatum impletum esse.

οἱ τὸ ἐνύπνιόν οἱ ταύτῃ ἔκριναν. ἀπικομένους δὲ εἴρετο ὁ
Ἀστυάγης, τῇ ἔκρινάν οἱ τὴν ὄψιν· οἱ δὲ κατὰ ταυτὰ
εἶπαν, λέγοντες ὡς βασιλεῦσαι χρῆν τὸν παῖδα, εἰ [b] ἐπέ-
2 ζωσε καὶ μὴ ἀπέθανε πρότερον. Ὁ δὲ ἀμείβεται αὐτοὺς
τοῖσδε· "Ἔστι τε ὁ παῖς, καὶ περίεστι· καί μιν, ἐπ'
"ἀγροῦ διαιτώμενον, οἱ ἐκ τῆς κώμης παῖδες ἐστήσαντο
3 "βασιλέα. ὁ δὲ πάντα, ὅσα περ οἱ ἀληθεῖ λόγῳ [c] βα-
"σιλέες, ἐτελέωσε ποιήσας. καὶ γὰρ δορυφόρους, καὶ
"θυρωροὺς, καὶ [d] ἀγγελιηφόρους, καὶ τὰ λοιπὰ πάντα
"[e] διατάξας εἶχε. [f] καὶ νῦν ἐς τί ὑμῖν ταῦτα φαίνεται
4 "[ff] φέρειν;" [g] Εἶπαν οἱ μάγοι· "Εἰ μὲν περίεστί τε,
"καὶ ἐβασίλευσε ὁ παῖς μὴ ἐκ προνοίης τινὸς, θάρσει
"τε τούτου εἵνεκα, καὶ θυμὸν ἔχε ἀγαθόν· οὐ γὰρ ἔτι
"τὸ δεύτερον ἄρξει. παρὰ [h] σμικρὰ γὰρ καὶ τῶν λογίων
"[i] ἡμῖν ἔνια κεχώρηκε· καὶ τά γε τῶν ὀνειράτων ἐχό-
5 "μενα, τελέως ἐς ἀσθενὲς ἔρχεται." Ἀμείβεται [k] Ἀ-
στυάγης τοῖσδε· "Καὶ αὐτὸς, ὦ μάγοι, ταύτῃ πλεῖ-
"στος [l] γνώμην εἰμὶ, [m] βασιλέος ὀνομασθέντος τοῦ παι-
"δὸς, ἐξήκειν τε τὸν ὄνειρον, καί μοι τὸν παῖδα τοῦτον
6 "[n] εἶναι δεινὸν οὐδὲν ἔτι. ὅμως [o] μέν γε τοι συμβουλεύ-
"σατέ μοι, εὖ περισκεψάμενοι, τὰ μέλλει ἀσφαλέστα-
7 "τα εἶναι οἴκῳ τε τῷ ἐμῷ καὶ ὑμῖν." Εἶπαν πρὸς

[b] Sic S.M.K. ἐπέζησε Ald. F. a. Mox ἀμείβετο S.F.a.

[c] Sic S.F.a.b.c.d. Vulgo βασιλῆες.

[d] Sic Steph. et mss. plerique. ἀγγελιαφόρους Ald. S.b.

[e] διατάξας εἶχε S.V. vid. Toup. Em. Suid. T. II. p. 216. Vulgo δ. ἦρχε.

[f] καὶ ἔτι ὑμῖν sine νῦν V.S.

[ff] ἔχειν R.

[g] εἶπον d.

[h] μικρὰ c. τὰ σμικρὰ F.

[i] Sic M.K.R.F.a.c. ἡμῶν Ald. S.b. ὑμῶν d.

[k] ὁ Ἀστ. F.b.d.S.

[l] Sic M.K.V.S.F.a.b.c.d. τῇ γνώμῃ vulgo.

[m] βασιλῆος] βασιλέως F.a.b.d. cf. ad 94. βασιλέος S. qui mox βασιλῆος.

[n] εἶναι ἔτι οὐδὲν R.a.c. sine δεινόν. εἶναι δεινὸν ἔτι οὐδὲν F.

[o] Sic M.S.F.a.b.c.d. γε om. K. edd.

ταῦτα οἱ μάγοι· “Ὦ βασιλεῦ, καὶ αὐτοῖσι ἡμῖν περὶ
“πολλοῦ ἐστὶ κατορθοῦσθαι ἀρχὴν τὴν σήν. κείνως μὲν
“γὰρ ἀλλοτριοῦται, ἐς τὸν παῖδα τοῦτον [p] περιϊοῦσα,
“ἐόντα Πέρσην· καὶ ἡμεῖς, ἐόντες Μῆδοι, δουλούμεθά
“τε, καὶ λόγου οὐδενὸς γινόμεθα πρὸς Περσέων, ἐόντες
8 “ξεῖνοι· σέο δ' ἐνεστεῶτος βασιλέος, ἐόντος πολιήτεω,
“καὶ ἄρχομεν τὸ μέρος, καὶ τιμὰς πρὸς σέο μεγάλας 61
“ἔχομεν. οὕτω ὦν πάντως ἡμῖν σέο [q] τε καὶ τῆς σῆς
9 “ἀρχῆς [r] προοπτέον ἐστί. καὶ νῦν εἰ φοβερόν τι [s] ἑωρῶ-
“μεν, πᾶν ἄν σοι προεφράζομεν· νῦν δὲ ἀποσκήψαντος
“τοῦ ἐνυπνίου ἐς [t] φλαῦρον, αὐτοί τε θαρσέομεν, καὶ σοὶ
“ἕτερα τοιαῦτα [v] παρακελευόμεθα· τὸν δὲ παῖδα τοῦτον
“ἐξ ὀφθαλμῶν [w] ἀπόπεμψαι ἐς Πέρσας τε καὶ τοὺς
121 “γειναμένους.” Ἀκούσας ταῦτα ὁ Ἀστυάγης, ἐχάρη
τε, καὶ καλέσας τὸν Κῦρον, ἔλεγέ οἱ [a] τάδε· “Ὦ παῖ,
“σὲ γὰρ ἐγὼ δι' ὄψιν ὀνείρου οὐ τελέην ἠδίκεον, [b] τῇ
“σεωυτοῦ δὲ μοίρῃ [c] περίεις· νῦν ὦν ἴθι χαίρων ἐς Πέρσας,
2 “πομποὺς δ' ἐγὼ ἅμα [d] πέμψω. ἐλθὼν δὲ ἐκεῖ, πατέρα
“τε [e] καὶ μητέρα εὑρήσεις, οὐ κατὰ Μιτραδάτην τε τὸν
“βουκόλον καὶ τὴν γυναῖκα αὐτοῦ.”

Cyrus in Persiam ad parentes dimissus.

122 Ταῦτα εἴπας ὁ Ἀστυάγης, ἀποπέμπει τὸν Κῦρον.
νοστήσαντα δέ μιν ἐς τοῦ Καμβύσεω τὰ οἰκία, [a] ἐδέ-
ξαντο οἱ γεινάμενοι· καὶ δεξάμενοι, ὡς ἐπύθοντο, με-

Exceptus a suis cum ingenti lætitia. Fama de nutrice illius cane. [1, 110.]

[p] Sic K.F.a. περιεοῦσα M. Ald. περιοῦσα b.c.d. παριοῦσα S. diserte.
[q] τε om. M.K.F.a.c.
[r] προπτέον S.
[s] ἑορῶμεν F. ὁρέομεν Schæferus.
[t] φλαῦρον Ald. S.V. al. φαῦλον M.K.R.F.a.c.
[v] παρακελευόμεθα M.R.S.K.F. a.c. διακ. Ald. b.d.
[w] ἀπόπεμψε ἐς πέρας S.

121.

[a] Sic M.K.F.a.b.c.d.S. τοιάδε Ald.
[b] τῆς ἑωυτοῦ δὲ μοίρης S. σεαυτοῦ F.
[c] Sic a.c. Vulgo περιεῖς. cf. 124. περιεὶς S.
[d] προπέμψω d.
[e] καὶ τὴν μητέρα σὴν λεγομένην, γυναῖκα δ' αὐτοῦ R.c.

122.

[a] ἔδεξαν S.

γάλως [b] ἀσπάζοντο, οἷα δὴ ἐπιστάμενοι αὐτίκα τότε 2 τελευτῆσαι· ἱστόρεόν τε ὅτεῳ τρόπῳ περιγένοιτο. ὁ δέ σφι ἔλεγε, [c] φὰς πρὸ τοῦ μὲν οὐκ εἰδέναι, ἀλλὰ ἡμαρτηκέναι πλεῖστον, κατ᾽ ὁδὸν δὲ πυθέσθαι πᾶσαν τὴν ἑωυτοῦ πάθην. ἐπίστασθαι μὲν γὰρ, ὡς βουκόλου τοῦ Ἀστυάγεος [d] εἴη παῖς· ἀπὸ δὲ τῆς κεῖθεν ὁδοῦ τὸν πάντα λόγον τῶν 3 πομπῶν πυθέσθαι. τραφῆναι δὲ ἔλεγε ὑπὸ τῆς τοῦ βουκόλου γυναικός. [e] ἤϊέ τε ταύτην αἰνέων διὰ παντός· ἦν τέ οἱ ἐν τῷ λόγῳ τὰ πάντα ἡ Κυνώ. οἱ δὲ τοκέες, παραλαβόντες τὸ [f] οὔνομα τοῦτο, ἵνα θειοτέρως δοκέῃ τοῖσι Πέρσῃσι [g] περιεῖναί σφι ὁ παῖς, [h] κατέβαλλον φάτιν ὡς ἐκκείμενον Κῦρον κύων ἐξέθρεψε. ἐνθεῦτεν μὲν ἡ φάτις αὕτη [i] κεχώρηκε.

123 Harpagus odio regis in vindictæ occasionem dilato, Cyrum adultum exstimulat regni spe in avum, litteris missis intra exenteratum leporem insutis.

Κύρῳ δὲ ἀνδρευμένῳ, καὶ ἐόντι τῶν ἡλίκων ἀνδρειοτάτῳ καὶ προσφιλεστάτῳ, προσέκειτο ὁ Ἅρπαγος, δῶρα πέμπων, τίσασθαι Ἀστυάγεα ἐπιθυ-2 μέων. [a] ἀπ᾽ ἑωυτοῦ γὰρ, ἐόντος ἰδιώτεω, οὐκ ἐνεώρα τιμωρίην ἐσομένην ἐς Ἀστυάγεα· Κῦρον δὲ ὁρέων ἐπιτρεφόμενον, ἐποιέετο σύμμαχον, τὰς πάθας [b] τὰς Κύρου 3 τῇσι ἑωυτοῦ ὁμοιούμενος. [c] πρὸ δ᾽ ἔτι τούτου τάδε οἱ κατέργαστο· ἐόντος τοῦ Ἀστυάγεος πικροῦ ἐς τοὺς Μήδους, συμμίσγων ἑνὶ ἑκάστῳ ὁ Ἅρπαγος τῶν [d] πρώτων

[b] Sic M.S.K.F.a.b.c. ἠσπάζοντο d. et vulg. Mox οἷα δὲ S. et τὸ pro τότε.

[c] σφέα S.V. σφέας b.d. Valla, *Hic vero se ait eos antea non novisse.*

[d] ἐστι b.d. Ald. Ἀστυάγεώ ἐστι S.

[e] Forte ἦέ τε ταύτην ἐπαινέων, periphrastice pro ἐπῄνει ταύτην. Sic ἦσαν ἱέντες I. 57. ἦε i. q. ἦν I. 181. 196. ἦν γινόμενα I. 146. ἔστι ἐοῦσα σοφὴ III. 108. SCHWEIGH. εἴη S. et mox ἐπαινέων.

[f] οὔνομα S.F. ὄνομα a.c.

[g] περὶ σφιν S.

[h] Sic a. κατέβαλον vulgo. κατέλαβον S.

[i] κεχωρήκεε b.d. edd. κεχώρηκε S.a.c. Schæfer. κεχώρηκεν F.

123.

[a] ἀπὸ γὰρ ἑωυτοῦ S. qui mox om. ἐς.

[b] Sic M.K.F.a.c. τοῦ Κύρου τῇ S.b.d. vulgo.

[c] Sic V.R.K. et al. πρὸς b.d. vulgo. τούτῳ Ald. πρὸς δέ τι S. qui mox concordat cum vulg. in Ἀστυάγεος.

[d] Lexic. Seg. Bekkeri, p. 111, 16. Supra συμμίγων S.

Μήδων, ἀνέπειθε ὡς χρὴ Κῦρον προστησαμένους, [e] τὸν
4 Ἀστυάγεα παῦσαι τῆς βασιληΐης. [f] κατειργασμένου δέ
οἱ τούτου, καὶ ἐόντος ἑτοίμου, οὕτω δὴ [g] τῷ Κύρῳ διαιτω-
μένῳ ἐν Πέρσῃσι βουλόμενος [h] ὁ Ἅρπαγος δηλῶσαι τὴν
ἑωυτοῦ γνώμην, ἄλλως μὲν οὐδαμῶς εἶχε, ἅτε τῶν ὁδῶν 62
φυλασσομένων· ὁ δὲ ἐπιτεχνᾶται τοιόνδε. [i] λαγὸν μη- 96
χανησάμενος, καὶ ἀνασχίσας τούτου τὴν γαστέρα, καὶ
οὐδὲν [k] ἀποτίλας, ὡς δὲ εἶχε, οὕτω [l] ἐσέθηκε [m] βιβλίον,
5 [n] γράψας τά οἱ ἐδόκεε. ἀπορράψας δὲ τοῦ λαγοῦ τὴν
γαστέρα, καὶ δίκτυα δοὺς, ἅτε θηρευτῇ, τῶν οἰκετέων τῷ
πιστοτάτῳ, [o] ἀπέστειλε ἐς τοὺς Πέρσας· ἐντειλάμενός οἱ
ἀπὸ γλώσσης, διδόντα τὸν [p] λαγὸν Κύρῳ [q] ἐπειπεῖν,
[r] αὐτοχειρίῃ μιν διελεῖν, καὶ μηδένα οἱ ταῦτα [s] ποιεῦντι
124 παρεῖναι. Ταῦτα [a] δὲ δὴ ὦν ἐπιτελέα ἐγίνετο· καὶ ὁ
2 Κῦρος παραλαβὼν τὸν λαγὸν ἀνέσχισε. εὑρὼν δὲ ἐν αὐ-
τῷ τὸ βιβλίον ἐνεὸν, λαβὼν ἐπελέγετο. τὰ δὲ γράμ-
ματα ἔλεγε τάδε· "Ὦ παῖ Καμβύσεω, σὲ γὰρ θεοὶ
" [b] ἐπορέωσι· οὐ γὰρ ἄν κοτε ἐς [c] τοσοῦτον τύχης [d] ἀπί-

[e] Sic S.c. τὸν al. om. τὸν Ἀστ. om. d.

[f] κατεργασαμένου b.d.S. Ald. qui mox τοῦτο.

[g] τῷ om. d.

[h] ὁ om. F.a.c. Mox οὐδῶν S.

[i] Sic S.F.a.c. Vide Athenæum IX. p. 400. Eustath. p. 1534, 14=222, 22. Vulgo λαγών.

[k] Sic forte d. ut Portus correxit Lex. Ion. ἀποτείλας M.F. S.b.c. edd. ἀποστείλας a. Infra III. 32. περιτῖλαι, ubi M. περιτεῖλαι. Scilicet diphthongi ει et elementi ι perfrequens est in mss. confusio.

[l] Sic R.M.K.F.a.c. Alii ἐπέθηκε cum S.

[m] βυβλίον P.F. solenni confusione. cf. var. lectt. Theocriti VII. 115. XIV. 15.

[n] Sic V.M.S.K.F. Parisini. τὰ οἱ ἐδόκεε ἐγγράψας edd. R. Par. A. apud Wessel.

[o] ἀπέστελλε F.a.c.

[p] Sic S.F.a.c. Vulgo λαγών.

[q] εἰπεῖν S.b.c.

[r] Sic M.R.K.F.a.c. Vulgo αὐτοχειρί cum S.

[s] ποιεῦντα b.d.S.

124.

[a] τε δὴ S.a.b.d.F. pro v. l. Mox ἐννεὸν S. et ἐπιλέγετο.

[b] Sic F.a.c. edd. ἐπορῶσι M.K.b. d. ἐπηρῶσιν V.S. ἐπορέουσι Schæfer.

[c] τοσοῦτο a.

[d] Sic M.K.R.F.a.c. ἀπικνεῦ S. b.d. Ald. ἀπίκνεο edd.

3 " κευ. σὺ νῦν Ἀστυάγεα τὸν [e] σεωυτοῦ φονέα τίσαι.
" κατὰ μὲν γὰρ τὴν τούτου προθυμίην τέθνηκας· τὸ δὲ
4 " κατὰ θεούς τε καὶ ἐμὲ [f] περίεις. τά σε καὶ πάλαι
" δοκέω πάντα ἐκμεμαθηκέναι, σέο τε αὐτοῦ πέρι ὡς
" ἐπρήχθη, καὶ οἷα ἐγὼ ὑπὸ Ἀστυάγεος [g] πέπονθα, ὅτι
5 " σε οὐκ [h] ἀπέκτεινα, ἀλλὰ ἔδωκα τῷ βουκόλῳ. σὺ
" νῦν [i] ἢν βούλῃ ἐμοὶ πείθεσθαι, τῆσπερ Ἀστυάγης ἄρχει
6 " χώρης, ταύτης ἁπάσης [k] ἄρξεις. Πέρσας γὰρ ἀναπεί-
" σας ἀπίστασθαι, στρατηλάτεε ἐπὶ Μήδους· καὶ ἤν
" τε ἐγὼ ὑπὸ Ἀστυάγεος [l] ἀποδεχθῶ στρατηγὸς [m] ἀντία
" σεῦ, [n] ἔστι τοι τὰ σὺ βούλεαι, ἤν τε τῶν τις δοκίμων
7 " [o] ἄλλος Μήδων. πρῶτοι γὰρ οὗτοι ἀποστάντες ἀπ'
" ἐκείνου, καὶ γενόμενοι πρὸς σέο, Ἀστυάγεα καταιρέειν
" [p] πειρήσονται· ὡς ὦν ἑτοίμου τοῦ γε ἐνθάδε ἐόντος,
" ποίεε ταῦτα, καὶ ποίεε κατὰ τάχος."

125 Persarum populi, et Cyri artes impellentis

Ἀκούσας ταῦτα ὁ Κῦρος, ἐφρόντιζε ὅτεῳ τρόπῳ σοφωτάτῳ Πέρσας [a] ἀναπείσει ἀπίστασθαι. φροντίζων δὲ, [b] εὑρίσκεται ταῦτα καιριώτατα εἶναι· [c] ἐποίεε δὲ τάδε.

[e] Sic M.K.R.F.a.c. ἑωυτοῦ S. V. Ald. ἑαυτοῦ b.d. cf. 108.

[f] Sic F.a.c.P. textu, περίης marg. περιεὶς S. Vulgo περιεῖς.

[g] πέπονθα om. c. Ἀστυάγεος cum vulg. S.

[h] ἀπέστειλα F. textu.

[i] εἰ βούλει S.b.d. Mox πυθέσθαι b.d.

[k] ἄρξῃς c.

[l] ἀποδειχθῶ Ald. b.d.S. qui et hic Ἀστυάγεος.

[m] Sic Steph. cum F.c. al. ἀντία σέο a. ἀντῆσαι Ald. V.S.b.d. Ad hanc lectionem apponit Wesselingius Homer. Il. π'. 423. ἀντήσω γὰρ ἐγὼ τοῦδ' ἀνέρος, monens insuper, citato Eustathio, rariorem esse hanc structuram verbi ἀντᾶν cum genitivo, quæ turbas ciere ad mutandum potuit. ἔσται ἀντῆσαί τοι Steph. marg. ed. 1. ἀντῆσαι ἔσται τοι ed. 2.

[n] Sic P.R.F.S. ἔστι τὰ M. ἔσται τοι τὰ K.V. Ald. Mox συμβούλεαι pro σὺ βούλ. S.

[o] ἄλλων Μήδων F.

[p] ποιήσονται S.

125.

[a] ἀναπείσαι M. ἀναπεῖσαι F.

[b] Sic M. et plures. εὕρισκέ τε K. Schæfer. εὕρισκε Ald. b.S.

[c] ἐποίεε δὲ τάδε] Sic edd. vett. V.R. καὶ ἐποίεε δὴ ταῦτα K. Schæfer. ἐποίησε δὲ S. ἐποίεε δὴ ταῦτα sine καὶ F.M. τάδε a.b.c.d.

2 γράψας ἐς βιβλίον τὰ ἐβούλετο, [d] ἁλίην τῶν Περσέων
ἐποιήσατο· μετὰ δὲ, ἀναπτύξας τὸ βιβλίον καὶ ἐπιλε-
γόμενος, ἔφη [e] Ἀστυάγεά μιν στρατηγὸν Περσέων ἀπο-
3 δεικνύναι. "Νῦν, ἔφη τε λέγων, ὦ Πέρσαι, προαγο-
"ρεύω ὑμῖν, παρεῖναι ἕκαστον ἔχοντα δρέπανον." Κῦρος
4 μὲν ταῦτα προηγόρευσε. Ἔστι δὲ Περσέων συχνὰ γένεα·
καὶ τὰ μὲν αὐτῶν ὁ Κῦρος συνάλισε, καὶ ἀνέπεισε ἀπί-
στασθαι ἀπὸ Μήδων. ἔστι δὲ τάδε, ἐξ ὧν [f] ὧλλοι πάντες
[g] ἀρτέαται Πέρσαι· Πασαργάδαι, [h] Μαράφιοι, [i] Μά-
5 σπιοι. [k] τούτων [l] Πασαργάδαι εἰσὶ ἄριστοι· ἐν τοῖσι καὶ 63
[m] Ἀχαιμενίδαι εἰσὶ [n] φρήτρη, ἔνθεν οἱ βασιλέες οἱ Περ-
6 σεῖδαι γεγόνασι. [o] ἄλλοι δὲ Πέρσαι εἰσὶ οἵδε· [p] Παν-
θιαλαῖοι, Δηρουσιαῖοι, Γερμάνιοι· οὗτοι μὲν πάντες ἀρο-
τῆρες [q] εἰσί. οἱ δὲ ἄλλοι, [r] νομάδες· Δάοι, Μάρδοι,
126 Δροπικοὶ, [s] Σαγάρτιοι. Ὡς δὲ παρῆσαν ἅπαντες ἔχον-
τες τὸ προειρημένον, ἐνθαῦτα ὁ Κῦρος (ἦν γάρ [a] τις χῶρος
τῆς Περσικῆς ἀκανθώδης ὅσον τε ἐπὶ ὀκτωκαίδεκα στα-
δίους ἢ εἴκοσι [b] πάντῃ·) τοῦτόν σφι τὸν χῶρον προεῖπε
2 [c] ἐξημερῶσαι ἐν ἡμέρῃ. ἐπιτελεσάντων δὲ τῶν Περσέων

eos ab Astyage deficere.

[d] Citat Eustath. Il. β'. p. 170, 20=135, extr.

[e] Ἀστυαγέα μὲν Ald. a. Mox τε ἔφη λέγων S.

[f] ὦλλοι M.K. ὧλλοι a.c. ὤλλοι F. Schæfer. ἄλλοι b.d. Ald. cf. VIII. 67. ὦλοι S.

[g] Sic Wesseling. et F.d. ἀρτεᾶται a.b.c. Ἀρτεάται S. al. cum Steph. Byz. in v.

[h] Μαράφιοι S.M.K.R.F.a.b.c.d. Alii Μεράφιοι.

[i] Μάσπιοι M.K.R.F.a.c. Alii Μάσιοι cum S.

[k] τουτέων] τούτων F.

[l] Eustath. Dionys. 1069.

[m] Ἀχαιμενίδες S.d. δ' pro καὶ d.

[n] Sic S.P.F.a.c. φήτρη Ald. b.d.

[o] ὦλλοι Schæfer.

[p] Πενθιάδαι, Δηρουσαῖοι, Καρμάνιοι Steph. Byz. in Δηρουσαῖοι. Πανθιαλαῖοι, Δορουσαῖοι R. Πανθήλαιοι b.d.S. Ald.

[q] ἔασι F.

[r] Eustath. Dionys. 305.

[s] Σαγαρτίδες R. Σαργάτιδες c.

126.

[a] τῆς χώρης P.F.a.c.

[b] Sic edd. vett. F.a.b.c. Conf. I. 181. II. 168. εἴκοσι· πάντα τ. Wesseling. ex S.

[c] ἐξερημῶσαι Ald. b. ἡμερῶσαι Polyænus VII. 6, 7. Mox λελουμένους παρεῖναι S. et ὁ om. ante Κῦρος.

τὸν προκείμενον ἄεθλον, δεύτερά σφι προεῖπε, ἐς τὴν ὑστε-
3 ραίην παρεῖναι λελουμένους. ἐν δὲ τούτῳ τά τε αἰπόλια
καὶ τὰς ποίμνας καὶ τὰ βουκόλια ὁ Κῦρος πάντα τοῦ
πατρὸς συναλίσας ἐς [d] τὠυτὸ, [e] ἔθυε, καὶ παρεσκεύαζε ὡς
[f] δεξόμενος [g] τῶν Περσέων τὸν στρατόν· πρὸς δὲ, οἴνῳ τε
4 καὶ σιτίοισι ὡς [h] ἐπιτηδεωτάτοισι. ἀπικομένους δὲ τῇ
ὑστεραίῃ τοὺς Πέρσας κατακλίνας ἐς [i] λειμῶνα, εὐώχεε.
ἐπεί τε δὲ ἀπὸ δείπνου ἦσαν, εἴρετό σφεας ὁ Κῦρος [k] κό-
τερα τὰ τῇ προτεραίῃ εἶχον, ἢ τὰ παρεόντα σφι εἴη αἱρε-
5 τώτερα. οἱ δὲ ἔφασαν, πολλὸν εἶναι [l] αὐτῶν τὸ μέσον.
τὴν μὲν γὰρ προτέρην ἡμέρην πάντα σφι κακὰ ἔχειν·
6 τὴν δὲ τότε παρεοῦσαν, πάντα ἀγαθά. Παραλαβὼν δὲ
[m] τοῦτο τὸ ἔπος ὁ Κῦρος παρεγύμνου τὸν πάντα λόγον,
λέγων· "Ἄνδρες Πέρσαι, οὕτω ὑμῖν ἔχει. βουλομένοισι
" μὲν ἐμέο πείθεσθαι, [n] ἔστι τάδε τε καὶ ἄλλα [o] μυρία
" ἀγαθὰ, οὐδένα πόνον δουλοπρεπέα ἔχουσι· μὴ βουλο-
" μένοισι δὲ [p] ἐμέο πείθεσθαι, εἰσὶ ὑμῖν πόνοι τῷ χθιζῷ
7 " παραπλήσιοι ἀναρίθμητοι. νῦν ὦν ἐμέο πειθόμενοι,
" [q] γίνεσθε ἐλεύθεροι. αὐτός τε γὰρ δοκέω θείῃ τύχῃ
" γεγονὼς τάδε ἐς χεῖρας ἄγεσθαι· καὶ ὑμέας ἥγημαι
" ἄνδρας Μήδων εἶναι οὐ φαυλοτέρους, οὔτε τὰ ἄλλα,
" οὔτε τὰ πολέμια. ὡς ὦν ἐχόντων ὧδε, ἀπίστασθε ἀπ'
" Ἀστυάγεος τὴν ταχίστην."

127 Πέρσαι [a] μέν νυν προστάτεω ἐπιλαβόμενοι, ἄσμενοι

[d] τωυτὸν P.K.F. τὸ ἑωυτὸ S.
[e] Sic S.a.b.c.d. ἔθυσε M.K.F.
[f] Sic M.K.R.F.a.b.c.d. δεξάμενος V.S. δεξιωσόμενος vulgo.
[g] τῶν Π. στρατὸν P.K.S. τὸν Π. στ. F.
[h] Sic K.F.a.b.c. Vulgo cum S. ἐπιτηδειοτάτοισι.
[i] Sic M.S.K.a.b.c.d. λειμῶνας F. edd. vett.
[k] κότερα—ἔφασαν om. S.V.
[l] αὐτέων] αὐτῶν F.
[m] τότε suprasc. P.
[n] Sic M.K.F.a.c. ἔσται S. alii. Post ἔστι F. habet δέ.
[o] μυρία om. S.
[p] Sic M.S.K.V.F.a.b.c.d. Vulgo om. ἐμέο πείθεσθαι.
[q] γίνεσθαι F.b. Mox dedi τὰ ἄλλα cum S. pro τἄλλα.

127.

[a] δέ νυν S.

ἐλευθεροῦντο, καὶ πάλαι δεινὸν ποιεύμενοι ὑπὸ Μήδων Medi prælio fusi.
2 ἄρχεσθαι. Ἀστυάγης δὲ ὡς ἐπύθετο Κῦρον [b] πρήσσοντα
ταῦτα, πέμψας ἄγγελον, [c] ἐκάλεε αὐτόν. ὁ δὲ Κῦρος 64
ἐκέλευε τὸν ἄγγελον ἀπαγγέλλειν, ὅτι πρότερον [d] ἥξοι
3 παρ' ἐκεῖνον ἢ [e] αὐτὸς Ἀστυάγης [f] βουλήσεται. ἀκούσας
δὲ ταῦτα ὁ Ἀστυάγης Μήδους τε ὥπλισε πάντας, καὶ
στρατηγὸν [g] αὐτῶν, ὥστε θεοβλαβὴς ἐών, [h] ἀπέδεξε Ἅρ-
4 παγον, λήθην ποιεύμενος τά μιν ἐόργεε. ὡς δ' οἱ Μῆδοι
στρατευσάμενοι τοῖσι Πέρσῃσι [i] συνέμισγον, οἱ μέν τινες
αὐτῶν ἐμάχοντο, ὅσοι μὴ τοῦ λόγου μετέσχον· οἱ δὲ
αὐτομόλεον [k] πρὸς τοὺς Πέρσας· οἱ δὲ πλεῖστοι ἐθελο-
128 κάκεόν τε καὶ ἔφευγον. Διαλυθέντος δὲ τοῦ Μηδικοῦ Altero prælio Astyages ipse victus et vivus captus a. 550.
στρατεύματος αἰσχρῶς, ὡς ἐπύθετο τάχιστα ὁ Ἀστυ-
άγης, ἔφη, ἀπειλέων τῷ Κύρῳ· "Ἀλλ' οὐδ' ὣς [a] ὁ Κῦ-
2 "ρός γε χαιρήσει." Τοσαῦτα εἴπας, πρῶτον μὲν τῶν
μάγων τοὺς ὀνειροπόλους, οἵ μιν [b] ἀνέγνωσαν μετεῖναι
τὸν Κῦρον, τούτους ἀνεσκολόπισε. μετὰ δὲ, ὥπλισε τοὺς
ὑπολειφθέντας τῶν Μήδων [c] ἐν τῷ ἄστεϊ, νέους τε καὶ
3 πρεσβύτας ἄνδρας. ἐξαγαγὼν δὲ τούτους, καὶ συμβα-
λὼν τοῖσι Πέρσῃσι, [d] ἑσσώθη· καὶ αὐτός τε Ἀστυάγης
129 ἐζωγρήθη, καὶ τοὺς ἐξήγαγε τῶν Μήδων ἀπέβαλε. Ἐόντι Harpago insultanti quid Astyages captivus responderit.
δὲ αἰχμαλώτῳ τῷ [a] Ἀστυάγεϊ [b] προστὰς ὁ Ἅρπαγος,

[b] ταῦτα πρήσσ. F.S.
[c] ἐκάλεσε a.c.
[d] ἥξει a.d.S.
[e] Ἀστυάγης αὐτὸς S.K.F.
[f] βούλεται S.
[g] αὐτέων Ald. αὐτὸν S.V.b. αὐτῶν M.K.F.a.b.c.d.
[h] Sic M.K.F.S.a.c.d. ἀπέδειξε al. Ἅρπαγον præponunt F.S. Mox ἐώργεεν S.
[i] ἔμισγον F. συνέσμιγον K.S.b. Vide I. 185. VI. 14. VII. 40. Mox αὐτῶν S. pro αὐτέων.
[k] Sic S.V.R.K.M.F.a.b.c.d. Alii παρὰ τ.

128.

[a] ὁ om. F.a.c. Paulo supra ἀπειλῶν S.
[b] Thomas M. et Suidas in ἀναγινώσκω. ἀνέπεισαν Schol. marg. P. unde Suidæ aberratio in Μετεῖναι.
[c] ἐν τῷ ἄστεϊ τῶν Μήδων F.a.S.
[d] ἐσώθη S.b.F. pr. ἠσώθη F. em. ἑσώθη K.

129.

[a] Ἀστυάγη S.
[b] προσστὰς Schweigh. Vulgo recte προστάς. cf. 86. et 119.

κατέχαιρέ τε καὶ κατεκερτόμεε, καὶ ἄλλα λέγων ἐς
αὐτὸν θυμαλγέα ἔπεα, καὶ δὴ καὶ [c] εἴρετό μιν, πρὸς τὸ
ἑωυτοῦ δεῖπνον, τό μιν ἐκεῖνος σαρξὶ τοῦ παιδὸς [d] ἐθοίνισε,
2 "ὅ τι εἴη [e] ἡ ἐκείνου δουλοσύνη ἀντὶ τῆς βασιληΐης." ὁ δέ
μιν προσιδὼν ἀντείρετο, εἰ ἑωυτοῦ [f] ποιέεται τὸ Κύρου
3 ἔργον. Ἅρπαγος δὲ ἔφη, αὐτὸς γὰρ [g] γράψαι, [h] τὸ
4 πρῆγμα ἑωυτοῦ δὴ δικαίως εἶναι. Ἀστυάγης δέ μιν
ἀπέφαινε τῷ λόγῳ "σκαιότατόν τε καὶ [i] ἀδικώτατον
"ἐόντα πάντων ἀνθρώπων· [k] σκαιότατον μέν γε, εἰ πα-
"ρεὸν αὐτῷ βασιλέα γενέσθαι, [l] εἰ δὴ δι' ἑωυτοῦ γε
"ἐπρήχθη τὰ παρεόντα, ἄλλῳ περιέθηκε τὸ κράτος·
"ἀδικώτατον δὲ, ὅτι τοῦ δείπνου εἵνεκεν Μήδους κατ-
5 "εδούλωσε. εἰ γὰρ δὴ [m] δέον πάντως περιθεῖναι ἄλλῳ
"τέῳ τὴν βασιληΐην, καὶ μὴ αὐτὸν ἔχειν, δικαιότερον
"[n] εἶναι Μήδων τέῳ περιβαλεῖν τοῦτο τὸ ἀγαθὸν ἢ Περ-
6 "σέων. νῦν δὲ Μήδους μὲν, ἀναιτίους τούτου ἐόντας, δού-
"λους ἀντὶ [o] δεσποτέων γεγονέναι· Πέρσας δὲ, δούλους
"ἐόντας τὸ πρὶν Μήδων, νῦν γεγονέναι δεσπότας." 65

130

Quam diu Medi Asiæ imperarint. Parcit Astyagi Cyrus.

Ἀστυάγης μέν νυν, βασιλεύσας ἐπ' ἔτεα πέντε καὶ
τριήκοντα, οὕτω τῆς βασιληΐης [a] κατεπαύσθη· Μῆδοι δὲ
ὑπέκυψαν Πέρσῃσι διὰ τὴν τούτου πικρότητα, ἄρξαντες
τῆς ἄνω Ἅλυος ποταμοῦ Ἀσίης ἐπ' ἔτεα τριήκοντα καὶ
ἑκατὸν δυῶν δέοντα, πάρεξ ἢ ὅσον οἱ Σκύθαι ἦρχον.
2 Ὑστέρῳ μέντοι χρόνῳ μετεμέλησέ τέ σφι ταῦτα ποιή-
σασι, καὶ ἀπέστησαν ἀπὸ Δαρείου· ἀποστάντες δὲ,

[c] ἤρετο F. et mox ἀντήρετο.
[d] ἐθοίνησε F.c. ut Schæferus ex Valckenærii præcepto.
[e] ἡ om. F. Mox προσειδὼν S.
[f] ποιέεται om. F.
[g] Sic M.K. al. γράψας S.
[h] τὸ πρ. δὴ ἑωυτοῦ δικ. S. τ. π. ἑ. δὴ δικαίως F. et forte M. καὶ τὸ πρῆγμα δὴ ἑωυτοῦ δικαίως εἶναι Ald.
[i] δικαιώτατον F.
[k] σκαιότατον—ἑωυτοῦ γε om. F.
[l] Sic M.K. εἴ γε δι' S. γε om. c.
[m] Sic M.K.F.c. δεῖν S.a.b.d. edd.
[n] εἶναι om. d. Mox τὸ om. S.
[o] δεσποτῶν S.b.d. Mox τὲ πρὶν S.

130.

[a] κατεπαύσθη P.F.a.c. cf. VI. 71. Vulgo κατεπαύθη cum S. Infra κατεμέλησε Ald.

3 ὀπίσω [b] κατεστράφθησαν, μάχῃ νικηθέντες. τότε δὲ ἐπὶ
Ἀστυάγεος οἱ Πέρσαι τε καὶ ὁ Κῦρος ἐπαναστάντες
τοῖσι Μήδοισι, ἦρχον τὸ ἀπὸ τούτου τῆς Ἀσίης. [c] Ἀστυ-
άγεα δὲ Κῦρος, κακὸν οὐδὲν ἄλλο ποιήσας, εἶχε παρ'
4 ἑωυτῷ ἐς ὃ ἐτελεύτησε. Οὕτω δὴ Κῦρος γενόμενός τε
καὶ τραφεὶς [d] ἐβασίλευσε· καὶ Κροῖσον ὕστερον τούτων
ἄρξαντα ἀδικίης κατεστρέψατο, ὡς εἴρηταί μοι [e] τὸ πρό-
τερον. τοῦτον δὲ καταστρεψάμενος, οὕτω πάσης τῆς
Ἀσίης ἦρξε.

131 [a] Πέρσας δὲ οἶδα νόμοισι [b] τοῖσδε χρεωμένους· ἀγάλ- Persarum Dii et sacrificia.
ματα μὲν καὶ νηοὺς καὶ βωμοὺς οὐκ ἐν νόμῳ [c] ποιευμέ-
νους ἱδρύεσθαι, ἀλλὰ καὶ τοῖσι ποιεῦσι μωρίην ἐπιφέ- 66
ρουσι· ὡς μὲν ἐμοὶ [d] δοκέειν, ὅτι οὐκ ἀνθρωποφυέας ἐνό-
2 μισαν τοὺς θεοὺς, κατάπερ οἱ Ἕλληνες, εἶναι. [e] οἱ δὲ
νομίζουσι Διῒ μὲν, ἐπὶ τὰ ὑψηλότατα τῶν [f] οὐρέων ἀνα-
βαίνοντες, [g] θυσίας ἕρδειν, [h] τὸν κύκλον πάντα τοῦ οὐ-
ρανοῦ Δία καλέοντας· θύουσι δὲ [i] ἡλίῳ τε καὶ σελήνῃ
3 καὶ γῇ καὶ πυρὶ καὶ ὕδατι καὶ ἀνέμοισι. τούτοισι μὲν
δὴ [k] μούνοισι θύουσι ἀρχῆθεν. ἐπιμεμαθήκασι δὲ καὶ τῇ

[b] Sic M.K.a.b.c. κατεστράφησαν F.d.S. et al.

[c] τὸν δὲ Ἀστυάγεα Κύρος οὐδὲν ἄλλο κακὸν S.

[d] καὶ ἐβασ. S. Ald. Vulgo καὶ om. F.a.c.

[e] τὸ om. F.a.c.S.

131.

[a] Πέρσας etc. Exscripsit Origen. c. Cels. VII. p. 738.

[b] Sic P.K.F. Origen. τοιοῖσι S. Ald. τοιοῖσδε a. τοιοῖσιδε b.c.d. τοισίδε Schæfer, qui mox χρεομένους.

[c] ποιευμένους om. F.

[d] Sic F.a.b.c. Ald. et al. δοκέει S. Orig. probante Wessel. et citante I. 152. IV. 167. Mox καθάπερ S.

[e] Descripsit Strabo XV. p. 1064=732.

[f] ὀρέων S.M.

[g] θυσίας om. V.S.

[h] Citat Eustath. Il. α΄. p. 128, 24=97.

[i] τε om. d.

[k] θύουσι μούνοισι F. θύουσι om. S.V. Desunt hinc S.V. usque in c. 136. et sic b.d. Vall. Notat autem Schweighæuserus, eos codices nonnulla habere interjecta: sc. ex c. 133. ἡμέρην δὲ—ἕκαστος ἐγένετο: item οἴνῳ δὲ—φυλάσσεται: denique ex 135. ἐπιτηδεύουσι δὲ καὶ εὐπαθείας παντοδαπὰς πυνθανόμενοι. In S. continuantur sic:

Οὐρανίῃ θύειν, παρά τε Ἀσσυρίων μαθόντες καὶ Ἀρα-
βίων. καλέουσι δὲ Ἀσσύριοι τὴν Ἀφροδίτην, Μύλιττα·
132 Ἀράβιοι δὲ, Ἀλίττα· Πέρσαι δὲ, Μίτραν. Θυσίη δὲ
Ritus in sacrificando.
τοῖσι Πέρσῃσι περὶ τοὺς εἰρημένους θεοὺς ἥδε [a] κατέστηκε.
οὔτε βωμοὺς ποιεῦνται, οὔτε πῦρ ἀνακαίουσι, μέλλοντες
θύειν· οὐ σπονδῇ [b] χρέωνται, οὐκὶ αὐλῷ, οὐ στέμμασι,
2 οὐκὶ οὐλῇσι. τῶν δὲ ὡς ἑκάστῳ θύειν [c] θέλει, ἐς χῶρον
καθαρὸν ἀγαγὼν τὸ κτῆνος, καλέει τὸν θεὸν, ἐστεφανω-
3 μένος [d] τὸν τιάραν μυρσίνῃ μάλιστα. ἑωυτῷ μὲν δὴ τῷ
θύοντι ἰδίῃ μούνῳ οὔ οἱ ἐγγίνεται ἀρᾶσθαι ἀγαθά· ὁ δὲ
[e] πᾶσι τοῖσι Πέρσῃσι [f] κατεύχεται εὖ γίνεσθαι, καὶ τῷ
βασιλεῖ. ἐν γὰρ δὴ τοῖσι ἅπασι Πέρσῃσι καὶ [g] αὐτὸς
4 γίνεται. ἐπεὰν δὲ [h] διαμιστύλας κατὰ μέρεα τὸ ἱρήϊον
ἑψήσῃ τὰ κρέα, [i] ὑποπάσας ποίην ὡς ἁπαλωτάτην, 67
μάλιστα δὲ τὸ τρίφυλλον, ἐπὶ ταύτης ἔθηκε ὦν πάντα
[k] τὰ κρέα· διαθέντος δὲ αὐτοῦ, μάγος ἀνὴρ παρεστεὼς
ἐπαείδει θεογονίην, οἵην δὴ ἐκεῖνοι λέγουσι εἶναι τὴν ἐπαοι-
δήν· ἄνευ γὰρ δὴ μάγου οὔ σφι νόμος ἐστὶ θυσίας ποιέ-
5 εσθαι. ἐπισχὼν δὲ ὀλίγον χρόνον, ἀποφέρεται ὁ θύσας
133 τὰ κρέα, καὶ χρᾶται ὅ τι μιν [l] λόγος αἱρέει. [a] Ἡμέ-
Mores: diem nata-

μούνοισιν ἀρχῆθεν. ἡμέρην δὲ ἁπασέων μάλιστα ἐκείνην τιμᾶν νομίζουσι, τῇ ἕκαστος ἐγένετο. οἴνῳ δὲ πέρσαι κάρτα προσκέανται. καί σφιν οὐκ ἐμμέσαι ἔξεστιν, οὐκὶ οὐρῆσαι. ἐπιτηδεύουσι δὲ καὶ εὐπαθείας π. π. παιδεύουσι δέ.

132.

[a] κατέστηκε P.F.a. Vulgo κατεστήκεε.

[b] χρέονται Schæferus.

[c] θέλῃ K. ἐθέλῃ F.

[d] Sic M.K.F. Alii τὴν ut F. pro v. l. Hesychius: Τιάρα: ἡ λεγομένη κυρβασία. ταύτῃ δὲ οἱ Πέρσαι βασιλεῖς μόνοι ἐχρῶντο ὀρθῇ, οἱ δὲ στρατηγοὶ ὑποκεκλιμένῃ. Ἡρόδοτος δὲ ἐν ᾱ ἀρρενικῶς.

[e] τοῖσι πᾶσι F.

[f] Habet Thomas M. in v.

[g] αὐτῷ K.

[h] διαμιστύλας K.F. Parisini. διαμυστίλας Ald.

[i] ὑποπάσας M.K. ὑποσπάσας c. et vulgo.

[k] Sic Reizius post Valckenærium. τὰ om. libri.

[l] ὁ ante λόγος delevi cum F.

133.

[a] Citat hoc cap. Athenæus IV. p. 143. seq.

ρην δὲ ἁπασέων μάλιστα ἐκείνην τιμᾶν νομίζουσι, τῇ
2 ἕκαστος ἐγένετο. ἐν ταύτῃ δὲ πλέω δαῖτα τῶν ἄλλων
δικαιεῦσι προτίθεσθαι· ἐν τῇ οἱ εὐδαίμονες αὐτῶν βοῦν
καὶ ἵππον καὶ κάμηλον καὶ ὄνον προτιθέαται, ὅλους
ὀπτοὺς ἐν καμίνοισι· οἱ δὲ πένητες [b] αὐτῶν τὰ λεπτὰ
3 τῶν προβάτων προτιθέαται. σίτοισι δὲ ὀλίγοισι [c] χρέ-
ωνται, [d] ἐπιφορήμασι δὲ πολλοῖσι, καὶ [e] οὐκ ἁλέσι· καὶ
διὰ τοῦτο φασὶ Πέρσαι "τοὺς Ἕλληνας σιτεομένους,
"πεινῶντας παύεσθαι, ὅτι σφι ἀπὸ δείπνου παραφο-
"ρέεται οὐδὲν λόγου ἄξιον· εἰ δέ τι παραφέροιτο, ἐσθίον-
4 "τας ἂν οὐ παύεσθαι." [f] οἴνῳ δὲ κάρτα προσκέαται·
καί σφι οὐκ ἐμέσαι ἔξεστι, [g] οὐκὶ οὐρῆσαι ἀντίον ἄλλου.
5 ταῦτα μέν νυν οὕτω φυλάσσεται. μεθυσκόμενοι δὲ ἐώθασι
βουλεύεσθαι τὰ [h] σπουδαιέστατα τῶν πρηγμάτων· τὸ δ'
ἂν ἅδῃ σφι βουλευομένοισι, τοῦτο τῇ ὑστεραίῃ νήφουσι
προτιθεῖ ὁ στέγαρχος, ἐν τοῦ ἂν ἐόντες βουλεύωνται.
6 καὶ ἢν μὲν ἅδῃ καὶ νήφουσι, [i] χρέωνται αὐτέῳ· ἢν δὲ μὴ
ἅδῃ, μετιεῖσι. τὰ δ' ἂν νήφοντες προβουλεύσωνται, μεθυ-
134 σκόμενοι ἐπιδιαγινώσκουσι. [a] Ἐντυγχάνοντες δ' [b] ἀλ-
λήλοισι ἐν τῇσι ὁδοῖσι, τῷδε ἄν τις διαγνοίη εἰ ὅμοιοι
εἰσὶ [c] οἱ συντυγχάνοντες· ἀντὶ γὰρ τοῦ προσαγορεύειν
2 ἀλλήλους, φιλέουσι τοῖσι στόμασι. ἢν δὲ ᾖ οὕτερος ὑπο-
δεέστερος ὀλίγῳ, τὰς παρειὰς φιλέονται· ἢν δὲ πολλῷ

lem festum agunt: quo victu vivant: vino indulgent: eorum verecundia: compotantes deliberant.

Osculatio et adoratio salutantium: observantiæ cultus inter vicinos: quam de se ipsi habeant opinionem.

[b] αὐτῶν F. Athenæus. αὐτέων Ald.

[c] Sic edd. mss. χρεόνται Schæferus cum Athenæo p. 144. A. et XIV. p. 640. F.

[d] Hinc Eustath. Il. σ'. p. 1141, 3=1191, 44. Suidas et Zonaras.

[e] Sic (vel οὐκαλέσι) M.K.F. Athenæus. οὐ καλοῖσι c. et vulg. Mox σφίσιν Athen. et sic infra.

[f] οἴνῳ δὲ Πέρσαι b.d.

[g] οὐκ οὐρ. Athenæus.

[h] Sic M.K.F. cf. supra 8. σπουδαιότατα a.c. edd. Athen. p. 144. Non ex Herodoto Suidas v. Εἰσηγήσαιντο, quem cf. in Οἴνου πιεῖν.

[i] χρέονται αὐτῷ, εἰ δὲ μή, μετιεῖσι. Athenæus, qui supra στεγέαρχος. Ad αὐτέῳ nihil e mss. enotatum.

134.

[a] Sic mss. Ald. οἱ συντυγχάνοντες Gronov. Wessel.

[b] νήφουσι addit F.

[c] Sic P.K.F. Paris. et forte M. Vulgo οἱ ἐντυγχάνοντες.

ἢ οὕτερος ἀγεννέστερος, προσπίπτων προσκυνέει τὸν ἕτερον.
3 τιμῶσι δὲ ἐκ πάντων τοὺς ἄγχιστα ἑωυτῶν οἰκέοντας,
μετά γε ἑωυτούς· δεύτερα δὲ, τοὺς δευτέρους· μετὰ δὲ,
κατὰ λόγον προβαίνοντες τιμῶσι· ἥκιστα δὲ τοὺς ἑωυ-
4 τῶν [d] ἑκαστάτω οἰκημένους ἐν τιμῇ ἄγονται· νομίζοντες
ἑωυτοὺς εἶναι ἀνθρώπων μακρῷ τὰ πάντα ἀρίστους, τοὺς
δὲ ἄλλους κατὰ λόγον [e] τὸν λεγόμενον τῆς ἀρετῆς ἀντέ-
χεσθαι, τοὺς δὲ ἑκαστάτω οἰκέοντας ἀπὸ ἑωυτῶν κακί- 68
5 στους εἶναι. Ἐπὶ δὲ Μήδων ἀρχόντων, καὶ ἦρχε τὰ
ἔθνεα ἀλλήλων. συναπάντων μὲν Μῆδοι, καὶ τῶν ἄγ-
χιστα οἰκέοντων σφίσι· οὗτοι δὲ, καὶ τῶν ὁμούρων· οἱ δὲ,
6 [f] μάλιστα τῶν ἐχομένων. κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ
οἱ Πέρσαι τιμῶσι· προέβαινε γὰρ δὴ τὸ ἔθνος ἄρχον τε
καὶ ἐπιτροπεῦον.

135 Externos mores facillime adsciscunt.

Ξεινικὰ δὲ νόμαια Πέρσαι προσίενται
ἀνδρῶν μάλιστα. καὶ γὰρ δὴ τὴν Μηδικὴν ἐσθῆτα, νο-
μίσαντες τῆς ἑωυτῶν εἶναι καλλίω, φορέουσι· καὶ ἐς
2 τοὺς πολέμους, τοὺς Αἰγυπτίους [a] θώρηκας. καὶ εὐπα-
θείας τε παντοδαπὰς πυνθανόμενοι ἐπιτηδεύουσι· καὶ δὴ
3 καὶ, ἀπ' Ἑλλήνων μαθόντες, παισὶ μίσγονται. γαμέ-
ουσι δ' ἕκαστος [b] αὐτῶν πολλὰς μὲν [c] κουριδίας γυναῖ-
κας, πολλῷ δ' ἔτι πλεῦνας παλλακὰς [d] κτῶνται.

136 Soboles numerosa, patribus laudi et honori: liberorum educatio.

Ἀνδραγαθίη δ' αὕτη ἀποδέδεκται, μετὰ τὸ μάχεσθαι εἶναι
ἀγαθὸν, ὃς ἂν πολλοὺς ἀποδέξῃ παῖδας· τῷ δὲ τοὺς
πλείστους ἀποδεικνύντι, δῶρα ἐκπέμπει [a] ὁ βασιλεὺς
ἀνὰ πᾶν ἔτος. τὸ πολλὸν δ' ἡγέαται ἰσχυρὸν εἶναι.

[d] Sic Steph. et mss. ἑκάστῳ Ald. cf. Foesii Œcon. Hippocr. in Ἑκάστῳ.

[e] Ita Abreschius, probantibus Reizio et Schweighæusero. τῷ λεγομένῳ edd. mss.

[f] Sic F. Vulgo μάλα.

135.

[a] Sic M.K.F.a.b.c.d. θώρακας vulgo.

[b] αὐτέων M.K. αὐτῶν F.a.c. edd. vett.

[c] Sic M.K.F.a. κουριδίους c. edd. Præcedentia citat Schol. Grægorii Naz. Stelit. I. p. 64. Wess.

[d] κτέονται Schæfer.

136.

[a] ὁ om. K.F.a.c.

2 [b] παιδεύουσι δὲ τοὺς παῖδας, ἀπὸ πενταέτεος ἀρξάμενοι μέχρι εἰκοσαέτεος, τρία μοῦνα, [c] ἱππεύειν, καὶ τοξεύειν, καὶ ἀληθίζεσθαι. πρὶν δὲ ἢ πενταετὴς γένηται, οὐκ ἀπικνέεται ἐς ὄψιν τῷ πατρὶ, ἀλλὰ παρὰ τῇσι γυναιξὶ δίαι-
3 ταν ἔχει. [d] τοῦ δὲ εἵνεκα [e] τοῦτο οὕτω ποιέεται, ἵνα ἢν ἀποθάνῃ τρεφόμενος, [f] μηδεμίαν ἄσην τῷ πατρὶ [g] προσβάλῃ.

137 Αἰνέω μέν νυν τόνδε τὸν νόμον· αἰνέω δὲ καὶ τόνδε, [a] τὸ μὴ μιῆς [b] αἰτίης εἵνεκα μήτε αὐτὸν τὸν βασιλέα μηδένα φονεύειν, [c] μήτε τῶν ἄλλων Περσέων μηδένα τῶν ἑωυτοῦ οἰκετέων ἐπὶ μιῇ αἰτίῃ ἀνήκεστον πάθος ἔρδειν· [d] ἀλλὰ λογισάμενος ἢν εὑρίσκῃ πλέω τε καὶ μέζω τὰ ἀδικήματα ἐόντα τῶν ὑπουργημάτων, οὕτω τῷ θυμῷ
2 χρᾶται. Ἀποκτεῖναι δὲ οὐδένα [e] κω λέγουσι τὸν ἑωυτοῦ πατέρα, [f] οὐδὲ μητέρα. ἀλλὰ ὁκόσα ἤδη τοιαῦτα ἐγένετο, πᾶσαν ἀνάγκην φασὶ ἀναζητεόμενα ταῦτα ἀνευρεθῆναι ἤτοι ὑποβολιμαῖα ἐόντα, ἢ μοιχίδια· οὐ γὰρ δὴ φασὶ [g] οἰκὸς εἶναι τόν γε [h] ἀληθέως τοκέα ὑπὸ τοῦ ἑωυτοῦ παιδὸς ἀποθνήσκειν.

Immunitas a pœna capitali ob unum solum delictum: parricidia non credunt fieri posse.

138 [a] Ἅσσα δέ σφι ποιέειν οὐκ ἔξεστι, ταῦτα οὐδὲ λέγειν ἔξεστι. αἴσχιστον δὲ αὐτοῖσι τὸ ψεύδεσθαι νενόμισται· δεύτερα δὲ, τὸ ὀφείλειν χρέος·

Quid non liceat dicere: quas duas res turpissimas

[b] Hinc Eustath. Dionys. 1056.
[c] Hinc Thomas M. in Ἀληθεύω.
[d] Sic F.a. Vulgo τοῦδε. Malit Schweighæuserus τοῦδε δέ. Supra τὴν δίαιταν S.
[e] Sic M.K.S.V. deest οὕτω edd. vett. F.b.
[f] μηδεμίαν ἄσην M.K.F.a.c. μηδεμίαν βλάβην d. μηδεμίαν βλάβην ἀηδῆ S.V.b. μηδεμίην ἄσην ἀηδῆ Ald. Steph.
[g] Sic K.P.F.a. Vulgo προσβάλλῃ cum S.

137.
[a] τὸ δὲ μὴ K. τὸν μὴ S.
[b] αἰτίας F.
[c] μήτε τινα τῶν S.
[d] ἀλλὰ—usque ad fin. cap. om. S.V.b.d. Vall.
[e] κολύουσι F.
[f] Sic M.K.F.a. ἢ μ. edd. c.
[g] Sic M.K.F.a.c. Alii εἰκός.
[h] Sic M.K.F. ἀληθῶς a.c. edd. vett.

138.
[a] Sic M.R.K.F.a.c. ὁκόσα vulgo, S.b.d. Iidem mox ἔξεστι Πέρσῃσι.

ducant: lepra infectis aut vitiligine quid faciant: fluminum cultus:

[b] πολλῶν μὲν καὶ ἄλλων εἵνεκα, μάλιστα δὲ ἀναγκαίην 69
2 φασὶ εἶναι, τὸν ὀφείλοντα καί τι ψεῦδος λέγειν. Ὃς
ἂν δὲ τῶν ἀστῶν λέπρην ἢ [c] λεύκην [d] ἔχῃ, ἐς πόλιν οὗτος
οὐ κατέρχεται, οὐδὲ συμμίσγεται τοῖσι ἄλλοισι Πέρσῃσι·
φασὶ δέ μιν ἐς τὸν ἥλιον ἁμαρτόντα τι, ταῦτα ἔχειν.
3 ξεῖνον δὲ πάντα, τὸν λαμβανόμενον ὑπὸ τούτων, [e] πολλοὶ
καὶ ἐλαύνουσι ἐκ τῆς χώρης· καὶ τὰς λευκὰς περιστερὰς,
4 τὴν αὐτὴν αἰτίην ἐπιφέροντες. Ἐς ποταμὸν δὲ οὔτε ἐνουρέουσι, οὔτε ἐμπτύουσι, [f] οὐ χεῖρας ἐναπονίζονται, οὐδὲ
ἄλλον οὐδένα [g] περιορέωσι, ἀλλὰ σέβονται [h] ποταμοὺς

139 Nomina omnia desinere in litteram S.

139 μάλιστα. Καὶ τόδε ἄλλο σφι ὧδε συμπέπτωκε γίνεσθαι,
2 τὸ Πέρσας μὲν αὐτοὺς λέληθε, ἡμέας [a] μέν τοι οὔ. τὰ
οὐνόματά σφι, ἐόντα ὁμοῖα [b] τοῖσι σώμασι καὶ τῇ μεγαλοπρεπείῃ, τελευτῶσι πάντα ἐς τὠυτὸ γράμμα, τὸ Δω-
3 ριέες μὲν Σὰν καλέουσι, Ἴωνες δὲ Σίγμα. ἐς τοῦτο διζήμενος εὑρήσεις τελευτῶντα τῶν Περσέων τὰ οὐνόματα, οὐ

140 Sepultura: Magi Persarum et sacerdotes Ægyptii qua in re differant.

140 τὰ μὲν, τὰ δὲ οὔ, ἀλλὰ πάντα ὁμοίως. Ταῦτα μὲν
ἀτρεκέως ἔχω περὶ αὐτῶν [a] εἰδὼς εἰπεῖν. τάδε μέντοι ὡς
κρυπτόμενα λέγεται, καὶ οὐ σαφηνέως, περὶ τοῦ ἀποθανόντος· ὡς οὐ πρότερον θάπτεται ἀνδρὸς Πέρσεω ὁ νέκυς,

[b] E sequentibus usque ad fin. cap. 177. S.V.b.d. Vall. habent tantum hæc: καὶ τὸ ἐς ποταμὸν ἐνουρέειν, ἢ πτύειν, ἢ χεῖρας ἐναπονίζεσθαι, ἢ ἄλλο τι ποιέειν. σέβονται δὲ ποταμοὺς πάντων μάλιστα. τὰ δὲ οὐνόματα τῶν Περσέων πάντα τελευτῶσιν ἐς τὠυτὸ γράμμα, τὸ Δωριέες μὲν σὰν καλέουσι, Ἴωνες δὲ σίγμα. Οὐ πρότερον δὲ παρ' αὐτοῖς θάπτεται νέκυς, πρὶν ἂν ὑπ' ὄρνιθος ἑλκυσθῇ. ταῦτα μέν νυν οὕτω τελεῖται.

[c] Hinc Suidas, gl. Herodot. Gregor. Dial. Ion. 112.

[d] ἔχῃ M.F.a. ἔχει K. ἔχοι c. edd.

[e] Sic F. πολλοὶ ἐξελαύνουσι vulgo. πάλιν ἐξελαύνουσι Schæferus, præeunte Corayo.

[f] οὔτε χ. P. probantibus Reizio et Schæfero.

[g] περιορέωσι F. περιορῶσι M.K.R. περιορέουσι Steph. Schæfer. ἄλλο τι οὐδὲν ποιοῦσι Ald.

[h] ποταμοὺς μάλιστα M.K.F.a.c. Vulgo π. τῶν πάντων μάλιστα.

139.

[a] Sic M.K.F.a. δὲ οὐ c. vulg.

[b] τοῖσι καὶ σ. F.

140.

[a] εἰδὼς om. K.

2 πρὶν ἂν ὑπ' ὄρνιθος ἢ κυνὸς [b] ἑλκυσθῆναι. μάγους μὲν
γὰρ ἀτρεκέως οἶδα [c] ποιέοντας ταῦτα· ἐμφανέως γὰρ
δὴ [d] ποιεῦσι. κατακηρώσαντες δὴ ὦν τὸν νέκυν Πέρσαι,
3 γῇ κρύπτουσι. Μάγοι δὲ κεχωρίδαται πολλὸν τῶν τε
ἄλλων ἀνθρώπων, καὶ τῶν ἐν Αἰγύπτῳ ἱρέων. οἱ μὲν γὰρ
ἁγνεύουσι ἔμψυχον μηδὲν κτείνειν, εἰ μὴ ὅσα θύουσι.
4 οἱ δὲ δὴ μάγοι αὐτοχειρίῃ πάντα, πλὴν κυνὸς καὶ ἀν-
θρώπου, κτείνουσι· καὶ ἀγώνισμα [e] μέγα τοῦτο ποιεῦν-
ται, κτείνοντες ὁμοίως μύρμηκάς τε καὶ ὄφεις, καὶ
5 τἄλλα ἑρπετὰ καὶ πετεινά. καὶ ἀμφὶ μὲν τῷ νόμῳ
τούτῳ ἐχέτω ὡς καὶ ἀρχὴν ἐνομίσθη. ἄνειμι δὲ ἐπὶ τὸν
πρότερον λόγον.

141 Ἴωνες δὲ καὶ Αἰολέες, ὡς οἱ Λυδοὶ τάχιστα [a] κατ-
εστράφατο ὑπὸ Περσέων, ἔπεμπον ἀγγέλους [b] ἐς Σάρδις
παρὰ Κῦρον, ἐθέλοντες ἐπὶ τοῖσι αὐτοῖσι εἶναι τοῖσι καὶ
2 Κροίσῳ ἦσαν κατήκοοι. ὁ δὲ, ἀκούσας [c] αὐτῶν τὰ [d] προΐ-
σχοντο, ἔλεξέ σφι λόγον· "Ἄνδρα, φὰς, αὐλητὴν, ἰδόν-
"τα ἰχθῦς ἐν τῇ θαλάσσῃ, αὐλέειν, δοκέοντά σφεας
"ἐξελεύσεσθαι ἐς γῆν. ὡς δὲ ψευσθῆναι [e] τῆς ἐλπίδος,
"[f] λαβεῖν ἀμφίβληστρον, καὶ περιβαλεῖν τε πλῆθος
3 "πολλὸν τῶν ἰχθύων καὶ ἐξειρύσαι. ἰδόντα δὲ παλ-
"λομένους, εἰπεῖν ἄρα αὐτὸν πρὸς τοὺς ἰχθῦς· Παύεσθέ
"μοι ὀρχεόμενοι, ἐπεὶ [g] οὐδ' ἐμέο αὐλέοντος ἠθέλετε ἐκ-
4 "βαίνειν ὀρχεόμενοι." Κῦρος μὲν τοῦτον τὸν λόγον τοῖσι
Ἴωσι καὶ τοῖσι Αἰολεῦσι τῶνδε εἵνεκα ἔλεξε, ὅτι δὴ οἱ

Iones, metu belli a 70 Cyro, qui solis Milesiis amicitiam dedisset, urbes muniunt, et Spartam legatos mittunt.

[b] Sic R.K.M.F.a.c. Vulgo ἑλκυσθῇ.
[c] Sic F. ταῦτα π. vulgo.
[d] ποιέουσι F. Infra οἱ δὴ μάγοι Ald.
[e] Sic F. Vulgo τοῦτο μέγα.

141.

[a] κατεστραφέατο F. κατεστρέφατο vulgo.
[b] πρὸς K. ἐς Σ. R.
[c] αὐτέων] αὐτῶν F.
[d] Sic P.f. προέσχοντο a.c. vulg. προσέσχοντο F.
[e] τῶν ἐλπίδων f.
[f] βαλεῖν f. et mox ἐξερύσαι.
[g] Sic P.F.a. Vulgo οὐκ ἐ.

Ἴωνες πρότερον, αὐτοῦ Κύρου δεηθέντος [h] δι' ἀγγέλων ἀπί-
στασθαί σφεας ἀπὸ Κροίσου, οὐκ ἐπείθοντο· τότε δὲ,
κατεργασμένων τῶν πρηγμάτων, ἦσαν ἑτοῖμοι πείθεσθαι
5 Κύρῳ. ὁ μὲν δὴ, ὀργῇ ἐχόμενος, ἔλεγέ σφι τάδε. Ἴωνες
δὲ ὡς ἤκουσαν τούτων [i] ἀνενειχθέντων ἐς τὰς πόλιας,
τείχεά τε [k] περιεβάλλοντο ἕκαστοι, καὶ συνελέγοντο ἐς
Πανιώνιον οἱ ἄλλοι πλὴν Μιλησίων· πρὸς μούνους γὰρ
τούτους ὅρκιον Κῦρος ἐποιήσατο, ἐπ' οἷσί περ ὁ Λυδός.
6 τοῖσι δὲ λοιποῖσι Ἴωσι ἔδοξε κοινῷ λόγῳ πέμπειν ἀγγέ-
λους ἐς Σπάρτην, δεησομένους Ἴωσι τιμωρέειν.

142 Οἱ δὲ Ἴωνες οὗτοι, τῶν καὶ τὸ Πανιώνιόν ἐστι, τοῦ μὲν οὐρανοῦ
καὶ τῶν [a] ὡρέων ἐν τῷ καλλίστῳ ἐτύγχανον ἱδρυσάμενοι
2 πόλιας πάντων ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν. οὔτε γὰρ τὰ
ἄνω αὐτῆς χωρία τὠυτὸ [b] ποιέει τῇ Ἰωνίῃ, οὔτε τὰ κάτω,
οὔτε τὰ πρὸς τὴν ἠῶ, οὔτε τὰ πρὸς τὴν ἑσπέρην· τὰ μὲν,
ὑπὸ τοῦ ψυχροῦ τε καὶ ὑγροῦ πιεζόμενα· τὰ δὲ, ὑπὸ
3 τοῦ [c] θερμοῦ τε καὶ αὐχμώδεος. Γλῶσσαν δὲ οὐ τὴν
αὐτὴν οὗτοι νενομίκασι, ἀλλὰ τρόπους [d] τέσσερας παρα-
4 γωγέων. Μίλητος μὲν [e] αὐτῶν πρώτη κέεται πόλις
πρὸς μεσαμβρίην· μετὰ δὲ, Μυοῦς τε καὶ Πριήνη· αὗται
μὲν ἐν τῇ Καρίῃ κατοίκηνται, κατὰ ταὐτὰ διαλεγόμεναί
5 σφι. [f] αἵδε δὲ ἐν τῇ Λυδίῃ· Ἔφεσος, Κολοφὼν, Λέβεδος,
6 [g] Τέως, Κλαζομεναὶ, [h] Φώκαια. αὗται δὲ αἱ πόλιες

Ioniæ urbes duodecim: earum situs præclarus, et linguæ varietas quadruplex.

[h] Sic M.K.F. δι' ἀγγέλου vulgo. cf. 76 et 99.
[i] Sic M.K.F.a.c. ἀνενειχθέντες vulgo.
[k] περιεβάλοντο F.

142.

[a] Sic F. ὀρέων K. οὐρέων alii.
[b] Sic M.K. ποιέειν τῇ Ἰ. F. ἐποιέετο Ἰ. vulgo.
[c] Sic M.K.F. τε om. a.c. vulg.
[d] τέσσερας M. τέσσαρας K.F.a.c. vulg.
[e] αὐτέων] αὐτῶν Ald. F.a.c.
[f] Steph. Byz. v. Ἔφεσος.
[g] Erravit Steph. Byz. quum de insula Teo loquens, ait, ἔστι δὲ μέσης Ἰωνίας, ὡς Ἡρόδοτος ἐν πρώτῃ.
[h] Sic II. 178. Φώκαιαν II. 106. τὴν Φωκαίην I. 80. 164. Steph. Byz. Φώκαια· πόλις Ἰωνίας. Ἡρόδοτος πρώτῃ. λέγεται καὶ Φωκαίη διὰ τοῦ η.

τῇσι πρότερον λεχθείσῃσι ὁμολογέουσι κατὰ γλῶσσαν οὐδὲν, [i] σφὶ δὲ ὁμοφωνέουσι. ἔτι δὲ τρεῖς ὑπόλοιποι Ἰάδες πόλιες, τῶν αἱ δύο μὲν νήσους οἰκέαται, Σάμον τε καὶ
7 Χίον· ἡ δὲ μία ἐν τῇ ἠπείρῳ ἵδρυται, Ἐρυθραῖ. [k] Χῖοι μέν νυν καὶ Ἐρυθραῖοι κατὰ τὠυτὸ διαλέγονται, Σάμιοι δὲ ἐπ᾽ ἑωυτῶν μοῦνοι. οὗτοι [l] χαρακτῆρες γλώσσης [m] τέσ- 71
σερες γίνονται.

143 Τούτων δὴ ὦν τῶν Ἰώνων οἱ Μιλήσιοι μὲν ἦσαν ἐν σκέπῃ τοῦ φόβου, [a] ὅρκιον ποιησάμενοι. τοῖσι δὲ [b] αὐτῶν νησιώτῃσι ἦν δεινὸν οὐδέν· οὔτε γὰρ Φοίνικες ἦσάν κω Περσέων κατήκοοι, οὔτε αὐτοὶ οἱ Πέρσαι ναυβάται.

Cæteros Ionas fuisse infirmos, et sui eos nominis puduisse.

2 Ἀπεσχίσθησαν δὲ ἀπὸ τῶν ἄλλων Ἰώνων οὗτοι κατ᾽ ἄλλο μὲν οὐδὲν, ἀσθενέος δὲ ἐόντος τοῦ παντὸς τότε Ἑλληνικοῦ [c] γένεος, πολλῷ δὲ ἦν ἀσθενέστατον τῶν ἐθνέων τὸ Ἰωνικὸν, καὶ λόγου ἐλαχίστου· ὅτι γὰρ μὴ Ἀθῆναι,
3 ἦν οὐδὲν ἄλλο [d] πόλισμα λόγιμον. οἱ μέν νυν ἄλλοι Ἴωνες καὶ [e] οἱ Ἀθηναῖοι ἔφυγον [f] τὸ οὔνομα, οὐ βουλόμενοι Ἴωνες κεκλῆσθαι· ἀλλὰ καὶ νῦν φαίνονταί μοι οἱ πολ-
4 λοὶ [g] αὐτῶν ἐπαισχύνεσθαι τῷ οὐνόματι. αἱ δὲ δυώδεκα πόλιες αὗται τῷ τε οὐνόματι ἠγάλλοντο, καὶ ἱρὸν [h] ἱδρύσαντο ἐπὶ σφέων αὐτῶν, τῷ οὔνομα ἔθεντο Πανιώνιον· [i] ἐβουλεύσαντο δὲ αὐτοῦ μεταδοῦναι μηδαμοῖσι ἄλλοισι

[i] σφὶ K.F.a.c. edd. σφίσι M.
[k] Χῖοι etc. Citat Steph. Byz. in Χίος. ubi κατ᾽ αὐτό.
[l] χαρακτῆρες γλώσσης citat Pollux II. 109.
[m] Sic M.K. τέσσαρες Ald. F.a.c.

143.

[a] Sic M.K.F.a. ὅρκια c. al.
[b] αὐτέων] αὐτῶν M.K.F.a.c.
[c] γένους F. textu.
[d] Pollux II. 122. πόλις λογίμη. Vulg. habet Thomas M. in Λόγιμον.
[e] Sic F.a.c. οἱ om. vulg.
[f] τὸ οὔνομα F.c. Schæfer. Vulgo τοὔνομα.
[g] αὐτέων] αὐτῶν M.F.a.c.
[h] Sic K.M. ἐπεί τε σφέων αὐτέων τοὔνομα ἔθ. Π. Aldus. ἐπί τε Stephanus. et sic fere F. et alii. ἐπί τε σφέων αὐτέων τῷ οὔνομα P. ἐπὶ σφέων αὐτέων eadem notione accipienda qua ἐπ᾽ ἑωυτῶν c. 142. monet Schweighæuserus.
[i] Citat Thomas M. in οὐδείς.

Ἰώνων· οὐδ᾽ ἐδεήθησαν δὲ οὐδαμοὶ μετασχεῖν, ὅτι μὴ Σμυρναῖοι.

144 Doriensium Hexapolis, Pentapolis facta, Halicarnasso exclusa. Triopius Apollo.

Κατάπερ οἱ ἐκ τῆς Πενταπόλιος νῦν χώρης Δωριέες, πρότερον δὲ Ἑξαπόλιος τῆς αὐτῆς ταύτης καλεομένης, φυλάσσονται ὦν μηδαμοὺς [a] ἐσδέξασθαι τῶν προσοίκων Δωριέων ἐς τὸ [b] Τριοπικὸν ἱρόν· ἀλλὰ καὶ σφέων [c] αὐτῶν τοὺς περὶ τὸ ἱρὸν [d] ἀνομήσαντας ἐξεκλήϊσαν τῆς μετοχῆς. 2 ἐν γὰρ τῷ ἀγῶνι τοῦ Τριοπίου Ἀπόλλωνος ἐτίθεσαν τὸ πάλαι τρίποδας χαλκέους τοῖσι νικῶσι· καὶ τούτους χρῆν τοὺς λαμβάνοντας ἐκ τοῦ ἱροῦ 3 μὴ ἐκφέρειν, ἀλλ᾽ αὐτοῦ ἀνατιθέναι τῷ θεῷ. ἀνὴρ ὦν [e] Ἁλικαρνησσεὺς, τῷ οὔνομα ἦν Ἀγασικλέης, νικήσας, [f] τὸν νόμον κατηλόγησε· φέρων δὲ πρὸς τὰ ἑωυτοῦ οἰκία 4 προσεπασσάλευσε τὸν τρίποδα. διὰ ταύτην τὴν αἰτίην αἱ πέντε πόλιες, Λίνδος, καὶ Ἰήλυσσός τε καὶ Κάμειρος, καὶ Κῶς τε καὶ Κνίδος, ἐξεκλήϊσαν τῆς μετοχῆς τὴν 5 ἕκτην πόλιν Ἁλικαρνησσόν. τούτοισι μέν νυν [g] οὗτοι ταύτην τὴν ζημίην ἐπέθηκαν.

145 Quot partes Ionum fuerint, quum Peloponnesum habitarent; quot item sint Achæorum, qui eam terram, exactis Ionibus, tenuerunt.

[a] Δυώδεκα δέ μοι δοκέουσι πόλιας ποιήσασθαι οἱ Ἴωνες, καὶ οὐκ ἐθελῆσαι [b] πλεῦνας ἐσδέξασθαι, τοῦδε εἵνεκα, [c] ὅτι καὶ ὅτε ἐν Πελοποννήσῳ οἴκεον, δυώδεκα ἦν αὐτῶν μέρεα· κατάπερ νῦν Ἀχαιῶν, τῶν ἐξελασάντων Ἴωνας, δυώδεκά ἐστι μέρεα. 2 Πελλήνη μέν τε πρώτη [d] πρὸς Σικυῶνος· μετὰ δὲ, Αἴγειρα, καὶ Αἰγαί· (ἐν τῇ Κρᾶθις ποταμὸς [e] ἀέναός ἐστι,

144.

[a] ἐσδέξεσθαι K.F. μηδαμῶς Ald.

[b] Citat Steph. Byz. in Τριόπιον.

[c] αὐτέων] αὐτῶν mss. plerique. αὐτῶν Ald.

[d] Sic H. Steph. ἀνομίσαντες Ald. F.

[e] Ἁλικαρνησσεὺς et Ἁλικαρνησσὸν P.F.a. Schæfer. Simplicem σ alii.

[f] τῶν νόμων a. Mox τὴν post ταύτην om. Ald.

[g] Sic K.F. Vulgo ταύτην τὴν ζημίην οὗτοι.

145.

[a] Sic F. δοκέουσι δέ μοι δ. vulgo.

[b] πλέονας a.c.

[c] Sic F. et al. καὶ ὅτι καὶ a.c. Ald.

[d] Sic M.K. Casaubon. ad Strab. VIII. p. 591=385. πρὸ F.a.c. edd. Paullo ante μέν γε πρώτη Dobræus addend. Aristoph. Porsoni p. (131.) citans VI. 46. VIII. 65.

[e] ἀέναος F.a.

3 [f] ἀπ' ὅτου ὁ ἐν Ἰταλίῃ ποταμὸς τὸ οὔνομα ἔσχε·) καὶ
Βοῦρα, καὶ Ἑλίκη, (ἐς τὴν κατέφυγον Ἴωνες ὑπὸ Ἀχαιῶν
μάχῃ ἑσσωθέντες,) καὶ Αἴγιον, καὶ Ῥύπες, καὶ Πατρέες,
καὶ Φαρέες, καὶ Ὤλενος, (ἐν τῷ Πεῖρος ποταμὸς μέγας 72
ἐστί·) καὶ [g] Δύμη, καὶ Τριταιέες, οἳ μοῦνοι [h] τούτων με-
146 σόγαιοι οἰκέουσι. Ταῦτα δυώδεκα μέρεα νῦν Ἀχαιῶν
2 ἐστὶ, καὶ τότε γε Ἰώνων ἦν. τούτων δὴ εἵνεκα καὶ οἱ
Ἴωνες δυώδεκα πόλιας ἐποιήσαντο· ἐπεὶ, [a] ὥς γε τι
μᾶλλον οὗτοι Ἴωνές εἰσι τῶν ἄλλων Ἰώνων, ἢ κάλλιόν
τι γεγόνασι, μωρίη πολλὴ λέγειν· τῶν Ἄβαντες μὲν ἐξ
Εὐβοίης εἰσὶ οὐκ ἐλαχίστη [b] μοῖρα, [c] τοῖσι Ἰωνίης μέτα
3 οὐδὲ τοῦ οὐνόματος οὐδέν· Μινύαι δὲ [d] Ὀρχομένιοι ἀνα-
μεμίχαται, καὶ Καδμεῖοι, καὶ Δρύοπες, καὶ Φωκέες
ἀποδάσμιοι, καὶ Μολοσσοὶ, καὶ Ἀρκάδες Πελασγοὶ,
καὶ Δωριέες Ἐπιδαύριοι, ἄλλα τε ἔθνεα πολλὰ ἀνα-
4 μεμίχαται. οἱ δὲ αὐτῶν, ἀπὸ τοῦ πρυτανηΐου τοῦ [e] Ἀθη-
ναίων ὁρμηθέντες, καὶ νομίζοντες γενναιότατοι εἶναι Ἰώνων,
οὗτοι δὲ οὐ γυναῖκας ἠγάγοντο ἐς τὴν ἀποικίην, ἀλλὰ
5 Καείρας ἔσχον, τῶν ἐφόνευσαν τοὺς γονέας. διὰ τοῦτον
δὲ τὸν φόνον αἱ γυναῖκες αὗται, νόμον θέμεναι, σφίσι
αὐτῇσι ὅρκους ἐπήλασαν, καὶ παρέδοσαν τῇσι θυγατράσι,
μή κοτε ὁμοσιτῆσαι τοῖσι ἀνδράσι, μηδὲ οὐνόματι βῶσαι
τὸν ἑωυτῆς ἄνδρα· τοῦδε εἵνεκα, ὅτι ἐφόνευσαν σφέων
τοὺς πατέρας καὶ ἄνδρας καὶ παῖδας, καὶ [f] ἔπειτεν,

Iones Dodecapolitani quibus e nationibus commixti fuerint: qui eorum Athenis venissent, eos Caricas uxores duxisse: harum ira et lex in maritos.

[f] Sic F. ἀπό του Ald. a. ἀπ' ὅτευ Schæfer.
[g] Sic F. cum Casaubono ad Strab. p. 167. Δρύμη K.P.a. Δρίμη Ald. c.
[h] τουτέων] τούτων M.F.a.c.

146.

[a] ὥς γε ἔτι F. ὥς γε τι M.K. ὥς γε τοι edd. vett.
[b] μοίρη Schæferus. Male.
[c] τῆς Ἰων. K. τοῖσι Ἰωνίοις Ald.
[d] Sic ex em. Palmerii Wessel. probata edd. Reizii et Schæferi. Ὀρχομενίοισι mss. edd. vett.
[e] Ἀθηνέων Schæferus. cf. Plutarch. Malign. p. 858. ubi πρ. τῶν Ἀθηναίων.
[f] Sic Reizius. Vulgo ἐπεί τε. Vid. Eustath. pag. 1158, 39 = 1215, 33.

6 ταῦτα ποιήσαντες, [g] αὐτῇσι συνοίκεον. ταῦτα δὲ ἦν γινό-
147 μενα ἐν Μιλήτῳ. Βασιλέας δὲ ἐστήσαντο, οἱ μὲν αὐ-
τῶν, Λυκίους, ἀπὸ Γλαύκου τοῦ Ἱππολόχου γεγονότας·
οἱ δὲ, Καύκωνας Πυλίους, ἀπὸ Κόδρου τοῦ Μελάνθου·
οἱ δὲ, καὶ συναμφοτέρους. ἀλλὰ γὰρ περιέχονται τοῦ
2 οὐνόματος μᾶλλόν τι τῶν ἄλλων Ἰώνων. ἔστωσαν δὲ
καὶ οἱ καθαρῶς γεγονότες Ἴωνες· εἰσὶ δὲ πάντες Ἴωνες,
ὅσοι ἀπ' [a] Ἀθηνῶν γεγόνασι, καὶ Ἀπατούρια ἄγουσι
3 [b] ὁρτήν. ἄγουσι δὲ πάντες, πλὴν Ἐφεσίων καὶ Κολο-
φωνίων· οὗτοι γὰρ μοῦνοι Ἰώνων οὐκ ἄγουσι Ἀπατού-
148 ρια· καὶ οὗτοι κατὰ φόνου [c] τινὰ σκῆψιν. Τὸ δὲ Παν-
ιώνιον ἐστὶ τῆς Μυκάλης χῶρος ἱρὸς πρὸς ἄρκτον τε-
τραμμένος, κοινῇ ἐξαραιρημένος ὑπὸ Ἰώνων Ποσειδέωνι
Ἑλικωνίῳ· ἡ δὲ Μυκάλη ἐστὶ τῆς ἠπείρου ἄκρη, πρὸς
ζέφυρον ἄνεμον κατήκουσα Σάμῳ, ἐς τὴν συλλεγόμενοι
ἀπὸ τῶν πολίων Ἴωνες, ἄγεσκον ὁρτὴν, τῇ ἔθεντο οὔνομα
2 Πανιώνια. πεπόνθασι δὲ οὔτι [a] μοῦναι αἱ Ἰώνων ὁρταὶ
τοῦτο, ἀλλὰ καὶ Ἑλλήνων [b] πάντων ὁμοίως πᾶσαι ἐς
[c] τὠυτὸ γράμμα [d] τελευτῶσι, κατάπερ τῶν Περσέων τὰ
149 οὐνόματα. αὗται μὲν αἱ Ἰάδες πόλιές εἰσι. Αἵδε δὲ
[a] αἱ Αἰολίδες, Κύμη, ἡ Φρικωνὶς καλεομένη, [b] Λήρισσαι,
Νέον τεῖχος, [c] Τῆμνος, Κίλλα, Νότιον, [d] Αἰγιρόεσσα,

Quos reges habuerint, et qui numerandi sint Iones.

Panionium, locus in Mycale promontorio sacer, et Panionia, festum: Græca festa in eandem omnia literam exeuntia.

Æolicæ urbes, in terra continenti.

[g] αὐτοῖσι ed. Steph.

147.

[a] Ἀθηνέων Schæferus.

[b] ἑορτὴν K. Citat Plutarch. II. p. 859. A. ὅρτην ἄγουσι sine δὲ F.

[c] τινὸς mavult Schweigh.

148.

[a] Sic M.K.F. al. Vulgo μόναι.

[b] Dant K.M.F.a.c. Vulgo om.

[c] τὸ αὐτὸ M.K.

[d] Sic M.K.F. τελευτῶσαι Ald.

149.

[a] αἱ om. K.F.a. Tum Αἰολέες Ald.

[b] Λήρισαι M.K.a. Sic IX. 1. Ληρισαῖος F. Numi veteres ΛΑΡΙΣΑΙΩΝ satis frequenter. Vide Raschii Lexic. Num. II. ii. p. 1500. Pro recepta scriptura Wesselingius citat Schol. Apoll. Rhod. I. 40.

[c] Ita Wessel. ex Holstenii emend. τῆνος edd. mss.

[d] Αἰγιρόεσα F. Αἰγείρουσα Steph. in v.

Πιτάνη, [e] Αἰγαῖαι, Μύρινα, Γρύνεια· αὗται ἕνδεκα Αἰο-
λέων πόλιες [f] αἱ ἀρχαῖαι. μία γάρ σφεων [g] παρελύθη
2 ὑπὸ Ἰώνων, [h] Σμύρνη. ἦσαν γὰρ καὶ αὗται δυώδεκα [i] αἱ
ἐν τῇ ἠπείρῳ. οὗτοι δὲ οἱ Αἰολέες χώρην μὲν ἔτυχον κτί-
σαντες ἀμείνω Ἰώνων, ὡρέων δὲ ἥκουσαν οὐκ ὁμοίως.

Smyrna ex iis amissa.

150 Σμύρνην δὲ ὧδε [a] ἀπέβαλον Αἰολέες. Κολοφωνίους ἄν-
δρας [b] στάσι ἑσσωθέντας, καὶ ἐκπεσόντας ἐκ τῆς πατρί-
2 δος, ὑπεδέξαντο. μετὰ δὲ, οἱ φυγάδες τῶν Κολοφωνίων
φυλάξαντες τοὺς Σμυρναίους ὁρτὴν ἔξω τείχεος ποιευμέ-
νους Διονύσῳ, τὰς πύλας ἀποκληΐσαντες, ἔσχον τὴν
3 πόλιν. βοηθησάντων δὲ πάντων Αἰολέων, ὁμολογίῃ ἐχρή-
σαντο, τὰ ἔπιπλα ἀποδόντων τῶν Ἰώνων, ἐκλιπεῖν Σμύρ-
4 νην Αἰολέας. ποιησάντων δὲ ταῦτα Σμυρναίων, ἐπιδιεί-
λοντό σφεας αἱ ἕνδεκα πόλιες, καὶ ἐποιήσαντο σφέων

Urbes Æolicæ in Ida, cum illis non conjunctæ. Cæteræ urbes, in insulis. Æolenses propter Cyrum adjungunt se Ionibus.

151 αὐτέων πολιήτας. Αὗται μέν νυν αἱ ἠπειρώτιδες [a] Αἰο-
λίδες πόλιες, ἔξω τῶν ἐν τῇ Ἴδῃ οἰκημένων· κεχωρίδαται
2 γὰρ αὗται. αἱ δὲ τὰς νήσους ἔχουσαι, πέντε μὲν πόλιες
τὴν Λέσβον νέμονται· τὴν γὰρ ἕκτην ἐν τῇ Λέσβῳ οἰκεο-
μένην [b] Ἀρίσβαν ἠνδραπόδισαν Μηθυμναῖοι, ἐόντας ὁμαί-
μους. ἐν Τενέδῳ δὲ μία [c] οἰκέεται πόλις, καὶ ἐν τῇσι
3 Ἑκατὸν Νήσοισι καλεομένῃσι ἄλλη μία. Λεσβίοισι μέν
νυν καὶ Τενεδίοισι, κατάπερ Ἰώνων τοῖσι τὰς νήσους
ἔχουσι, ἦν δεινὸν οὐδέν· τῇσι δὲ λοιπῇσι πόλισι ἕαδε κοινῇ
Ἴωσι ἕπεσθαι, τῇ ἂν οὗτοι ἐξηγέωνται.

[e] Αἰγαία F. Αἰγαὶ Steph. Byz.
[f] Sic M.K. αἱ om. F.a. Ald.
[g] παρεληλύθη F. et suprasc. παρελείφθη.
[h] Σμύρνη ὑπὸ Ἰώνων F.
[i] Sic M. Abest articulus F.c. et vulg.

150.
[a] ἀπέβαλλον F.
[b] Sic Schæferus suggerente Wesselingio. στάσιϊ K. στάσει F. edd. vett.

151.
[a] Sic M.K.F.a.c. Vulgo om. Αἰολίδες.
[b] Steph. Byz. Ἡρόδοτος δὲ καὶ ἰάζων Ἀρίσβαν καλεῖ ἐν πρώτῃ. Tum omnes libri Μεθυμναῖοι.
[c] οἰκέαται Ald. c.

152 Lacedæmonii auxilium his negant: sed iidem Cyro, ne damnum Græcis inferret, denuntiant.

Ὡς δὲ [a] ἀπικέατο ἐς τὴν Σπάρτην τῶν Ἰώνων καὶ
Αἰολέων οἱ ἄγγελοι, (κατὰ γὰρ δὴ τάχος ἦν ταῦτα
πρησσόμενα,) εἵλοντο πρὸ πάντων λέγειν τὸν Φωκαέα,
2 τῷ οὔνομα ἦν Πύθερμος. ὁ δὲ, πορφύρεόν τε εἷμα [b] περι- 74
βαλόμενος, ὡς ἂν πυνθανόμενοι πλεῖστοι συνέλθοιεν Σπαρ- 16
τιητέων, καὶ καταστὰς, ἔλεγε πολλὰ, τιμωρέειν ἑωυτοῖσι
χρῄζων. [c] Λακεδαιμόνιοι δὲ οὔ κως ἤκουον, ἀλλ' ἀπέ-
3 δοξέ σφι μὴ τιμωρέειν Ἴωσι. οἱ μὲν δὴ ἀπαλλάσσοντο·
Λακεδαιμόνιοι δὲ ἀπωσάμενοι τῶν Ἰώνων τοὺς ἀγγέλους,
ὅμως ἀπέστειλαν πεντηκοντέρῳ ἄνδρας, [d] ὡς μὲν ἐμοὶ
δοκέει, κατασκόπους τῶν τε Κύρου πρηγμάτων καὶ
4 Ἰωνίης. ἀπικόμενοι δὲ οὗτοι ἐς Φώκαιαν, ἔπεμπον ἐς
Σάρδις σφέων [e] αὐτῶν τὸν δοκιμώτατον, τῷ οὔνομα ἦν
[f] Λακρίνης, ἀπερέοντα Κύρῳ Λακεδαιμονίων ῥῆσιν, "γῆς
"τῆς Ἑλλάδος [g] μηδεμίαν πόλιν [h] σιναμωρέειν, ὡς αὐ-
"τῶν οὐ περιοψομένων." Ταῦτα εἰπόντος τοῦ κήρυκος,

153 Cyrus contemtim respondet: præficit Sardibus Tabalum Persam, auro Pactyam Lydum: redit, Crœso abducto, bellum aliis ipse, Ionibus per legatum facturus.

λέγεται Κῦρον ἐπείρεσθαι τοὺς παρεόντας οἱ Ἑλλήνων
"τίνες ἐόντες ἄνθρωποι Λακεδαιμόνιοι, καὶ [a] κόσοι πλῆ-
2 "θος, ταῦτα ἑωυτῷ προαγορεύουσι." πυνθανόμενον δέ
μιν, εἰπεῖν πρὸς τὸν κήρυκα τὸν Σπαρτιήτην· "Οὐκ
"ἔδεισά κω ἄνδρας τοιούτους, τοῖσι ἐστὶ χῶρος ἐν μέσῃ
"τῇ πόλει ἀποδεδεγμένος, ἐς τὸν συλλεγόμενοι ἀλλή-
3 "λους ὀμοῦντες ἐξαπατῶσι. τοῖσι, ἢν ἐγὼ ὑγιαίνω, οὐ
"τὰ Ἰώνων πάθεα ἔσται [b] ἔλλεσχα, ἀλλὰ τὰ οἰκήϊα."

152.

[a] Sic Ald. a.c. ἀπίκοντο M.K. ἀπίκετο F.

[b] Sic F.a. Schæfer. Vulgo περιβαλλόμενος.

[c] Λακεδαιμόνιοι — ἀπαλλάσσοντο desunt Ald.

[d] Sic M.K.a. μὲν om. F.c. vulgo. Mox δοκέειν Schæferus.

[e] αὐτέων Ald. αὐτῶν M.K.F.a.c.

[f] Λακρίνης (sic) F.

[g] μηδεμίαν M.K.F.a. Vulgo μηδεμίην.

[h] Sic edd. F. σιναμορέειν M.K. Vide V. 92. VIII. 35. Aristoph. Nub. 1066. Suid. et Photium.

153.

[a] πόσοι a. Ald.

[b] Sic M.K.F.a.b.c.d. ἔλεσχα Ald. ἄλεσχα vulgo.

4 Ταῦτα ἐς τοὺς πάντας Ἕλληνας ἀπέρριψε ὁ Κῦρος τὰ ἔπεα, ὅτι ἀγορὰς κτησάμενοι ὠνῇ τε καὶ [c] πρήσει χρέ-
5 ωνται. αὐτοὶ γὰρ οἱ Πέρσαι ἀγορῇσι οὐδὲν ἐώθασι χρῆ-
6 σθαι, οὐδέ σφί ἐστι τὸ παράπαν ἀγορή. Μετὰ ταῦτα ἐπιτρέψας τὰς μὲν Σάρδις Ταβάλῳ ἀνδρὶ Πέρσῃ, τὸν δὲ χρυσὸν, τόν τε Κροίσου καὶ τὸν τῶν ἄλλων Λυδῶν, Πακτύῃ ἀνδρὶ Λυδῷ κομίζειν, ἀπήλαυνε [d] αὐτὸς ἐς [e] Ἀγβάτανα, Κροῖσόν τε ἅμα ἀγόμενος, καὶ τοὺς Ἴωνας ἐν
7 οὐδενὶ λόγῳ ποιησάμενος τὴν πρώτην εἶναι. ἥ τε γὰρ Βαβυλών οἱ ἦν ἐμπόδιος, καὶ τὸ Βάκτριον ἔθνος, καὶ Σάκαι τε καὶ Αἰγύπτιοι, ἐπ' οὓς ἐπεῖχέ τε [f] στρατηλατέειν αὐτὸς, ἐπὶ δὲ Ἴωνας ἄλλον πέμπειν στρατηγόν.

Lydi Pactya duce rebellant.

154 Ὡς δὲ ἀπήλασε ὁ Κῦρος ἐκ τῶν Σαρδίων, τοὺς Λυδοὺς ἀπέστησε ὁ Πακτύης ἀπό τε Ταβάλου καὶ Κύρου· καταβὰς δὲ ἐπὶ θάλασσαν, ἅτε τὸν χρυσὸν ἔχων πάντα τὸν ἐκ τῶν Σαρδίων, ἐπικούρους τε ἐμισθοῦτο, καὶ τοὺς ἐπιθαλασσίους ἀνθρώπους ἔπειθε σὺν ἑωυτῷ στρατεύεσθαι. ἐλάσας δὲ ἐπὶ τὰς Σάρδις, ἐπολιόρκεε Τάβαλον, ἀπεργμένον ἐν τῇ [a] ἀκροπόλει.

Crœsus a Cyro sententiam de Lydis rogatus, quod ei consilium dederit.

155 Πυθόμενος δὲ κατ' ὁδὸν ταῦτα ὁ Κῦρος, εἶπε πρὸς Κροῖσον τάδε. "Κροῖσε, τί ἔσται [a] τὸ τέλος τῶν γινο-
"μένων τούτων ἐμοί; οὐ παύσονται Λυδοὶ, ὡς [b] οἴκασι,
"πρήγματα παρέχοντες, καὶ αὐτοὶ ἔχοντες. φροντίζω,
2 "μὴ ἄριστον ᾖ ἐξανδραποδίσασθαί σφεας. [c] ὁμοίως γάρ
"μοι νῦν γε φαίνομαι πεποιηκέναι, ὡς εἴ τις πατέρα
"ἀποκτείνας, τῶν παίδων αὐτοῦ φείσαιτο· ὡς δὲ καὶ

[c] Post h. v. desunt undecim verba F. Mox ib. om. Πακτύῃ ἀνδρὶ Λυδῷ.
[d] αὐτοὺς F.
[e] Sic M.K.F. Ἀκβάτανα Ald. a.c. Ἐκβάτανα Steph. et al.
[f] στρατηλατεύειν K.

154.
[a] ἀκροπόλι Schæfer. Supra αὐτῷ Ald. pro ἑωυτῷ.

155.
[a] τὸ om. F.
[b] Sic M.K.F.a.c. εἴκασι al.
[c] Citat Clemens Alex. Strom. VI. p. 747.

“ ἐγὼ Λυδῶν τὸν μὲν πλέον τι ἢ πατέρα [d] ἐόντα σὲ λαβὼν ἄγω, αὐτοῖσι δὲ Λυδοῖσι τὴν πόλιν παρέδωκα·
3 καὶ ἔπειτα [e] θωμάζω εἴ μοι ἀπεστᾶσι;” Ὁ μὲν δὴ τά περ [f] νόεε, ἔλεγε· ὁ δ' ἀμείβετο τοῖσδε, δείσας μὴ ἀναστάτους ποιήσῃ τὰς Σάρδις· “Ὦ βασιλεῦ, τὰ μὲν [g] οἰκότα εἴρηκας· σὺ μέντοι μὴ πάντα θυμῷ [h] χρέω, μηδὲ πόλιν ἀρχαίην ἐξαναστήσῃς, ἀναμάρτητον ἐοῦσαν
4 καὶ τῶν πρότερον, καὶ τῶν νῦν ἑστεώτων. τὰ μὲν γὰρ πρότερον ἐγώ τε ἔπρηξα, [i] καὶ ἐγὼ ἐμῇ κεφαλῇ ἀναμάξας φέρω. τὰ δὲ νῦν παρεόντα, Πακτύης γάρ ἐστι ὁ ἀδικέων, τῷ σὺ ἐπέτρεψας Σάρδις, οὗτος δότω τοι
5 δίκην. Λυδοῖσι δὲ συγγνώμην ἔχων, τάδε αὐτοῖσι ἐπίταξον, ὡς μήτε ἀποστέωσι, μήτε [k] δεινοί τοι ἔωσι.
6 ἄπειπε μέν σφι πέμψας ὅπλα ἀρήϊα μὴ [l] ἐκτῆσθαι· κέλευε δέ σφεας κιθῶνάς τε ὑποδύνειν τοῖσι εἵμασι,
7 καὶ κοθόρνους ὑποδέεσθαι· πρόειπε δ' αὐτοῖσι κιθαρίζειν τε καὶ ψάλλειν καὶ καπηλεύειν παιδεύειν τοὺς παῖδας. καὶ ταχέως σφέας, ὦ βασιλεῦ, γυναῖκας ἀντ' ἀνδρῶν ὄψεαι γεγονότας, ὥστε οὐδὲν δεινοί τοι ἔσονται μὴ ἀποστέωσι.”

156 Mazares Medus a Cyro in Lydos mittitur.

Κροῖσος μὲν δὴ ταῦτά οἱ ὑπετίθετο, αἱρετώτερα [a] ταῦτα εὑρίσκων Λυδοῖσι, ἢ ἀνδραποδισθέντας πρηθῆναι σφέας· ἐπιστάμενος ὅτι ἢν μὴ ἀξιόχρεων πρόφασιν προτείνῃ, οὐκ ἀναπείσει μιν μεταβουλεύσασθαι· ἀρρωδέων δὲ, μὴ καὶ ὕστερόν κοτε οἱ Λυδοὶ, ἢν τὸ παρεὸν ὑπεκδράμωσι, ἀποστάντες ἀπὸ τῶν

[d] ὄντα F.
[e] θωυμάζω] θωμάζω F.
[f] Sic M.c. Steph. νόε Ald. ἐνόεε P.F.a. ἐνενόεε K. Tum δείσας Ald. post Σάρδις.
[g] Sic M.K.F.a.c. εἰκότα Ald. ἐοικότα vulgo.
[h] χρέο Schæferus.
[i] καὶ ἐμῇ edd. c. καὶ ἐγὼ sine ἐμῇ M.K.F.a.
[k] δεινοί τοι M.K. δεινοί τε Ald. F. et infra.
[l] ἐκτῆσθαι Ald. F.a.c. κεκτῆσθαι M.K.

156.
[a] ταυτά τε M. τε om. Ald. F. a.c.K.

2 Περσέων ἀπόλωνται. Κῦρος δὲ ἡσθεὶς τῇ ὑποθήκῃ, καὶ
3 ὑπεὶς τῆς ὀργῆς, ἔφη οἱ πείθεσθαι. καλέσας δὲ Μαζάρεα
ἄνδρα Μῆδον, ταῦτά οἱ ἐνετείλατο προειπεῖν Λυδοῖσι, τὰ
ὁ Κροῖσος ὑπετίθετο· [b] καὶ πρὸς, ἐξανδραποδίσασθαι
τοὺς ἄλλους πάντας, οἳ μετὰ Λυδῶν ἐπὶ Σάρδις ἐστρα-
τεύσαντο, αὐτὸν δὲ Πακτύην πάντως ζῶντα ἀγαγεῖν
157 παρ' ἑωυτόν. Ὁ μὲν δὴ ταῦτα ἐκ τῆς ὁδοῦ ἐντειλά-
2 μενος, ἀπήλαυνε ἐς ἤθεα τὰ Περσέων. Πακτύης δὲ
πυθόμενος ἀγχοῦ εἶναι στρατὸν ἐπ' ἑωυτὸν [a] ἰόντα, δείσας
3 ᾤχετο φεύγων ἐς Κύμην. Μαζάρης δὲ ὁ Μῆδος ἐλάσας
ἐπὶ τὰς Σάρδις, τοῦ Κύρου στρατοῦ [b] μοῖραν ὅσην δή κοτε
ἔχων, ὡς οὐκ εὗρε ἔτι ἐόντας τοὺς ἀμφὶ Πακτύην ἐν
Σάρδισι, πρῶτα μὲν τοὺς Λυδοὺς ἠνάγκασε τὰς Κύρου
ἐντολὰς ἐπιτελέειν· ἐκ τούτου δὲ [c] κελευσμοσύνης Λυδοὶ
4 τὴν πᾶσαν δίαιταν τῆς ζόης μετέβαλον. Μαζάρης δὲ
μετὰ τοῦτο ἔπεμπε ἐς τὴν Κύμην ἀγγέλους, ἐκδιδόναι
κελεύων Πακτύην· οἱ δὲ Κυμαῖοι ἔγνωσαν, συμβουλῆς 76
5 πέρι ἐς θεὸν [d] ἀνῷσαι τὸν ἐν Βραγχίδῃσι. ἦν γὰρ αὐ-
τόθι μαντήϊον ἐκ παλαιοῦ ἱδρυμένον, τῷ Ἴωνές τε πάν-
τες καὶ Αἰολέες ἐώθεσαν χρέεσθαι. ὁ δὲ χῶρος οὗτος
158 ἐστὶ τῆς Μιλησίης ὑπὲρ Πανόρμου λιμένος. Πέμψαν-
τες ὦν οἱ Κυμαῖοι ἐς [a] τοὺς Βραγχίδας θεοπρόπους, [b] εἰ-
ρώτευν "περὶ Πακτύην ὁκοῖόν τι ποιέοντες θεοῖσι μέλλοιεν
"χαριεῖσθαι." ἐπειρωτῶσι δέ σφι ταῦτα χρηστήριον
2 ἐγένετο "ἐκδιδόναι Πακτύην Πέρσῃσι." Ταῦτα δὲ ὡς
ἀπενειχθέντα ἤκουσαν οἱ Κυμαῖοι, ὁρμέατο ἐκδιδόναι.

Pactyas Cumam effugit: Lydi quam vitam exercere jussi: Cumani, Persis Pactyam exposcentibus, rem ad oraculum in Branchidis referunt.

Oraculum bis consultum, bis jubet Pactyam dedi, et Aristodicum increpat.

[b] Sic K.F. Vulgo προσεξανδρ. una voce.

157.

[a] Sic R.P.F. ἐόντα M.K. Ald. cf. VIII. 65.

[b] μοίρην Schæfer. Perperam.

[c] κεκελευσμ. K.

[d] ἀνῶσαι F.a.

158.

[a] Sic mss. Alibi τὰς ut II. 159. cf. I. 92.

[b] Sic K.a.c. ἠρώτευν F. et vulgo. Mox ἐπηρωτῶσι F. ubi ἐπειρωτέουσι Schæfer.

3 [c] ὁρμεωμένου δὲ ταύτῃ τοῦ πλήθεος, Ἀριστόδικος ὁ Ἡρα-
κλείδεω, ἀνὴρ τῶν ἀστῶν ἐὼν δόκιμος, ἔσχε μὴ ποιῆ-
σαι ταῦτα Κυμαίους, [d] ἀπιστέων τε τῷ χρησμῷ, καὶ
δοκέων τοὺς θεοπρόπους οὐ λέγειν ἀληθέως· ἐς ὃ, τὸ δεύ-
τερον περὶ Πακτύεω ἐπειρησόμενοι, ἤεσαν ἄλλοι θεοπρό-
159 ποι, τῶν καὶ Ἀριστόδικος ἦν. Ἀπικομένων δὲ ἐς Βραγ-
χίδας, ἐχρηστηριάζετο ἐκ πάντων Ἀριστόδικος, [a] ἐπειρω-
2 τέων τάδε· "Ὦ ἄναξ, ἦλθε παρ' ἡμέας ἱκέτης Πακτύης
"ὁ Λυδὸς, φεύγων θάνατον βίαιον πρὸς Περσέων· οἱ δέ
"μιν ἐξαιτέονται, προεῖναι [b] Κυμαίους κελεύοντες· ἡμεῖς
"δὲ δειμαίνοντες τὴν Περσέων δύναμιν, τὸν ἱκέτην ἐς
"τόδε οὐ τετολμήκαμεν ἐκδιδόναι, πρὶν ἂν τὸ ἀπὸ σεῦ
3 "ἡμῖν δηλωθῇ ἀτρεκέως ὁκότερα ποιέωμεν." Ὁ μὲν
ταῦτα ἐπειρώτα· ὁ δ' αὖτις τὸν αὐτόν [c] σφι χρησμὸν
4 ἔφαινε, κελεύων ἐκδιδόναι Πακτύην Πέρσῃσι. πρὸς ταῦτα
ὁ Ἀριστόδικος ἐκ προνοίης ἐποίεε τάδε· περιϊὼν τὸν νηὸν
κύκλῳ, ἐξαίρεε τοὺς στρουθοὺς, καὶ ἄλλα ὅσα ἦν [d] νενοσ-
5 σευμένα ὀρνίθων γένεα ἐν τῷ νηῷ. ποιέοντος δὲ αὐτοῦ
ταῦτα, λέγεται φωνὴν ἐκ τοῦ ἀδύτου γενέσθαι, φέρουσαν
6 μὲν πρὸς τὸν Ἀριστόδικον, λέγουσαν δὲ τάδε· "Ἀνοσιώ-
"τατε ἀνθρώπων, τί τάδε τολμᾷς ποιέειν; τοὺς ἱκέτας
7 "μου ἐκ τοῦ νηοῦ κεραΐζεις;" Ἀριστόδικον δὲ, οὐκ ἀπο-
ρήσαντα, πρὸς ταῦτα εἰπεῖν· "Ὦ ἄναξ, αὐτὸς μὲν οὕτω
"τοῖσι ἱκέτῃσι βοηθέεις· Κυμαίους δὲ κελεύεις τὸν ἱκέτην
8 "ἐκδιδόναι;" Τὸν δὲ αὖτις ἀμείψασθαι τοῖσδε. "Ναὶ
"κελεύω, ἵνα γε ἀσεβήσαντες θᾶσσον [e] ἀπόλησθε· ὡς

[c] Sic F. ὁρμεομένου a.c. Ald. ὁρμωμένου M.K.
[d] ἀπιστεύων F.

159.
[a] ἐπειρωτέων Ald. a.c. ἐπηρωτέων F. ἐπειρωτῶν M.K.
[b] Sic F.K. Vulgo κελεύοντες Κυμαίους.
[c] Sic M.K.F.a.c. Al. σφισί.
[d] Sic A.B. νενοσευμένα M.K. Ald. νενεοσσευμένα ed. Genev. ex em. Porti. νενομισμένα F.
[e] Sic F.a.c. et al. ἀπόλλυσθε Ald. ἀπόλεσθε ed. Gal.

“ μὴ τὸ λοιπὸν περὶ ἱκετέων ἐκδόσιος ἔλθητε ἐπὶ τὸ
160 “ χρηστήριον.” Ταῦτα ὡς [a] ἀπενειχθέντα ἤκουσαν οἱ Κυ-
μαῖοι, οὐ βουλόμενοι οὔτε ἐκδόντες ἀπολέσθαι, οὔτε παρ'
ἑωυτοῖσι ἔχοντες πολιορκέεσθαι, ἐς [b] Μυτιλήνην αὐτὸν
2 ἐκπέμπουσι. οἱ δὲ Μυτιληναῖοι, ἐπιπέμποντος τοῦ Μα-
ζάρεος ἀγγελίας ἐκδιδόναι τὸν Πακτύην, παρεσκευάζοντο
ἐπὶ μισθῷ ὅσῳ δή· [c] οὐ γὰρ ἔχω τοῦτό γε εἰπεῖν ἀτρε- 77
3 κέως· οὐ γὰρ ἐτελεώθη. Κυμαῖοι γὰρ, ὡς ἔμαθον ταῦτα
πρησσόμενα ἐκ τῶν Μυτιληναίων, πέμψαντες πλοῖον ἐς
4 Λέσβον, ἐκκομίζουσι Πακτύην ἐς Χίον. ἐνθεῦτεν δὲ, ἐξ
ἱροῦ Ἀθηναίης [d] Πολιούχου ἀποσπασθεὶς ὑπὸ Χίων, ἐξε-
δόθη· ἐξέδοσαν δὲ οἱ Χῖοι ἐπὶ τῷ [e] Ἀταρνέϊ μισθῷ· τοῦ
δὲ Ἀταρνέος τούτου ἔστι χῶρος τῆς Μυσίης, Λέσβου
5 ἀντίος. Πακτύην μέν νυν παραδεξάμενοι οἱ Πέρσαι εἶχον
6 ἐν φυλακῇ, θέλοντες Κύρῳ ἀποδέξαι. ἦν δὲ χρόνος οὗτος
οὐκ ὀλίγος γενόμενος, ὅτε Χίων οὐδεὶς ἐκ τοῦ Ἀταρνέος
τούτου οὔτε οὐλὰς κριθῶν [f] πρόχυσιν ἐποιέετο θεῶν οὐδενὶ,
οὔτε πέμματα ἐπέσσετο καρποῦ τοῦ ἐνθεῦτεν, [g] ἀπείχετό
τε τῶν πάντων ἱρῶν τὰ πάντα ἐκ τῆς χώρης ταύτης γινό-
161 μενα. Χῖοι μέν νυν Πακτύην ἐξέδοσαν. Μαζάρης δὲ
μετὰ ταῦτα ἐστρατεύετο ἐπὶ τοὺς [a] συμπολιορκήσαντας
2 Τάβαλον. καὶ τοῦτο μὲν, Πριηνέας ἐξηνδραποδίσατο·
τοῦτο δὲ, Μαιάνδρου πεδίον πᾶν ἐπέδραμε, ληΐην ποιεύ-

Chii Pactyam a Cumanis ad ipsos ablegatum qua mercede illecti Persis tradiderint.

Mazares, variis rebus gestis, moritur.

160.

[a] ἀπενεινεχθέντα F.

[b] Μυτιλήνην et Μυτιληναῖοι M. Μιτυλ. K.P.F.a. Ald. Sed Μυτ. postea K. cf. II. 178. Vossium ad Melam II. 7. αὐτὸν ἐκπέμπουσι om. K. ἐκπέμπ. αὐτὸν ἐς M. F.

[c] Huc spectat Plutarch. p. 859. A.

[d] Sic P.F.a. Πουλιούχου vulgo.

[e] Sic F. Schæfer. Vulgo Ἀταρνεῖ. Iidem et a. mox Ἀταρνέος pro Ἀταρνέως.

[f] Suidas in v. et Gregor. dial. Ion. 110.

[g] ἀπέργετο Koenius ad Gregor. dial. Ion. 36. probante Larchero. Vulg. defendit Schweighæuserus provocans ad VIII. 20. et 22.

161.

[a] πολιορκ. F.

μενος τῷ στρατῷ· [b] Μαγνησίην δὲ ὡσαύτως. μετὰ δὲ ταῦτα αὐτίκα νούσῳ τελευτᾷ.

162 Harpagus imperio suffectus, aggreditur Phocæam.

Ἀποθανόντος δὲ τούτου, Ἅρπαγος κατέβη διάδοχος τῆς στρατηγίης, γένος καὶ αὐτὸς ἐὼν Μῆδος, τὸν ὁ Μήδων βασιλεὺς Ἀστυάγης ἀνόμῳ τραπέζῃ ἔδαισε, ὁ τῷ 2 Κύρῳ τὴν βασιληίην συγκατεργασάμενος. οὗτος ὡνὴρ τότε ὑπὸ Κύρου στρατηγὸς ἀποδεχθεὶς, ὡς ἀπίκετο ἐς τὴν Ἰωνίην, αἵρεε τὰς πόλιας χώμασι· ὅκως γὰρ [a] τειχήρεας ποιήσειε, τὸ ἐνθεῦτεν χώματα χῶν [b] πρὸς τὰ τείχεα 3 ἐπόρθεε. πρώτῃ δὲ Φωκαίῃ Ἰωνίης ἐπεχείρησε.

163 Phocæensium longæ navigationes: Arganthonii regis Tartessiorum liberalitate murus a Phocæensibus ædificatus.

Οἱ δὲ Φωκαιέες οὗτοι ναυτιλίῃσι μακρῇσι πρῶτοι Ἑλλήνων ἐχρήσαντο· καὶ τόν τε Ἀδρίην καὶ τὴν Τυρσηνίην καὶ τὴν Ἰβηρίην καὶ τὸν Ταρτησσὸν οὗτοί εἰσι οἱ κατα- 2 δέξαντες. ἐναυτίλλοντο δὲ οὐ στρογγύλῃσι [a] νηυσὶ, ἀλλὰ πεντηκοντέροισι. ἀπικόμενοι δὲ ἐς τὸν Ταρτησσὸν, προσφιλέες ἐγένοντο τῷ βασιλέϊ τῶν Ταρτησσίων, τῷ οὔνομα μὲν ἦν Ἀργανθώνιος· ἐτυράννευσε δὲ Ταρτησσοῦ [b] ὀγδώ- 3 κοντα ἔτεα, ἐβίωσε δὲ πάντα εἴκοσι καὶ ἑκατόν. [c] τούτῳ δὲ τῷ ἀνδρὶ προσφιλέες οἱ Φωκαιέες οὕτω [d] δή τι ἐγένοντο, ὡς τὰ μὲν πρῶτά σφεας ἐκλιπόντας Ἰωνίην ἐκέλευε τῆς ἑωυτοῦ χώρης οἰκῆσαι ὅκου βούλονται· μετὰ δὲ, ὡς [e] τοῦτό γε οὐκ ἔπειθε τοὺς Φωκαιέας, ὁ δὲ πυθόμενος τὸν [f] Μῆδον παρ' αὐτῶν ὡς αὔξοιτο, [g] ἐδίδου σφι χρήματα

[b] Μαγ. τε K.a.

162.

[a] τειχήρας Ald.

[b] πρὸς τειχήρεα F.

163.

[a] Sic K.P.F.a.c. Al. ναυσί. Monet Wesselingius miram discordiam esse hoc in vocabulo, libris modo νέες (cf. Gregor. Dial. Ion. 19.) modo νῆες præferentibus.

[b] Ὀγδοήκοντα M.K. cf. Strabo III. p. 225=151. Lucian. Macrob. c. 10. Mox ἐβίωσε δὲ πάντα om. F. τὰ πάντα Herman. Viger. n. 94. ut I. 214.

[c] τούτῳ δὴ] τούτῳ δὲ F. probante Schweigh.

[d] δή τοι F.a.

[e] Sic K.P.F.c. Vulgo om. γε.

[f] Λυδὸν conj. Wesselingius probante Larchero.

[g] Hinc Thomas M. in Περιβάλλω.

4 τεῖχος περιβαλέσθαι τὴν πόλιν. ἐδίδου δὲ ἀφειδέως· καὶ γὰρ καὶ ἡ περίοδος τοῦ τείχεος οὐκ ὀλίγοι στάδιοί εἰσι· τοῦτο δὲ πᾶν λίθων μεγάλων καὶ εὖ συναρμοσμένων.

Phocæenses oppugnati, rebus omnibus collectis, navigant in Chium.

164 Τὸ μὲν δὴ τεῖχος τοῖσι Φωκαιεῦσι τρόπῳ τοιῷδε ἐξεποιήθη. ὁ δὲ Ἅρπαγος ὡς ἐπήλασε τὴν στρατιὴν, ἐπολιόρκεε αὐτοὺς, προϊσχόμενος ἔπεα " ὥς οἱ καταχρᾷ, εἰ βούλονται " Φωκαιέες προμαχεῶνα ἕνα μοῦνον τοῦ τείχεος ἐρεῖψαι,
2 " καὶ οἴκημα ἓν [a] κατιρῶσαι." οἱ δὲ Φωκαιέες, [b] περιημεκτέοντες τῇ δουλοσύνῃ, ἔφασαν " θέλειν βουλεύ-" σασθαι ἡμέρην [c] μίαν, καὶ ἔπειτα ὑποκρινέεσθαι. ἐν " ᾧ δὲ βουλεύονται αὐτοὶ, ἀπαγαγεῖν ἐκεῖνον ἐκέλευον
3 " τὴν στρατιὴν ἀπὸ τοῦ τείχεος." [d] Ὁ δ' Ἅρπαγος ἔφη " εἰδέναι μὲν εὖ τὰ ἐκεῖνοι μέλλοιεν ποιέειν, ὅμως
4 " δέ σφι παριέναι βουλεύσασθαι." Ἐν ᾧ ὦν ὁ Ἅρπαγος ἀπὸ τοῦ τείχεος ἀπήγαγε τὴν στρατιὴν, οἱ Φωκαιέες ἐν τούτῳ [e] κατασπάσαντες τὰς πεντηκοντέρους, ἐσθέμενοι τέκνα καὶ γυναῖκας καὶ ἔπιπλα πάντα, πρὸς δὲ καὶ τὰ ἀγάλματα τὰ ἐκ τῶν ἱρῶν, καὶ τὰ ἄλλα ἀναθήματα, χωρὶς ὅ τι χαλκὸς ἢ λίθος ἢ γραφὴ ἦν, τὰ δὲ ἄλλα πάντα ἐσθέντες, καὶ αὐτοὶ ἐσβάντες, ἔπλεον ἐπὶ Χίου. τὴν δὲ Φωκαίην ἐρημωθεῖσαν ἀνδρῶν ἔσχον οἱ Πέρσαι.

Inde summoti, reversi domum, trucidato præsidio Persi-

165 Οἱ δὲ Φωκαιέες, ἐπεί τέ σφι Χῖοι τὰς νήσους τὰς [a] Οἰνούσσας καλεομένας οὐκ [b] ἐβούλοντο [c] ὠνεομένοισι πωλέειν, δειμαίνοντες μὴ αἱ μὲν ἐμπόριον γέ-

164.

[a] κατειρῶσαι Ald. a. κατερῶσαι F.

[b] Cf. Suid. in Περιημάκτεον et Δουλοσύνη.

[c] μίην Aldus. μίαν M.K.F.a. μία omnes I. 151. μίαν 170. cf. 136. ubi notat Schweighæuserus hanc formam, nunquam μίη, μίην, in codd. constanter servari.

[d] ὁ δ' Ἅρπαγος—ἀπὸ τοῦ τείχους om. F.

[e] ἀνασπ. Steph. marg. Mox χωρὶς ἢ ὅ τι conjicit Valckenærius. Particulam minime necessariam judicat Schweighæuser.

165.

[a] Οἰνούσας F. et mox Οἰνουσέων.

[b] Sic M.K.F. Paris. ἐβουλεύοντο vulg. ἐβούλευντο Ald.

[c] ὠνευμένοισι F.a. Ald.

co, diras imprecati manentibus aut redeuntibus, quum trajicerent in Corsicam, pars major ex itinere patriam repetit. Alalia urbs.

νωνται, ἡ δὲ [d] αὐτῶν νῆσος ἀποκληϊσθῇ τούτου εἵνεκα,
2 πρὸς ταῦτα οἱ Φωκαιέες ἐστέλλοντο ἐς Κύρνον. ἐν γὰρ τῇ Κύρνῳ εἴκοσι ἔτεσι πρότερον τούτων ἐκ θεοπροπίου ἀνεστήσαντο πόλιν, τῇ οὔνομα ἦν Ἀλαλίη. Ἀργανθώ-
3 νιος δὲ τηνικαῦτα ἤδη τετελευτήκεε. στελλόμενοι δὲ ἐπὶ τὴν Κύρνον, πρῶτα καταπλεύσαντες ἐς τὴν Φωκαίην, κατεφόνευσαν τῶν Περσέων τὴν φυλακὴν, ἣ ἐφρούρεε πα-
4 ραδεξαμένη παρὰ Ἁρπάγου τὴν πόλιν. μετὰ δὲ, ὡς τοῦτό σφι ἐξέργαστο, ἐποιήσαντο ἰσχυρὰς κατάρας τῷ ὑπολειπομένῳ ἑωυτῶν τοῦ στόλου. πρὸς δὲ ταύτῃσι, καὶ μύδρον σιδήρεον κατεπόντωσαν, [e] καὶ ὤμοσαν "μὴ 79
"πρὶν ἐς Φωκαίην ἥξειν, πρὶν ἢ τὸν μύδρον τοῦτον [f] ἀνα-
5 "φῆναι." Στελλομένων δὲ αὐτῶν ἐπὶ τὴν Κύρνον, ὑπὲρ ἡμίσεας τῶν ἀστῶν ἔλαβε πόθος τε καὶ οἶκτος τῆς πόλιος καὶ τῶν ἠθέων τῆς χώρης· ψευδόρκιοι δὲ γενόμενοι,
6 ἀπέπλεον ὀπίσω ἐς τὴν Φωκαίην. οἳ δὲ αὐτῶν τὸ ὅρκιον

166 Qui Corsicam pervenerunt, quinquennio post a Tyrrhenis et Carthaginiensibus bello afflicti, Rhegium abeunt.

ἐφύλασσον, ἀερθέντες ἐκ τῶν Οἰνουσσέων ἔπλεον. Ἐπεί τε δὲ ἐς τὴν Κύρνον ἀπίκοντο, οἴκεον κοινῇ μετὰ τῶν πρότερον ἀπικομένων ἐπ' ἔτεα πέντε, καὶ ἱρὰ ἐνιδρύσαντο.
2 καὶ [a] ἄγον [b] γὰρ δὴ καὶ ἔφερον τοὺς περιοίκους ἅπαντας, στρατεύονται ὦν ἐπ' αὐτοὺς κοινῷ λόγῳ χρησάμενοι
3 Τυρσηνοὶ καὶ Καρχηδόνιοι, νηυσὶ ἑκάτεροι ἑξήκοντα. οἱ δὲ Φωκαιέες πληρώσαντες καὶ αὐτοὶ τὰ πλοῖα, ἐόντα ἀριθμὸν ἑξήκοντα, ἀντίαζον ἐς τὸ Σαρδόνιον καλεόμενον
4 πέλαγος. συμμισγόντων δὲ τῇ ναυμαχίῃ, Καδμείη τις νίκη τοῖσι Φωκαιεῦσι ἐγένετο. αἱ μὲν γὰρ [c] τεσσεράκοντά σφι νῆες διεφθάρησαν· αἱ δὲ εἴκοσι αἱ [d] περιεοῦσαι,

[d] αὐτέων] αὐτῶν F.
[e] Cf. Suidas in Φωκαέων.
[f] Placere videtur Schweighæusero Reiskii ἀναφανῆναι, qui monet vulg. defendi posse subaudiendo ἑαυτό.

166.
[a] Sic Ald. F.a.c. ἦγον M.K.
[b] Sic M.K.c. γὰρ ἤδη Ald. F.a. γὰρ ἀεὶ conj. Reiskius.
[c] τεσσαρακ. F.a.c. Ald. Mox σφίσι Ald.
[d] περιοῦσαι Ald.

5 ἦσαν ἄχρηστοι· [e] ἀπεστράφατο γὰρ τοὺς ἐμβόλους. κα-
ταπλώσαντες δὲ ἐς τὴν Ἀλαλίην, ἀνέλαβον τὰ τέκνα
καὶ τὰς γυναῖκας, καὶ τὴν ἄλλην κτῆσιν ὅσην οἷαί τε
[f] ἐγίνοντο αἱ νῆές σφι ἄγειν· καὶ ἔπειτα ἀφέντες τὴν
167 Κύρνον ἔπλεον ἐς Ῥήγιον. Τῶν δὲ διαφθαρεισέων νεῶν
τοὺς ἄνδρας, οἵ τε Καρχηδόνιοι καὶ οἱ Τυρσηνοὶ ἔλαχόν
τε [a] αὐτῶν πολλῷ πλείους, καὶ τούτους ἐξαγαγόντες
2 κατέλευσαν. μετὰ δὲ Ἀγυλλαίοισι [b] πάντα τὰ παριόντα
τὸν χῶρον, ἐν τῷ οἱ Φωκαιέες καταλευσθέντες ἐκέατο,
ἐγίνετο διάστροφα καὶ [c] ἔμπηρα καὶ ἀπόπληκτα, ὁμοίως
3 πρόβατα καὶ ὑποζύγια καὶ ἄνθρωποι. οἱ δὲ Ἀγυλλαῖοι
ἐς Δελφοὺς ἔπεμπον, βουλόμενοι ἀκέσασθαι τὴν [d] ἁμαρ-
τάδα. ἡ δὲ Πυθίη σφέας ἐκέλευσε ποιέειν τὰ καὶ νῦν οἱ
Ἀγυλλαῖοι ἔτι ἐπιτελέουσι· καὶ γὰρ [e] ἐναγίζουσί σφι
μεγάλως, καὶ ἀγῶνα γυμνικὸν [f] καὶ ἱππικὸν ἐπιστᾶσι.
4 καὶ [g] οὗτοι μὲν τῶν Φωκαιέων τοιούτῳ μόρῳ διεχρήσαντο.
οἱ δὲ αὐτῶν ἐς τὸ Ῥήγιον καταφυγόντες, ἐνθεῦτεν [h] ὁρμε-
ώμενοι, [i] ἐκτήσαντο πόλιν γῆς τῆς Οἰνωτρίης ταύτην, ἥτις
5 νῦν Ὑέλη καλέεται. ἔκτισαν δὲ ταύτην, πρὸς ἀνδρὸς
Ποσειδωνιήτεω μαθόντες, ὡς τὸν Κύρνον σφι ἡ Πυθίη
ἔχρησε κτίσαι ἥρων ἐόντα, ἀλλ᾽ οὐ τὴν νῆσον. Φωκαίης
168 μέν νυν πέρι τῆς ἐν Ἰωνίῃ [k] οὕτως ἔσχε. Παραπλήσια
δὲ τούτοισι καὶ Τήϊοι ἐποίησαν. ἐπεί τε γάρ σφεων
εἷλε χώματι τὸ τεῖχος Ἅρπαγος, ἐσβάντες πάντες ἐς
τὰ πλοῖα, οἴχοντο πλέοντες ἐπὶ τῆς Θρηϊκίης, καὶ ἐν-

Eos qui bello capti, lapidibus obruti perierunt, quomodo sibi Agyllenses placent: Hyela urbs a Phocæensibus condita: Cyrnus Heros.

Teii, Harpago mœnibus urbis potito, in Thraciam profecti, Abdera ibi

[e] ἀπεστρέφατο M.
[f] Sic F. Vulgo ἐγένοντο.

167.
[a] αὐτέων] αὐτῶν K.M.F.
[b] πάντά τινα F.
[c] Sic M.K.P.F.a.c. ἔμπυρα vulgo.
[d] Citat Suid. in v. ἁμαρτίδα F.
[e] Suidas: Ἐναγίζειν, παρ᾽ Ἡροδότῳ χοὰς φέρειν.
[f] Sic K.M.F. καὶ ἱππικὸν om. Ald. a.c.
[g] Habet Thomas M. in Διαχρῶμαι ubi mss. Φωκαέων ut et Suid.
[h] Sic F. alii. ὁρμεόμενοι a.c. Ald.
[i] Schweigh. conjicit ἔκτισαν.
[k] οὕτω Ald. οὕτως F.a.c.

condunt: Heros Timesius.

θαῦτα ἔκτισαν πόλιν Ἄβδηρα· τὴν πρότερος τούτων Κλαζομένιος Τιμήσιος κτίσας, οὐκ [a] ἀπώνητο, ἀλλ' ὑπὸ Θρηΐκων [b] ἐξελασθεὶς, τιμὰς νῦν ὑπὸ Τηΐων [c] τῶν ἐν Ἀβδήροισι ὡς ἥρως ἔχει.

169 Cæteri ex Ionibus Epirotis victi, servitutem subeunt: insulani ultro se dedunt.

Οὗτοι μέν νυν Ἰώνων μοῦνοι, τὴν δουλοσύνην οὐκ ἀνεχόμενοι, ἐξέλιπον τὰς πατρίδας. οἱ δ' ἄλλοι Ἴωνες, πλὴν Μιλησίων, διὰ μάχης μὲν [a] ἀπικέατο Ἁρπάγῳ, [b] κατάπερ οἱ ἐκλιπόντες, καὶ ἄνδρες ἐγένοντο ἀγαθοὶ, περὶ τῆς ἑωυτοῦ ἕκαστος μαχόμενοι· ἑσσωθέντες δὲ καὶ ἁλόντες, ἔμενον κατὰ χώρην [c] ἕκαστοι, καὶ τὰ ἐπι-
2 τασσόμενα ἐπετέλεον. Μιλήσιοι δὲ, ὡς καὶ πρότερόν μοι εἴρηται, αὐτῷ Κύρῳ ὅρκιον ποιησάμενοι, ἡσυχίην ἄγον. Οὕτω δὴ τὸ δεύτερον Ἰωνίη ἐδεδούλωτο. ὡς δὲ τοὺς ἐν τῇ ἠπείρῳ Ἴωνας ἐχειρώσατο Ἅρπαγος, οἱ τὰς νήσους ἔχοντες Ἴωνες, καταρρωδήσαντες [d] ταῦτα, σφέας αὐτοὺς ἔδοσαν Κύρῳ.

170 Biantis consilium, ut Iones communi classe in Sardiniam abirent: aliud ante a Thalete datum, ut curiam haberent communem.

Κεκακωμένων δὲ Ἰώνων, καὶ συλλεγομένων οὐδὲν ἧσσον ἐς τὸ Πανιώνιον, πυνθάνομαι γνώμην Βίαντα ἄνδρα Πριηνέα ἀποδέξασθαι Ἴωσι χρησιμωτάτην· τῇ εἰ ἐπείθοντο, παρεῖχε ἄν σφι εὐδαιμονέειν Ἑλλήνων μάλιστα· ὃς ἐκέλευε "κοινῷ στόλῳ Ἴωνας [a] ἀερθέντας πλέειν ἐς Σαρδὼ, καὶ ἔπειτα
2 "πόλιν μίαν κτίζειν πάντων Ἰώνων. καὶ οὕτω ἀπαλλαχθέντας σφέας δουλοσύνης [b] εὐδαιμονήσειν, νήσων

168.

[a] ἀπόνητο F. Citat Thomas M. in Ὠνήσομαι.

[b] ἐξελαθεὶς] Sic Ald. vid. IV. 145. V. 97. Sylburg. Pausan. I. 11. Pierson. Moer. p. 13. ἐξελασθεὶς M.K.F. cf. 173. III. 46. 51. IV. 4. V. 145.

[c] Sic R.M.F.a.c. Ald. τῶν vulgo om.

169.

[a] Sic F.a.c. Ald. ἀπίκοντο M.K.

[b] Sic K.F.a.c. καθάπερ edd. vett.

[c] Sic R.K.M.F.a.c. ἕκαστος Ald. Supra ἕκαστοι μαχόμενοι malit Schweighæuserus, ubi c. ἕκαστος μαχόμενος.

[d] ταυτὰ Reiskius, probantibus Wesselingio et Schweighæusero.

170.

[a] αἱρεθέντας M.K.F.a.

[b] εὐδαιμονίσειν Ald.

" τε ἁπασέων μεγίστην νεμομένους, καὶ ἄρχοντας ἄλ-
" λων· μένουσι δέ σφι ἐν τῇ Ἰωνίῃ οὐκ ἔφη ἐνορᾶν ἐλευ-
3 " θερίην ἔτι ἐσομένην." Αὕτη μὲν Βίαντος τοῦ Πριηνέος
γνώμη, ἐπὶ διεφθαρμένοισι Ἴωσι γενομένη. χρηστὴ δὲ καὶ
πρὶν ἢ διαφθαρῆναι Ἰωνίην Θάλεω ἀνδρὸς Μιλησίου
ἐγένετο, [c] τὸ ἀνέκαθεν γένος ἐόντος Φοίνικος· ὃς ἐκέλευε ἓν
βουλευτήριον Ἴωνας [d] ἐκτῆσθαι, τὸ δὲ εἶναι ἐν Τέῳ· [e] Τέων
4 γὰρ μέσον εἶναι Ἰωνίης. τὰς δὲ ἄλλας πόλιας οἰκεομέ-
νας μηδὲν ἧσσον νομίζεσθαι κατάπερ εἰ δῆμοι εἶεν. [f] οὕτω
μὲν δή σφι γνώμας τοιάσδε ἀπεδέξαντο.

171 1 Ἅρπαγος δὲ καταστρεψάμενος Ἰωνίην, ἐποιέετο [a] στρα-
τηΐην ἐπὶ Κᾶρας καὶ [b] Καυνίους καὶ Λυκίους, ἅμα ἀγό-
2 μενος καὶ Ἴωνας καὶ Αἰολέας. Εἰσὶ δὲ τούτων Κᾶρες
μὲν ἀπιγμένοι ἐς τὴν ἤπειρον ἐκ τῶν νήσων. τὸ γὰρ πα-
λαιὸν ἐόντες [c] Μίνω τε κατήκοοι, καὶ καλεόμενοι Λέ-
λεγες, εἶχον τὰς νήσους, φόρον μὲν οὐδένα ὑποτελέοντες,
ὅσον καὶ ἐγὼ δυνατός εἰμι [d] μακρότατον ἐξικέσθαι ἀκοῇ·
3 οἱ δὲ, ὅκως Μίνως δέοιτο, ἐπλήρουν οἱ τὰς νέας. [e] ἅτε δὲ
δὴ [f] Μίνω τε κατεστραμμένου γῆν πολλὴν, καὶ εὐτυχέ-
οντος τῷ πολέμῳ, τὸ Καρικὸν ἦν ἔθνος [g] λογιμώτατον
τῶν ἐθνέων ἁπάντων κατὰ τοῦτον ἅμα τὸν χρόνον [h] μα-
4 κρῷ μάλιστα. καί σφι τριξὰ ἐξευρήματα [i] ἐγένετο, τοῖσι
5 οἱ Ἕλληνες ἐχρήσαντο. καὶ γὰρ ἐπὶ τὰ κράνεα λόφους

Cares, olim insulani, Minoi parentes, et Leleges dicti: eorum tria inventa: ipsi de se quomodo tradant: Jupiter Carius: Mysus, Lydus, Car, tres fratres germani.

[c] Sic M.R.F.a.c. Plutarch. II. p. 857. F. τὸ om. K. Ald. cf. Thomas M. in Ἄνωθεν.

[d] Sic P.F.a.c. κεκτῆσθαι M.K.

[e] Huc spectat Steph. Byz. in Τέως.

[f] οὗτοι Schæferus. οὕτω dualem esse monuit Reiskius.

171.

[a] στρατίην F. In pr. δὲ om. Ald.

[b] Sic K.a.c. Ald. Καυκωνίους M.F. cf. 172.

[c] Sic M.K. τε om. F.a.c. Ald.

[d] ἐπὶ μακρότατον II. 34. IV. 16. 192.

[e] Sic F. ἅτε δὴ K. ἅτε δὲ vulgo.

[f] Sic M.R.F.a.c. Thomas M. in Ἐπιστρέφομαι. Vulgo om. τε.

[g] δοκιμώτατον Steph. Byz. in Καρία.

[h] Sic M.K.F.a.c. καὶ μ. edd. vett.

[i] ἐξεγένετο F.

ἐπιδέεσθαι Κᾶρές εἰσι οἱ καταδέξαντες, καὶ ἐπὶ τὰς
6 ἀσπίδας τὰ [k] σημήϊα ποιέεσθαι. καὶ ὄχανα ἀσπίσι
οὗτοί εἰσι οἱ ποιησάμενοι πρῶτοι· τέως δὲ ἄνευ ὀχάνων 81
ἐφόρεον τὰς ἀσπίδας πάντες οἵπερ [l] ἐώθεσαν ἀσπίσι
χρέεσθαι, τελαμῶσι σκυτίνοισι οἰηκίζοντες, περὶ τοῖσι
αὐχέσι τε καὶ τοῖσι ἀριστεροῖσι ὤμοισι περικείμενοι.
7 Μετὰ δὲ, τοὺς Κᾶρας χρόνῳ ὕστερον πολλῷ Δωριέες
τε καὶ Ἴωνες ἐξανέστησαν ἐκ τῶν νήσων· καὶ οὕτω ἐς
8 τὴν ἤπειρον ἀπίκοντο. Κατὰ μὲν δὴ Κᾶρας οὕτω Κρῆτες
λέγουσι γενέσθαι. οὐ μέντοι αὐτοί γε ὁμολογέουσι τού-
τοισι οἱ Κᾶρες· ἀλλὰ νομίζουσι αὐτοὶ ἑωυτοὺς εἶναι αὐ-
τόχθονας [m] ἠπειρώτας, [n] καὶ τῷ οὐνόματι τῷ αὐτῷ ἀεὶ
9 διαχρεωμένους τῷπερ νῦν. ἀποδεικνῦσι δὲ ἐν [o] Μυλά-
σοισι Διὸς Καρίου ἱρὸν ἀρχαῖον, τοῦ Μυσοῖσι μὲν καὶ
10 Λυδοῖσι μέτεστι, ὡς κασιγνήτοισι ἐοῦσι τοῖσι Καρσί. τὸν
γὰρ Λυδὸν καὶ τὸν Μυσὸν λέγουσι εἶναι Καρὸς ἀδελ-
φεούς. τούτοισι μὲν δὴ μέτεστι· ὅσοι δὲ, ἐόντες ἄλλου
ἔθνεος, ὁμόγλωσσοι τοῖσι Καρσὶ ἐγένοντο, τούτοισι δὲ οὐ
μέτα.

172

Caunii quam originem habeant: eorum lingua Caricæ affinis: mos compotandi, et Deos peregrinos expellendi.

Οἱ δὲ [a] Καύνιοι αὐτόχθονες, δοκέειν ἐμοὶ, εἰσί·
αὐτοὶ μέντοι ἐκ Κρήτης φασὶ εἶναι. προσκεχωρήκασι
δὲ γλῶσσαν μὲν πρὸς τὸ Καρικὸν ἔθνος, ἢ οἱ Κᾶρες πρὸς
τὸ Καυνικόν· τοῦτο γὰρ οὐκ ἔχω ἀτρεκέως διακρῖναι.
2 νόμοισι δὲ χρέωνται κεχωρισμένοισι πολλὸν τῶν τε ἄλ-
λων ἀνθρώπων καὶ Καρῶν. τοῖσι γὰρ κάλλιστόν ἐστι
κατ᾽ ἡλικίην τε καὶ φιλότητα [b] εἰλαδὸν συγγίνεσθαι ἐς
3 πόσιν, καὶ ἀνδράσι καὶ γυναιξὶ καὶ παισί. [c] ἱδρυνθέντων

[k] Sic K.F. σημεῖα M.a.c. edd. vett.

[l] Sic P.F.c. ἐώθησαν Ald. ἐώθεισαν vulg.

[m] ὑπερέτας Ald. c.

[n] Habet Thomas M. in Διαχρῶμαι.

[o] Sic P.F. Strabo XIV. p. 974=659. Μυλάσσοισι edd. vett.

172.

[a] Καυκώνιοι et mox Καυκωνικὸν M.

[b] εἰλαδὸν M.K.F. ἰλαδὸν a.c. edd.

[c] ἱδρυθέντων F.a. cf. II. 44.

δέ σφι ἱρῶν ξεινικῶν, μετέπειτα ὥς σφι ἀπέδοξε, (ἔδοξε δὲ τοῖσι πατρίοισι μοῦνον χρᾶσθαι θεοῖσι,) ἐνδύντες τὰ ὅπλα ἅπαντες [d] Καύνιοι [e] ἥβηδὸν, τύπτοντες δούρασι τὸν ἠέρα, μέχρι οὔρων τῶν [f] Καλυνδικῶν ἕποντο, καὶ ἔφασαν ἐκβάλλειν τοὺς ξεινικοὺς θεούς. καὶ οὗτοι μὲν
173 τρόποισι τοιούτοισι χρέωνται. Οἱ δὲ Λύκιοι ἐκ Κρήτης
τὠρχαῖον γεγόνασι. τὴν γὰρ Κρήτην εἶχον τὸ παλαιὸν
πᾶσαν βάρβαροι. διενειχθέντων δὲ ἐν Κρήτῃ περὶ τῆς
βασιληΐης τῶν Εὐρώπης παίδων, Σαρπηδόνος τε καὶ
Μίνω, ὡς ἐπεκράτησε τῇ στάσει Μίνως, ἐξήλασε αὐτόν
2 τε Σαρπηδόνα καὶ τοὺς στασιώτας αὐτοῦ· οἱ δὲ ἀπω-
σθέντες, ἀπίκοντο τῆς Ἀσίης ἐς γῆν τὴν Μιλυάδα· τὴν
γὰρ νῦν Λύκιοι νέμονται, αὕτη τὸ παλαιὸν ἦν Μιλυάς·
3 οἱ δὲ Μιλύαι τότε Σόλυμοι ἐκαλέοντο. τέως μὲν δὴ [a] αὐ-
τῶν Σαρπηδὼν ἦρχε· οἱ δὲ ἐκαλέοντο, τό περ τε ἠνεί-
καντο οὔνομα, καὶ νῦν ἔτι καλέονται ὑπὸ τῶν περιοίκων
4 οἱ Λύκιοι, [b] Τερμίλαι. ὡς δὲ ἐξ [c] Ἀθηνέων Λύκος ὁ
Πανδίονος, [d] ἐξελασθεὶς καὶ οὗτος ὑπὸ τοῦ [e] ἀδελφεοῦ
Αἰγέως, ἀπίκετο ἐς τοὺς Τερμίλας παρὰ Σαρπηδόνα,
οὕτω δὴ κατὰ τοῦ Λύκου τὴν ἐπωνυμίην Λύκιοι ἀνὰ
5 χρόνον ἐκλήθησαν. νόμοισι δὲ, τὰ μὲν Κρητικοῖσι τὰ δὲ
Καρικοῖσι χρέωνται. ἓν δὲ τόδε ἴδιον νενομίκασι, καὶ
οὐδαμοῖσι ἄλλοισι [f] συμφέρονται ἀνθρώπων· καλέουσι
ἀπὸ τῶν μητέρων ἑωυτοὺς, καὶ οὐκὶ ἀπὸ τῶν πατέρων.

Lycios e Creta in Asiam profectos, ductu Sarpedonis a Minoe fratre pulsi, Milyadem terram a Solymis habitatam occupasse, veteri nomine Termilas, novo dictos a Lyco Pandionis filio eorum genealogia ex matribus.
82

[d] Καυκώνιοι M.
[e] Citat Suidas in v.
[f] Sic Ald. P.K.F.a.c. Καλινδικῶν Steph. et al. Mox ἕποντο edd.

173.
[a] αὐτέων] αὐτῶν M.K.F.a.c.
[b] Citat Steph. Byz. in Τέρμερα, Eustath. Dionys. 857. cf. infra VII. 92.
[c] Sic M.K. Alii Ἀθηναίων.
[d] ἐξελαθεὶς Ald. ἐξελασθεὶς Gronov. forte ex M. sic sane F. cf. I. 168. III. 46.
[e] Sic M.F. ἀδελφοῦ c. edd. vett.
[f] Sic edd. vett. P.F.a.c συμφέροντα M.K. Gronov.

[g] εἰρομένου δὲ ἑτέρου τὸν πλησίον, τίς εἴη, καταλέξει
ἑωυτὸν μητρόθεν, καὶ τῆς μητρὸς [h] ἀνανεμέεται τὰς μη-
7 τέρας. καὶ ἢν [i] μέν γε γυνὴ ἀστὴ δούλῳ συνοικήσῃ, γεν-
ναῖα τὰ τέκνα νενόμισται· ἢν δὲ ἀνὴρ ἀστὸς, καὶ ὁ
πρῶτος [k] αὐτῶν, γυναῖκα ξείνην ἢ παλλακὴν ἔχῃ, ἄτιμα
τὰ τέκνα γίνεται.

174 Caria subacta: irritus Cnidiorum conatus isthmi perfodiendi.

Οἱ μέν νυν Κᾶρες οὐδὲν λαμπρὸν ἔργον ἀποδεξάμενοι,
ἐδουλώθησαν ὑπὸ Ἁρπάγου· οὔτε αὐτοὶ οἱ Κᾶρες ἀπο-
δεξάμενοι οὐδὲν, οὔτε ὅσοι Ἑλλήνων ταύτην τὴν χώρην
2 οἰκέουσι. οἰκέουσι δὲ καὶ ἄλλοι, καὶ Λακεδαιμονίων
ἄποικοι Κνίδιοι, τῆς χώρης τῆς σφετέρης τετραμμένης
3 ἐς πόντον, τὸ δὴ Τριόπιον καλέεται. ἀργμένης δὲ ἐκ τῆς
χερσονήσου τῆς [a] Βυβασσίης, ἐούσης τε πάσης τῆς Κνι-
δίης, πλὴν ὀλίγης, περιρρόου· (τὰ μὲν γὰρ αὐτῆς πρὸς
βορῆν ἄνεμον, ὁ [b] Κεραμεικὸς κόλπος [c] ἀπέργει· τὰ δὲ
πρὸς νότον, ἡ κατὰ Σύμην τε καὶ Ῥόδον θάλασσα·) τὸ
ὦν δὴ ὀλίγον τοῦτο, ἐὸν ὅσον τε ἐπὶ πέντε στάδια, ὤρυσ-
σον οἱ Κνίδιοι, ἐν ὅσῳ Ἅρπαγος τὴν Ἰωνίην κατεστρέ-
4 φετο, βουλόμενοι νῆσον τὴν χώρην ποιῆσαι. ἐντὸς δὲ
πᾶσά σφι ἐγένετο· τῇ γὰρ ἡ Κνιδίη χώρη ἐς τὴν ἤπει-
5 ρον τελευτᾷ, ταύτῃ ὁ ἰσθμός ἐστι τὸν ὤρυσσον. καὶ δὴ
πολλῇ χειρὶ ἐργαζομένων τῶν Κνιδίων· μᾶλλον γάρ τι
καὶ θειότερον ἐφαίνοντο τιτρώσκεσθαι οἱ ἐργαζόμενοι τοῦ
[d] οἰκότος τά τε ἄλλα τοῦ σώματος, καὶ μάλιστα τὰ

[g] ἠρομένου F.
[h] Sic Ald. F.a.c. ἀνανεμεῖται M.K. ἀναμνέεται vulg. e conj. H. Stephani. cf. Suidas et Zonaras in v.
[i] Sic M.K.F.a.c. γε vulgo om.
[k] αὐτῶν M.K.F.c.

174.

[a] Ita Vossius ad Melam I. 16, 10. Βυβλεσίης edd. mss. A facile in Λ, Σ in E abiit.
[b] Sic M.R.K.F.a.c. Κεραμικὸς Ald. Κεραυνικὸς Steph. ed. 2. et al.
[c] Sic K.P.a. Alii ἀπείργει.
[d] Sic M.K.F.a.c. εἰκότος Ald. εἰκότως edd. vett.

περὶ τοὺς ὀφθαλμοὺς, θραυομένης τῆς πέτρης· ἔπεμπον
6 ἐς Δελφοὺς [e] θεοπρόπους ἐπερησομένους τὸ ἀντίξοον. ἡ 83
δὲ Πυθίη σφι, ὡς αὐτοὶ Κνίδιοι λέγουσι, χρᾷ ἐν [f] τρι-
μέτρῳ τόνῳ τάδε·

Ἰσθμὸν δὲ μὴ πυργοῦτε, μήδ' ὀρύσσετε·
Ζεὺς γάρ κ' ἔθηκε νῆσον, [g] εἴ κ' ἐβούλετο.

7 Κνίδιοι μὲν, ταῦτα τῆς Πυθίης χρησάσης, τοῦ τε ὀρύγ-
ματος ἐπαύσαντο· καὶ Ἁρπάγῳ, ἐπιόντι σὺν τῷ στρα-
175 τῷ, ἀμαχητί σφεας αὐτοὺς παρέδοσαν. Ἦσαν δὲ [a] Πη-
δασέες οἰκοῦντες ὑπὲρ [b] Ἁλικαρνησσοῦ μεσόγαιαν· [c] τοῖσι
ὅκως τι μέλλοι ἀνεπιτήδεον ἔσεσθαι, αὐτοῖσί τε καὶ
τοῖσι [d] περιοίκοισι, ἡ ἱερείη τῆς Ἀθηναίης πώγωνα μέγαν
2 ἴσχει. τρίς σφι τοῦτο ἐγένετο. οὗτοι τῶν περὶ Καρίην
ἀνδρῶν μοῦνοί τε ἀντέσχον χρόνον Ἁρπάγῳ, καὶ πρήγ-
ματα παρέσχον πλεῖστα, [e] ὄρος τειχίσαντες, τῷ οὔνομά
3 ἐστι Λίδη. Πηδασέες μέν νυν χρόνῳ ἐξαιρέθησαν. Λύ-
176 κιοι δὲ, ὡς ἐς τὸ Ξάνθιον πεδίον ἤλασε ὁ Ἅρπαγος τὸν
στρατὸν, ὑπεξιόντες, καὶ μαχόμενοι ὀλίγοι πρὸς πολ-
λοὺς, ἀρετὰς ἀπεδείκνυντο· ἑσσωθέντες δὲ, καὶ κατειλη-
θέντες ἐς τὸ ἄστυ, [a] συνήλισαν ἐς τὴν ἀκρόπολιν τάς τε
γυναῖκας καὶ τὰ τέκνα καὶ τὰ χρήματα καὶ τοὺς οἰκέ-
τας· καὶ ἔπειτα ὑπῆψαν τὴν ἀκρόπολιν πᾶσαν ταύτην
2 καίεσθαι. ταῦτα δὲ ποιήσαντες καὶ συνομόσαντες ὅρκους
δεινοὺς, ὑπεξελθόντες ἀπέθανον πάντες Ξάνθιοι μαχό-
3 μενοι. τῶν δὲ νῦν Λυκίων φαμένων Ξανθίων εἶναι, οἱ

Pedasensium virtus: Minervæ sacerdos in adversis eorum barbata.

Xanthus Lyciæ urbs, postquam incolæ flammis omnia consumsissent, et ipsi pugnando periissent, item Caunus modo eodem expugnata.

[e] θεοπρόπους om. Ald.
[f] τριμέτρῳ τόνῳ] μέτρῳ K.
[g] αἴ κ' Œnomaus Eusebii Præp. V. 26. p. 220.

175.

[a] Πηδασσέες F. et infra.
[b] Sic F.a. Ἁλικαρνασοῦ Ald. Ἁλικαρνησοῦ P. Ἁλικαρνασσοῦ vulg.
[c] Citat Strabo XIII. p. 909 = 611. ubi v. Casaub.
[d] περιοικεῦσι F.
[e] ὀροστοιχίσαντες K.

176.

[a] Sic M.K.F. συνείλησαν a. edd. vett.

πολλοὶ, πλὴν ὀγδώκοντα [b] ἱστιέων, εἰσὶ ἐπήλυδες· αἱ
δὲ ὀγδώκοντα ἱστίαι αὗται ἔτυχον τηνικαῦτα ἐκδημέ-
4 ουσαι, καὶ οὕτω περιεγένοντο. τὴν μὲν δὴ Ξάνθον οὕτως
5 ἔσχε ὁ Ἅρπαγος. παραπλησίως δὲ καὶ τὴν Καῦνον
ἔσχε. καὶ γὰρ οἱ Καύνιοι τοὺς Λυκίους ἐμιμήσαντο τὰ
πλέω.

177
Cyrus Asiam domat superiorem.

Τὰ μέν νυν κάτω τῆς Ἀσίης Ἅρπαγος ἀνάστατα
ἐποίεε· τὰ δὲ ἄνω αὐτῆς, αὐτὸς Κῦρος, πᾶν ἔθνος κατα-
2 στρεφόμενος, καὶ οὐδὲν παριείς. τὰ μέν νυν [a] αὐτῶν πλέω
[b] παρήσομεν· τὰ δέ οἱ παρέσχε πόνον τε πλεῖστον, καὶ
ἀξιαπηγητότατά ἐστι, τούτων ἐπιμνήσομαι.

178
Babylonis magnitudo, pulcritudo, fossa, murus.

[a] Κῦρος ἐπεί τε τὰ πάντα τῆς ἠπείρου [b] ὑποχείρια
2 ἐποιήσατο, Ἀσσυρίοισι ἐπετίθετο. [c] Τῆς δὲ Ἀσσυρίης
ἐστὶ [d] τὰ μέν κου καὶ ἄλλα πολίσματα μεγάλα πολ-
λά· τὸ δὲ ὀνομαστότατον καὶ ἰσχυρότατον, καὶ ἔνθα
σφι, [e] Νίνου ἀναστάτου γενομένης, τὰ βασιλήϊα κατ-
3 εστήκεε, ἦν Βαβυλών· ἐοῦσα τοιαύτη δή τις. πόλις [f] κέ-
εται ἐν πεδίῳ μεγάλῳ, μέγαθος ἐοῦσα μέτωπον ἕκα- 84
στον εἴκοσι καὶ ἑκατὸν σταδίων, ἐούσης [g] τετραγώνου·
οὗτοι στάδιοι τῆς περιόδου τῆς πόλιος γίνονται συνά-
4 παντες ὀγδώκοντα καὶ τετρακόσιοι. τὸ μέν νυν μέγαθος
τοσοῦτόν ἐστι τοῦ ἄστεος τοῦ Βαβυλωνίου. ἐκεκόσμητο
5 δὲ ὡς οὐδὲν ἄλλο πόλισμα τῶν ἡμεῖς [h] ἴδμεν. τάφρος

[b] Ἱστιαίων Ald. vid. Leopardi Em. VII. 11.

177.

[a] αὐτέων] αὐτῶν F.a.c.

[b] Sic M.K.F.a.c. παρήσομαι vulgo.

178.

[a] Κῦρος δὲ Ald. S.V.b.d.

[b] ὑπὸ χεῖρα V.S.b.d.

[c] τοῖσι δ' Ἀσσυρίοισιν S.

[d] τὰ μέν κου] Sic M.F.a.c. Alii om. τὰ cum S.

[e] τῆς Νίνου ἀναστάτεω S. qui mox Βαβυλὼν ἦν.

[f] καίεται S. Hæc spectat Eustath. Dionys. 1005. Mox μέγεθος S. et sic infra.

[g] τετραγώνων b.d.

[h] ἴσμεν F.a.b.d.S.

μὲν [i]πρῶτά μιν [k]βαθέα τε καὶ εὐρέα [l]καὶ πλέη ὕδατος
περιθέει· μετὰ δὲ, τεῖχος πεντήκοντα μὲν πηχέων βασι-
6 ληΐων ἐὸν τὸ εὖρος, ὕψος δὲ, διηκοσίων πηχέων. ὁ δὲ
βασιλήϊος πῆχυς τοῦ μετρίου ἐστὶ πήχεος μέζων τρισὶ
179 δακτύλοισι. Δεῖ δή με πρὸς τούτοισι ἐπιφράσαι, ἵνα τε
ἐκ τῆς τάφρου ἡ γῆ [a]ἀναισιμώθη, καὶ τὸ τεῖχος ὅντινα
2 τρόπον ἔργαστο. ὀρύσσοντες ἅμα τὴν τάφρον, ἐπλίνθευον
τὴν γῆν [b]τὴν ἐκ τοῦ ὀρύγματος ἐκφερομένην· ἑλκύσαντες
δὲ πλίνθους [c]ἱκανὰς, ὤπτησαν αὐτὰς ἐν καμίνοισι.
3 μετὰ δὲ, τέλματι χρεώμενοι ἀσφάλτῳ θερμῇ, καὶ διὰ
τριήκοντα δόμων [d]πλίνθου ταρσοὺς καλάμων [e]διαστοι-
βάζοντες, ἔδειμαν πρῶτα μὲν τῆς τάφρου τὰ χείλεα·
4 δεύτερα δὲ, [f]αὐτὸ τὸ τεῖχος τὸν αὐτὸν τρόπον. ἐπάνω δὲ
τοῦ τείχεος παρὰ τὰ ἔσχατα, οἰκήματα μουνόκωλα ἔδει-
μαν, τετραμμένα ἐς ἄλληλα· τὸ μέσον δὲ τῶν οἰκη-
5 μάτων ἔλιπον τεθρίππῳ περιέλασιν. πύλαι δὲ [g]ἐνεστᾶσι
πέριξ τοῦ τείχεος ἑκατὸν, χάλκεαι πᾶσαι· καὶ σταθμοί
6 τε καὶ [h]ὑπέρθυρα ὡσαύτως. ἔστι δὲ ἄλλη πόλις ἀπ-
έχουσα ὀκτὼ ἡμερέων ὁδὸν ἀπὸ Βαβυλῶνος· Ἲς οὔνομα
αὐτῇ. ἔνθα ἐστὶ ποταμὸς οὐ μέγας· [i]Ἲς καὶ τῷ πο-
ταμῷ τὸ οὔνομα· ἐσβάλλει δὲ οὗτος ἐς τὸν [k]Εὐφρήτην
7 ποταμὸν τὸ ῥέεθρον. οὗτος ὦν ὁ Ἲς ποταμὸς, ἅμα τῷ

Fossæ munitio: muri forma: portæ centum æreæ: bitumen pro calce adhibitum.

[i] Sic M.R.K.F.a.c. μιν al. om. cum S.

[k] βαθέα—εὐρέα b. edd. βαθέη—εὐρέη d. βαθεῖα—εὐρεῖα K.F.a.c. βαθεῖα—εὐρέα S.

[l] καὶ om. S.b.d.

179.

[a] ἀνεσιμώθη S. Gl. in P. ἐχοΐσθη, ἐξεφορήθη, ἀνετέθη πλινθευθεῖσα. ἐν ἄλλοις ἡ λέξις σημαίνει ἠνύσθη καὶ ἐδαπανήθη.

[b] Sic F.c. Vulgo om. τήν.

[c] ἱκανοὺς b. Mox χρεόμενοι S.

[d] πλίνθοις S.

[e] διαστιβ. d.

[f] αὖ τὸ S. qui mox τείχους παρὰ τά.

[g] ἑστᾶσι S.d. Citat hæc Eustath. Dionys. 1005. Il. ι'. p. 758=660, fin.

[h] ὑπέρθυρον S. qui infra ἡμερῶν.

[i] Vid. Steph. Byz. in v. Eustath. p. 877, 16=827.

[k] Sic F. Εὐφράτην M.K.S.P. et mox. Sed Εὐφρήτην 185. S.

ὕδατι θρόμβους ἀσφάλτου ἀναδιδοῖ πολλούς· [1]ἔνθεν ἡ

180 ἄσφαλτος ἐς τὸ ἐν Βαβυλῶνι τεῖχος ἐκομίσθη. [a]Τετείχιστο μέν νυν ἡ Βαβυλὼν τρόπῳ τοιῷδε. [b]ἔστι δὲ δύο φάρσεα τῆς πόλιος· τὸ γὰρ μέσον αὐτῆς ποταμὸς

Euphrates urbem interfluens: urbis domus et viæ.

2 [c]διέργει, τῷ οὔνομά ἐστι Εὐφρήτης. [d]ῥέει δὲ ἐξ Ἀρμενίων, ἐὼν μέγας, καὶ βαθὺς, καὶ ταχύς· [e]ἐξίει δὲ οὗτος

3 ἐς τὴν Ἐρυθρὴν θάλασσαν. [f]τὸ ὦν δὴ τεῖχος ἑκάτερον τοὺς ἀγκῶνας ἐς τὸν ποταμὸν ἐλήλαται. τὸ δὲ ἀπὸ τούτου, αἱ ἐπικαμπαὶ παρὰ χεῖλος ἑκάτερον τοῦ ποτα-

4 μοῦ, [g]αἱμασιὴ πλίνθων ὀπτέων παρατείνει. τὸ δὲ ἄστυ αὐτὸ, ἐὸν πλῆρες [h]οἰκιέων [i]τριορόφων τε καὶ τετρωρόφων, κατατέτμηται τὰς ὁδοὺς ἰθείας, τάς τε ἄλλας, καὶ τὰς

5 ἐπικαρσίας τὰς ἐπὶ τὸν ποταμὸν [k]ἐχούσας. κατὰ δὴ ὦν ἑκάστην [l]ὁδὸν ἐν τῇ αἱμασιῇ τῇ παρὰ τὸν ποταμὸν πυλίδες [m]ἐπῆσαν, ὅσαι περ αἱ λαῦραι, τοσαῦται ἀριθμόν. ἦσαν δὲ καὶ αὗται χάλκεαι, φέρουσαι καὶ αὐταὶ ἐς

181 αὐτὸν τὸν ποταμόν. Τοῦτο μὲν δὴ τὸ τεῖχος θώρηξ ἐστί. ἕτερον δὲ ἔσωθεν τεῖχος [a]περιθεῖ, οὐ πολλῷ τέῳ ἀσθενέ-

Murus interior: ædes

[1] ἔνθα b.d.

180.

[a] Sic F. Vulgo ἐτετείχιστο.

[b] δὲ om. S.b. Ald.

[c] διέργει F. Vulgo διείργει cum S.

[d] Habet hinc Eustath. Dionys. 988.

[e] Sic vulgo ut I. 6. ἐξῄει d. ἐξιεῖ Schæferus. ἐξιέει potius requireres, i. q. ἐξίησι, quod habet Eustathius. Est autem ἐξίει per syncopen formatum ex ἐξιέει, sicut αἰτέο, ἐξηγέο etc. ex αἰτέεο, ἐξηγέεο etc. quo de genere ad I. 90. dixi. Similiter φοβέαι, προθυμέαι I. 206. Ejusdem generis est Ἡρακλέος pro Ἡρακλέεος. Denique sic ἀνίει pro ἀνιέει vel ἀνιεῖ III. 109. IV. 28. et μετίει VI. 37. Schweigh. Tum δὴ S.

[f] τὸ δὴ ὦν b.

[g] αἱμασιαῖσι S. qui mox ἄστυ αὐτῶν.

[h] οἰκιῶν S.b.d. cf. I. 114. III. 51. IV. 79.

[i] τριορόφων—τετροράφων K.d. τριορόφων—τετρωρόφων F. Dionysius Halic. Art. Rhet. 1, 3. ὥς που καὶ Ἡρόδοτος πεντώροφα καὶ ἑξώροφά φησιν εἶναι ἐν Βαβυλῶνι. memoriæ fortasse vitio. τριωρόφων Ald.

[k] Sic mss. ἀγούσας edd. vett.

[l] ὁδὸν om. S.

[m] Sic K.F.a.c. ἑστήκεσαν S. Vulgo ἐπήεσαν. cf. VII. 176. Mox χάλκειαι S. et αὗται.

181.

[a] περιθεῖ om. S.V.b.

2 στερον τοῦ ἑτέρου τείχεος, στεινότερον δέ. [b] Ἐν δὲ φάρσεϊ
ἑκατέρῳ τῆς πόλιος [c] τετείχιστο ἐν μέσῳ· ἐν τῷ [d] ἦεν τὰ
βασιλήϊα, [e] περιβόλῳ μεγάλῳ τε καὶ ἰσχυρῷ· ἐν δὲ τῷ
ἑτέρῳ, Διὸς Βήλου ἱρὸν χαλκόπυλον, καὶ ἐς ἐμὲ [f] τοῦτο
3 ἔτι ἐὸν, δύο σταδίων πάντη, ἐὸν τετράγωνον. ἐν μέσῳ δὲ
τοῦ ἱροῦ πύργος στερεὸς οἰκοδόμηται, σταδίου καὶ τὸ
μῆκος καὶ τὸ εὖρος· καὶ ἐπὶ τούτῳ τῷ πύργῳ ἄλλος
πύργος ἐπιβέβηκε, καὶ ἕτερος [g] μάλα ἐπὶ τούτῳ, [h] μέ-
4 χρις οὗ ὀκτὼ πύργων. ἀνάβασις δὲ ἐς αὐτοὺς ἔξωθεν
κύκλῳ περὶ πάντας τοὺς πύργους ἔχουσα πεποίηται.
5 μεσοῦντι δέ κου τῆς ἀναβάσιος, ἔστι καταγωγή τε καὶ
θῶκοι ἀμπαυστήριοι, ἐν τοῖσι κατίζοντες ἀμπαύονται οἱ
6 ἀναβαίνοντες. ἐν δὲ [i] τῷ τελευταίῳ πύργῳ νηὸς ἔπεστι
μέγας· ἐν δὲ τῷ νηῷ κλίνη μεγάλη κέεται εὖ ἐστρωμένη,
7 [k] καί οἱ τράπεζα παρακέεται χρυσέη. ἄγαλμα δὲ οὐκ
ἔνι οὐδὲν αὐτόθι ἐνιδρυμένον· οὐδὲ νύκτα οὐδεὶς ἐναυλί-
ζεται ἀνθρώπων, ὅτι μὴ γυνὴ μούνη τῶν ἐπιχωρίων, τὴν
ἂν [l] ὁ θεὸς ἕληται ἐκ πασέων, ὡς λέγουσι οἱ Χαλδαῖοι,
182 ἐόντες ἱρέες τούτου τοῦ θεοῦ. Φασὶ δὲ [a] οἱ αὐτοὶ οὗτοι,

regiæ: Jovis Beli templum.

Jupiter Belus, et

[b] ἐν δὲ φάρσεϊ. Hiant hinc S. V.b.d. Vall. usque ad init. c. 184.

[c] Sic F. Vulgo ἐτετείχιστο.

[d] εἶεν F. ἐν τῷ μὲν corrigit Gronovius, plaudente Wesselingio, et ad Diodorum provocante II. 8. Koenius ἐν τῷ μὲν ἑνὶ—ἐν δὲ τῷ ἑτέρῳ. Vulgatam servandam putat Schweighæuserus, monens particulas Herodotum sæpe omittere, ἐν τῷ autem idem valere ac ἐν τῷ ἑνί. Ego quoque vulg. omnino sanam judico, hac fere sententia: *In utraque urbis regione munimenta extructa erant: in ea scilicet, in qua regia aula, munimentum erat* (τετείχιστο e superioribus repetendum) *vastum validumque; in altera etc.* τὰ om. Ald.

[e] Sic a.c. περιβόλῳ τε μεγάλῳ τε M.F. et forte K. Auctorem scripsisse περιβόλῳ τε μεγ. καὶ ἰσχ. suspicatur Schweighæuser: quam lect. agnoscit Ald. De Beli fano ex h. l. Eustath. Dionys. 1005.

[f] ἔτι τοῦτο F.

[g] πάλιν malebat Schweighæuserus.

[h] Rectius μέχρι ut II. 19. SCHWEIGH.

[i] τῷ om. K.

[k] Sic M.K.F.a.c. Vulg. καὶ ἡ τρ.

[l] ὁ om. c. Ald.

182.

[a] Sic K.P.F.a. edd. vett. οὗτοι

apud Ægyptios Jupiter Thebanus, cum muliere cubantes; in urbe Pataris Lyciæ, Deus [Apollo] cum antistita.

ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, τὸν θεὸν αὐτὸν φοιτᾶν τε ἐς
τὸν νηὸν, καὶ [b] ἀμπαύεσθαι ἐπὶ τῆς κλίνης, κατάπερ ἐν
Θήβῃσι τῇσι Αἰγυπτίῃσι κατὰ τὸν αὐτὸν τρόπον, ὡς λέ-
γουσι [c] οἱ Αἰγύπτιοι· καὶ γὰρ δὴ ἐκεῖθι κοιμᾶται ἐν τῷ
2 τοῦ Διὸς τοῦ Θηβαιέος γυνή· ἀμφότεραι δὲ αὗται λέ- 86
γονται ἀνδρῶν οὐδαμῶν ἐς ὁμιλίην φοιτᾶν· καὶ κατάπερ
ἐν Πατάροισι τῆς Λυκίης ἡ πρόμαντις τοῦ θεοῦ, ἐπεὰν
γένηται· οὐ γὰρ [d] ὦν αἰεί ἐστι χρηστήριον αὐτόθι· ἐπεὰν
δὲ γένηται, τότε ὦν [e] συγκατακλῄεται τὰς νύκτας ἔσω
183 [f] ἐν τῷ νηῷ. Ἔστι δὲ τοῦ ἐν Βαβυλῶνι ἱροῦ καὶ ἄλλος

Jovis Beli signum, sacrificia, festum anniversarium: alia statua furto a Xerxe ablata.

κάτω νηός· ἔνθα ἄγαλμα μέγα τοῦ Διὸς ἔνι κατήμενον
χρύσεον, καί οἱ τράπεζα μεγάλη [a] παρακέεται χρυσέη,
καὶ τὸ βάθρον οἱ καὶ ὁ θρόνος χρύσεός ἐστι· καὶ ὡς
ἔλεγον οἱ Χαλδαῖοι, ταλάντων ὀκτακοσίων χρυσίου πε-
2 ποίηται ταῦτα. ἔξω δὲ τοῦ νηοῦ, βωμός ἐστι χρύσεος.
ἔστι δὲ καὶ ἄλλος [b] βωμὸς μέγας, ὅπου θύεται τὰ τέλεα
3 τῶν προβάτων. [c] ἐπὶ γὰρ τοῦ χρυσέου βωμοῦ οὐκ ἔξεστι
4 θύειν, ὅτι μὴ γαλαθηνὰ μοῦνα. ἐπὶ δὲ τοῦ μέζονος βω-
μοῦ καὶ καταγίζουσι λιβανωτοῦ χίλια τάλαντα ἔτεος
ἑκάστου οἱ Χαλδαῖοι, τότε ἐπεὰν τὴν ὁρτὴν ἄγωσι τῷ
5 θεῷ τούτῳ. Ἦν δὲ ἐν τῷ τεμένεϊ τούτῳ ἔτι τὸν χρόνον
ἐκεῖνον καὶ ἀνδριὰς δυώδεκα [d] πηχέων, χρύσεος, στερεός.
ἐγὼ [e] μέν μιν οὐκ εἶδον· τὰ δὲ λέγεται ὑπὸ Χαλδαίων,
6 ταῦτα λέγω. τούτῳ τῷ ἀνδριάντι Δαρεῖος μὲν ὁ Ὑστά-
σπεος ἐπιβουλεύσας, οὐκ ἐτόλμησε λαβεῖν· Ξέρξης δὲ ὁ

om. Gronov. Wessel.
[b] ἀναπαύεσθαι M. K. F. a. c. Omnes ἀμπαύονται cap. præced.
[c] οἱ om. F.
[d] Sic M.K.F.a. δὴ edd. c.
[e] συγκατακλήεται K.F. v. Gronov. VII. 129.
[f] Sic K.a. ἐν τῇ νηῷ M. ἐς τὸν νηὸν c. edd. vett.

183.
[a] παρακέαται c. Ald. Mox χρύσεόν Ald.
[b] μέγας βωμὸς F.
[c] Exscripsit Athenæus IX. p. 396. D. Eustath. p. 1483, 53.
[d] Cf. ad II. 110.
[e] Sic mss. edd. vett. μέν νυν Steph. et vulg.

Δαρείου ἔλαβε, καὶ τὸν ἱρέα ἀπέκτεινε, ἀπαγορεύοντα μὴ
7 κινέειν τὸν ἀνδριάντα. τὸ μὲν δὴ ἱρὸν τοῦτο οὕτω [f] κε-
κόσμητο. ἔστι δὲ καὶ ἴδια ἀναθήματα πολλά.

184 Τῆς δὲ Βαβυλῶνος ταύτης πολλοὶ μέν κου καὶ ἄλ-
λοι ἐγένοντο [a] βασιλέες, τῶν ἐν τοῖσι Ἀσσυρίοισι λόγοισι
μνήμην ποιήσομαι, οἳ τὰ τείχεά τε [b] ἐπεκόσμησαν καὶ
2 τὰ ἱρά· ἐν δὲ δὴ [c] καὶ γυναῖκες δύο. ἡ μὲν πρότερον ἄρ-
ξασα, τῆς ὕστερον γενεῇσι [d] πέντε πρότερον γενομένη, τῇ
οὔνομα ἦν Σεμίραμις. αὕτη μὲν ἀπεδέξατο χώματα
ἀνὰ τὸ πεδίον ἐόντα [e] ἀξιοθέητα· πρότερον δὲ [f] ἐώθεε ὁ
185 ποταμὸς ἀνὰ τὸ πεδίον πᾶν πελαγίζειν. [a] Ἡ δὲ δὴ
δεύτερον γενομένη ταύτης βασίλεια, τῇ οὔνομα ἦν [b] Νίτω-
κρις, (αὕτη δὲ συνετωτέρη γενομένη τῆς πρότερον ἀρξά-
σης,) τοῦτο μὲν, μνημόσυνα ἐλίπετο τὰ ἐγὼ ἀπηγή-
σομαι· τοῦτο δὲ, τὴν Μήδων ὁρῶσα ἀρχὴν μεγάλην τε
καὶ οὐκ ἀτρεμίζουσαν, ἄλλα τε [c] ἀραιρημένα ἄστεα
αὐτοῖσι, ἐν δὲ δὴ καὶ τὴν [d] Νίνον, προεφυλάξατο ὅσα
2 ἐδύνατο μάλιστα. Πρῶτα μὲν τὸν Εὐφρήτην ποταμὸν,
[e] ῥέοντα πρότερον ἰθὺν, ὅς σφι διὰ τῆς [f] πόλιος μέσης
ῥέει, τοῦτον, ἄνωθεν διώρυχας ὀρύξασα, οὕτω δή τι ἐποίησε
σκολιὸν, ὥστε δὴ τρὶς ἐς τῶν τινὰ κωμέων τῶν ἐν τῇ Ἀσ-
3 συρίῃ ἀπικνέεται ῥέων. τῇ δὲ κώμῃ οὔνομά ἐστι, ἐς τὴν
ἀπικνέεται ὁ Εὐφρήτης, [g] Ἀρδέρικκα. καὶ νῦν οἳ [h] ἂν

Semiramis [uxor Nabonassari, qui regnavit ab a. 747 ad 733.] per campum inundari ab Euphrate solitum aggeres duxit.

Nitocris [uxor Nabuchodonosori, qui regnavit ab 87 a. 604 ad 561.] Euphratis cursum flexuosum reddit: aggerem in utraque ripa exstruit: lacunam ingenti ambitu effodit.

[f] Sic F. Vulgo κεκόσμηται.

184.

[a] βασιλῆες] βασιλέες F.a.b.c.S.
[b] ἐκόσμησαν S. qui mox ἱερά.
[c] καὶ om. F.
[d] πέντε om. K.
[e] ἀξιοθήητα S.
[f] ἔωθεν S.b.d.

185.

[a] ἡ δὲ δὴ ἡ δευτ. S. ἤδη δὲ ἡ δ. b.
[b] Νίτρωκις K. Νίτρωκρις F. et Νίτρωκρις marg. Νίτοκρις b.d.
[c] ἀναιρημένα S.
[d] Νίνον F.b.S.
[e] Sic M.K.R.F.a.c. ἐόντα S.b. d. al.
[f] πόλεως μέσα S. qui mox ἐτῶν pro ἐς τῶν.
[g] Ἀρδέρικκα M.K. Ἀρδερικὰ d. Ald. Ἀρδέρικκα b. Ἀρδέρρικα c. S. Ἀρδέρικα F. et rursus VI. 119. cum a.c.
[h] ἀγκομίζωνται S.

κομίζωνται [i] ἀπὸ τῆσδε τῆς θαλάσσης ἐς Βαβυλῶνα,
καταπλέοντες ἐς τὸν Εὐφρήτην ποταμὸν, τρίς τε ἐς τὴν
αὐτὴν [k] ταύτην κώμην παραγίνονται, καὶ ἐν τρισὶ ἡμέ-
4 ρῃσι. τοῦτο μὲν δὴ [l] τοιοῦτο ἐποίησε. Χῶμα δὲ παρ-
έχωσε παρ' ἑκάτερον τοῦ ποταμοῦ τὸ χεῖλος, ἄξιον θώυ-
5 ματος, μέγαθος καὶ ὕψος [m] ὅσον τί ἐστι. κατύπερθε δὲ
πολλῷ Βαβυλῶνος ὤρυσσε ἔλυτρον [n] λίμνῃ, ὀλίγον τι
[o] παρατείνουσα ἀπὸ τοῦ ποταμοῦ, βάθος μὲν ἐς τὸ ὕδωρ
αἰεὶ ὀρύσσουσα, εὖρος δὲ τὸ περίμετρον αὐτοῦ ποιεῦσα
εἴκοσί τε καὶ τετρακοσίων σταδίων· τὸν δὲ ὀρυσσόμενον
χοῦν ἐκ τούτου τοῦ ὀρύγματος ἀναισίμου παρὰ τὰ χεί-
6 λεα τοῦ ποταμοῦ παραχέουσα. ἐπεί τε δέ οἱ ὤρυκτο,
λίθους [p] ἀγαγομένη, κρηπῖδα κύκλῳ περὶ αὐτὴν ἤλασε.
7 Ἐποίεε δὲ ἀμφότερα ταῦτα, τόν τε ποταμὸν σκολιὸν,
καὶ τὸ ὄρυγμα πᾶν ἕλος· ὡς ὅ τε ποταμὸς βραδύτερος
εἴη, περὶ καμπὰς πολλὰς ἀγνύμενος, καὶ οἱ πλόοι ἔωσι
σκολιοὶ ἐς τὴν Βαβυλῶνα· ἔκ τε τῶν πλόων ἐκδέκηται
8 περίοδος τῆς λίμνης [q] μακρή. κατὰ τοῦτο δὲ εἰργάζετο
τῆς χώρης τῇ [r] αἵ τε ἐσβολαὶ ἦσαν, καὶ τὰ σύντομα τῆς
ἐκ Μήδων ὁδοῦ, ἵνα μὴ [s] ἐπιμισγόμενοι οἱ Μῆδοι ἐκμαν-
θάνοιεν αὐτῆς τὰ πρήγματα.

186 Fluminis labra intra urbem opere lateritio munit, et ponte jungit.

Ταῦτα μὲν δὴ ἐκ βάθεος
[a] περιεβάλετο· τοιήνδε δὲ ἐξ αὐτῶν [b] παρενθήκην ἐποιή-
2 σατο. Τῆς πόλιος [c] ἐούσης δύο φαρσέων, τοῦ δὲ ποτα-
μοῦ μέσον ἔχοντος, ἐπὶ τῶν [d] πρότερον βασιλέων ὅκως τις

[i] Sic M.K.R.F.a.c. ἀπὸ τῆς edd. b. S.
[k] ταύτην om. c.
[l] τοιοῦτον mss. Mox μέγεθος S.
[m] ὅσον om. S.
[n] λίμνῃ M.K.F.a.c. ut mox 186. Ceteri λίμνης cum S.
[o] παρακλίνασα S.V.b.d.
[p] Sic R.M.K.F.a.c. Alii ἀγομένη cum S.
[q] μακρὸς R.M.K.P.F.a.c.
[r] ἀεί τε ἐ. S. et mox ἐκ Μήδου.
[s] ἐπισμιγόμενοι K.

186.

[a] Sic F. et al. περιεβάλλετο a.b.d.S.
[b] παρεντήκην F.a.
[c] ἐόντων conj. Reiskius.
[d] Sic M.K.F. προτέρων Ald. S.a.b.c.

[e] ἐθέλοι ἐκ τοῦ ἑτέρου φάρσεος ἐς τοὔτερον διαβῆναι, χρῆν
3 πλοίῳ [f] διαβαίνειν. καὶ ἦν, ὡς ἐγὼ δοκέω, ὀχληρὸν τοῦ-
το· αὕτη δὲ καὶ τοῦτο προεῖδε. ἐπεί τε γὰρ ὤρυσσε τὸ
ἔλυτρον τῇ λίμνῃ, μνημόσυνον τόδε ἄλλο ἀπὸ τοῦ αὐτοῦ
4 ἔργου ἐλίπετο. ἐτάμνετο λίθους περιμήκεας· ὡς δέ οἱ
ἦσαν οἱ λίθοι ἑτοῖμοι, καὶ τὸ χωρίον [g] ὀρώρυκτο, ἐκ-
τρέψασα τοῦ ποταμοῦ τὸ ῥέεθρον πᾶν ἐς τὸ ὤρυσσε χω-
5 ρίον· [h] ἐν τῷ ἐπίμπλατο τοῦτο, ἐν τούτῳ [i] ἀπεξηρασμένου
τοῦ ἀρχαίου ῥεέθρου, τοῦτο μὲν, τὰ χείλεα τοῦ ποταμοῦ
κατὰ τὴν πόλιν [k] καὶ τὰς καταβάσιας, τὰς ἐκ τῶν
πυλίδων ἐς τὸν ποταμὸν φερούσας, [l] ἀνοικοδόμησε πλίν-
θοισι ὀπτῇσι, κατὰ τὸν αὐτὸν λόγον τῷ τείχεϊ· τοῦτο δὲ, 88
κατὰ μέσην κου μάλιστα τὴν πόλιν, τοῖσι λίθοισι, τοὺς
ὠρύξατο, οἰκοδόμεε γέφυραν, δέουσα τοὺς λίθους σιδήρῳ
6 τε καὶ [m] μολίβδῳ. [n] ἐπιτείνεσκε δὲ ἐπ᾽ αὐτὴν, ὅκως μὲν
ἡμέρη [o] γένοιτο, ξύλα τετράγωνα, ἐπ᾽ ὧν τὴν διάβασιν
ἐποιεῦντο [p] οἱ Βαβυλώνιοι· τὰς δὲ νύκτας τὰ ξύλα ταῦτα
[q] ἀπαιρέεσκον, τοῦδε εἵνεκα, ἵνα μὴ [r] διαφοιτέοντες τὰς
7 νύκτας κλέπτοιεν παρ᾽ ἀλλήλων. ὡς δὲ τό τε ὀρυχθὲν
λίμνη πλήρης ἐγεγόνεε ὑπὸ τοῦ ποταμοῦ, καὶ τὰ περὶ
τὴν γέφυραν ἐκεκόσμητο, τὸν Εὐφρήτην ποταμὸν ἐς τὰ
ἀρχαῖα ῥέεθρα ἐκ τῆς λίμνης [s] ἐξήγαγε· καὶ οὕτω τὸ

[e] ἐθέλει F.

[f] διαβῆναι F. Mox ἐτέμνετο S.

[g] ὀρώρυκτο K.S.F. ὠρώρυκτο M. et al. cf. Koen. ad Gregor. Dial. Ion. 23.

[h] Sic Ald. ἐν ᾧ M.K.S.F.b.c.d. Mox τοῦτο τὸ S.

[i] Sic P.F. Vulgo cum S. ἀπεξηραμένου. cf. VII. 109.

[k] Sic M.K.F.a.c.b. καὶ κατὰ τὰς κ. vulgo. καταβάσεις S.

[l] ἀνωκοδόμ. b.d.S. ὠκοδόμεε d. Mox κατὰ μέσα S.

[m] μολύβδῳ P.F.S. τοὺς λίθους om. F.

[n] Sic M.S.K. et al. ἐπετείνεσκε Ald.

[o] γένηται b.d. Ald.

[p] Sic S.V. et alii. Vulgo τοὶ Βαβ.

[q] Sic vulgo. ἀπαίρεσκον M.K. F.a.c.

[r] Sic M.K.S.a.c. διαφοιτέωντες F. φοιτέοντες b.d. et vulgo. τὰς νύκτας om. F.

[s] ἐξάγαγε Ald. ἐξήγαγε S.M.K.

ὀρυχθὲν, ἕλος [t] γενόμενον, ἐς δέον ἐδόκεε γεγονέναι, καὶ
187 τοῖσι πολιήτῃσι γέφυρα ἦν κατεσκευασμένη. Ἡ δ᾽
[a] αὐτὴ αὕτη Βασίλεια καὶ ἀπάτην τοιήνδε τινὰ ἐμη-
χανήσατο. Ὑπὲρ τῶν μάλιστα [b] λεωφόρων πυλέων τοῦ
ἄστεος τάφον ἑωυτῇ κατεσκευάσατο μετέωρον [c] ἐπιπολῆς
2 αὐτέων τῶν πυλέων. ἐνεκόλαψε δὲ ἐς τὸν τάφον γράμ-
ματα λέγοντα τάδε· ΤΩΝ ΤΙΣ ΕΜΕΥ ὙΣΤΕΡΟΝ
ΓΙΝΟΜΕΝΩΝ ΒΑΒΥΛΩΝΟΣ ΒΑΣΙΛΕΩΝ, ΗΝ
ΣΠΑΝΙΣῌ [d] ΧΡΗΜΑΤΩΝ, ΑΝΟΙΞΑΣ ΤΟΝ ΤΑ-
ΦΟΝ, ΛΑΒΕΤΩ ὉΚΟΣΑ ΒΟΥΛΕΤΑΙ ΧΡΗΜΑΤΑ.
ΜΗ ΜΕΝΤΟΙ ΓΕ ΜΗ ΣΠΑΝΙΣΑΣ ΓΕ, ΑΛΛΩΣ
3 ΑΝΟΙΞῌ. ΟΥ ΓΑΡ ΑΜΕΙΝΟΝ. Οὗτος ὁ τάφος ἦν
ἀκίνητος, [e] μέχρι οὗ ἐς Δαρεῖον περιῆλθε ἡ βασιληΐη.
4 [f] Δαρείῳ δὲ καὶ δεινὸν ἐδόκεε εἶναι τῇσι πύλῃσι ταύτῃσι
μηδὲν [g] χρέεσθαι· καὶ χρημάτων κειμένων, καὶ αὐτῶν
5 τῶν χρημάτων ἐπικαλεομένων, μὴ οὐ λαβεῖν αὐτά. τῇσι
δὲ πύλῃσι ταύτῃσι οὐδὲν ἐχρᾶτο, τοῦδε εἵνεκα, ὅτι ὑπὲρ
6 κεφαλῆς οἱ [h] ἐγίνετο ὁ νεκρὸς διεξελαύνοντι. ἀνοίξας δὲ
τὸν τάφον, εὗρε χρήματα μὲν οὔ, [i] τὸν δὲ νεκρὸν, καὶ
γράμματα λέγοντα τάδε· ΕΙ ΜΗ ΑΠΛΗΣΤΟΣ ΤΕ
[k] ΕΑΣ ΧΡΗΜΑΤΩΝ ΚΑΙ ΑΙΣΧΡΟΚΕΡΔΗΣ, ΟΥΚ

Sepulcrum ejus cum dolosa inscriptione: Darius id aperiens, delusus.

[t] γινόμενον F.a.

187.

[a] Sic M.K.F.a.c. αὕτη al. om. cum S.

[b] Sic Ald. S.V.b.d. λαοφόρων M.K.F.a.c.f.

[c] ἐπὶ πολλῆς F.

[d] χρήματα V.S.b.d. cf. Spanhem. ad Aristoph. Nub. 1288. Wess.

[e] μέχρις F.a.d.f. μέχρις ἐς Δαρεῖον S. qui mox βασιλήϊα.

[f] τῷ δὲ Δαρείῳ S. absque καί.

[g] Sic Ald. F.a.c. χρῆσθαι M.K.S.a.d.f. Mox τῇσι πύλῃσι δὲ ταύτῃσιν οὐθὲν S.

[h] ἐγίνετο F.a. ἐγίνετό οἱ f. ἐγένετο vulg. S. Mox εὗρε δὴ S.

[i] Sic K.S.P.F.a.f. Vulgo τὸν ν. δέ.

[k] ἔας M.K.F.a.c. cf. II. 19. ἔεις S.b.d. Ald. Vulgo ἔῃς. cf. III. 143. IV. 151. Huc spectat Stobæus X. 53. Maximus Tyr. XXVI. p. 319. Plutarch. II. p. 173. B. Apostol. Prov. XII. 90. Wess.

ΑΝ ΝΕΚΡΩΝ ΘΗΚΑΣ ΑΝΕΩιΓΕΣ. Αὕτη μέν νυν ἡ [1] βασίλεια τοιαύτη τις λέγεται γενέσθαι.

188 Ὁ δὲ δὴ Κῦρος ἐπὶ ταύτης τῆς γυναικὸς τὸν παῖδα ἐστρατεύετο, ἔχοντά τε τοῦ πατρὸς τοῦ ἑωυτοῦ τοὔνομα
2 [a] Λαβυνήτου καὶ τὴν Ἀσσυρίων ἀρχήν. Στρατεύεται [b] δὲ δὴ βασιλεὺς ὁ μέγας καὶ σιτίοισι εὖ [c] ἐσκευασμένοισι ἐξ οἴκου, καὶ προβάτοισι· καὶ δὴ καὶ ὕδωρ ἀπὸ τοῦ Χοάσπεω ποταμοῦ ἅμα ἄγεται τοῦ παρὰ Σοῦσα ῥέοντος, τοῦ [d] μούνου πίνει βασιλεὺς, καὶ ἄλλου οὐδενὸς
3 ποταμοῦ. τούτου δὲ τοῦ Χοάσπεω τοῦ ὕδατος ἀπεψημένου πολλαὶ κάρτα ἅμαξαι τετράκυκλοι [e] ἡμιόνειαι [f] κομίζουσαι ἐν [g] ἀγγείοισι ἀργυρέοισι, ἕπονται [h] ὅπη
189 ἂν [i] ἐλαύνῃσι ἑκάστοτε. Ἐπεί τε δὲ ὁ Κῦρος πορευόμενος ἐπὶ τὴν Βαβυλῶνα ἐγίνετο ἐπὶ Γύνδῃ ποταμῷ, τοῦ αἱ μὲν πηγαὶ ἐν [a] Ματιηνοῖσι οὔρεσι, ῥέει δὲ [b] διὰ Δαρδανέων, ἐκδιδοῖ δὲ ἐς ἕτερον ποταμὸν [c] Τίγριν· ὁ δὲ παρὰ
2 Ὦπιν πόλιν ῥέων ἐς τὴν Ἐρυθρὴν θάλασσαν ἐκδιδοῖ· τοῦτον δὴ τὸν Γύνδην ποταμὸν ὡς διαβαίνειν ἐπειρᾶτο ὁ Κῦρος, ἐόντα νηυσὶ περητὸν, ἐνθαῦτά οἱ τῶν τις ἱρῶν ἵππων τῶν λευκῶν ὑπὸ ὕβριος ἐσβὰς ἐς τὸν ποταμὸν, διαβαί-

Invadit Cyrus Labynetum: [is erat a Nitocri quartus et ultimus rex Babyloniorum:] regi Persarum in expeditionem proficiscenti, omnis vi- 89 ctus domo simul devehitur.

Gyndes amnis quo itinere fluat: ob unum e sacris equis abreptum, siccatus a Cyro, in rivos trecentos et sexaginta dispersus.

[1] βασιλήϊα S.

188.

[a] Ita Wesseling. Λαβυνίτου vulgo. Λαβυρίτου S.

[b] Sic M.K.F.a.c. δὴ S. al. om.

[c] ἐσκευασμένος conj. Schweighæuserus. ἐσκευασμένοις S.

[d] μοῦνος S.V.b. Quam lectionem Anglice reddidit Miltonus, Paradis. Recup. III. 288. *There Susa by Choaspes, amber stream, The drink of none but kings.* Ubi vid. Jortinus. μόνου F.a. Athenæus II. p. 45. B. Eustath. Dionys. 1073. Od. δ′. p. 1499, pen. = 173, 23.

[e] Sic vulgo. ἡμιόνεαι V.S.

[f] κομίζουσι R.

[g] Sic F.S. cum Athen. et Eustath. ad Dionys. Vulgo ἀργυρ. ἀγγ.

[h] ὅπη S.V.P.F. al. ὅποι.

[i] ἐλαύνῃσι M.K.F. ἐλαύνοι c. edd. ἐλαύνῃ a.b.d.S.V.P.

189.

[a] Sic M.K. Μαντίοισι V.S. Μαντιηνοῖσι F. vulg.

[b] διαρδανέων K.

[c] Τίγρην F.S. Mox περατὸν S. et paullo post om. ἱρῶν.

νειν ἐπειρᾶτο. ὁ δέ μιν [d] συμψήσας, ὑποβρύχιον οἰχώκεε
2 φέρων. [e] κάρτα τε δὴ ἐχαλέπαινε τῷ ποταμῷ ὁ Κῦρος
[f] τοῦτο ὑβρίσαντι, καί οἱ ἐπηπείλησε, οὕτω δή μιν ἀσθενέα
ποιήσειν, ὥστε τοῦ λοιποῦ καὶ γυναῖκάς μιν εὐπετέως,
3 τὸ γόνυ [g] οὐ βρεχούσας, διαβήσεσθαι. μετὰ δὲ τὴν ἀπει-
λὴν, μετεὶς τὴν ἐπὶ Βαβυλῶνα στράτευσιν, διαίρεε τὴν
στρατιὴν δίχα. διελὼν δὲ, κατέτεινε σχοινοτενέας ὑπο-
δέξας διώρυχας ὀγδώκοντα καὶ ἑκατὸν παρ᾽ ἑκάτερον τὸ
4 χεῖλος [h] τετραμμένας τοῦ Γύνδεω πάντα τρόπον. δια-
τάξας δὲ τὸν στρατὸν, ὀρύσσειν [i] ἐκέλευε. οἷα δὲ ὁμίλου
πολλοῦ ἐργαζομένου, [k] ἤνετο μὲν τὸ ἔργον, ὅμως μέντοι
τὴν θερείην πᾶσαν αὐτοῦ ταύτῃ διέτριψαν ἐργαζόμενοι.

190 Cyrus Babylonios prælio victos et in urbem compulsos, frustra obsidet.

Ὡς δὲ τὸν Γύνδην ποταμὸν ἐτίσατο [a] Κῦρος, ἐς τριηκο-
σίας καὶ ἑξήκοντά [b] μιν διώρυχας διαλαβὼν, καὶ τὸ
δεύτερον ἔαρ [c] ὑπέλαμπε, οὕτω δὴ ἤλαυνε ἐπὶ τὴν Βαβυ-
2 λῶνα. οἱ δὲ Βαβυλώνιοι ἐκστρατευσάμενοι, ἔμενον αὐτόν.
ἐπεὶ δὲ ἐγένετο ἐλαύνων ἀγχοῦ τῆς πόλιος, [d] συνέβαλόν
τε οἱ Βαβυλώνιοι, καὶ [e] ἑσσωθέντες τῇ μάχῃ, κατειλή-
3 θησαν ἐς τὸ ἄστυ. οἷα δὲ ἐξεπιστάμενοι ἔτι πρότερον τὸν
Κῦρον οὐκ ἀτρεμίζοντα, ἀλλ᾽ [f] ὁρέοντες αὐτὸν παντὶ ἔθνεϊ
ὁμοίως ἐπιχειρέοντα, [g] προεσάξαντο σιτία ἐτέων κάρτα

[d] Suidas in v. Mox οἰσχόκεε S.
[e] Sic M.K.F.a. κάρτα δὲ S. vulgo.
[f] τοῦτο ὑβρίσαντι F., quomodo correxerat Sylburgius ad Brisson. Reg. Pers. III. 98. *qui istam ei fecerat injuriam.* τούτῳ ὑ. vulg. S. cf. III. 118.
[g] Sic M.K.F.a.c. Vulgo μὴ βρ. et S.
[h] Sic F. Vulgo τοῦ Γ. τετραμμ.
[i] ἐκέλευσεν b.S.
[k] Sic K.M.P.a.c. cf. VIII. 71. ἠνύετο F.S.d.c. pro v. l. et vulg. ἠνῦτο b.

190.

[a] ὁ Κῦρος d.
[b] διώρυχάς μιν S.K.F.a.
[c] ὑπερέλαμπεν S.
[d] συνέβαλλόν b.
[e] ἐσσωθέντες S.F.b. et sic sæpius.
[f] ὁρέωντες F.
[g] Sic M.K.F.a.b.c. cf. VIII. 20. προσάξαντο S.d. et vulgo. Mox ἐνταῦτα οὗτοι λόγον μὲν S.

4 πολλῶν. Ἐνθαῦτα οὗτοι μὲν λόγον εἶχον τῆς πολιορκίης
οὐδένα· Κῦρος δὲ ἀπορίῃσι ἐνείχετο, ἅτε χρόνου τε [h] ἐγ-
γινομένου συχνοῦ, ἀνωτέρω [i] τε οὐδὲν τῶν πρηγμάτων
191 προκοπτομένων. Εἴτε [a] δὴ ὦν ἄλλος οἱ ἀπορέοντι ὑπε-
θήκατο, εἴ τε καὶ αὐτὸς ἔμαθε τὸ ποιητέον οἱ ἦν, ἐποίεε
2 δὴ τοιόνδε. τάξας τὴν στρατιὴν ἅπασαν ἐξ ἐμβολῆς τοῦ
ποταμοῦ, τῇ ἐς τὴν πόλιν ἐσβάλλει, καὶ ὄπισθε αὖτις
τῆς πόλιος τάξας ἑτέρους, τῇ [b] ἐξίει ἐκ τῆς πόλιος ὁ πο-
ταμός· προεῖπε τῷ στρατῷ, ὅταν διαβατὸν τὸ ῥέεθρον
3 ἴδωνται γενόμενον, ἐσιέναι ταύτῃ ἐς τὴν πόλιν. [c] οὕτω τε
δὴ τάξας, καὶ κατὰ ταῦτα παραινέσας, ἀπήλαυνε αὐτὸς
4 σὺν τῷ ἀχρηΐῳ τοῦ στρατοῦ. Ἀπικόμενος δὲ ἐπὶ τὴν
λίμνην, τά περ ἡ τῶν Βαβυλωνίων βασίλεια [d] ἐποίησε
κατά τε τὸν ποταμὸν καὶ κατὰ τὴν λίμνην, [e] ἐποίεε καὶ
5 ὁ Κῦρος ἕτερα τοιαῦτα. τὸν γὰρ ποταμὸν διώρυχι [f] ἐσα-
γαγὼν ἐς τὴν λίμνην ἐοῦσαν ἕλος, τὸ ἀρχαῖον [g] ῥέεθρον
διαβατὸν εἶναι ἐποίησε, ὑπονοστήσαντος τοῦ ποταμοῦ.
6 γενομένου δὲ [h] τούτου τοιούτου, οἱ Πέρσαι, οἵπερ ἐτετά-
χατο ἐπ' αὐτῷ τούτῳ κατὰ τὸ ῥέεθρον τοῦ Εὐφρήτεω
ποταμοῦ, ὑπονενοστηκότος [i] ἀνδρὶ ὡς ἐς μέσον μηρὸν μά-
7 λιστά κη, κατὰ τοῦτο [k] ἐσήεσαν ἐς τὴν Βαβυλῶνα. Εἰ
μέν νυν προεπύθοντο, [l] ἢ ἔμαθον οἱ Βαβυλώνιοι τὸ ἐκ τοῦ

Euphrate in lacunam derivato, intrans per alveum, incautos et ob festum diem lætitiæ deditos opprimit, a. 536 extremo.

[h] ἐγγιγνομένου S.
[i] Sic F.a.c. Vulgo δέ.

191.

[a] δὴ del. m. sec. F.
[b] Sic M.K.a. ἐξίει F. ἐξήει Ald. b.c.d.V.S. ἐξιεῖ Schæfer. cf. c. 180.
[c] Sic M.K.F.a.c. τε om. b.d. S. et al.
[d] ἐποίεε F. Mox τε om. S.
[e] ἐποίεε καὶ—τὴν λίμνην om. b.d.S.
[f] Sic P.F.a. εἰσαγ. edd. vett.
[g] ῥέεθρον—ῥέεθρον om. F. ubi tamen alia manus infra sic supplevit: τὸ ἀρχαῖον ῥέεθρον, τοῦ Εὐφρήτεω ποταμοῦ ὑπονενοστηκότος, ἐποίησεν εἶναι δυσβατὸν ἀνδρὶ ὡς ἐς μ.
[h] Sic V.S.M.K. Paris. Vulgo τοῦ τ. Mox Εὐφράτεω S.
[i] Sic R.K.M.P.F.a.c. ἀνδρείως al. S. Mox κη om. S.
[k] ἐσήισαν F.
[l] οἱ Βαβ. ἢ ἔμαθον S.

Κύρου ποιεύμενον, [m] οὐδ᾽ ἂν, περιϊδόντες τοὺς Πέρσας
8 ἐσελθεῖν ἐς τὴν πόλιν, διέφθειραν κάκιστα. [n] κατακληΐσαντες γὰρ ἂν πάσας τὰς ἐς τὸν ποταμὸν πυλίδας ἐχούσας, καὶ αὐτοὶ ἐπὶ τὰς αἱμασιὰς ἀναβάντες τὰς παρὰ τὰ χείλεα τοῦ ποταμοῦ ἐληλαμένας, ἔλαβον ἄν
9 σφεας ὡς ἐν [o] κύρτῃ. νῦν δὲ ἐξ ἀπροσδοκήτου σφι παρέστησαν οἱ Πέρσαι. ὑπὸ δὲ μεγάθεος τῆς πόλιος, ὡς λέγεται ὑπὸ τῶν ταύτῃ οἰκημένων, τῶν περὶ τὰ ἔσχατα τῆς πόλιος ἑαλωκότων, τοὺς τὸ μέσον οἰκέοντας τῶν Βαβυλωνίων οὐ μανθάνειν ἑαλωκότας· ἀλλὰ (τυχεῖν γάρ σφι ἐοῦσαν ὁρτὴν) χορεύειν τε τοῦτον τὸν χρόνον, καὶ ἐν εὐπαθείῃσι εἶναι, ἐς ὃ δὴ καὶ τὸ κάρτα ἐπύθοντο. καὶ Βαβυλὼν μὲν [p] οὕτω τότε πρῶτον [q] ἀραίρητο.

192 Babylonica regio trientem æquat potentiæ Asiaticæ. Tritantæchmes: artaba: equorum fœtura: canes Indici.

Τὴν δὲ δύναμιν τῶν Βαβυλωνίων πολλοῖσι μὲν καὶ ἄλλοισι δηλώσω ὅση τίς ἐστι, ἐν δὲ δὴ καὶ τῷδε. Βασιλέϊ τῷ μεγάλῳ ἐς τροφὴν αὐτοῦ τε καὶ τῆς στρατιῆς διαραίρηται, πάρεξ τοῦ φόρου, γῆ πᾶσα ὅσης ἄρχει.
2 δυώδεκα ὦν μηνῶν ἐόντων ἐς τὸν ἐνιαυτὸν, τοὺς [a] τέσσερας μῆνας τρέφει μιν ἡ Βαβυλωνίη [b] χώρη· τοὺς δὲ ὀκτὼ
3 τῶν μηνῶν, ἡ λοιπὴ πᾶσα Ἀσίη. οὕτω [c] τριτημορίη [d] ἡ

[m] οὐκ ἂν Schweighæuserus cum d. οὐ μὰν S.b. Ald. οὐδ᾽ ἂν F.a.c. et sic ut credibile est M.K. quod cum Schæfero revocandum putavi. Negligentia scriptoris potius quam librarii deesse videtur superioris commatis apodosis, v. g. ἐσώθησαν ἂν vel aliquid hujusmodi.

[n] κατακλείσαντες S.d. κατακλῄσαντες F.

[o] Hinc Pollux X. 160. κυρτήῳ S. Scil. monente Schweighæusero, duæ lectiones κύρτῃ et κύρτῳ coaluerunt. Mox μεγέθεος S.

[p] Sic M.K.F.a.c. τοτε om. S. b.d. et vulgo. Supra rectius esset εὐπαθίῃσι.

[q] Sic P.F.a.c. et forte alii. cf. VII. 83. IX. 102. Vulgo ἀναίρητο. Elementa ρ ν sæpius permutari notum est.

192.

[a] Sic R.K.M. Δ΄. F. τέσσαρας b.c.d.S. Ald. In princ. ἐν δὲ δὴ S. qui post δώδεκα. μῆνας om. Ald. b.d.S.R.K. cf. Eustath. Dionys. 1005.

[b] χώρα F.

[c] Sic K.P.F. Vulgo τριτημοιρίη cum S.

[d] ἡ Ἀσσυρίη] Desunt hæ vv.

Ἀσσυρίη χώρη τῇ δυνάμει τῆς ἄλλης Ἀσίης· καὶ ἡ ἀρ-
χὴ τῆς χώρης ταύτης, τὴν οἱ Πέρσαι [e] σατραπηΐην κα- 91
λέουσι, ἔστι ἁπασέων τῶν ἀρχέων πολλόν τι κρατίστη·
ὅκου [f] Τριτανταίχμῃ τῷ Ἀρταβάζου ἐκ βασιλέως ἔχοντι
τὸν νομὸν τοῦτον, ἀργυρίου μὲν προσήιε ἑκάστης ἡμέρης
ἀρτάβη μεστή· ἡ δὲ ἀρτάβη, μέτρον [g] ἐὸν Περσικὸν,
χωρέει μεδίμνου [h] Ἀττικῆς πλεῖον χοίνιξι τρισὶ [i] Ἀττι-
4 κῆσι. ἵπποι δέ οἱ αὐτοῦ ἦσαν ἰδίῃ, πάρεξ τῶν [k] πολεμι-
στηρίων, οἱ μὲν ἀναβαίνοντες τὰς [l] θηλέας, ὀκτακόσιοι·
αἱ δὲ βαινόμεναι, ἑξακισχίλιαι καὶ μύριαι. ἀνέβαινε
5 γὰρ ἕκαστος τῶν [m] ἐρσένων τούτων εἴκοσι ἵππους. κυνῶν
δὲ Ἰνδικῶν [n] τοσοῦτο δή τι πλῆθος ἐτρέφετο, ὥστε [o] τέσ-
σερες τῶν ἐν τῷ πεδίῳ κῶμαι μεγάλαι, τῶν ἄλλων
ἐοῦσαι ἀτελέες, τοῖσι κυσὶ προσετετάχατο σιτία παρ- 1
έχειν. τοιαῦτα μὲν τῷ ἄρχοντι τῆς Βαβυλῶνος ὑπῆρχε
193 ἐόντα. Ἡ δὲ γῆ τῶν Ἀσσυρίων ὕεται μὲν [a] ὀλίγῳ, καὶ
τὸ [b] ἐκτρέφον τὴν ῥίζαν τοῦ σίτου ἐστὶ τοῦτο. [c] ἀρδόμενον

Ager Babylonius quomodo irrigetur: fer-

S.b.d. Ald. Vall. sed habent M. F.a.c. et forte K.P. Retinuit Schweighæuserus, monens, Herodoto synonyma esse *Assyriacam* terram et *Babylonicam*. cf. 178. et 193.

[e] σατραπίην S.d.F. cf. III. 89.

[f] Sic K.a.c. Eustath. Il. υ΄. p. 1206, 17=1281, fin. Τριτανταίγμη M. Τριπαναίχμη F. Τριταίχμη Ald. S.b.d. Tzetzes Chil. III. p. 305. Schol. Hesiod. Opp. 589. cf. VII. 82. 121.

[g] Sic M.K.R.P.F.a.c. ἐστὶ—χωρέον Ald. b.d.S.

[h] Sic M.K.R.P.F.a.c. Ἀττικοῦ Ald. b.d.S.

[i] Ἀττικοῖσι b.d.

[k] Sic M.R.K.P.F.a.c. cf. V. 113. ubi πολεμιστήρια ἅρματα. πολεμιστέων Ald. S.V.b.d. Eustath. l. c. probante Wesselingio et citante ex Strabon. XV. p. 1023 =698. de Bucephalo πολεμιστὴς ἀγαθὸς, necnon ἵπποι πολεμισταὶ ex Diod. Sicul. II. 41.

[l] Sic K.F.a.c. Alii cum S. θηλείας. cf. III. 85.

[m] ἀρσένων S.K.a.b.c.d.

[n] τοσοῦτο S.K.F.a.c. Vulgo τοσοῦτον.

[o] τέσσαρες omnes ante Gronov.

193.

[a] ὀλίγον S.

[b] ἐκτρέφων c.b. ἐκτρέφειν d. ἐκτρέφει S.

[c] Sic M.K.R.F.a.b.c.d. ἀρδευόμενον edd. S. Mox ἀρδόμενος habent edd. τε om. S.

tilissimus frugum, arborum sterilis: oleum ex sesamo: ex palma panes et vinum et mel.

μέντοι ἐκ τοῦ ποταμοῦ ἀδρύνεταί τε τὸ λήϊον, καὶ παρα-
γίνεται ὁ σῖτος· οὐ, κατάπερ ἐν Αἰγύπτῳ, αὐτοῦ τοῦ
ποταμοῦ ἀναβαίνοντος ἐς τὰς ἀρούρας, ἀλλὰ χερσί τε
2 καὶ [d] κηλωνηΐοισι ἀρδόμενος. ἡ γὰρ Βαβυλωνίη χώρη
πᾶσα, κατάπερ ἡ Αἰγυπτίη, κατατέτμηται ἐς διώρυ-
χας· καὶ ἡ μεγίστη τῶν διωρύχων ἐστὶ [e] νηυσιπέρητος,
πρὸς ἥλιον τετραμμένη τὸν χειμερινόν· ἐσέχει δὲ ἐς ἄλλον
ποταμὸν ἐκ τοῦ Εὐφρήτεω, ἐς τὸν [f] Τίγριν, παρ᾽ ὃν [g] Νῖνος
3 πόλις [h] οἴκητο. ἔστι δὲ χωρέων αὕτη [i] ἁπασέων μακρῷ
4 ἀρίστη, τῶν ἡμεῖς ἴδμεν, Δήμητρος καρπὸν ἐκφέρειν. τὰ
γὰρ δὴ ἄλλα δένδρεα οὐδὲ πειρᾶται ἀρχὴν φέρειν, οὔτε
συκέην, οὔτε ἄμπελον, οὔτε ἐλαίην· τὸν δὲ τῆς Δήμητρος
καρπὸν ὧδε ἀγαθὴ ἐκφέρειν ἐστὶ, ὥστε [k] ἐπὶ διηκόσια
μὲν τὸ παράπαν ἀποδιδοῖ· [l] ἐπεὰν δὲ ἄριστα αὐτὴ
5 ἑωυτῆς ἐνείκῃ, ἐπὶ τριηκόσια ἐκφέρει. τὰ δὲ φύλλα αὐ-
τόθι τῶν τε πυρῶν καὶ τῶν κριθέων τὸ πλάτος γίνεται
6 [m] τεσσέρων [n] εὐπετέως δακτύλων. ἐκ δὲ κέγχρου καὶ
σησάμου ὅσον τι [o] δένδρον [p] μέγαθος γίνεται, ἐξεπιστά-
μενος, μνήμην οὐ ποιήσομαι· εὖ εἰδὼς ὅτι τοῖσι μὴ ἀπιγ-
μένοισι ἐς τὴν Βαβυλωνίην χώρην, καὶ τὰ εἰρημένα [q] καρ-

[d] Sic M.K.P.F.c.b. κηλονηΐοισι a. κηλωνίοισι d. et vulg. cf. Pollux VII. 143. Schol. in P. γερανίοις. ἐκ τοῦ κηλοῦ. Ὅμηρος, αὖα περίκηλα (Od. ε΄. 240.) χερσί τε ἰδίοισιν ἀρδόμενος S. Mox πάσῃ et ἡ Αἴγυπτος S.

[e] Sic F.a.c. νηυσὶ περητὸς Ald. Vulgo νηυσὶ περιττός. νηυσὶ πέριττος S. qui mox Εὐφράτεω.

[f] Τίγρην S.F.

[g] Νίνος F.b.d.S.

[h] Sic K. οἰκώκητο S.V.d. οἱ ᾤκητο M.a.c. οἷ ὤκητο F. οἰώκητο R. οἰκέαται vulg. Monet Schweighæuserus, perperam junctas esse in mss. duas diversas scripturas.

[i] πασέων F. χωρέων πασέων αὕτη S.

[k] ἐπὶ om. d.

[l] Sic Ald. b.d. Koen. Gregor. Dial. Ion. 55. ἐπειδὰν δὲ M.K. F.a.c. ἐπ᾽ ἐὰν S. et sic plerumque. Mox ἐκφέρειν S.

[m] τεσσάρων F.a.b.c.d.S. Ald.

[n] εὐπετέως M.R.K.S.V.F.a.c. εὐπετέων b.d. vulgo.

[o] Sic M.K.S.F. Paris. δένδρου Ald. δένδρεον malebat Schweigh.

[p] μέγεθος S.V.

[q] Sic F.a.c. P.S. καρπὸν al. Mox dedi χρέονται ex S.

7 πῶν ἐχόμενα ἐς ἀπιστίην πολλὴν ἀπῖκται. χρέονται 92
δὲ οὐδὲν ἐλαίῳ, ἀλλ' ἐκ τῶν σησάμων [r] ποιεῦντες. [s] εἰσὶ
δέ σφι φοίνικες πεφυκότες ἀνὰ πᾶν τὸ πεδίον· οἱ πλεῦ-
νες [t] αὐτῶν καρποφόροι, ἐκ τῶν καὶ σιτία καὶ οἶνον καὶ
8 μέλι [v] ποιεῦνται· τοὺς [w] συκέων τρόπον θεραπεύουσι, τά
τε ἄλλα, καὶ φοινίκων [x] τοὺς ἔρσενας Ἕλληνες κα-
λέουσι, [y] τούτων τὸν καρπὸν περιδέουσι [z] τῇσι βαλανη-
φόροισι τῶν φοινίκων, ἵνα [a] πεπαίνῃ τέ σφι ὁ ψὴν [b] τὴν
βάλανον [c] ἐσδύνων, καὶ μὴ [d] ἀπορρέῃ ὁ καρπὸς [e] ὁ τοῦ
9 φοίνικος. ψῆνας γὰρ δὴ [f] φορέουσι ἐν τῷ καρπῷ οἱ [g] ἔρ-
σενες, [h] κατάπερ δὴ οἱ [i] ὄλυνθοι.

Navium onerariarum ex Armenia venientium structura et ornatus.

194 Τὸ δὲ ἁπάντων θῶυμα μέγιστόν μοί ἐστι τῶν ταύτῃ,
2 μετά γε [a] αὐτὴν τὴν πόλιν, ἔρχομαι φράσων. τὰ πλοῖα
αὐτοῖσί ἐστι τὰ κατὰ τὸν ποταμὸν πορευόμενα ἐς τὴν
3 Βαβυλῶνα, ἐόντα κυκλοτερέα, πάντα σκύτινα. ἐπεὰν

[r] ποιεῦνται S.

[s] εἰσὶ δὲ etc. Citat Athenæus XIV. p. 651.

[t] αὐτέων] αὐτῶν M.S.K.F.a.b.c.d. Athen. Suspicatur Schweighæuserus, Aldum deliberato constanter αὐτέων edidisse, etiam ubi αὐτῶν ipsius codices dabant.

[v] ποιέονται Athen.

[w] συκῶν S.b.d. συκεῶν Athenæi ms.

[x] ἄρσενας d.S. cum γρ. ἔρσ. in marg. Notat Schweighæuserus, "in codd. diligenter scriptis articulum præpositivum, "ubi Ionico more pro relativo "pronomine ponitur, peculiari "nota solere insigniri. Sic h. l. "et mox in a. et Ald. post τοὺς "levis distinctio interponitur: "in F. τοῦ̀ς sic scribitur geminato accentu: in quo cod. "hæc ratio constanter servatur, infra τοῦ̀ς, τὸ̀ δὲ init. c. "seq. etc." Eadem ratio, quæ in ed. Ald., fere semper servatur in S. scil. ut post τὸ, τοῦ, τῷ, τὸν, τῶν, τοὺς, etc. comma ponatur.

[y] Sic F.c. et forte alii. Vulgo τοῦτον cum S.

[z] τοῖσι d. Tum βαλανιφόροισι S.

[a] Sic Salmasius ad Solin. p. 738. et Valckenærius. Vulgo πεπαίνηται. πεπένηται S.

[b] τὴν βαλάνην S.

[c] ἐνδύνων Athenæi mss.

[d] ἀπορρείῃ Athen.

[e] ὁ om. F.a. Athen.

[f] Sic Athen. Vulgo φέρουσι.

[g] Sic Athen. F.a.c. ἄρσενες S.d.

[h] Sic S.V.a.b.c.d. δὴ om. M.F.

[i] ὀλύνθιοι d. ὄλονθοι F. et constanter Athenæus.

194.

[a] Sic K.S.F.a.b. Vulgo τὴν πόλιν αὐτήν. In pr. θώϋμον S. ubi μετὰ δὲ αὐτήν.

γὰρ ἐν τοῖσι Ἀρμενίοισι, [b] τοῖσι κατύπερθε Ἀσσυρίων οἰ-
κημένοισι, νομέας ἰτέης ταμόμενοι [c] ποιήσωνται, περι-
τείνουσι τούτοισι [d] διφθέρας [e] στεγαστρίδας ἔξωθεν, ἐδά-
φεος τρόπον, οὔτε πρύμνην ἀποκρίνοντες, οὔτε πρώρην
συνάγοντες, ἀλλ᾽ ἀσπίδος τρόπον κυκλοτερέα ποιήσαν-
4 τες. καὶ καλάμης πλήσαντες πᾶν τὸ πλοῖον [f] τοῦτο,
[g] ἀπιᾶσι κατὰ τὸν ποταμὸν φέρεσθαι, φορτίων πλήσαν-
τες· μάλιστα δὲ [h] βίκους [i] φοινικηΐους κατάγουσι οἴνου
πλέους. ἰθύνεται δὲ ὑπό τε δύο πλήκτρων, καὶ δύο ἀν-
δρῶν ὀρθῶν ἑστεώτων· καὶ ὁ μὲν ἔσω ἕλκει τὸ πλῆκτρον,
5 ὁ δὲ ἔξω ὠθέει. ποιέεται δὲ [k] καὶ κάρτα μεγάλα ταῦτα
τὰ πλοῖα, καὶ ἐλάσσω· τὰ δὲ μέγιστα [l] αὐτῶν, καὶ
πεντακισχιλίων ταλάντων γόμον ἔχει. ἐν ἑκάστῳ δὲ
πλοίῳ ὄνος [m] ζωὸς ἔνεστι, ἐν δὲ τοῖσι μέζοσι πλεῦνες.
6 ἐπεὰν [n] ὦν ἀπίκωνται πλέοντες ἐς τὴν Βαβυλῶνα, καὶ
διαθέωνται τὸν φόρτον, νομέας μὲν τοῦ πλοίου καὶ τὴν
καλάμην πᾶσαν [o] ἀπ᾽ ὦν ἐκήρυξαν· τὰς δὲ διφθέρας
[p] ἐπισάξαντες ἐπὶ τοὺς ὄνους, ἀπελαύνουσι ἐς τοὺς Ἀρ- 93
7 μενίους. ἀνὰ τὸν ποταμὸν γὰρ δὴ οὐκ οἷά τέ ἐστι πλέειν
οὐδενὶ τρόπῳ, ὑπὸ τάχεος τοῦ ποταμοῦ. διὰ γὰρ ταῦτα
καὶ οὐκ ἐκ ξύλων ποιεῦνται τὰ πλοῖα, ἀλλ᾽ ἐκ [q] διφ-

[b] τοῖσι om. S.b.d. Supra τὸν om. S. ante ποταμόν.

[c] ποιήσονται F.b.

[d] διφθερέας d.

[e] τεγαστρίδας F.

[f] τούτοις S.V.

[g] ἀπιεῖσι M.K.F.a.c.

[h] κίκους K. βικοὺς F. βίκοὺς (sic) a.

[i] φοινικηΐου Valla, probante Wesselingio. Vulgo φοινικηΐους, quod contra mss. mutatum nolit Dobræus ad Aristoph. Plut. 718.

[k] καὶ om b. δὲ om. S. ante καὶ, ubi μεγάλα δέ.

[l] αὐτέων] αὐτῶν F.a.b.c.d.S.

[m] Sic P.F.a.c. ζοὼς K. ζὼς S. ζῶς vulgo. Vera scriptura est ζοός.

[n] Sic mss. Vulgo οὖν.

[o] Sic F. ἀπινεκήρυξαν (ε supra ι) M.K. ἀπινεκήρυξεν P. Vulgo ἀπεκήρυξαν.

[p] Hinc Pollux VII. 186. ἐπεισάξαντες S.

[q] διφθέρων S. qui mox αὖθις pro ἄλλα, et ποιεῦνται τὰ πλοῖα.

8 θερέων. ἐπεὰν δὲ τοὺς ὄνους ἐλαύνοντες ἀπίκωνται ὀπίσω
ἐς τοὺς Ἀρμενίους, ἄλλα τρόπῳ τῷ αὐτῷ ποιεῦνται
195 πλοῖα. τὰ μὲν δὴ πλοῖα αὐτοῖσί ἐστι τοιαῦτα. Ἐσθῆτι
δὲ τοιῇδε χρέωνται, κιθῶνι ποδηνεκέϊ λινέῳ· καὶ [a] ἐπὶ
τοῦτον ἄλλον [b] εἰρίνεον κιθῶνα ἐπενδύνει, καὶ χλανίδιον
λευκὸν [c] περιβαλλόμενος, ὑποδήματα ἔχων ἐπιχώρια,
2 παραπλήσια [d] τῇσι Βοιωτίῃσι ἐμβάσι. κομῶντες δὲ, τὰς
κεφαλὰς μίτρῃσι ἀναδέονται, μεμυρισμένοι πᾶν τὸ σῶμα.
3 σφρηγῖδα δὲ ἕκαστος ἔχει, καὶ σκῆπτρον χειροποίητον·
ἐπ' ἑκάστῳ δὲ σκήπτρῳ ἔπεστι πεποιημένον ἢ μῆλον, ἢ
4 ῥόδον, ἢ κρίνον, ἢ [e] αἰετὸς, ἢ ἄλλο τι. ἄνευ γὰρ ἐπισήμου
οὔ σφι νόμος ἐστὶ ἔχειν σκῆπτρον. αὕτη μὲν δή σφι
ἄρτισις περὶ τὸ σῶμα ἐστί.

Corporum cultus apud Babylonios.

196 Νόμοι δὲ [a] αὐτοῖσι ὧδε [b] κατεστέαται. ὁ μὲν σοφώ-
τατος ὅδε, κατὰ γνώμην τὴν ἡμετέρην, τῷ καὶ Ἰλλυριῶν
2 Ἐνετοὺς πυνθάνομαι χρῆσθαι. κατὰ κώμας ἑκάστας
ἅπαξ τοῦ ἔτεος ἑκάστου ἐποιέετο τάδε. ὡς ἂν αἱ παρ-
θένοι [c] γινοίατο γάμων ὡραῖαι, ταύτας ὅκως [d] συναγά-
γοιεν πάσας, ἐς ἓν χωρίον ἐσάγεσκον ἀλέας· πέριξ δὲ
3 αὐτὰς [e] ἵστατο ὅμιλος ἀνδρῶν. [f] ἀνιστὰς δὲ κατὰ [g] μίαν
ἑκάστην κήρυξ πωλέεσκε, πρῶτα μὲν τὴν εὐειδεστάτην
ἐκ πασέων· μετὰ δὲ, ὅκως [h] αὕτη εὑροῦσα πολλὸν χρυ-

Legem de puellis pulchris in matrimonium vendendis, et deformibus ex eo pretio dotandis, apud victos desiisse, meretriciumque a tenuioribus fieri cœptum.

195.

[a] Sic M.K.P.R.S.F. Paris. Al. ἐπὶ τούτῳ.

[b] Sic K.P.F.a.c. ἐρίνεον S. ἠρίνεον edd. b. ἠριναῖον d.

[c] Sic M.K.F.a.c. περιβαλλόμενοι ὑ. ἔχουσι Ald. Wesseling. cujus vid. not. περιβαλλόμενοι—εἶχον S.

[d] τοῖσι Βοιωτίοισιν V.S. Βοιωτῇσι F. textu, Βοιωτίῃσι suprasc. Βοιωτικῇσι Ald. ἐμβᾶσι. κωμῶντες S. qui mox μήτρησιν.—σφιγίδα.

[e] ἀετὸς b. Mox ἄρτησις S.

196.

[a] αὐτῇσι F.

[b] κατεστέασι F. ut infra 200.

[c] Sic S.F.a.c.d. Vulgo γενοίατο.

[d] συνάγοιεν S.

[e] ἵσταται F.

[f] ἀναστὰς b. Ald.

[g] μίην] μίαν M.K.F.a.S.

[h] αὔτη F. Vulgo αὐτή.

σίον [i] πρηθείη, ἄλλην ἀνεκήρυσσε, ἣ μετ' ἐκείνην ἔσκε
4 εὐειδεστάτη. ἐπωλέοντο δὲ ἐπὶ συνοικήσει. ὅσοι μὲν δὴ
ἔσκον εὐδαίμονες τῶν Βαβυλωνίων ἐπίγαμοι, ὑπερβάλ-
λοντες ἀλλήλους ἐξωνέοντο τὰς καλλιστευούσας· ὅσοι δὲ
τοῦ δήμου ἔσκον ἐπίγαμοι, οὗτοι δὲ εἴδεος μὲν οὐδὲν
ἐδέοντο χρηστοῦ, οἱ δ' ἂν χρήματά τε καὶ αἰσχίονας
5 παρθένους ἐλάμβανον. ὡς γὰρ [k] διεξέλθοι ὁ κήρυξ πω-
λέων τὰς εὐειδεστάτας τῶν παρθένων, ἀνίστη ἂν τὴν [l] ἀμορ-
φεστάτην, [m] ἢ εἴ τις αὐτέων [n] ἔμπηρος [nn] ἦε, καὶ ταύτην
ἀνεκήρυσσε, ὅστις [o] θέλοι, ἐλάχιστον χρυσίον [p] λαβὼν,
συνοικέειν αὐτῇ· ἐς ὃ τῷ τὸ ἐλάχιστον [q] ὑπισταμένῳ
6 [r] προσεκέετο. τὸ δὲ ἂν χρυσίον ἐγίνετο ἀπὸ τῶν εὐειδέων
παρθένων· καὶ οὕτω αἱ εὔμορφοι τὰς ἀμόρφους καὶ ἐμ-
7 πήρους ἐξεδίδοσαν. [s] ἐκδοῦναι δὲ τὴν ἑωυτοῦ θυγατέρα 94
ὅτεῳ βούλοιτο ἕκαστος οὐκ ἐξῆν, οὐδὲ ἄνευ [t] ἐγγυητέω
[v] ἀπαγαγέσθαι τὴν παρθένον πριάμενον, ἀλλ' ἐγγυητὰς
χρῆν καταστήσαντα, [w] ἦ μὴν συνοικήσειν αὐτῇ, οὕτω [x] ἂν
ἄγεσθαι· εἰ δὲ μὴ συμφεροίατο, ἀποφέρειν τὸ χρυσίον

[i] Sic M.K.V.S.F. πραθείη c. et al. ἔσκεν εὐειδεστάτην d. Mox ἔσχον S. bis. ubi οὗτοι δή.

[k] διεξέλθοι Berglerus et alii. Vulgo δὴ οἱ ἐξέλθοι. Particulam δὴ retinuit Schweighæuser. Mox πολέων S.

[l] Sic M.K.S.R.V.F.a.c. Eustath. Od. β'. p. 1441, 10=89, 40. ἀμορφοτάτην edd. ἀμορφωτάτην b.d.

[m] ἢ om. b.d.S. Ald. Mox αὐτέων F. αὐτῶν a.d.S. αὐτῆς b.

[n] ἔμπειρος Ald. d. et mox ἐμπείρους. ἦ

[nn] ἦ K. ἦν S. εἶ F.

[o] Sic M.K.S.F.a.c. θέλει Ald. et alii.

[p] Sic S. βαλὼν M.P. Ald. Mox τῷ om. S.

[q] Sic V.R.M.K.S.F.a. ἐπισταμένῳ c.b.d. vett. edd.

[r] προσεκέετο F. Vulgo προσέκειτο.

[s] ἐκδοῦναι δὲ τ. ἑ. θ. om. S.b.d.

[t] ἐγγυητέω F.a.b.c.d. ἐγγυήτεω K.S.P. ἐγγυητέων edd.

[v] ἀπάγεσθαι P.F.a. Mox χρὴ S.

[w] Sic omnes libri. ἦ μὲν Reizius et Schæferus. cf. Koen. ad Gregor. Dial. Ion. 62.

[x] Sic K.P.F.a.c. ἀγάγεσθαι V. ἀνάγεσθαι S.b.d. edd. vett. ἀπάγεσθαι M. Quam lectionem suspicatur Schweighæuserus ad ἀπαγαγέσθαι paullo supra referri a Gronovio debuisse.

8 [y] ἐκέετο νόμος. ἐξῆν δὲ καὶ ἐξ ἄλλης ἐλθόντα κώμης τὸν
βουλόμενον ὠνέεσθαι. ὁ [z] μέν νυν κάλλιστος νόμος, οὗτός
9 σφι ἦν· οὐ μέντοι νῦν [a] γε [b] διετέλεσε ἐών. ἄλλο [c] δέ τι
ἐξευρήκασι νεωστὶ γενέσθαι, ἵνα μὴ ἀδικοῖεν αὐτὰς, μήδ'
ἐς ἑτέρην πόλιν ἄγωνται· ἐπεί τε γὰρ ἁλόντες ἐκακώ-
θησαν καὶ [d] οἰκοφθορήθησαν, πᾶς τις τοῦ δήμου, [e] βίου
197 σπανίζων, καταπορνεύει τὰ θήλεα τέκνα. Δεύτερος δὲ
σοφίῃ ὅδε ἄλλος σφι νόμος κατεστήκεε. τοὺς κάμνοντας
ἐς τὴν ἀγορὴν [a] ἐκφορέουσι· οὐ γὰρ δὴ χρέωνται ἰητροῖσι.
2 προσιόντες ὦν πρὸς τὸν κάμνοντα, συμβουλεύουσι περὶ
τῆς [b] νούσου, εἴ τις καὶ αὐτὸς [c] τοιοῦτο ἔπαθε, [d] ὁκοῖον
3 ἔχει ὁ κάμνων, ἢ ἄλλον εἶδε παθόντα. ταῦτα προσιόντες
συμβουλεύουσι, καὶ παραινέουσι [e] ἅσσα αὐτὸς ποιήσας
4 ἐξέφυγε ὁμοίην νοῦσον, ἢ ἄλλον εἶδε ἐκφυγόντα. σιγῇ
δὲ παρεξελθεῖν τὸν κάμνοντα [f] οὔ σφι ἔξεστι, πρὶν ἂν
198 ἐπείρηται ἥντινα νοῦσον [g] ἔχει. Ταφαὶ δέ σφι ἐν μέλιτι.
2 θρῆνοι δὲ παραπλήσιοι τοῖσι ἐν Αἰγύπτῳ. ὁσάκις δ' ἂν
μιχθῇ γυναικὶ τῇ ἑωυτοῦ ἀνὴρ Βαβυλώνιος, [a] περὶ θυ-
μίημα καταγιζόμενον ἵζει· ἑτέρωθι δὲ ἡ γυνὴ τὠυτὸ τοῦτο
3 ποιέει. ὄρθρου δὲ γενομένου, λοῦνται [b] καὶ ἀμφότεροι·
ἄγγεος γὰρ οὐδενὸς ἅψονται πρὶν ἂν λούσωνται. ταὐτὰ
δὲ ταῦτα καὶ Ἀράβιοι [c] ποιεῦσι.

Lex de ægrotis in foro exponendis.

Sepultura et luctus: vir et mulier ante concubitum et post quid faciant.

[y] Sic F. Vulgo ἔκειτο.
[z] μέν νιν a.c.
[a] γε om. b.d.
[b] Sic R.F.a.c. διετέλεσσε M.K. διετέλεε vulg. διετέλεεν S.
[c] δ' ἐπεξευρήκασι F. Mox ἑτέραν S.
[d] οἰκοφορήθ. F.
[e] βίου om. S.

197.
[a] ἐκφέρουσιν S.b.d.
[b] νόσου F.a.c.S.
[c] Sic F.a.c. Vulgo τοιοῦτον cum S.
[d] Sic S.P. ὁκοῖον ἂν ἔχοι F. vulgo. ὁκοῖον ἂν ἔχῃ c.b.
[e] ἅττα S. Mox ὁμοίην νοῦσον om. c. infra τὸν κάμνοντα om. S.b.d.
[f] Ita mss. vulgo οὔπω. Supra δὲ om. S.
[g] Sic P.F.a.b.S. Vulgo ἔχῃ.

198.
[a] Sic mss. Vulgo πυρί. Heinsius apud Jungerman. ad Polluc. I. 76. conjecerat παρά. Mox ποιεῖ S.
[b] Sic M.K.F. καὶ al. om.
[c] Sic M.K.F. ποιέουσι ceteri cum S.

199 Lex turpissima de cultu Mylittæ, Veneris Assyriæ.

[a] Ὁ δὲ δὴ αἴσχιστος τῶν νόμων ἐστι τοῖσι Βαβυλω-
νίοισι ὅδε. δεῖ πᾶσαν γυναῖκα ἐπιχωρίην ἱζομένην ἐς
ἱρὸν Ἀφροδίτης, ἅπαξ ἐν τῇ [b] ζόῃ μιχθῆναι ἀνδρὶ ξείνῳ.
2 πολλαὶ δὲ καὶ οὐκ ἀξιεύμεναι ἀναμίσγεσθαι τῇσι ἄλ-
λῃσι, οἷα πλούτῳ ὑπερφρονέουσαι, ἐπὶ ζευγέων [c] ἐν κα-
μάρῃσι ἐλάσασαι, πρὸς τὸ ἱρὸν [d] ἑστᾶσι· θεραπηΐη δέ
3 σφι [e] ὄπισθεν ἕπεται πολλή. αἱ δὲ πλεῦνες ποιεῦσι ὧδε.
ἐν τεμένεϊ Ἀφροδίτης κατέαται, στέφανον περὶ τῇσι κε-
φαλῇσι ἔχουσαι θώμιγγος, πολλαὶ γυναῖκες· αἱ μὲν
4 γὰρ προσέρχονται, αἱ δὲ ἀπέρχονται. σχοινοτενέες δὲ
διέξοδοι πάντα τρόπον [f] ὁδῶν ἔχουσι διὰ τῶν γυναικῶν,
5 δι' ὧν οἱ ξεῖνοι διεξιόντες ἐκλέγονται. ἔνθα ἐπεὰν ἵζηται
γυνὴ, οὐ πρότερον ἀπαλλάσσεται ἐς τὰ οἰκία, ἤ τίς οἱ
ξείνων ἀργύριον ἐμβαλὼν ἐς τὰ γούνατα, μιχθῇ ἔξω τοῦ
6 ἱροῦ. ἐμβαλόντα δὲ δεῖ εἰπεῖν τοσόνδε· "Ἐπικαλέω τοι
"τὴν θεὸν Μύλιττα." Μύλιττα δὲ καλέουσι τὴν Ἀφρο-
7 δίτην Ἀσσύριοι. τὸ δὲ ἀργύριον μέγαθός ἐστι ὅσον ὦν· οὐ
γὰρ μὴ [g] ἀπώσηται· οὐ γάρ οἱ θέμις ἐστί· γίνεται γὰρ
8 ἱρὸν τοῦτο τὸ ἀργύριον. τῷ δὲ πρώτῳ ἐμβαλόντι ἕπεται,
οὐδὲ ἀποδοκιμᾷ οὐδένα. ἐπεὰν δὲ μιχθῇ, ἀποσιωσαμένη
τῇ θεῷ, ἀπαλλάσσεται ἐς τὰ οἰκία· καὶ τὠπὸ τούτου
9 οὐκ οὕτω μέγα τί οἱ δώσεις ὥς μιν λάμψεαι. ὅσαι μέν
νυν εἴδεός τε [h] ἐπαμμέναι εἰσὶ καὶ μεγάθεος, ταχὺ [i] ἀπ-
αλλάσσονται· ὅσαι δὲ ἄμορφοι αὐτέων εἰσὶ, χρόνον πολ-
λὸν προσμένουσι, οὐ δυνάμεναι τὸν νόμον ἐκπλῆσαι· καὶ
γὰρ τριέτεα καὶ τετραέτεα μετεξέτεραι χρόνον μένουσι.

199.

[a] Deest hoc caput V.S.b.d. Vall.

[b] ζώῃ F.c.

[c] Pollux X. 32.

[d] ἱστᾶσι F.a. Ald.

[e] Sic K.F. ἕπεται π. ὄ. vulgo.

[f] Sic K.F.a.c. Vulgo ὁδόν.

[g] ἀπώσεται Matthiæ Gr. Gr. §. 516. Werfer. Act. Phil. Monac. I. p. 228.

[h] Sic M.K.P.F. Paris. ἐπαγμέναι Ald. R.

[i] Sic K.P.F. ἀπαλλάττονται a. c. vulg.

10 Ἐνιαχῇ δὲ καὶ τῆς Κύπρου ἐστὶ παραπλήσιος τούτῳ
200 νόμος. Νόμοι μὲν δὴ τοῖσι Βαβυλωνίοισι οὗτοι [a] κατ-
2 εστέασι. [b] Εἰσὶ δὲ [c] αὐτῶν πατριαὶ τρεῖς, αἳ οὐδὲν ἄλλο
σιτέονται εἰ μὴ ἰχθῦς [d] μοῦνον· τοὺς ἐπεί τε ἂν θηρεύσαν-
3 τες [e] αὐήνωσι πρὸς ἥλιον, ποιεῦσι τάδε. ἐσβάλλουσι ἐς
[f] ὅλμον, καὶ λεήναντες ὑπέροισι, σῶσι διὰ σινδόνος· καὶ
ὃς μὲν ἂν βούληται αὐτῶν, ἅτε μάζαν μαξάμενος ἔχει·
ὁ δὲ, ἄρτου τρόπον ὀπτήσας.

Trium tribuum victus, placentæ ac panes ex pisce.

201 Ὡς δὲ τῷ Κύρῳ καὶ τοῦτο τὸ ἔθνος κατέργαστο, ἐπε-
θύμησε [a] Μασσαγέτας [b] ὑπ᾽ ἑωυτῷ ποιήσασθαι. τὸ δὲ
ἔθνος τοῦτο, καὶ μέγα [c] λέγεται εἶναι καὶ ἄλκιμον, οἰ-
κημένον δὲ πρὸς ἠῶ τε καὶ ἡλίου ἀνατολὰς, πέρην τοῦ
2 Ἀράξεω ποταμοῦ, ἀντίον δὲ Ἰσσηδόνων ἀνδρῶν. εἰσὶ δὲ
οἵ τινες καὶ Σκυθικὸν [d] λέγουσι τοῦτο τὸ ἔθνος εἶναι.

Imminet Cyrus Massagetis.

202 Ὁ δὲ Ἀράξης λέγεται καὶ μέζων καὶ ἐλάσσων εἶναι
τοῦ Ἴστρου· νήσους δ᾽ ἐν αὐτῷ, Λέσβῳ μεγάθεα πα-
2 ραπλησίας, [a] συχνάς φασι εἶναι. ἐν δὲ [b] αὐτῇσι ἀνθρώ-
πους, οἳ σιτέονται μὲν ῥίζας τὸ θέρος ὀρύσσοντες παν-
τοίας· καρποὺς δὲ ἀπὸ δενδρέων ἐξευρημένους σφι ἐς
φορβὴν κατατίθεσθαι ὡραίους, καὶ τούτους σιτέεσθαι τὴν
3 χειμερινήν. ἄλλα δέ σφι ἐξευρῆσθαι δένδρεα, καρποὺς
τοιούσδε τινὰς φέροντα, τοὺς, ἐπεί τε ἂν ἐς τὠυτὸ συνέλ-
θωσι κατὰ [c] εἴλας, καὶ πῦρ ἀνακαύσωνται, κύκλῳ πε-

Araxes fluvius: ejus insulæ: insulanorum qui mos vivendi.

200.

[a] κατεστέασι R. edd. vett. κατεστᾶσι S.M.K.F.a.b.d. Ald. κατεστεᾶσι c. Supra μὲν om. S.

[b] τρεῖς δ᾽ εἰσὶ φρατρίαι Strabo XVI. p. 1082=746.

[c] αὐτέων] αὐτῶν F. Paris. S.

[d] μόνον F.

[e] ἀνήμωσι S.

[f] ὅλμον F.a.b. Ald.

201.

[a] Ματαγέτας S.b.

[b] Sic M.K. ὑπεωυτὸ F. ὑπ᾽ ἑωυτὸν S.b.d. vulgo.

[c] εἶναι λέγεται F.

[d] λέγουσι om. F.

202.

[a] συχνὰς om. F. Supra μεγεάθεα S.

[b] αὐτοῖσιν S.

[c] Sic F. εἵλας vulg. ἴλας a.c. ὕλας S.d.

ῥιζομένους ἐπιβάλλειν ἐπὶ τὸ πῦρ· ὀσφραινομένους δὲ
[d] καταγιζομένου τοῦ καρποῦ τοῦ ἐπιβαλλομένου, μεθύ-
4 σκεσθαι τῇ ὀδμῇ, κατάπερ Ἕλληνας τῷ οἴνῳ. πλεῦνος
δὲ ἐπιβαλλομένου τοῦ καρποῦ, μᾶλλον μεθύσκεσθαι· ἐς
ὃ ἐς ὄρχησίν τε ἀνίστασθαι, καὶ ἐς ἀοιδὴν ἀπικνέεσθαι.
5 τούτων μὲν αὕτη λέγεται δίαιτα εἶναι. Ὁ δὲ Ἀράξης
ποταμὸς ῥέει μὲν ἐκ [e] Ματιηνῶν, ὅθεν περ ὁ Γύνδης, τὸν
ἐς τὰς διώρυχας τὰς ἑξήκοντά [f] τε καὶ τριηκοσίας δι-
έλαβε ὁ Κῦρος· στόμασι δὲ ἐξερεύγεται [g] τεσσαράκοντα,
τῶν τὰ πάντα, πλὴν ἑνὸς, ἐς ἕλεά τε καὶ τενάγεα ἐκ-
6 διδοῖ. ἐν τοῖσι ἀνθρώπους [h] κατοικῆσθαι λέγουσι [i] ἰχθῦς
ὠμοὺς σιτεομένους, ἐσθῆτι δὲ νομίζοντας χρᾶσθαι [k] φω-
7 κέων δέρμασι. τὸ δὲ ἓν τῶν στομάτων τοῦ Ἀράξεω ῥέει
8 διὰ καθαροῦ ἐς τὴν Κασπίην θάλασσαν. ἡ δὲ Κασπίη
θάλασσα, ἔστι [l] ἐπ᾽ ἑωυτῆς, οὐ συμμίσγουσα τῇ ἑτέρῃ
θαλάσσῃ. τὴν μὲν γὰρ Ἕλληνες ναυτίλλονται [m] πᾶσαν,
καὶ ἡ ἔξω [n] στηλέων θάλασσα ἡ Ἀτλαντὶς καλεομένη,
203 καὶ ἡ Ἐρυθρὴ, μία [o] τυγχάνει ἐοῦσα. Ἡ δὲ Κασπίη,
ἔστι ἑτέρη ἐπ᾽ ἑωυτῆς· ἐοῦσα μῆκος μὲν πλόου, εἰρεσίῃ
χρεωμένῳ, πεντεκαίδεκα ἡμερέων· εὖρος δὲ, τῇ εὐρυτάτη
2 ἐστὶ αὐτὴ ἑωυτῆς, ὀκτὼ ἡμερέων. Καὶ τὰ μὲν πρὸς τὴν
ἑσπέρην φέροντα τῆς θαλάσσης ταύτης ὁ [a] Καύκασος
παρατείνει, [b] ἐὼν [c] οὐρέων καὶ πλήθεϊ [d] μέγιστον, καὶ με-

Mare Caspium: Caucasus mons, et ejus incolarum quæ vita.

[d] Sic M.K.P.F.a.c. καταγιαζ. vulg. cum S. Mox τῷ οἴνῳ ἕλληνας S.
[e] Sic M.K.R. Ματιονῶν S.V. Μαντιηνῶν F. vulg. cf. Eustath. Dionys. 739.
[f] τε om. b.d.S.
[g] Vulgo τεσσαράκοντα.
[h] Sic M.K.F. κατοικεῖσθαι Ald. V.S.R. Paris. Wessel.
[i] ἰχθεῖς S.
[k] φωκίων S.
[l] ἐπ᾽ αὐτῆς b.d.S.
[m] πᾶσαν S.V.R.F.a.b.c.d. Ald. πᾶσα M.K. De Caspio mari cf. Eustath. Dionys. 721. et 48.
[n] στηλῶν b.d.S.
[o] ἐοῦσα τυγχάνει F.a.S.

203.

[a] Καυκάσιος S.b.d. Supra μὲν post μῆκος om. S.
[b] ἐὸν b.d S.
[c] Sic F. Vulgo ὀρέων cum S.
[d] Sic mss. Vulgo μέγιστος—ὑψηλότατος. In S. rursus μεγεάθεϊ.

γάθεϊ ὑψηλότατον. ἔθνεα δὲ ἀνθρώπων πολλὰ καὶ παν-
τοῖα ἐν ἑωυτῷ ἔχει ὁ [e] Καύκασος· τὰ πολλὰ πάντα
3 [f] ἀπ' ὕλης ἀγρίης ζώοντα. ἐν τοῖσι καὶ δένδρεα φύλλα
τοιῆσδε ἰδέης παρεχόμενα εἶναι λέγεται, τὰ τρίβοντάς τε
καὶ παραμίσγοντας ὕδωρ, [g] ζῶα ἑωυτοῖσι ἐς τὴν ἐσθῆτα
ἐγγράφειν· τὰ δὲ ζῶα οὐκ ἐκπλύνεσθαι, ἀλλὰ συγ-
καταγηράσκειν τῷ ἄλλῳ εἰρίῳ, κατάπερ [h] ἐνυφανθέντα
4 ἀρχήν. [i] μίξιν δὲ τούτων τῶν ἀνθρώπων εἶναι [k] ἐμφανέα,
204 κατάπερ τοῖσι προβάτοισι. Τὰ μὲν δὴ πρὸς ἑσπέρην τῆς
θαλάσσης ταύτης, τῆς Κασπίης καλεομένης, ὁ [a] Καύ-
κασος [b] ἀπέργει· τὰ δὲ πρὸς ἠῶ τε καὶ ἥλιον ἀνατέλ-
λοντα, πεδίον [c] ἐκδέκεται, πλῆθος ἄπειρον ἐς ἄποψιν·
[d] τοῦ ὦν δὴ πεδίου τοῦ μεγάλου οὐκ ἐλαχίστην μοίρην
μετέχουσι οἱ [e] Μασσαγέται, ἐπ' οὓς ὁ Κῦρος [f] ἔσχε
2 προθυμίην στρατεύσασθαι. πολλά τε γάρ μιν καὶ με-
γάλα τὰ ἐπαείροντα καὶ ἐποτρύνοντα ἦν. πρῶτον μὲν
ἡ γένεσις, [g] τὸ δοκέειν πλέον τι εἶναι ἀνθρώπου· [h] δεύτερα
δὲ, ἡ εὐτυχίη ἡ κατὰ τοὺς [i] πολέμους [k] γενομένη· ὅκῃ
γὰρ ἰθύσειε [l] στρατεύεσθαι Κῦρος, ἀμήχανον ἦν ἐκεῖνο τὸ
ἔθνος διαφυγέειν.

97 Massagetarum situs: cur Cyrus eos bello petierit.

[e] Καυκάσιος S.b.d.

[f] Sic M.K.F.a.c. ἐξ ὕλης b.d.S. Ald.

[g] ζῶια P.

[h] ἐνυφαθέντα S. ἐνύφανθέντα F.

[i] Sic F.a.c. Vulgo μίξιν τε cum S.

[k] ἐκφανέα F.

204.

[a] Καυκάσιος S.d.

[b] Sic F.S. ἀπείργει K.a.d.

[c] Sic Ald. M.K.S.F. Paris. Vulgo ἐκδέχεται.

[d] τοῦ ὦν δὴ τὸ πεδίον F. Mox S. consentit cum vulg. in μοίρην.

[e] Μασαγέται S.b.d. et fere semper.

[f] ἔσκε S. ἔχει pr. F. sed corr. ἔχε ab eadem manu. Mox ἐπαείροντα ἦν καὶ ἐπ. S.

[g] τῷ δ. a.c.

[h] Sic M.K.F.c. δεύτερον B.S.V. Ald. Alibi πρῶτα μὲν, δεύτερα δὲ ut III. 80. VIII. 106. At πρῶτον hic tenent libri omnes: amat autem Herodotus variare orationis formas. SCHWEIGH.

[i] πολεμίους b.S.

[k] Sic M.K.F. alii. γινομένη c.S. Vulgo γεγενημένη.

[l] στρατεύειν ὁ Κύρος S. στρατεύειν probat Schweighæuserus, citans I. 77. VI. 7.

205 Cyrus, Tomyri frustra dolo tentata, parat Araxem trajicere.

Ἦν δὲ, τοῦ ἀνδρὸς ἀποθανόντος, γυνὴ τῶν Μασσαγετέων βασίλεια· [a] Τόμυρίς οἱ ἦν οὔνομα. [b] ταύτην πέμπων ὁ Κῦρος ἐμνᾶτο τῷ λόγῳ, θέλων γυναῖκα ἣν ἔχειν. 2 ἡ δὲ Τόμυρις [c] συνιεῖσα [d] οὐκ αὐτήν μιν μνώμενον, ἀλλὰ τὴν Μασσαγετέων βασιληΐην, ἀπείπατο τὴν πρόσοδον. 3 Κῦρος δὲ μετὰ τοῦτο, ὥς οἱ δόλῳ οὐ [e] προεχώρεε, ἐλάσας ἐπὶ τὸν [f] Ἀράξεα, ἐποιέετο ἐκ τοῦ ἐμφανέος ἐπὶ τοὺς Μασσαγέτας [g] στρατηΐην, γεφύρας τε ζευγνύων ἐπὶ τοῦ ποταμοῦ, διάβασιν τῷ στρατῷ, καὶ [h] πύργους ἐπὶ πλοίων τῶν διαπορθμευόντων τὸν ποταμὸν οἰκοδομεόμενος.

206 Datum a Tomyri Cyro consilium, et hujus deliberatio.

Ἔχοντι δέ οἱ τοῦτον τὸν πόνον, πέμψασα ἡ Τόμυρις κήρυκα, ἔλεγε τάδε· "Ὦ βασιλεῦ Μήδων, παῦσαι σπεύδων τὰ "σπεύδεις· οὐ γὰρ ἂν εἰδείης [a] εἴ τοι ἐς καιρὸν ἔσται "ταῦτα [b] τελεύμενα· παυσάμενος δὲ, βασίλευε τῶν "σεωυτοῦ, καὶ ἡμέας ἀνέχευ [c] ὁρέων ἄρχοντας τῶν περ
2 "ἄρχομεν. Οὔκων ἐθελήσεις ὑποθήκῃσι τῇσίδε [d] χρέ-
3 "εσθαι, ἀλλὰ [e] πάντα μᾶλλον ἢ δι' ἡσυχίης εἶναι. [f] σὺ "δὲ εἰ μεγάλως [g] προθυμέαι Μασσαγετέων πειρηθῆναι, "φέρε, μόχθον μὲν, τὸν ἔχεις ζευγνὺς τὸν ποταμὸν,

205.

[a] Τόμυρις et Τώμυρις Suidas ex h. l. in edd. scil. et mss. nonnullis. Sed Τώμυρις deest codici optimo. Μασαγετέων S. et sic alibi.

[b] ταύτῃ S.

[c] συνιεῖσα M.K.F.a.c. συνεῖσα alii cum S.

[d] οὐ κατ' αὐτὴν S.

[e] Sic K.M.F. Suid. in Μνωμένη. προσεχώρεε S. vulgo, et Suid. in Τόμυρις in edd. ubi ms. προεχ.

[f] Ἀράξην S.V.b. Suid. habet vulg.

[g] Sic S.K.P.F.a.c. στρατείαν Suid. στρατίην M. στρατιὴν b.d. Ald. στρατιὰν Suidæ mss. Mox τε om. S.

[h] πλοίστους πύργους d.

206.

[a] εἴ τι b. ἔτι S.

[b] τελεύμενα Ald. d. ταῦτά τε λεγόμενα S.b. τελεόμενα F. a. c. edd.

[c] ὁρέων F. cf. Valcken. ad V. 19.

[d] χρῆσθαι K.S.F.a.c.d.

[e] Sic S. πάντων b. Ald. Reliqui πάντως.

[f] Sic c.d. Vulgo σὺ δὲ ἤν.

[g] Sic F.b.d.S. Ald. cf. I. 39. 180. προθυμέεαι a.c. προθυμέηαι Schæfer.

" [h] ἄφες· σὺ δὲ, ἡμέων ἀναχωρησάντων ἀπὸ τοῦ ποτα-
4 " μοῦ τριῶν ἡμερέων ὁδὸν, διάβαινε ἐς τὴν ἡμετέρην. εἰ
" δ' ἡμέας [i] βούλεαι ἐσδέξασθαι μᾶλλον ἐς τὴν ὑμετέρην,
5 " σὺ τὠυτὸ τοῦτο [k] ποίεε." Ταῦτα δὲ ἀκούσας ὁ Κῦρος,
[l] συνεκάλεσε Περσέων τοὺς πρώτους· συναγείρας δὲ τού-
τους, ἐς μέσον σφι προετίθεε τὸ πρῆγμα, συμβουλευ-
6 όμενος ὁκότερα [m] ποιέοι. τῶν δὲ κατὰ τὠυτὸ αἱ γνῶμαι
[n] συνεξέπιπτον, κελευόντων ἐσδέκεσθαι Τόμυρίν τε καὶ
207 τὸν στρατὸν αὐτῆς ἐς τὴν χώρην. Παρεὼν δὲ καὶ μεμ- Quid suaserit Crœsus.
φόμενος τὴν γνώμην ταύτην Κροῖσος ὁ Λυδὸς, ἀπεδείκνυτο
ἐναντίην τῇ [a] προκειμένῃ γνώμῃ, λέγων τάδε· "Ὦ βα-
" σιλεῦ, εἶπον μὲν καὶ πρότερόν τοι, [b] ὅτι ἐπεί με Ζεὺς
" ἔδωκέ τοι, τὸ ἂν ὁρῶ σφάλμα ἐὸν οἴκῳ τῷ σῷ, κα- 98
2 " τὰ δύναμιν ἀποτρέψειν. τὰ δέ μοι παθήματα, [c] ἐόν-
3 " τα [d] ἀχάριτα, μαθήματα [e] γεγόνεε. Εἰ μὲν ἀθάνατος
" δοκέεις εἶναι, καὶ στρατιῆς τοιαύτης ἄρχειν, οὐδὲν ἂν
4 " εἴη πρῆγμα γνώμας ἐμέ σοι ἀποφαίνεσθαι. εἰ δὲ
" ἔγνωκας ὅτι ἄνθρωπος καὶ σὺ εἶς, καὶ ἑτέρων τοιῶνδε
" ἄρχεις, ἐκεῖνο πρῶτον μάθε, [f] ὡς κύκλος τῶν ἀνθρω-
" πηΐων ἐστὶ πρηγμάτων· περιφερόμενος δὲ, οὐκ ἐᾷ αἰεὶ
5 " τοὺς αὐτοὺς εὐτυχέειν. ἤδη [g] ὧν ἐγὼ γνώμην ἔχω περὶ
" τοῦ προκειμένου πρήγματος [h] τὰ ἔμπαλιν ἢ οὗτοι.

[h] ἄπες Schæfer. Mox ἡμερῶν S.
[i] βούλεε εἰσδ. S. εἰσδ. F.
[k] Sic S.V.F. ποίει M.K.a.
[l] συνεκάλεε S.
[m] Sic R.c.b.d. ποιέῃ F.a.P. Vulgo ποιέει cum S.
[n] συνέπιπτον c.

207.

[a] Sic mss. plerique. γνώμῃ om. edd.
[b] Sic M.K.S.F. Paris. ὅτι om. edd.
[c] τὰ ἐόντα mss. plerique. Articulum delevit Schweighæuserus cum Schæfero. παθήματα ἀχάριστα ἔοντα d.
[d] Sic M.K.S.a.c. Alii ἀχάριστα. Singularis est apud F. lectio: τὰ δέ μοι παθήματα τὰ ἐόντα ἄριστα μαθήματα ἐγεγόνεε.
[e] γέγονεν b.d.S.
[f] ὡς κύκλος etc. Citat Stobæus 105, 53.
[g] Sic S.b.d. ἐγὼ om. edd. c. ἤδη ὧν ἔχω γνώμην F.a.
[h] τὸ ἔμπ. S.

6 " εἰ γὰρ ἐθελήσομεν ἐσδέξασθαι τοὺς πολεμίους ἐς τὴν
" χώρην, [i] ὅδε τοι ἐν αὐτῷ κίνδυνος ἔνι· [k] ἑσσωθεὶς μὲν,
" προσαπολλύεις πᾶσαν τὴν ἀρχήν· δῆλα γὰρ δὴ, ὅτι
" νικῶντες Μασσαγέται, οὐ τὸ ὀπίσω φεύξονται, ἀλλ'
7 " ἐπ' ἀρχὰς τὰς σὰς [l] ἐλῶσι. νικῶν δὲ, οὐ νικᾷς τοσοῦ-
" τον, ὅσον εἰ διαβὰς ἐς τὴν ἐκείνων, νικῶν Μασσαγέτας,
" ἕποιο φεύγουσι· τὠυτὸ γὰρ ἀντιθήσω ἐκείνῳ, ὅτι νική-
" σας τοὺς [m] ἀντιουμένους ἐλᾷς [n] ἰθὺ τῆς ἀρχῆς τῆς
8 " [o] Τομύριος. Χωρίς τε τοῦ ἀπηγημένου, [p] αἰσχρὸν καὶ
" οὐκ ἀνασχετὸν, [q] Κῦρόν γε τὸν Καμβύσεω γυναικὶ
9 " εἴξαντα ὑποχωρῆσαι [r] τῆς χώρης. Νῦν ὦν μοι δοκέει,
" [s] διαβάντας [t] προελθεῖν ὅσον ἂν ἐκεῖνοι διεξίωσι· ἐν-
" θεῦτεν δὲ τάδε ποιεῦντας, πειρᾶσθαι ἐκείνων [v] περι-
" γενέσθαι. ὡς γὰρ ἐγὼ πυνθάνομαι, Μασσαγέται εἰσὶ
" ἀγαθῶν τε Περσικῶν ἄπειροι, καὶ καλῶν μεγάλων
10 " ἀπαθέες. τούτοισι ὦν τοῖσι ἀνδράσι, τῶν προβάτων
" [w] ἀφειδέως πολλὰ κατακόψαντας, καὶ σκευάσαντας,
" προθεῖναι ἐν τῷ στρατοπέδῳ [x] τῷ ἡμετέρῳ δαῖτα· πρὸς
" δὲ, [y] καὶ κρητῆρας ἀφειδέως οἴνου ἀκρήτου, καὶ σιτία
11 " παντοῖα. ποιήσαντας δὲ ταῦτα, [z] ὑπολειπομένους τῆς
" στρατιῆς τὸ [a] φλαυρότατον, τοὺς λοιποὺς αὖτις ἐξ-

[i] ὅδε τις Ald. Steph. marg. ὅδέ τι d.

[k] ἐσσωθεὶς S.F.b.d. et sic fere semper.

[l] Thomas M. in ἐλάω.

[m] Sic M.K.F.a. ἐναντιουμένους Ald. S. quod retinuit Wesselingius. cf. VII. 10. 49.

[n] Sic F. ut Reiskius e conjectura. Vulgo ἰθύς.

[o] Sic M.K.F.a.c. Τομύριδος edd. b.d.S. τῆς om. S.

[p] Sic M.K.S.F. Paris. αἰσχρόν τε καὶ alii.

[q] Sic P.F. τὸν Κῦρόν γε vulgo.

[r] Sic M.K.F.a.c. τῆς μάχης b. d.S.R.V. Vall. edd.

[s] Sic M.K.F.a.c. διαβάντα alii cum S.

[t] προσελθεῖν V.F. pr.

[v] Sic K.M.F.a.c. περιγίνεσθαι Ald. S.R.V.

[w] ἀφειδέων a.c.

[x] τῷ ἡμετέρῳ om. b.

[y] καὶ om. S.b.d.

[z] ὑπολιπομένους F.

[a] Suid. in v. φαυρότερον F.

12 “ ἀναχωρέειν [b] ἐπὶ τὸν ποταμόν. ἢν γὰρ ἐγὼ γνώμης “ μὴ ἁμάρτω, κεῖνοι ἰδόμενοι ἀγαθὰ πολλὰ, τρέψονταί “ τε πρὸς αὐτὰ, καὶ ἡμῖν τὸ ἐνθεῦτεν λείπεται [c] ἀπόδεξις “ ἔργων μεγάλων.”

208 Γνῶμαι μὲν [a] αὗται συνέστασαν. Κῦρος δὲ, μετεὶς τὴν προτέρην γνώμην, [b] τὴν Κροίσου δὲ ἑλόμενος, προηγόρευε [c] Τομύρι ἐξαναχωρέειν, ὡς αὐτοῦ διαβησομένου ἐπ' ἐκείνην. ἡ μὲν δὴ [d] ἐξαναχώρεε, [e] κατὰ ὑπέσχετο πρῶτα.
2 Κῦρος δὲ, [f] Κροῖσον ἐς τὰς χεῖρας ἐσθεὶς τῷ ἑωυτοῦ παιδὶ Καμβύσῃ, τῷ περ τὴν βασιληΐην ἐδίδου, καὶ πολλὰ ἐντειλάμενός οἱ τιμᾶν τε αὐτὸν καὶ εὖ ποιέειν, ἢν ἡ διάβασις ἡ ἐπὶ Μασσαγέτας [g] μὴ ὀρθωθῇ· ταῦτα ἐντειλάμενος, καὶ ἀποστείλας τούτους ἐς Πέρσας, αὐτὸς διέβαινε τὸν ποταμὸν, καὶ ὁ στρατὸς αὐτοῦ.

Cyrus, transmisso 99 Araxe, de Dario quum somniasset, ejus custodiendi causa quem ablegarit.

209 Ἐπεί τε δὲ ἐπεραιώθη τὸν [a] Ἀράξεα, νυκτὸς ἐπελθούσης, εἶδε ὄψιν,
2 [b] εὕδων [c] ἐν τῶν Μασσαγετέων τῇ χώρῃ, τοιήνδε. ἐδόκεε ὁ Κῦρος [d] ἐν τῷ ὕπνῳ ὁρᾶν τῶν Ὑστάσπεος παίδων τὸν πρεσβύτατον ἔχοντα ἐπὶ τῶν ὤμων πτέρυγας· καὶ τουτέων τῇ μὲν τὴν Ἀσίην, τῇ δὲ τὴν Εὐρώπην ἐπισκιάζειν.
3 [e] Ὑστάσπεϊ δὲ τῷ Ἀρσάμεος, ἐόντι ἀνδρὶ Ἀχαιμενίδῃ, ἦν [f] τῶν παίδων Δαρεῖος πρεσβύτατος, ἐὼν [g] τότε ἡλικίην

[b] ἐπὶ om. F.
[c] ἀπόδειξις c.S.

208.

[a] ἄλλαι P. Mox συνέσταξαν S.
[b] τοῦ Κροίσου P.
[c] Sic F.a.c. qui est dativus contractus ex Τομύριϊ. edd. Τόμυρι. S. Τόμυριν.
[d] ἀνεχώρεε a.c. μὴν S. pro μέν.
[e] καθὰ S.
[f] Κροίσου S.
[g] μὴ om. S.

209.

[a] Ἀράξην S.d.
[b] εὕδων νυκτὸς ἐπελθούσης ἐν τῶν Μασσ. R.
[c] ἐν τῇ Μασσ. χώρῃ d.
[d] ἐν τῷ ὕπνῳ om. S.
[e] Ὑστάσπῃ τοῦ Ἀρσάμεος P. et quod ad Ἀρσάμεος F.a.c. cf. VII. 11. et 224. Ἀρσάμενος S. Vall. b. Ald. Ἀρσάκεος Steph. marg.
[f] τῶν om. c.
[g] τότε om. b. Mox κου post εἴκοσί om. F.

ἐς εἴκοσί κου [h] μάλιστα ἔτεα. καὶ οὗτος καταλέλειπτο
4 ἐν Πέρσῃσι· οὐ γὰρ εἶχέ κω ἡλικίην στρατεύεσθαι. ἐπεὶ
ὦν [i] δὴ ἐξεγέρθη ὁ Κῦρος, ἐδίδου λόγον ἑωυτῷ περὶ τῆς
ὄψιος. ὡς δέ οἱ ἐδόκεε μεγάλη εἶναι ἡ ὄψις, καλέσας
5 Ὑστάσπεα, καὶ ἀπολαβὼν μοῦνον, εἶπε· "Ὕστασπες,
" παῖς σὸς ἐπιβουλεύων ἐμοί τε καὶ τῇ ἐμῇ ἀρχῇ ἑάλω-
" κε· ὡς δὲ [k] ταῦτα ἀτρεκέως οἶδα, ἐγὼ σημανέω.
6 " ἐμεῦ θεοὶ [l] κήδονται, καί μοι πάντα προδεικνύουσι τὰ
" ἐπιφερόμενα· ἤδη ὦν ἐν τῇ παροιχομένῃ νυκτὶ εὕδων,
" εἶδον τῶν σῶν παίδων τὸν πρεσβύτατον ἔχοντα ἐπὶ
" τῶν ὤμων πτέρυγας· καὶ τουτέων τῇ μὲν τὴν Ἀσίην,
7 " τῇ δὲ τὴν Εὐρώπην ἐπισκιάζειν. οὔκων ἐστὶ μηχανὴ
" ἀπὸ τῆς ὄψιος ταύτης [m] οὐδεμία, τὸ μὴ [n] κεῖνον ἐπι-
" βουλεύειν ἐμοί. [o] σὺ τοίνυν τὴν ταχίστην [p] πορεύεο ὀπί-
" σω ἐς Πέρσας, καὶ ποίεε ὅκως ἐπεὰν ἐγὼ τάδε κατα-
" στρεψάμενος ἔλθω ἐκεῖ, ὥς μοι [q] καταστήσῃς τὸν
210 " παῖδα ἐς ἔλεγχον." [a] Κῦρος μὲν δοκέων [b] Δαρεῖόν οἱ
ἐπιβουλεύειν, ἔλεγε τάδε· [c] τῷ δὲ ὁ δαίμων προέφαινε,
ὡς αὐτὸς μὲν [d] τελευτήσειν αὐτοῦ ταύτῃ μέλλοι, ἡ δὲ

[h] ἔτεα μάλιστα S.

[i] δὴ om. d. ἐξηγέρθη F.

[k] ταῦτα ἀτρεκέως K.S.F. Vulgo ἀτρεκέως ταῦτα.

[l] κηδέανται P. teste Wesselingio, ubi forte κηδέαται cum F. notabili exemplo Ionicæ terminationis εαται etiam pro ονται, contra grammaticorum præscriptum, positæ: nam pro ανται, ηνται, ειναι, et ενται ab Ionibus εαται usurpari satis in vulgus notum. Nec vero est hoc ἅπαξ λεγόμενον: similiter enim idem codex II. 47. ἀγέαται pro ἄγονται, et II. 67. ἀπαγέαται pro ἀπάγονται. SCHWEIGH.

[m] οὐδεμίη Ald. V.S.R. οὐδεμία M.K.F.a.

[n] ἐκεῖνον F.a.c.S.

[o] σύ νυν M.K.F.

[p] πορεύου b.d.S.

[q] Sic F.S. καταστήσεις a.c.

210.

[a] ὁ μὲν Κῦρος S.

[b] οἱ Δαρεῖον ἐπιβ. S.K.F. Δαρεῖον ἐπ. οἱ c.

[c] Sic Schweighæuser. post Reizium. τῷδε οἱ ὁ M.K.F.a.c. τῷδε (vel τῷδ') ὁ Ald. S.V.R.

[d] τελευτῆσαι S.

2 βασιληΐη αὐτοῦ [c] περιχωρέοι ἐς Δαρεῖον. [f] Ἀμείβεταί οἱ δὴ ὦν ὁ Ὑστάσπης [g] τοῖσδε· "Ὦ βασιλεῦ, μὴ εἴη "ἀνὴρ Πέρσης γεγονὼς, ὅστις τοι [h] ἐπιβουλεύσει· εἰ δ' "ἔστι, ἀπόλοιτο ὡς τάχιστα· ὃς ἀντὶ μὲν δούλων, "ἐποίησας ἐλευθέρους Πέρσας εἶναι· [i] ἀντὶ δὲ ἄρχεσθαι
3 "ὑπ' ἄλλων, ἄρχειν ἁπάντων. εἰ δέ τίς τοι ὄψις "[k] ἀπαγγέλλει παῖδα τὸν ἐμὸν νεώτερα βουλεύειν περὶ "σέο, ἐγώ τοι παραδίδωμι χρῆσθαι αὐτῷ [l] τοῦτο ὅ τι σὺ "βούλεαι." Ὑστάσπης μὲν τούτοισι ἀμειψάμενος, καὶ διαβὰς τὸν [m] Ἀράξεα, ἤϊε ἐς Πέρσας, φυλάξων Κύρῳ τὸν παῖδα Δαρεῖον.

Massagetarum pars tertia quo astu cæsa: Spargapises Tomyris filius captus.

211 Κῦρος δὲ προελθὼν ἀπὸ τοῦ Ἀράξεω ἡμέρης ὁδὸν,
2 ἐποίεε τὰς Κροίσου ὑποθήκας. μετὰ δὲ ταῦτα, Κύρου τε καὶ Περσέων τοῦ καθαροῦ στρατοῦ [a] ἀπελάσαντος ὀπίσω ἐπὶ τὸν Ἀράξεα, λειφθέντος δὲ τοῦ ἀχρηΐου, [b] ἐπελθοῦσα τῶν Μασσαγετέων τριτημορὶς τοῦ στρατοῦ, τούς τε λειφθέντας τῆς Κύρου στρατιῆς [c] ἐφόνευε [d] ἀλεξομένους, καὶ τὴν προκειμένην ἰδόντες δαῖτα, ὡς ἐχειρώσαντο τοὺς ἐναντίους, κλιθέντες [e] δαίνυντο· πληρωθέντες δὲ φορβῆς καὶ 100

[c] περιχωρέσει F. περιχωρήσει malebat Schweighæuserus. περιχορεύοι S.

[f] ἀμείβεται δὴ ὦν Schweighæuserus ex b. alibi δὴ ὦν non ὦν δὴ ut I. 58. 59. 75. ἀμείβεται ὦν δὴ Ald. R.V. ἀμείβεταί οἱ M.K. ἀμείβεταί οἱ ὦν a. ἀμείβεταί οἱ δὴ ὦν F. ἀμείβετό οἱ δὴ ὦν S.

[g] Sic K.S.F.b.d. Vulgo τοιοῖσδε.

[h] Sic M.K.F.a. ἐπιβουλεύσοι c. ἐπιβουλεύει S. ἐπιβουλεύοι Ald. b.d. Mox ἀπόλλοιτο et δούλων μὲν S.

[i] ἀντὶ δὲ τοῦ ἄρχ. Reiskius, et Schæferus ad Gregor. p. 39. Sed articulum necessarium non esse docet Schweighæuserus coll. VI. 32. VII. 170.

[k] Sic S.F.a.b.c. Vulgo ἀπαγγέλλοι.

[l] Sic F.S.a.b. τούτῳ vulgo. Pronomen deest c.

[m] Ἀράξην M.K.S.F.a.b.c.d.

211.

[a] ἐπελεύσαντος S.V.b. Ald.

[b] ἀπελθοῦσα S.V.

[c] ἐφόνεε F.

[d] Citat Pollux IX. 66. Suidas in Ἀλεξόμενον, ubi edd. ἐπιληφθέντας, mss. περιληφθέντας.

[e] Sic S.b.d. ἐδαίνυντο K. Literam in Hesychio similiter geminatam v. δαίννυνται notat Wesseling. ἐδαίνυντο edd. F.a.c

3 οἴνου, εὗδον. οἱ δὲ Πέρσαι ἐπελθόντες πολλοὺς μέν σφεων
ἐφόνευσαν, πολλῷ [f] δ' ἔτι πλεῦνας ἐζώγρησαν, καὶ ἄλ-
λους, καὶ τὸν τῆς [g] βασιλείης [h] Τομύριος παῖδα, στρα-
τηγέοντα Μασσαγετέων, τῷ οὔνομα ἦν Σπαργαπίσης.
212 Ἡ δὲ, πυθομένη τά τε περὶ τὴν στρατιὴν γεγονότα καὶ
τὰ περὶ τὸν παῖδα, πέμπουσα κήρυκα παρὰ Κῦρον,
2 ἔλεγε τάδε· "Ἄπληστε αἵματος Κῦρε, μηδὲν ἐπαρθῇς
" τῷ γεγονότι τῷδε πρήγματι, εἰ ἀμπελίνῳ καρπῷ, τῷ
" περ αὐτοὶ ἐμπιπλάμενοι μαίνεσθε [a] οὕτω, ὥστε κα-
" τιόντος τοῦ οἴνου ἐς τὸ σῶμα, [b] ἐπαναπλώειν ὑμῖν ἔπεα
" κακὰ, τοιούτῳ φαρμάκῳ δολώσας, ἐκράτησας [c] παι-
3 " δὸς τοῦ ἐμοῦ, ἀλλ' οὐ μάχῃ κατὰ τὸ καρτερόν. νῦν
" ὦν μευ [d] εὖ παραινεούσης [e] ὑπόλαβε τὸν λόγον. ἀπο-
" δούς μοι τὸν παῖδα, [f] ἄπιθι ἐκ τῆσδε τῆς χώρης ἀζή-
" μιος, Μασσαγετέων [g] τριτημορίδι τοῦ στρατοῦ κατυ-
4 " βρίσας. [h] εἰ δὲ μὴ ταῦτα σὺ ποιήσεις, ἥλιον ἐπόμνυμί
" τοι τὸν Μασσαγετέων δεσπότην, [i] ἦ μὴν σὲ ἐγὼ, καὶ
213 " ἄπληστον ἐόντα, αἵματος κορέσω." [a] Κῦρος μέν νυν
τῶν ἐπέων οὐδένα τούτων ἀνενειχθέντων ἐποιέετο λόγον.

Matris filium repetentis minæ.

Spargapises vitam sibi adimit.

[f] δέ τοι K.

[g] Sic F.a.c. Vulgo βασιληΐης, et sic infra.

[h] Sic M.K.F.a.c. Τομύριδος S. b.d. edd. et rursus 213. cf. 207.

212.

[a] οὕτως F.a.b.c.d.S.

[b] Sic Valckenærius et Wessel. in notis. ἐπαναπνέειν V.S. Ald. b. d. ἀναπλώειν Eustath. Il. σ'. p. 1156, 3=1212, 12. υ'. p. 1241, 5=1330, 28. Od. τ'. p. 1857, 37=685, 16. ἐπαναπλέειν Athenæus XIV. p. 613. C. F.a.c. ἐπαναπλεῖν f.

[c] τοῦ π. b.

[d] εὖ om. f. ἐμεῦ εὖ S.

[e] Thomas M. in v.

[f] ἄπελθε R.

[g] τρίτην μερίδα S.

[h] Sic F.a.c. edd. vett. et fere b.d. ubi ποιήσεις. εἰ δὲ ταῦτα σὺ μὴ ποιήσῃς S. εἰ δὲ ταῦτα οὐ σὺ π. P. εἰ δὲ ταῦτα οὐ π. M.K. Gronov. Wessel. Mox τοι om. S.

[i] Cum Etymol. p. 416, 48. in hac lectione consentiunt omnes mss. ἦ μὲν malebat Schweigh.

213.

[a] Sic M.K. ἐπέων τουτέων ἀν. οὐδέν' ἐπ. λόγ. Ald. R. Κῦρος μὲν τῶν ἐπ. P. Κῦρος μὲν ἐπέων οὐδένα τούτων ἀνεν. ἐπ. λ.. F.a.b.c.d. Κῦρος μὲν οὐδένα τούτων ἐπέων S.

2 ὁ δὲ τῆς [b] βασιλείης [c] Τομύριος παῖς Σπαργαπίσης, ὥς
μιν ὅ τε οἶνος ἀνῆκε, καὶ ἔμαθε ἵνα ἦν κακοῦ, δεηθεὶς
Κύρου ἐκ τῶν δεσμῶν λυθῆναι, ἔτυχε· ὡς δὲ ἐλύθη τε
τάχιστα καὶ τῶν χειρῶν ἐκράτησε, διεργάζεται ἑωυτόν.
214 4 καὶ δὴ οὗτος μὲν τρόπῳ τοιούτῳ τελευτᾷ. Τόμυρις δὲ,
[a] ὥς οἱ ὁ Κῦρος οὐκ ἐσήκουσε, συλλέξασα [b] πᾶσαν τὴν
2 ἑωυτῆς δύναμιν, [c] συνέβαλε Κύρῳ. ταύτην τὴν μάχην,
ὅσαι δὴ βαρβάρων ἀνδρῶν μάχαι ἐγένοντο, κρίνω ἰσχυ-
ροτάτην γενέσθαι· [d] καὶ δὴ καὶ πυνθάνομαι οὕτω τοῦτο
3 [e] γενόμενον. πρῶτα μὲν γὰρ λέγεται αὐτοὺς διαστάντας
[f] ἐς ἀλλήλους τοξεύειν· μετὰ δὲ, ὥς σφι τὰ βέλεα [g] ἐξ-
ετετόξευτο, συμπεσόντας τῇσι αἰχμῇσί τε καὶ τοῖσι ἐγ-
χειριδίοισι συνέχεσθαι· χρόνον τε δὴ ἐπὶ πολλὸν συν-
εστάναι μαχομένους, καὶ οὐδετέρους ἐθέλειν φεύγειν· τέλος 101
4 δὲ, οἱ Μασσαγέται [h] περιεγενέατο. ἥ τε δὴ πολλὴ τῆς
Περσικῆς [i] στρατιῆς αὐτοῦ ταύτῃ διεφθάρη, καὶ δὴ καὶ
αὐτὸς Κῦρος τελευτᾷ, βασιλεύσας τὰ πάντα ἑνὸς δέοντα
5 τριήκοντα ἔτεα. ἀσκὸν δὲ πλήσασα αἵματος ἀνθρωπηΐου
Τόμυρις, [k] ἐδίζητο ἐν τοῖσι τεθνεῶσι τῶν Περσέων τὸν Κύ-
6 ρου νέκυν. ὡς δὲ εὗρε, [l] ἐναπῆπτε αὐτοῦ τὴν κεφαλὴν

Prælium acerrimum, a. 530 commissum: Tomyris victrix sæviens in Cyri cadaver.

[b] Sic F.a.c. Vulgo βασιληΐης.
[c] Sic M.K.F.a.c. Τομύριδος Ald. et alii. τῆς Τομύριδος S.

214.

[a] Sic ed. Steph. 2. Gronov. a. ὥς οἱ Κῦρος F. οἱ om. Ald. S.P. Wesseling. Eodem modo, notante Schweigh., constructum hoc verbum legitur VI. 86. ὡς οἱ οὐδὲ τοῦτο ἐσήκουον οἱ Ἀθηναῖοι ubi ut h. l. οἱ om. S.
[b] πᾶσαν om. S.d.
[c] συνέβαλλε d.
[d] Sic S.V.R.F.a.b.c.d. Ald. Wesseling. qui citat I. 129. 165. VIII. 79. καὶ post δὴ om. M.K. Gronovius, et Schæferus.
[e] γινόμενον d.
[f] ἐπ' ἀλλ. R.a.c.
[g] Sic cum Steph. F.a.c. ἐξετοξεύετο Ald. V.S.b.d. Imitari hæc Zosimum II. 18. notat Wesselingius.
[h] περιεγένοντο b.d.S.
[i] Sic S.P.F.a.b.c.d. cf. VI. 16. 30. αὐτοῦ στρατιῆς ταύτῃ Ald. et alii. αὐτῷ Steph. text. ed. 1. marg. ed. 2.
[k] Sic P.F.a. ἐδίζετο alii cum S.
[l] Sic M.K.F.f. cf. H. Stephani Thes. T. I. p. 496. ἐναπῆκε a. b.c.d.S.V.R. Vall. Ald.

ἐς τὸν ἀσκόν· λυμαινομένη δὲ τῷ νεκρῷ, [m] ἐπέλεγε τάδε· "Σὺ μὲν [n] ἐμὲ ζώουσάν τε καὶ νικῶσάν σε μάχῃ ἀπώ- "λεσας, [o] παῖδα τὸν ἐμὸν ἑλὼν δόλῳ· σὲ δ' ἐγὼ, κατά-
7 "περ ἠπείλησα, αἵματος κορέσω." Τὰ μὲν δὴ κατὰ τὴν Κύρου τελευτὴν τοῦ βίου, πολλῶν λόγων λεγομένων, [p] ὅδε μοι ὁ πιθανώτατος εἴρηται.

215 Massagetarum cultus: auro atque ære abundant, argenti et ferri egent.

Μασσαγέται δὲ ἐσθῆτά τε ὁμοίην τῇ [a] Σκυθικῇ φορέουσι, καὶ δίαιταν ἔχουσι. ἱππόται δέ εἰσι καὶ ἄνιπποι· ἀμφοτέρων γὰρ μετέχουσι. καὶ τοξόται τε καὶ
2 αἰχμοφόροι, [b] σαγάρις νομίζοντες ἔχειν. χρυσῷ δὲ καὶ χαλκῷ τὰ πάντα [c] χρέωνται· ὅσα μὲν γὰρ ἐς αἰχμὰς, καὶ [d] ἄρδις, καὶ σαγάρις, χαλκῷ τὰ πάντα χρέωνται· ὅσα δὲ περὶ κεφαλὴν, καὶ ζωστῆρας, καὶ μασχαλιστῆ-
3 ρας, χρυσῷ κοσμέονται. ὡς δ' αὕτως τῶν [e] ἵππων τὰ μὲν περὶ τὰ στέρνα, χαλκέους θώρηκας περιβάλλουσι· τὰ δὲ περὶ τοὺς χαλινοὺς καὶ στόμια καὶ φάλαρα,
4 χρυσῷ. σιδήρῳ δὲ οὐδ' ἀργύρῳ χρέωνται οὐδέν· [f] οὐδὲ γὰρ οὐδέ σφί ἐστι ἐν τῇ χώρῃ· [g] ὁ δὲ χαλκὸς καὶ ὁ χρυσὸς, ἄπλετος.

216 Uxores habent com-

Νόμοισι δὲ χρέωνται τοιοῖσδε· γυναῖκα μὲν γαμέει ἕκαστος, [a] ταύτῃσι δὲ [b] ἐπίκοινα [c] χρέ-

[m] εἶτ' ἔλεγε Priscianus p. 1189.

[n] Sic R.K.M.f. et sine σε μάχῃ S.V. Sic etiam a.c.F. ubi ζώουσαν, unde adscivit Schweighæuser. In pr. nil mutant b.d. qui in extr. ἐς μάχην. Vulgo ἐμεῦ ζώσης τε καὶ νικώσης ἐς μάχην. Huc spectat Aelianus Animal. VII. 11.

[o] δόλῳ παῖδα τὸν ἐμὸν ἑλὼν f. probante Schweighæusero.

[p] ὅδε μὴν S.

215.

[a] Περσικῇ R.c. marg. Steph. Mox τε post τοξόται om. S.

[b] Sic F.a.c. forma Ionica ex σαγάριας contracta. σαγγάρεις Ald. S. et mox. σαγάρεις vulg.

[c] χρέονται a. teste Larchero, probante Schweighæusero. χρῶνται S.

[d] Sic Suidas et Glossæ. Vulgo ἄρδεις. φαρέτρας V.S. Vall. b.d.

[e] ἱππέων F.

[f] οὐδὲ γὰρ om. a. οὐδὲ sec. om. c.

[g] χρυσὸς καὶ χαλκὸς K. χρ. καὶ ὁ χ. S.F.a. Valla.

216.

[a] ταύτῃ S.

[b] Sic F.K.a.c. Vulgo cum S. ἐπὶ κοινά. cf. Procopius B. Pers. I. 5.

[c] χρέονται b.

2 ωνται. ὁ γὰρ Σκύθας φασὶ Ἕλληνες ποιέειν, οὐ Σκύθαι
εἰσὶ οἱ ποιέοντες, ἀλλὰ Μασσαγέται· τῆς γὰρ ἐπιθυ-
μήσει γυναικὸς Μασσαγέτης ἀνὴρ, [d] τὸν φαρετρεῶνα
3 ἀποκρεμάσας πρὸ τῆς ἁμάξης, μίσγεται ἀδεῶς. Οὗρος
δὲ [e] ἡλικίης σφι [f] προκέεται ἄλλος μὲν οὐδείς· ἐπεὰν δὲ
γέρων γένηται κάρτα, οἱ προσήκοντές οἱ πάντες συνελ-
θόντες θύουσί μιν, καὶ ἄλλα πρόβατα [g] ἅμα αὐτῷ·
ἑψήσαντες δὲ τὰ κρέα, κατευωχέονται. ταῦτα μὲν τὰ
4 ὀλβιώτατά σφι νενόμισται. τὸν δὲ νούσῳ τελευτήσαντα
οὐ [h] κατασιτέονται, ἀλλὰ γῇ κρύπτουσι, συμφορὴν ποι- 2
5 εύμενοι, ὅτι οὐκ ἵκετο ἐς τὸ [i] τυθῆναι. Σπείρουσι δὲ
οὐδὲν, ἀλλ' ἀπὸ κτηνέων ζώουσι καὶ ἰχθύων· οἱ δὲ,
ἄφθονοί σφι ἐκ τοῦ Ἀράξεω ποταμοῦ παραγίνονται·
6 γαλακτοπόται δὲ εἰσί. [k] Θεῶν δὲ μοῦνον ἥλιον σέβον-
ται, τῷ θύουσι [l] ἵππους. νόμος δὲ οὗτος τῆς θυσίης·
τῶν θεῶν τῷ ταχίστῳ, πάντων τῶν θνητῶν τὸ τάχιστον
δατέονται.

munes: eos qui senuerunt, immolant et epulantur: exstinctos morbo sepeliunt: vivunt pecoribus, piscibus, lacte: Solem unum colunt, et equis ei sacrificant.

102

[d] τῶν φαρετρεῶν S. πρὸ τῆς ἁμ. τὸν φαρ. ἀποκρ. d.
[e] ἡλικίη F.b.
[f] Sic F. Vulgo πρόκειται. σφι om. S.
[g] σὺν S.
[h] Sic V.S.M.R.F. Paris. Vulgo κάρτα σιτέονται.
[i] τιθεῖναι S. Vide Strabonem XI. p. 780=513.
[k] θεὸν b. Strabo. Supra γαλακτιπόται S.
[l] ἵπποισι S.

ἹΣΤΟΡΙΩΝ ἩΡΟΔΟΤΟΥ Α.

ἩΡΟΔΟΤΟΥ

ἹΣΤΟΡΙΩΝ ΔΕΥΤΕΡΗ.

ΕΥΤΕΡΠΗ.

1 ΤΕΛΕΥΤΗΣΑΝΤΟΣ δὲ Κύρου, παρέλαβε τὴν βασι- 103
ληΐην Καμβύσης, Κύρου ἐὼν παῖς καὶ [a] Κασσανδάνης,
τῆς Φαρνάσπεω θυγατρός· τῆς προαποθανούσης, Κῦρος
αὐτός τε [b] μέγα πένθος ἐποιήσατο, καὶ τοῖσι ἄλλοισι
2 προεῖπε πᾶσι, τῶν ἦρχε, [c] πένθος ποιέεσθαι. ταύτης δὲ
τῆς γυναικὸς ἐὼν παῖς καὶ Κύρου Καμβύσης, Ἴωνας
μὲν καὶ Αἰολέας ὡς δούλους πατρωΐους ἐόντας ἐνόμιζε·
ἐπὶ δὲ Αἴγυπτον ἐποιέετο στρατηλασίην, ἄλλους τε
παραλαβὼν τῶν ἦρχε, καὶ δὴ καὶ [d] Ἑλλήνων, τῶν ἐπε-
κράτεε.

Cambyses in imperio Cyrum patrem a. 530 secutus, adversus Ægyptios anno quinto facit expeditionem. [3, 1 sqq.]

2 Οἱ δὲ Αἰγύπτιοι, πρὶν μὲν ἢ [a] Ψαμμίτιχον σφέων βα-
σιλεῦσαι, ἐνόμιζον ἑωυτοὺς πρώτους γενέσθαι πάντων ἀν-
2 θρώπων. [b] ἐπειδὴ δὲ Ψαμμίτιχος βασιλεύσας ἠθέλησε
εἰδέναι οἵ τινες γενοίατο πρῶτοι, ἀπὸ τούτου νομίζουσι
Φρύγας προτέρους γενέσθαι ἑωυτῶν, τῶν δὲ ἄλλων ἑωυ-
3 τούς. Ψαμμίτιχος [c] δὲ ὡς οὐκ ἐδύνατο πυνθανόμενος

Ægyptios originis antiquitate a Phrygibus vinci, quo argumento creditum.

LIB. II. 1.

[a] Κασανδάνης et mox Φαρνάπεω. F. Mox προσαποθανούσης S. pr.

[b] Sic F.a.c. πένθος μέγα S. vulgo. τε post αὐτὸς om. e.

[c] Sic S.K.P.F.b.d. Vall. Alii μέγα π. π. ποιήσασθαι c.

[d] Ἕλληνας Ald.

2.

[a] Sic F.a.b.f. cf. Dorvill. ad Charit. p. 52=221. Ψαμμήτιχον V.S. Ψαμμήτιχον R. Ald. Ψαμμήτιχος M.K. Hujus v. varietatem posthac enotare supersedebo.

[b] Sic M.K.F.a.b. ἐπεὶ S. Ald. et alii.

[c] Sic M.S.K.F.a.b.d. γὰρ c. Ald.

πόρον οὐδένα [d] τούτου ἀνευρεῖν, οἳ γενοίατο πρῶτοι ἀνθρώ-
4 πων, ἐπιτεχνᾶται τοιόνδε. Παιδία δύο νεογνὰ ἀνθρώ-
πων τῶν ἐπιτυχόντων [e] διδοῖ ποιμένι τρέφειν ἐς τὰ ποί-
μνια τροφήν τινα τοιήνδε· ἐντειλάμενος μηδένα ἀντίον
[f] αὐτῶν μηδεμίαν φωνὴν ἱέναι, ἐν στέγῃ δὲ ἐρήμῃ ἐπ'
ἑωυτῶν κέεσθαι αὐτὰ, καὶ τὴν ὥρην [g] ἐπαγινέειν [h] σφι 104
αἶγας· [i] πλήσαντα δὲ [k] τοῦ γάλακτος, τἄλλα διαπρήσ-
5 σεσθαι. ταῦτα δ' [l] ἐποίεέ τε καὶ ἐνετέλλετο ὁ Ψαμμίτι-
χος, θέλων ἀκοῦσαι τῶν παιδίων, [m] ἀπαλλαχθέντων τῶν
6 ἀσήμων [n] κνυζημάτων, ἥντινα φωνὴν ῥήξουσι πρώτην. τά-
περ ὦν καὶ ἐγένετο. ὡς γὰρ [o] διέτης χρόνος ἐγεγόνεε
ταῦτα τῷ ποιμένι πρήσσοντι, [p] ἀνοίγοντι τὴν θύρην καὶ
[q] ἐσιόντι τὰ παιδία ἀμφότερα προσπίπτοντα [r] βεκὸς
7 ἐφώνεον, ὀρέγοντα τὰς χεῖρας. τὰ μὲν δὴ πρῶτα ἀκού-
σας, ἥσυχος ἦν ὁ ποιμήν. ὡς δὲ [s] πολλάκι φοιτέοντι
καὶ [t] ἐπιμελομένῳ πολλὸν ἦν τοῦτο τὸ ἔπος, οὕτω δὴ
σημήνας τῷ δεσπότῃ, ἤγαγε τὰ παιδία κελεύσαντος

[d] τούτου om. f.

[e] Sic S.b.d.V.R. Ald. δίδωσι M.K.R.F.a.c.f.

[f] αὐτέων] αὐτῶν F.S. et mox μηδεμίαν F. φωνὴν μηδεμίην S. ἐναντίον αὐτῶν οὐδεμίαν f. μηδὲν ἀντίον M. μηδ' ἐναντίον K. Mox ἰέναι vulgo. ἱέναι F. Deinde κεῖσθαι S.

[g] Sic Paris. R.V. Ald. ἐπαγινέην S. ἐπάγειν M.K.f.F.

[h] Sic M.K.F.a. σφιν f. σφίσι S. Ald. Wessel.

[i] πλήσαντα a.b.c.d.S.V.R. Ald. πλήσαντας M.K.P.F. pr.

[k] τοῦ om. P.F.a.f.

[l] Sic M.K.F.a. ἐποίεε sine τε f. ἐποιέετο S.V.R. Ald.

[m] ἀπαλλαγέντων F.

[n] Suid. in v. Glossæ Herod. et Gregor. Dial. Ion. 113.

[o] τριετὴς Suidas in Βεκκεσέληνος. διετὴς pr. dein διέτης F. Mox ὡς δὲ pro ὡς γὰρ f.

[p] Sic M.K.F. Paris. ἀνοίγοντί τε τὴν S. Ald. et alii.

[q] Sic Ald. cum parte codicum. ἐπιόντι S.b.d. εἰσιόντι alii.

[r] Sic M.F.a.c. Tzetzes Chil. IV. 801. Suid. Hesych. ubi vid. Alberti, necnon annot. ad Polluc. V. 88. Maussac. Dissert. Harpocrat. p. 358. κεκὸς K. βεκκὸς (βέκκος S. Ald.) alii. Mox ἐφώνευον F.

[s] πολλάκις F.a.f.S. Tum φοιτῶντι S.

[t] Sic K.F.a.c.f. Vulgo ἐπιμελουμένῳ cum S.

8 ἐς ὄψιν [v] τὴν ἐκείνου. ἀκούσας δὲ καὶ αὐτὸς ὁ Ψαμμί-
τιχος, ἐπυνθάνετο οἵτινες ἀνθρώπων βεκός τι [w] καλέουσι.
9 πυνθανόμενος δὲ, εὕρισκε [x] Φρύγας καλέοντας τὸν ἄρτον.
οὕτω συνεχώρησαν Αἰγύπτιοι, καὶ τοιούτῳ σταθμησάμε-
νοι πρήγματι, τοὺς Φρύγας [y] πρεσβυτέρους [z] εἶναι ἑωυτῶν.

3 Ὧδε μὲν γενέσθαι τῶν ἱρέων τοῦ Ἡφαίστου [a] ἐν Μέμφι
ἤκουον. Ἕλληνες δὲ λέγουσι ἄλλα τε μάταια πολλὰ,
καὶ ὡς γυναικῶν τὰς γλώσσας ὁ Ψαμμίτιχος ἐκταμὼν,
τὴν δίαιταν οὕτως ἐποιήσατο τῶν [b] παίδων παρὰ ταύτῃσι
2 τῇσι γυναιξί. κατὰ μὲν δὴ τὴν τροφὴν τῶν παίδων τοσ-
αῦτα ἔλεγον. Ἤκουσα δὲ καὶ [c] ἄλλα ἐν Μέμφι,
3 ἐλθὼν ἐς λόγους τοῖσι ἱρεῦσι τοῦ Ἡφαίστου. καὶ δὴ καὶ
ἐς Θήβας τε καὶ ἐς Ἡλιούπολιν [d] αὐτῶν τούτων εἵνεκεν
ἐτραπόμην, ἐθέλων εἰδέναι εἰ συμβήσονται τοῖσι λόγοισι
τοῖσι ἐν Μέμφι. οἱ γὰρ Ἡλιουπολῖται λέγονται Αἰγυπ-
4 τίων εἶναι [e] λογιώτατοι. Τὰ μέν νυν θεῖα τῶν ἀπηγη-
μάτων οἷα ἤκουον, οὐκ εἰμὶ πρόθυμος ἐξηγέεσθαι, ἔξω ἢ
τὰ οὐνόματα [f] αὐτῶν μοῦνον· νομίζων πάντας ἀνθρώπους
ἶσον περὶ αὐτῶν ἐπίστασθαι· τὰ δ' ἂν ἐπιμνησθῶ αὐτῶν,
ὑπὸ τοῦ λόγου [g] ἐξαναγκαζόμενος ἐπιμνησθήσομαι.

Edit auctores Herodotus, a quibus acceptas res Ægyptias traditurus sit: de Diis negat se quidquam, nisi eorum nomina, et quæ rerum ordo postulet, memoraturum esse.

4 Ὅσα δὲ ἀνθρωπήϊα πρήγματα, ὧδε ἔλεγον ὁμολο-
2 γέοντες σφίσι. Πρώτους [a] Αἰγυπτίους ἀνθρώπων ἁπάν-

Primos Ægyptios an-

105

[v] τὴν ἐκείνου] om. f.
[w] λέγουσι f.
[x] τοὺς Φ. f.
[y] πρώτους V.S. Et. b.d.
[z] ἑωυτῶν εἶναι f.

3.

[a] τοῦ ἐν Μέμφι M.K.F. ἐν Μέμφῃ S. et in seqq. Supra ἱερέων S. et sic alibi.
[b] Sic K.P.F.a.c. Alii παιδίων cum S. qui mox ταῖς pro τῇσι, et τροφὴν τῶν παιδίων absque τήν.
[c] ἄλλων d.
[d] αὐτέων τουτέων] Sic M.K. αὐτῶν τούτων F.S. τουτέων om. Ald. b.d.
[e] Sic M.K.R.a.c.F. λογιμώτατοι S.V.b.d. Ald. Eustath. Dionys. 232. Sequentia citat Athenagoras Legat. c. 24.
[f] αὐτέων] αὐτῶν S.F. et puto reliqui. Tum μόνον S.
[g] Sic M.K.R.F.a.b.c. ἀναγκαζόμενος S.d. et al.

4.

[a] Αἰγυπτίων d. In pr. Ὅσα δὴ S. qui mox ὁμολεγέοντες.

num et xii ejus partes invenisse, Diisque xii et nomina, et aras, et simulacra, et delubra posuisse, animaliaque in lapide cælasse: Menem ex hominibus primum Thebaidis regem; cæteram Ægyptum paludem fuisse.

των ἐξευρέειν τὸν ἐνιαυτὸν, [b] δυώδεκα μέρεα δασαμένους
τῶν ὡρέων ἐς αὐτόν. ταῦτα δὲ ἐξευρέειν ἐκ τῶν [c] ἄστρων
3 ἔλεγον. ἄγουσι δὲ [d] τοσῷδε σοφώτερον Ἑλλήνων, [e] ἐμοὶ
δοκέειν, ὅσῳ Ἕλληνες μὲν διὰ τρίτου ἔτεος ἐμβόλιμον
ἐπεμβάλλουσι, τῶν ὡρέων εἵνεκεν· Αἰγύπτιοι δὲ τριη-
κοντημέρους ἄγοντες τοὺς δυώδεκα μῆνας, ἐπάγουσι ἀνὰ
πᾶν ἔτος πέντε ἡμέρας πάρεξ τοῦ ἀριθμοῦ, καὶ σφι ὁ
4 κύκλος τῶν ὡρέων ἐς τὠυτὸ περιϊὼν παραγίνεται. Δυώ-
δεκά τε θεῶν ἐπωνυμίας ἔλεγον πρώτους Αἰγυπτίους
5 νομίσαι, καὶ Ἕλληνας [f] παρὰ σφέων ἀναλαβεῖν. βω-
μούς τε καὶ ἀγάλματα καὶ νηοὺς θεοῖσι ἀπονεῖμαι
σφέας πρώτους, καὶ ζῶα ἐν λίθοισι ἐγγλύψαι. [g] καὶ
τούτων μέν νυν τὰ πλέω ἔργῳ ἐδήλουν οὕτω γενόμενα.
6 Βασιλεῦσαι δὲ [h] πρῶτον Αἰγύπτου ἀνθρώπων ἔλεγον
7 [i] Μῆνα. ἐπὶ τούτου, πλὴν τοῦ Θηβαϊκοῦ νομοῦ, πᾶσαν
Αἴγυπτον εἶναι ἕλος· καὶ αὐτῆς εἶναι οὐδὲν [k] ὑπερέχον
τῶν νῦν ἔνερθε λίμνης τῆς [l] Μοίριος ἐόντων· ἐς τὴν ἀνά-
πλους ἀπὸ θαλάσσης ἑπτὰ ἡμερέων ἐστὶ ἀνὰ τὸν ποτα-
5 μόν. Καὶ εὖ μοι ἐδόκεον λέγειν περὶ τῆς χώρης. [a] δῆλα
γὰρ δὴ καὶ μὴ προακούσαντι, ἰδόντι δὲ, ὅς τίς γε σύνεσιν
ἔχει, ὅτι Αἴγυπτος ἐς τὴν Ἕλληνες ναυτίλλονται, ἔστι

[b] δωδεκαμόρεα S.

[c] ἄστρων M.K.F.a. ἀστέρων c. b.d.S.V.R. Ald.

[d] τὸ σῶμα σοφ. S.V. Sed literæ μα in S. punctis notatæ, tanquam delendæ.

[e] ἐμοὶ δοκέειν M.K.R.F.a.b.c.d. ὡς ἐμοὶ δοκέει Ald. S. et al. cf. IV. 168.

[f] παρά σφεων F. et mox ἀπονεῖμαί σφεάς.

[g] Sic M.K.F. τουτέων absque καὶ S.V.R. Paris. Ald.

[h] Sic M.K.b. πρῶτον Αἰ. ἀνθρωπον R.F.a.c. πρῶτον ἀνθρώπων sine Αἰγύπτου Ald. d.S.

[i] Μῆνα Ald. S.V.R.b.d. Vall. Μεῖνα K.M. Μίνα F.a. Μῖνα c. Mox αὐτὸς pro αὐτῆς S.

[k] ὑπερέχων S.

[l] Μοίριος M.K.a.c. Μύριος Ald. S.V. Vall. F.

5.

[a] Sic a.b.d.V.S.R. Ald. cf. IX. 11. δὴ om. M.K.F. δῆλα δὴ γὰρ c. Mox γε post ὅστις om. S.

Αἰγυπτίοισι [b] ἐπίκτητός τε γῆ, καὶ [c] δῶρον τοῦ ποταμοῦ· καὶ τὰ κατύπερθε [d] ἔτι τῆς λίμνης ταύτης, μέχρι τριῶν ἡμερέων πλόου, τῆς πέρι ἐκεῖνοι οὐδὲν ἔτι [e] τοιόνδε ἔλεγον, ἔστι δ' ἕτερον [f] τοιοῦτον.

2 Αἰγύπτου γὰρ φύσις τῆς χώρης ἐστὶ τοιήδε. Πρῶτα μὲν προσπλέων, ἔτι καὶ ἡμέρης δρόμον ἀπέχων ἀπὸ γῆς, κατεὶς [g] καταπειρητηρίην, [h] πηλόν τε ἀνοίσεις, [i] καὶ ἐν ἕνδεκα [k] ὀργυιῇσι ἔσεαι. τοῦτο μὲν ἐπὶ [l] τοσοῦτο δηλοῖ

6 πρόχυσιν τῆς γῆς ἐοῦσαν. [a] Αὐτῆς δὲ τῆς Αἰγύπτου ἐστὶ μῆκος τὸ παρὰ θάλασσαν, ἑξήκοντα σχοῖνοι, κατὰ ἡμέες διαιρέομεν εἶναι Αἴγυπτον ἀπὸ τοῦ [b] Πλινθινήτεω κόλπου μέχρι [c] Σερβωνίδος λίμνης, παρ' ἣν τὸ Κάσιον ὄρος [d] τείνει· [e] ταύτης ὦν ἄπο οἱ ἑξήκοντα σχοῖνοί εἰσι.

2 ὅσοι μὲν γὰρ [f] γεωπεῖναί εἰσι ἀνθρώπων, [g] ὀργυιῇσι μεμετρήκασι τὴν χώρην· ὅσοι δὲ [h] ἧσσον γεωπεῖναι, σταδίοισι· οἳ δὲ πολλὴν ἔχουσι, παρασάγγῃσι· οἳ δὲ ἄφθο-

Longitudo Ægypti ad mare: orgyiæ, stadia, parasangæ, 106 schœni.

[b] τε om. b.

[c] Citat Arrian. Anab. V. 6. Strabo I. p. 53=30. 61=36.

[d] ἐστὶ K. ἐπὶ R. καθύπερ ἔτι S.

[e] τοιόνδε om. S.V.b. οὐδὲν ἐπέλεγον d.

[f] τοιοῦτο a. τοιοῦτον Ald. S.V. R.b.c.d. τοιόνδε M.K.F. cf. I. 207. Mox φύσις ἐστὶ τῆς χ. S.

[g] κατὰ π. Ald. K. Paris.

[h] πηλῶν S.d. Ald.

[i] καὶ ἕνδεκα P.S. ἐν δέκα F.c. et sic a. sed ita ut inter ἐν et δέκα nonnihil spatii intersit, quod literas εν capere possit.

[k] ὀργυῇσι F.S.

[l] Sic F.a. Vulgo τοσοῦτον.

6.

[a] Sic Schweighæuserus cum Schæfero. αὖτις δὲ αὐτῆς Αἰ. ἐστὶ edd. vulg. Alii mss. αὖτις δὲ αὐτῆς. Alii αὐτῆς δὲ τῆς. αὐτῆς δὲ τῆς Αἰγύπτου ἐπὶ Ald. S. qui mox ἡμεῖς.

[b] Sic S.M.K.P.F. (ubi τοῦ om.) Πλινθηνήτεω A.B.V. Ald. Vid. Holsten. ad Steph. v. Πλινθίνη, Vossium ad Scylac. p. 106.

[c] Σελβωνίδος Ald. V.S.b.

[d] τείνει S.V. Ald. Vall. Parisini, R. cf. III. 5. Deest M.K. et F. pr.

[e] Sic F.a.R.K.M. ἀπὸ vulg. om.

[f] γεωπῖναι S.F. et sic mox. Æmulatur hæc Max. Tyr. XXXIX. p. 459. leviter lapsus. Vid. Ruhnken. ad Timæum p. 49=68. Wess.

[g] ὀργυῇσι K.S.

[h] ἕσσον Schæfer. Mox παρασάγγοισιν S.

3 νον [i] λίην, σχοίνοισι. δύναται δὲ ὁ μὲν παρασάγγης τριήκοντα στάδια· ὁ δὲ [k] σχοῖνος ἕκαστος, μέτρον [l] ἐὼν 4 Αἰγύπτιον, ἑξήκοντα στάδια. οὕτω ἂν εἴησαν Αἰγύπτου στάδιοι ἑξακόσιοι καὶ τρισχίλιοι, τὸ παρὰ θάλασσαν.

7 Latitudo a mari ad Heliopolin.

Ἐνθεῦτεν [a] μὲν καὶ μέχρι Ἡλιουπόλιος ἐς τὴν [b] μεσόγαιαν, ἔστι εὐρέα Αἴγυπτος, ἐοῦσα πᾶσα ὑπτίη τε καὶ 2 [c] ἄνυδρος, καὶ ἰλύς. ἔστι δὲ ὁδὸς ἐς [d] τὴν Ἡλιούπολιν ἀπὸ θαλάσσης [e] ἄνω ἰόντι, παραπλησίη τὸ μῆκος τῇ ἐξ [f] Ἀθηνέων ὁδῷ, τῇ ἀπὸ τῶν [g] δυώδεκα θεῶν τοῦ βωμοῦ φερούσῃ ἔς τε [h] Πίσαν καὶ ἐπὶ τὸν νηὸν τοῦ Διὸς τοῦ 3 Ὀλυμπίου. σμικρόν [i] τι τὸ διάφορον εὕροι τις ἂν λογιζόμενος τῶν [k] ὁδῶν τουτέων, τὸ μὴ ἴσας [l] μῆκος εἶναι, οὐ πλέον πεντεκαίδεκα σταδίων· ἡ μὲν γὰρ ἐς Πίσαν ἐξ [m] Ἀθηνέων, [n] καταδεῖ πεντεκαίδεκα σταδίων, [o] ὡς μὴ εἶναι πεντακοσίων καὶ χιλίων· ἡ δὲ ἐς Ἡλιούπολιν ἀπὸ θαλάσσης, πληροῖ ἐς τὸν ἀριθμὸν τοῦτον.

8 Utrumque latus inde ab Heliopoli monte

Ἀπὸ δὲ Ἡλιουπόλιος ἄνω ἰόντι, στεινή ἐστι Αἴγυπτος. τῇ μὲν γὰρ, τῆς Ἀραβίης ὄρος παρατέταται, φέρον ἀπ᾽ ἄρκτου [a] πρὸς

[i] λίην om. c. Mox μὲν om. a. et F. pr.

[k] σχοῖνος] Suidas in v.

[l] ἐὸν S.K.F.b.

7.

[a] Deest μὲν Ald. S. Sed habent mss. plerique.

[b] μεσόγεαν S.

[c] ἄνυδρος omnes mss. Schweighæuserus cum Larchero malebat εὔυδρος coll. IV. 47. ubi duo mss. ἔνυδρος, ut hic correxit Hennicke. Lectionem vulgatam retinui. Ægyptum enim *aquis irriguam* temere dixeris, quæ Nili solum inundationibus fœcundetur.

[d] τὴν om. F.c.

[e] ἄνω ἀνιόντι S.d. Ald.

[f] Sic K.P. Valckenærius citat I. 98. VI. 127. VII. 6. 62. 90. VIII. 100. 118. 120. IX. 7. 106. Alii Ἀθηναίων.

[g] δώδεκα S.

[h] Sic S.V.F.a. Πίσσαν R. Ald. et al. Πεῖσαν bis M.K.

[i] τι τὸ διάφορον M.K.R.a.c. τι διαφέρον Ald. S.V.b. τὶ διάφορον d. τὸ διάφορον F.

[k] ὁδῶν S.F.a. ὅδῶν K. οὐδῶν Ald. cf. III. 126.

[l] Sic K.R.M.F.a.c. Vulgo om. μῆκος cum S. qui mox ἐπὶ Πίσαν.

[m] Sic P.K. Vulgo Ἀθηναίων.

[n] κατὰ δὴ Ald. d.

[o] Sic Ald. V.S.R.a.b.d. ὡς om. M.K.F.c.

8.

[a] Sic M.K.R.F.a.b.c. ἐς με-

μεσαμβρίης τε καὶ νότου, αἰεὶ ἄνω τεῖνον ἐς τὴν Ἐρυθρὴν
καλεομένην θάλασσαν· ἐν τῷ [b] αἱ λιθοτομίαι ἔνεισι, αἱ
2 ἐς τὰς πυραμίδας κατατμηθεῖσαι τὰς ἐν [c] Μέμφι. ταύτῃ
μὲν λῆγον, ἀνακάμπτει ἐς τὰ εἴρηται, τὸ ὄρος. τῇ δὲ
αὐτὸ ἑωυτοῦ ἐστὶ [d] μακρότατον, ὡς ἐγὼ ἐπυνθανόμην δύο
μηνῶν αὐτὸ εἶναι [e] τῆς ὁδοῦ [f] ἀπὸ ἠοῦς πρὸς ἑσπέρην· τὰ
δὲ πρὸς τὴν ἠῶ, λιβανωτοφόρα αὐτοῦ τὰ [g] τέρματα εἶναι.
3 τοῦτο μέν νυν τὸ ὄρος τοιοῦτο ἐστί. Τὸ δὲ πρὸς Λιβύης
τῆς Αἰγύπτου, ὄρος [h] ἄλλο πέτρινον τείνει, ἐν τῷ αἱ πυ- 107
ραμίδες ἔνεισι, ψάμμῳ [i] κατειλυμένον, [k] τεταμένον τὸν
αὐτὸν τρόπον [l] τὸν καὶ τοῦ Ἀραβίου τὰ πρὸς μεσαμ-
4 βρίην φέροντα. Τὸ ὦν δὴ ἀπὸ Ἡλιουπόλιος, οὐκέτι
[m] πολλὸν χωρίον, ὡς εἶναι Αἰγύπτου· ἀλλ' ὅσον τε ἡμε-
ρέων τεσσέρων ἀναπλόου [n] στεινή ἐστι Αἴγυπτος ἐοῦσα.
5 [o] τῶν δὲ οὐρέων τῶν εἰρημένων τὸ μεταξὺ, πεδιὰς μὲν
[p] γῆ· στάδιοι δὲ μάλιστα ἐδόκεόν μοι [q] εἶναι, τῇ στεινό-
τατόν ἐστι, διηκοσίων οὐ [r] πλείους, ἐκ τοῦ Ἀραβίου [s] οὔ-
6 ρεος ἐς τὸ Λιβυκὸν [t] καλεύμενον. τὸ δὲ ἐνθεῦτεν αὖτις
εὐρέα Αἴγυπτός ἐστι. Πέφυκε [v] μέν νυν ἡ χώρη αὕτη

cinctum, alterum Arabico, alterum Libyco.

σαμβρίης Steph. marg. πρὸς μεσαμβρίην τε καὶ νότον Ald. d. S. Mox ἀεὶ S.

[b] Sic M.K.F.a.c. καὶ λιθοτ. Ald. V.S.R.b.d.

[c] Μέμφῃ S.F.

[d] μακρότατον M.K.R.F.a.b.c. μακρότερον d. Ald. S.

[e] τῆς ὁδοῦ om. S.

[f] Sic R.K.M. et mox ἠῶ. Vulgo ἕω utrobique. ἠοὺς—ἠῶ F.

[g] τέλματα S.

[h] ἄλλο ὑπερτείνει R.F.a.c.P. marg.

[i] Sic M.K.F.b.d. κατειλημμένον R.S.V.a.c. edd. vett.

[k] Sic Ald. b. τεταμμένον S.V. c.d. verbum om. K.M.F.a. κατὰ τὸν αὐτὸν τρ. a.

[l] Sic M.K.F.a.b.c. τὸν om. Ald. S.V.d.

[m] Sic K.P.a.c.F. Vulgo πολλῶν χωρίων cum S.

[n] ἐστὶ στείνη F.S.

[o] δὲ om. M.K. Mox ὀρέων S.

[p] γῆς S.d.

[q] εἶναι om. S.

[r] πλέους F.a.

[s] ὄρεος S.F. pr. sed statim corr.

[t] καλεόμενον K. Eton. F.a. probante Wassio Thucyd. IV. 36. Mox Αἴγυπτος εὐρέα S.

[v] Sic M. et alii. μὲν ὦν Ald. S. V.d.

9 Latitudo ab Heliopoli ad Thebas, et a Thebis ad Elephantinem.

9 οὕτω. Ἀπὸ δὲ Ἡλιουπόλιος ἐς Θήβας, ἔστι ἀνάπλοος ἐννέα ἡμερέων· στάδιοι δὲ τῆς ὁδοῦ, ἑξήκοντα καὶ ὀκτακόσιοι καὶ τετρακισχίλιοι, σχοίνων ἑνὸς καὶ ὀγδώκοντα
2 ἐόντων. οὗτοι [a] συντιθέμενοι οἱ στάδιοι Αἰγύπτου, τὸ μὲν παρὰ θάλασσαν, ἤδη μοι καὶ πρότερον δεδήλωται ὅτι ἑξακοσίων τέ ἐστι σταδίων καὶ τρισχιλίων· ὅσον [b] δέ τι ἀπὸ θαλάσσης [c] ἐς μεσόγαιαν μέχρι Θηβέων ἐστὶ, ση-
3 μανέω. στάδιοι γάρ εἰσι εἴκοσι καὶ ἑκατὸν καὶ ἑξακισχίλιοι. τὸ δὲ ἀπὸ Θηβέων ἐς Ἐλεφαντίνην καλεομένην πόλιν, στάδιοι [d] χίλιοι καὶ ὀκτακόσιοι εἰσί.

10 Terra inter montem Arabicum et Libycum, olim sinus maris.

10 Ταύτης ὦν [a] τῆς χώρης τῆς εἰρημένης ἡ πολλὴ, κατάπερ οἱ ἱρέες ἔλεγον, ἐδόκεε [b] δὲ καὶ αὐτῷ μοι εἶναι
2 ἐπίκτητος Αἰγυπτίοισι. τῶν γὰρ οὐρέων τῶν εἰρημένων τῶν ὑπὲρ Μέμφιν πόλιν κειμένων τὸ [c] μεταξὺ ἐφαίνετό μοι εἶναί κοτε κόλπος θαλάσσης, [d] ὥσπερ γε τὰ περὶ Ἴλιον καὶ Τευθρανίην, καὶ Ἔφεσόν τε καὶ Μαιάνδρου πεδίον· [e] ὥστε εἶναι σμικρὰ ταῦτα μεγάλοισι συμβα-
3 λέειν. τῶν γὰρ ταῦτα τὰ χωρία προσχωσάντων ποταμῶν, ἑνὶ τῶν στομάτων τοῦ Νείλου, ἐόντος [f] πενταστό-

9.

[a] Sic F.a. Vulgo cum S. συντεθειμένοι. Mox οἱ ante στάδιοι ex F. In pr. ἐστὶν ἐς Θήβας ἀνάπλεος S. qui mox ἑνὸς ὀγδώκοντα.

[b] Sic R.K.M.F.a.b.c.d. Vulgo δὲ τῇ cum S.

[c] Sic R.P. μεχρὶ Θηβαίων μεσόγαιά ἐστι vulgo, μέχρι Θηβαίων μεσόγεά ἐστι S. Vid. Gronovius ad Arrian. Anab. III. 5. Mox πόλιν καλεομένην S.

[d] χίλιοι καὶ ὀκτακόσιοι M.R.K. F.a.c. εἴκοσι καὶ ὀκτ. Ald. Vall. b. S. εἰ καὶ ὀκτ. d.

10.

[a] τῆς χώρης exciderunt ex ed. Wessel. et seqq. Mox ἱερέες S.

[b] δὲ om. M.K. et F.a. pr. sed in his additum a m. antiqua. Mox ὀρέων S. et Μέμφην.

[c] μεταξύ γ' Ald. μ. γε φαίν. S. γε om. M.K.

[d] Sic M.K.F.a.b.c. ὥσπερ τά τε π. Ἴλ. Ald. d. S.

[e] Sic R.K.M.F.a.b.c. Ceteri ὡς cum S. Collatis vero codd. lectionibus, vide ne genuina auctoris scriptura hujusmodi fuerit, ὥσπερ τά τε περὶ etc., ac deinde ὥς γε εἶναι etc. SCHWEIGHÆUSER.

[f] Sic M.K.F.a.c.d. ἑπταστόμου Ald. S.b.V.R.F. pro v. l.

μου, οὐδεὶς αὐτῶν πλήθεος πέρι ἄξιος συμβληθῆναι [g] ἐστί.
4 εἰσὶ δὲ καὶ ἄλλοι ποταμοὶ οὐ κατὰ τὸν Νεῖλον ἐόντες
[h] μεγάθεα, οἵ τινες ἔργα ἀποδεξάμενοι μεγάλα εἰσί·
τῶν ἐγὼ [i] φράσαι ἔχω οὐνόματα, καὶ ἄλλων, καὶ οὐκ
ἥκιστα Ἀχελώου· ὃς ῥέων δι' Ἀκαρνανίης, καὶ [k] ἐξιεὶς
ἐς θάλασσαν, τῶν Ἐχινάδων νήσων τὰς ἡμίσεας ἤδη
11 ἤπειρον πεποίηκε. Ἔστι δὲ τῆς Ἀραβίης χώρης, Αἰγύπ- 108
του δὲ οὐ πρόσω, κόλπος θαλάσσης ἐσέχων ἐκ τῆς Ἐρυ- Sinus Arabicus: ei
θρῆς καλεομένης [a] θαλάσσης, μακρὸς οὕτω δή τι καὶ similem quondam
2 [b] στεινὸς, ὡς ἔρχομαι φράσων. μῆκος μὲν [c] πλόου, ἀρ- Ægyptum fuisse.
ξαμένῳ ἐκ μυχοῦ διεκπλῶσαι ἐς τὴν [d] εὐρέην θάλασσαν,
ἡμέραι ἀναισιμοῦνται τεσσεράκοντα, εἰρεσίῃ χρεωμένῳ·
εὖρος δὲ, τῇ εὐρύτατός ἐστι ὁ κόλπος, ἥμισυ ἡμέρης
πλόου. [e] ῥηχίη δ' ἐν αὐτῷ καὶ ἄμπωτις ἀνὰ πᾶσαν
3 ἡμέρην γίνεται. ἕτερον τοιοῦτον κόλπον [f] καὶ τὴν Αἴγυπ-
τον δοκέω γενέσθαι [g] κου· τὸν μὲν, ἐκ τῆς [h] Βορηίης θα-
λάσσης κόλπον [i] ἐσέχοντα ἐπὶ [k] Αἰθιοπίης· τὸν δὲ [[l] Ἀ-

[g] ἐστὶ om. V. et delevit Schæferus. ξυμβληθῆναί ἐστιν S.

[h] Sic M.K.V.F.a.b.c. μεγεαθέει S. μεγάθεοι d. μεγάθεϊ Schæfer. Vulgo μεγάθεες. cf. I. 202. III. 102. 107.

[i] φράσων S.

[k] ἐξιεὶς] M.K.R.F.a.b.c. ἐξιὼν Ald. V.S.d. Eustath. Dionys. 431. Mox ἐς τὴν θάλασσαν edd. vett. sed τὴν om. mss. plerique et Eustath.

11.

[a] θαλάσσης om. S. vulgo. Sed præbent R.M.K.P.F.a.b.c.d.

[b] Sic F.a. Vulgo στενός.

[c] πλοίου K.P.F.a. ἀρξαμένου K. R. Tum μάχου S.V. Ald. *Inacho* Vall.

[d] Sic S. Alii εὐρείην.

[e] ῥιχίη F. et in marg. ῥιχίη αὐχμός. Mox ἄμποτις S.

[f] Sic M.K.R.F.d. καὶ ἐπὶ τὴν Ald. V.S.a.b.c.

[g] Sic M.K.R.F.a.b.c. κου om. Ald. V.S.d.

[h] Sic K.F. cf. II. 158. 159. IV. 37. 42. βορείης vulg. ante Wessel. βορέ[ης] S. βορέης Ald.

[i] Sic R. Cui lectioni bene admovet Wesselingius I. 193. ἐσέχει δὲ ἐς ἄλλον ποταμὸν ἐκ τοῦ Εὐφρήτεω. II. 158. ἐσέχει δὲ ἐς τὴν Ἐρυθρὴν θάλασσαν. Aristid. II. p. 354. Jebb. εἰς τοὺς παρ' ἡμῖν τόπους ἐσέχει θάλασσα, ἡ καλεῖται Κασπία. ἐσχέοντα M.K.a.b.c. εἰσχέοντα F. ἔχοντα Ald. d.S. κόλπον om. S. Ald.

[k] Αἰθιοπίην S. qui mox Συρίην, σχεδὸν ἀλλήλοισι.

[l] Uncinis inclusit Schweigh-

ῥάβιον, τὸν ἔρχομαι λέξων,] ἐκ τῆς νοτίης φέροντα ἐπὶ Συρίης· σχεδὸν μὲν ἀλλήλοισι [m] συντετραίνοντας τοὺς
4 μυχοὺς, ὀλίγον δέ τι παραλλάσσοντας τῆς χώρης. [n] εἰ ὦν δὴ ἐθελήσει ἐκτρέψαι τὸ ῥέεθρον ὁ Νεῖλος ἐς τοῦτον τὸν Ἀράβιον κόλπον, τί μιν κωλύει ῥέοντος τούτου [o] ἐκχω-
5 σθῆναι ἐντός γε δισμυρίων ἐτέων; ἐγὼ μὲν γὰρ ἔλπομαί [p] γε καὶ μυρίων ἐντὸς χωσθῆναι ἄν. κοῦ γε δὴ, ἐν τῷ προαναισιμωμένῳ χρόνῳ πρότερον [q] ἢ ἐμὲ γενέσθαι, [r] οὐκ ἂν χωσθείη κόλπος καὶ πολλῷ μέζων ἔτι τούτου, ὑπὸ τοσούτου τε ποταμοῦ καὶ οὕτως ἐργατικοῦ;

12 Argumenta hujus rei ex terræ a vicinis diversæ natura.

Τὰ περὶ Αἴγυπτον ὦν καὶ τοῖσι λέγουσι αὐτὰ πείθομαι, καὶ αὐτὸς [a] οὕτω κάρτα δοκέω εἶναι, ἰδών τε τὴν Αἴγυπτον προκειμένην τῆς ἐχομένης γῆς, [b] κογχύλιά τε φαινόμενα ἐπὶ τοῖσι [c] οὔρεσι, καὶ ἅλμην ἐπανθέουσαν, ὥστε καὶ τὰς
2 πυραμίδας δηλέεσθαι· καὶ [d] ψάμμον μοῦνον Αἰγύπτου ὄρος τοῦτο [e] τὸ ὑπὲρ Μέμφιος ἔχον· πρὸς δὲ, τῇ χώρῃ οὔτε τῇ Ἀραβίῃ προσούρῳ ἐούσῃ τὴν Αἴγυπτον προσεικέλην, οὔτε τῇ Λιβύῃ, [f] οὐ μὴν οὐδὲ τῇ Συρίῃ, (τῆς γὰρ Ἀραβίης τὰ παρὰ θάλασσαν Σύριοι νέμονται,) ἀλλὰ [g] μελάγγαιόν τε καὶ κατερρηγνυμένην, ὥστε ἐοῦσαν ἰλὺν

æuserus, quasi ex scholio invecta.

[m] Sic M.K.F. συμπεραίνοντας a.b.c.d.S.V.R. Ald. F. pro v. l. conf. Wessel. ad Diod. Sic. III. 44. qui et Æschyl. Choëph. 449. indicavit.

[n] δὴ om. M.F.a. sed habent F.a. pro v. l. Mox ἐθελήσειε tanquam ex Ald. R. citat Wesselingius. Atqui Aldus cum vulg. consentit.

[o] Sic M.K.F.a.c. χωρισθῆναι R. χωσθῆναι S. vulg. Mox μὲν post ἐγὼ om. S.

[p] Sic M.R.K.F.a.b.c. τε sine καὶ Ald. d.S.

[q] οἶμαι S.

[r] Sic Ald. S.V.a.b.d. οὐκ ἀναχωσθείη M.K.c.F. ἀναχωρισθείη R. Mox μείζων S.

12.

[a] οὗτος οὕτω καταδοκέω S. οὕτω καταδοκέω Ald.

[b] Eustath. Od. δ'. p. 1509, 32=186, 42.

[c] Sic F. Vulgo ὄρεσι.

[d] βάμμον μόνον S.

[e] τὸ om. d.

[f] Sic P.F. et forte alii. οὐ μὲν vett. edd.

[g] μελάγγεον Ald. S.V. Mox ὥστε οὖσαν S.

τε καὶ πρόχυσιν ἐξ Αἰθιοπίης [h] κατενηνειγμένην ὑπὸ τοῦ
3 ποταμοῦ. τὴν δὲ Λιβύην [i] ἴδμεν ἐρυθροτέρην τε γῆν, καὶ 109
[k] ὑποψαμμοτέρην· τὴν δὲ Ἀραβίην τε καὶ Συρίην ἀργι-
λωδεστέρην τε καὶ [l] ὑπόπετρον ἐοῦσαν.

13 Ἔλεγον δὲ καὶ τόδε μοι μέγα τεκμήριον περὶ τῆς 95
χώρης ταύτης οἱ ἱρέες, ὡς ἐπὶ [a] Μοίριος βασιλέος, ὅκως
ἔλθοι ὁ ποταμὸς ἐπὶ ὀκτὼ πήχεας τὸ ἐλάχιστον, [b] ἄρ-
2 δεσκε Αἴγυπτον τὴν ἔνερθε Μέμφιος. καὶ [c] Μοίρι οὔ κω
ἦν ἔτεα [d] εἰνακόσια τετελευτηκότι, ὅτε τῶν ἱρέων [e] ταῦτα
3 ἐγὼ ἤκουον. νῦν δὲ, [f] ἢν μὴ ἐπ' ἑκκαίδεκα ἢ πεντεκαί-
δεκα πήχεας ἀναβῇ τὸ ἐλάχιστον ὁ ποταμὸς, οὐκ ὑπερ-
4 βαίνει ἐς τὴν χώρην. δοκέουσί [g] τέ μοι Αἰγυπτίων οἱ
ἔνερθε [h] τῆς λίμνης τῆς Μοίριος οἰκέοντες τά τε ἄλλα
χωρία καὶ τὸ καλεόμενον Δέλτα, ἢν οὕτω ἡ χώρη αὕ-
τη κατὰ λόγον ἐπιδιδοῖ [i] ἐς ὕψος, καὶ τὸ ὁμοῖον ἀποδι-
δοῖ ἐς αὔξησιν, μὴ κατακλύζοντος αὐτὴν τοῦ Νείλου πεί-
σεσθαι τὸν πάντα χρόνον [k] τὸν ἐπίλοιπον Αἰγύπτιοι, τό
5 κοτε αὐτοὶ Ἕλληνας ἔφασαν πείσεσθαι. [l] πυθόμενοι γὰρ
ὡς ὕεται πᾶσα ἡ χώρη τῶν Ἑλλήνων, ἀλλ' οὐ ποτα-
μοῖσι ἄρδεται, κατάπερ ἡ σφετέρη, ἔφασαν "Ἕλληνας

Quanta Nili altitudo irrigarit Ægyptum regnante Mœri; [ab a. 1358 ad 1329. 2, 101] quanta, Herodoti ætate. Famis periculum esse metuendum et Græcis, nisi pluat,

[h] Sic M. Paris. κατενενειγμένην Ald. S. κατενηνεγμένην K. κατενηνηγμένην F. καταν εν. Ald.
[i] ἴσμεν K.F.
[k] ὑποψαμμότερον b.
[l] ὑπόπτερον F.

13.

[a] Sic M.K.F. Μύριος S. (qui tum βασιλέος pro βασιλῆος) alii et F. pro v. l. Supra ἱερέες S. ut sæpius.
[b] Sic M.K.P. alii. Wesselingius attulit Abydenum Eusebii Præp. IX. 41. Vulgo ἀρδέεσκε.
[c] Μοίρι R. Μύρι M.K. Μοίρη F. Μύρις S.d. et alii. Mox τετελευτηκὼς Ald. S.
[d] Sic K.R.P. alii. cf. II. 145. Vulgo ἐννακόσια.
[e] ἐγὼ ταῦτα F.
[f] Sic F.S. Vulgo εἰ μή.
[g] Sic M.K.F.a.b.c. Alii cum S. δέ μοι. d. μοι δέ.
[h] τῆς om. F.a. Tum μύριος S.
[i] ἐς ὕψος—ἀποδιδοῖ om. K.
[k] τὸν ἐπίλοιπον om. S. qui mox οἱ Αἰγ. improbante Schweighæusero. Αἰγύπτιοι om. c. Deinde Ἕλληνας αὐτοὶ S.
[l] πυθόμενοι R.K.M. et alii. πυνθανόμενοι Ald. S.

" ψευσθέντας κοτὲ ἐλπίδος μεγάλης, κακῶς [m] πεινή-
6 " σειν." τὸ δὲ ἔπος τοῦτο ἐθέλει λέγειν, ὡς " εἰ μὴ " [n] ἐθελήσει σφι ὕειν ὁ θεὸς, ἀλλ' αὐχμῷ διαχρᾶσθαι, " λιμῷ οἱ Ἕλληνες [o] αἱρεθήσονται· οὐ γὰρ δή σφί ἐστι " ὕδατος [p] οὐδεμία ἄλλη ἀποστροφὴ, ὅτι μὴ ἐκ τοῦ Διὸς " [q] μοῦνον."

14 Καὶ ταῦτα μὲν ἐς Ἕλληνας Αἰγυπτίοισι [a] ὀρθῶς ἔχοντα εἴρηται. φέρε δὲ νῦν, καὶ αὐτοῖσι Αἰγυπτίοισι ὡς ἔχει, φράσω.
2 εἴ σφι [b] θέλοι, [c] ὡς καὶ πρότερον εἶπον, ἡ χώρη ἡ ἔνερθε Μέμφιος (αὕτη γάρ ἐστι ἡ [d] αὐξανομένη) κατὰ λόγον τοῦ [e] παροιχομένου χρόνου ἐς ὕψος αὐξάνεσθαι, ἄλλο τι ἢ οἱ ταύτῃ οἰκέοντες Αἰγυπτίων πεινήσουσι; εἰ [f] μήτε γε ὕσεταί σφι ἡ χώρη, μήτε ὁ 110
ποταμὸς οἷός τ' ἔσται [g] ἐς τὰς ἀρούρας ὑπερβαίνειν.
3 Ἦ γὰρ δὴ νῦν γε οὗτοι [h] ἀπονητότατα καρπὸν κομίζονται [i] ἐκ γῆς, τῶν τε ἄλλων ἀνθρώπων [k] ἁπάντων, καὶ [l] τῶν λοιπῶν Αἰγυπτίων· οἳ οὔτε ἀρότρῳ ἀναρρηγνύντες αὔλακας ἔχουσι πόνους, οὔτε [m] σκάλλοντες, οὔτε ἄλλο ἐργαζόμενοι οὐδὲν τῶν [n] ὦλλοι ἄνθρωποι περὶ λήϊον πονέουσι· ἀλλ' ἐπεάν σφι ὁ ποταμὸς αὐτόματος [o] ἐπελθὼν ἄρσῃ τὰς ἀρούρας, ἄρσας δὲ [p] ἀπολείπῃ ὀπίσω, τότε

et Ægyptiis, ubi non possit fluvius in terram altius crescentem exspatiari. Minimo labore Ægyptios terræ Nilo irrigatæ fructum percipere.

[m] πονήσειν Ald. C.
[n] ἐθελήσοι Ald. c. ἐθελήσῃ σφιν S. θελήσει F. Mox σφίσι pro σφι F. Ald.
[o] ἀναιρεθ. S.
[p] οὐδεμίη] οὐδεμία F.S.
[q] μούνου C.

14.

[a] ὀρθῶς—Αἰγυπτίοισι om. S.V.
[b] Sic M.K.F.a. ἐθέλοι c. θέλει R. ἐθελήσει S.b.d. ἐθελήσοι Ald.
[c] καὶ ὡς F.
[d] αὐξομένη S.
[e] Sic S.R.M.K.V.F.a.c.d. παρῳχημένου vulg. et d. Mox Αἰγυπτίων οἰκέοντες S.
[f] Sic R.K.M.P.a.b.c. ὕεται F. Vulgo cum S. μήτε γεύσεται σφι ἡ χώρη τὰ ἀπὸ Διὸς, μήτε.
[g] ἐς τὰς om. S. vulgo. Habent M.R.K.
[h] ἀπονητότατοι F.
[i] ἐκ γῆς R.M.K.V.F. Paris. ἐκ τῆς S. ἐκτὸς τῶν τε vulgo.
[k] πάντων K.F. ἀπ. ἀνθρώπων S.
[l] τῶν om. F.
[m] οὔτε σκάλλοντες om. S.
[n] οἱ ἄλλοι R.M.F.a. ἄλλοι Ald. ἄνθρωποι om. S.
[o] Sic V.R.K.S.M.F. Paris. ἐπανελθὼν edd. vett.
[p] ἀπολίπῃ F.a.c. ἀπολείπει S.

σπείρας ἕκαστος τὴν ἑωυτοῦ ἄρουραν, ἐσβάλλει ἐς αὐτὴν
4 ὗς. ἐπεὰν δὲ [q] καταπατήσῃ τῇσι ὑσὶ τὸ σπέρμα, [r] ἄμητον τὸ ἀπὸ τούτου μένει. ἀποδινήσας δὲ [s] τῇσι ὑσὶ τὸν σῖτον, οὕτω κομίζεται.

15 Εἰ ὦν [a] βουλόμεθα γνώμῃσι τῇσι Ἰώνων χρᾶσθαι [b] τὰ περὶ Αἴγυπτον, οἵ φασι τὸ Δέλτα μοῦνον εἶναι Αἴγυπτον, ἀπὸ [c] Περσέος [d] καλεομένης σκοπιῆς λέγοντες τὸ παρὰ θάλασσαν εἶναι [e] αὐτῆς μέχρι [f] Ταριχηϊῶν τῶν
2 Πηλουσιακῶν, [g] τῇ δὴ [h] τεσσεράκοντά εἰσι σχοῖνοι· τὸ δὲ ἀπὸ θαλάσσης λεγόντων ἐς [i] μεσόγαιαν [k] τείνειν αὐτὴν μέχρι [l] Κερκασώρου πόλιος, κατ᾽ ἣν σχίζεται ὁ Νεῖλος,
3 ἔς τε Πηλούσιον ῥέων καὶ ἐς Κάνωβον· τὰ δὲ ἄλλα λεγόντων τῆς Αἰγύπτου, τὰ μὲν Λιβύης, τὰ δὲ Ἀραβίης εἶναι· ἀποδεικνύοιμεν ἂν, τούτῳ τῷ λόγῳ χρεώμενοι,
4 Αἰγυπτίοισι οὐκ ἐοῦσαν πρότερον χώρην. [m] ἤδη γάρ σφι τό γε Δέλτα, ὡς αὐτοὶ λέγουσι Αἰγύπτιοι, καὶ ἐμοὶ δοκέει, ἔστι κατάρρυτόν τε καὶ νεωστὶ, ὡς λόγῳ εἰπεῖν,
5 ἀναπεφηνός. εἰ τοίνυν σφι χώρη γε [n] μηδεμία ὑπῆρχε, τί [o] περιειργάζοντο δοκέοντες πρῶτοι ἀνθρώπων γεγονέναι;

Ionum sententia de Ægypto refellitur.

[q] Sic M.R.K.F. Paris. καταπατήσει ὑσὶ V.S. καταπατηθῇ τοῖσι ὑσί Ald.

[r] τὸν ἀμητὸν Ald. S. ἄμητον dedit Schweigh. ex F.a.c. Deest articulus M.K.P.

[s] Sic mss. nonnulli. Alii τοῖσι cum S.

15.

[a] βουλοίμεθα Benedictus, probante Schweighæusero. Mox γνώμῃσι τισὶν S.

[b] Sic R.M.K.F.a. περὶ Αἰγύπτου sine τὰ Ald. b.d.S. et sic ed. Wesseling.

[c] Sic F.a. Vulgo Περσέως.

[d] Sic M.V.K.F. Paris. Vulgo καλεομένην cum S.

[e] Sic R.K.F.a.c. αὐτὴν b.M.S. Ald. Gronov. Schæfer.

[f] Sic S. Ταριχίων F.a.c. Alii ταριχειῶν.

[g] Sic F.a. Vulgo τῇδε. S. τῇι δέ.

[h] τεσσαρ. F.S. Ald.

[i] μεσόγεαν S. passim.

[k] τείνειν αὐτὴν Ald. V.S.R.a. τείνειν αὐτῶν M.K.F.c.

[l] Κερκασώ πόλιος F.

[m] ἤδη] ἤτοι γάρ *profecto enim* Benedictus. Mox δοκέοι S.

[n] μηδεμίη] μὴ δὲ μία F. μηδεμία S.

[o] Sic R.F.a.b.c. περιηργάζοντο M. περιεργάζονται S.d. et vulgo.

οὐδὲ [p] ἔδει σφέας ἐς [q] διάπειραν τῶν παιδίων ἰέναι, τίνα 111
6 γλῶσσαν [r] πρώτην ἀπήσουσι. Ἀλλ' οὔτε Αἰγυπτίους δοκέω ἅμα τῷ Δέλτα τῷ ὑπ' Ἰώνων καλεομένῳ γενέσθαι, αἰεί τε εἶναι, ἐξ οὗ ἀνθρώπων γένος ἐγένετο· προϊούσης δὲ τῆς χώρης, πολλοὺς μὲν τοὺς ὑπολειπομένους [s] αὐτῶν [t] γενέσθαι, πολλοὺς δὲ τοὺς ὑποκαταβαί-
7 νοντας. τὸ δ' ὦν πάλαι αἱ Θῆβαι, Αἴγυπτος [v] ἐκαλέετο· τῆς τὸ περίμετρον στάδιοί εἰσι εἴκοσι καὶ ἑκατὸν καὶ
16 ἑξακισχίλιοι. Εἰ ὦν ἡμεῖς [a] ὀρθῶς περὶ αὐτῶν γινώσκο-
2 μεν, Ἴωνες οὐκ εὖ φρονέουσι περὶ Αἰγύπτου. εἰ δὲ ὀρθή ἐστι [b] ἡ τῶν Ἰώνων γνώμη, Ἕλληνάς τε καὶ αὐτοὺς Ἴωνας ἀποδείκνυμι οὐκ ἐπισταμένους λογίζεσθαι· οἵ φασι τρία μόρια [c] εἶναι γῆν πᾶσαν, Εὐρώπην τε καὶ Ἀσίην
3 καὶ Λιβύην. τέταρτον [d] γὰρ δή σφεας δεῖ προσλογίζεσθαι, Αἰγύπτου τὸ Δέλτα· εἰ [e] μή τι γέ ἐστι τῆς
4 Ἀσίης, μήτε τῆς Λιβύης. οὐ γὰρ δὴ ὁ Νεῖλός γέ ἐστι, κατὰ τοῦτον τὸν λόγον, ὁ τὴν Ἀσίην οὐρίζων [f] τῆς Λιβύης· τοῦ Δέλτα δὲ τούτου κατὰ τὸ ὀξὺ περιρρήγνυται ὁ Νεῖλος, ὥστε ἐν τῷ μεταξὺ Ἀσίης τε καὶ Λιβύης γίνοιτ'
17 ἄν. Καὶ τὴν μὲν Ἰώνων γνώμην ἀπίεμεν· ἡμεῖς δὲ [a] ὧδε καὶ περὶ τούτων λέγομεν. Αἴγυπτον μὲν πᾶσαν εἶναι [b] ταύτην τὴν ὑπ' Αἰγυπτίων οἰκεομένην, κατάπερ Κιλι-

Asiæ atque Africæ terminum esse Nilum :

[p] ἔδεε Borheckius.
[q] ἄπειραν V.S.
[r] πρῶτον S. Mox ἀπήσουσι M.S. K. et plerique alii. ἀπύσουσι Ald. vulg. Mox ἀεὶ S.
[s] αὐτέων Ald. R.V. αὐτῶν M.S. F. et cap. seq.
[t] γίνεσθαι F.S. Ald.
[v] ἐκαλέοντο R.c.

16.

[a] περὶ αὐτῶν ὀρθῶς F.
[b] ἡ γνώμη τῶν Ἰώνων K.F. γ. τ. Ἰ. sine ἡ S.a.c.
[c] Sic M.K.F. Paris. εἶναι om. S. εἶναι τὴν γῆν vulgo.
[d] Sic F. Ald. γὰρ σφέας δὲ Wesseling. cum M. σφέας δὴ K. δὴ σφέας b.d.S. δεῖ om. S. Ald.
[e] Sic Ald. R.F.b.d. μή τέ γε Steph. et recent.
[f] Sic R. probante Wesselingio, qui ἀπὸ supplendum docet. τῇ Λιβύῃ Ald. M.F.S.

17.

[a] ὧδέ κῃ conj. Reiskius, non improbante Schweigh. qui in vulg. tamen acquiescit.
[b] ταύτην om. S.

κίην τὴν ὑπὸ Κιλίκων, καὶ Ἀσσυρίην τὴν ὑπὸ Ἀσσυρίων. ejus iter et septem ostia.
2 οὔρισμα δὲ Ἀσίῃ καὶ Λιβύῃ [c] οἴδαμεν οὐδὲν ἐὸν ὀρθῷ
3 λόγῳ, εἰ μὴ τοὺς Αἰγυπτίων [d] οὔρους. εἰ δὲ τῷ ὑπ' Ἑλ-
λήνων νενομισμένῳ χρησόμεθα, νομιοῦμεν Αἴγυπτον πᾶ-
σαν, ἀρξαμένην ἀπὸ Καταδούπων τε καὶ Ἐλεφαντίνης
πόλιος, δίχα διαιρέεσθαι, καὶ ἀμφοτέρων τῶν ἐπωνυμιέων
ἔχεσθαι· [e] τὰ μὲν γὰρ αὐτῆς εἶναι τῆς Λιβύης· τὰ δὲ,
4 τῆς Ἀσίης. ὁ γὰρ δὴ Νεῖλος ἀρξάμενος [f] ἐκ τῶν Κατα-
δούπων, ῥέει, [g] μέσην Αἴγυπτον σχίζων, ἐς θάλασσαν.
μέχρι μέν νυν Κερκασώρου πόλιος ῥέει εἷς ἐὼν ὁ Νεῖλος·
τὸ δὲ ἀπὸ ταύτης τῆς πόλιος, σχίζεται τριφασίας ὁδούς·
καὶ ἡ μὲν πρὸς ἠῶ τρέπεται, [h] τὸ καλέεται Πηλούσιον
στόμα· ἡ δὲ ἑτέρη τῶν [i] ὁδῶν πρὸς ἑσπέρην ἔχει· τοῦτο
5 δὲ Κανωβικὸν στόμα κέκληται. ἡ δὲ δὴ ἰθέα τῶν ὁδῶν
τῷ Νείλῳ ἐστὶ ἥδε· ἄνωθεν φερόμενος, ἐς τὸ ὀξὺ τοῦ
Δέλτα ἀπικνέεται· τὸ δὲ ἀπὸ τούτου, σχίζων μέσον τὸ
Δέλτα, ἐς θάλασσαν ἐξίει, οὔτε ἐλαχίστην μοίρην τοῦ
ὕδατος παρεχόμενος [k] ταύτῃ, οὔτε ἥκιστα [l] οὐνομαστήν·
6 τὸ καλέεται Σεβεννυτικὸν στόμα. ἔστι δὲ καὶ ἕτερα
διφάσια στόματα, ἀπὸ τοῦ Σεβεννυτικοῦ ἀποσχισθέντα,
φέροντα ἐς θάλασσαν· τοῖσι οὐνόματα κέεται τάδε, [m] τῷ 112
7 μὲν Σαϊτικὸν [n] αὐτῶν, τῷ δὲ, Μενδήσιον. τὸ δὲ Βολβί-
τινον στόμα καὶ τὸ Βουκολικὸν οὐκ [o] ἰθαγενέα στόματά
18 ἐστι, ἀλλ' ὀρυκτά. Μαρτυρέει [a] δέ μοι τῇ γνώμῃ, ὅτι Hammonis responsum,

[c] Sic M.S.K. οἴδαμεν Ald. οἶδα μὲν vulg. Mox ἐὸν om. S.V.d.

[d] ὅρους F.S.

[e] τὰ μὲν—Ἀσίης om. S. τά τε τῆς Ἀσίης om. F.

[f] ἐκ τῶν M.K.F.b. ἀπὸ S.a.c.d. Ald. Eustath. Dionys. 226.

[g] μέσον S.

[h] Sic M.K.F.b. Deest τὸ a.c. d.S. Ald.

[i] ἄλλων S. ὅλων b. Ald. πρὸς—τῶν ὁδῶν om. F. pr. Mox ἰθειέα S.

[k] Sic S.F.a.b.c. et alii. ταύτην M.K.P. edd.

[l] ὀνομ. F.S.

[m] τὸ μὲν S. qui mox τὸ δέ.

[n] αὐτέων] αὐτῶν F.S.

[o] ἰθαιγενέα S. cf. Lobeck. ad Phryn. p. 648.

18.

[a] Sic M.K.F.a.b.d. δέ μου S. Ald. V.c.

quæ terra sit Ægyptus, qui Ægyptii.

τοσαύτη ἐστὶ Αἴγυπτος ὅσην [b] τινὰ ἐγὼ ἀποδείκνυμι τῷ λόγῳ, καὶ τὸ Ἄμμωνος χρηστήριον γενόμενον· τὸ ἐγὼ [c] τῆς ἐμεωυτοῦ γνώμης ὕστερον περὶ Αἴγυπτον ἐπυθόμην.
2 [d] οἱ γὰρ δὴ ἐκ Μαρέης τε πόλιος καὶ Ἄπιος, οἰκέοντες Αἰγύπτου τὰ πρόσουρα [e] Λιβύῃ, αὐτοί τε δοκέοντες εἶναι Λίβυες, καὶ οὐκ Αἰγύπτιοι, [f] καὶ ἀχθόμενοι τῇ περὶ τὰ ἱρὰ [g] θρησκίῃ, βουλόμενοι θηλέων βοῶν μὴ [h] ἔργεσθαι, ἔπεμψαν ἐς Ἄμμωνα, φάμενοι "οὐδὲν σφίσι τε καὶ "Αἰγυπτίοισι κοινὸν εἶναι· οἰκέειν τε γὰρ ἔξω τοῦ Δέλ-"τα, καὶ [i] οὐκ ὁμολογέειν αὐτοῖσι· βούλεσθαί τε πάν-
3 "των σφίσι ἐξεῖναι γεύεσθαι." ὁ δὲ θεός σφεας οὐκ ἔα ποιέειν ταῦτα, φὰς "Αἴγυπτον εἶναι ταύτην τὴν ὁ Νεῖλος "ἐπιὼν ἄρδει· καὶ Αἰγυπτίους εἶναι τούτους, οἳ ἔνερθε "Ἐλεφαντίνης πόλιος οἰκέοντες, ἀπὸ τοῦ ποταμοῦ τού-"του πίνουσι." οὕτω σφι ταῦτα ἐχρήσθη.

19 Nilus quam Ægypti regionem inundet: quando et quam diu crescat et decrescat: nullas ab eo auras efflare.

ἐπέρχεται δὲ ὁ Νεῖλος, ἐπεὰν πληθύῃ, οὐ μόνον τὸ Δέλτα, ἀλλὰ καὶ τοῦ Λιβυκοῦ τε λεγομένου [a] χώρου εἶναι, καὶ τοῦ Ἀραβίου, ἐνιαχῇ καὶ ἐπὶ δύο ἡμερέων [b] ἑκατέρωθι ὁδὸν, καὶ [c] πλεῦν ἔτι τούτου, καὶ ἔλασσον.

2 Τοῦ ποταμοῦ δὲ φύσιος πέρι, οὔτε τι τῶν ἱρέων, οὔτε
3 ἄλλου οὐδενὸς παραλαβεῖν ἐδυνάσθην. πρόθυμος δὲ ἔα τάδε παρ' [d] αὐτῶν πυθέσθαι, ὅ τι κατέρχεται μὲν ὁ Νεῖλος πληθύων, ἀπὸ τροπέων τῶν [e] θερινέων ἀρξάμενος, ἐπὶ

[b] τινὰ om. M.K.F.
[c] Ita Valckenærius. Vulgo τῇσι ἐ. γνωμῇσι.
[d] Citat Orig. contra Celsum. V. 34.
[e] Λιβύης R.
[f] καὶ οὐκ ἀχ. K.P.F.B. marg.
[g] Sic S. ubi τῇ περὶ τούτων θρησκίῃ. Vulgo θρησκείῃ.
[h] Sic Ald. Origen. εἴργεσθαι M.K.F.c.S.
[i] Sic Orig. M.K.F. οὐδὲν ὁμ. S.a.c.b. edd. vett. Schæfer.

19.
[a] χωρίου M.K.F. χώρου a.b.c.S. V.R. Ald.
[b] ἑτέρωθι S.
[c] πλέον F. Mox καὶ om. S.
[d] αὐτέων] αὐτῶν F.S.
[e] θερινέων M.K.F. Paris. Alii θερινῶν cum S. qui infra tamen θερινέων.

ἑκατὸν ἡμέρας· [f] πελάσας δ' ἐς τὸν ἀριθμὸν τουτέων τῶν ἡμερέων, ὀπίσω ἀπέρχεται ἀπολείπων τὸ ῥέεθρον· ὥστε βραχὺς τὸν χειμῶνα ἅπαντα διατελέει ἐὼν, [g] μέχρι οὗ
4 αὖτις τροπέων τῶν θερινέων. τούτων ὦν πέρι οὐδενὸς οὐδὲν οἷός τ' ἐγενόμην παραλαβεῖν παρὰ τῶν Αἰγυπτίων, ἱστορέων αὐτοὺς ἥντινα δύναμιν ἔχει ὁ Νεῖλος τὰ ἔμπαλιν
5 πεφυκέναι τῶν ἄλλων ποταμῶν. ταῦτά τε δὴ τὰ [h] λελεγμένα βουλόμενος εἰδέναι, ἱστόρεον· καὶ ὅ τι αὔρας ἀποπνεούσας μοῦνος [i] ποταμῶν πάντων οὐ παρέχεται. 113

20 Ἀλλὰ Ἑλλήνων μέν τινες, ἐπίσημοι βουλόμενοι γενέσθαι 26 σοφίην, ἔλεξαν περὶ τοῦ ὕδατος τούτου τριφασίας ὁδούς· τῶν τὰς μὲν δύο τῶν ὁδῶν [a] οὐδ' ἀξιῶ μνησθῆναι, εἰ μὴ
2 ὅσον σημῆναι βουλόμενος μοῦνον. τῶν ἡ ἑτέρη μὲν λέγει τοὺς [b] ἐτησίας ἀνέμους εἶναι αἰτίους πληθύειν τὸν ποτα-
3 μὸν, κωλύοντας ἐς θάλασσαν ἐκρέειν τὸν Νεῖλον. πολλάκις δὲ ἐτησίαι μὲν [c] οὐκ ὦν ἔπνευσαν, ὁ δὲ Νεῖλος τὠυτὸ
4 ἐργάζεται. πρὸς δὲ, εἰ ἐτησίαι αἴτιοι ἦσαν, [d] χρῆν καὶ τοὺς ἄλλους ποταμοὺς, ὅσοι [e] τοῖσι ἐτησίῃσι ἀντίοι ῥέουσι, ὁμοίως πάσχειν καὶ [f] κατὰ τὰ αὐτὰ τῷ Νείλῳ· καὶ μᾶλλον ἔτι τοσούτῳ, ὅσῳ ἐλάσσονες ἐόντες, ἀσθενέστερα
5 τὰ ῥεύματα παρέχονται. εἰσὶ δὲ πολλοὶ μὲν ἐν τῇ Συρίῃ ποταμοὶ, πολλοὶ δὲ ἐν τῇ Λιβύῃ, οἳ οὐδὲν [g] τοι-

Opiniones de Nili adscensu tres, ab Herodoto improbatæ.

[f] πελάσας S.V.R.F. Paris. edd. πέλας M.K.P.
[g] μέχρις F.S. Ald. Mox τούτων F. pro τουτέων.
[h] Sic M.K.F. λεγόμενα S.V.P. Paris. Ald.
[i] ποταμῶν πάντων F. πάντων ποταμῶν vulgo.

20.

[a] οὐκ ἀ. F. qui mox μόνον.
[b] ἐτησίους S. Attigit hæc Aristides in Ægyptio sermone p. 331. Wess. Mox ἐτήσιοι S. ex emend. absque μέν.
[c] οὔκων vel οὐκ ὦν libri omnes. οὔκω Schæferus sine causa. cf. III. 137. 138. Schweigh. Mox ἐτήσιοι S.
[d] χρῆναι K.
[e] τῇσι F. τοῖσιν ἐτησίοισιν S.
[f] Sic M.F. Paris. κατὰ αὐτὰ K. κατὰ ταὐτὰ Ald. S.
[g] Sic F.a. Vulgo τοιοῦτον.

21 οὕτω πάσχουσι οἷόν τι καὶ ὁ Νεῖλος. Ἡ δ' ἑτέρη, [a] ἀνε-
πιστημονεστέρη μέν ἐστι τῆς λελεγμένης, λόγῳ δὲ εἰπεῖν,
[b] θωυμασιωτέρη· ἣ λέγει ἀπὸ τοῦ Ὠκεανοῦ ῥέοντα αὐ-
τὸν ταῦτα μηχανᾶσθαι, τὸν δ' Ὠκεανὸν γῆν περὶ πᾶ-
22 σαν ῥέειν. Ἡ δὲ τρίτη τῶν ὁδῶν, [a] πολλὸν ἐπιεικεστάτη
ἐοῦσα, μάλιστα ἔψευσται. λέγει γὰρ δὴ οὐδ' αὐτὴ οὐ-
δὲν, φαμένη τὸν Νεῖλον ῥέειν ἀπὸ τηκομένης χιόνος· ὃς
ῥέει μὲν ἐκ Λιβύης διὰ μέσων Αἰθιόπων, ἐκδιδοῖ δὲ ἐς
2 Αἴγυπτον. κῶς ὦν δῆτα [b] ῥέοι ἂν ἀπὸ χιόνος, ἀπὸ τῶν
θερμοτάτων [[c] τόπων] ῥέων ἐς τὰ [d] ψυχρότερα; τῶν τὰ
πολλά ἐστι [e] ἀνδρί γε λογίζεσθαι τοιούτων πέρι οἵῳ τε
3 ἐόντι, ὡς [f] οὐδὲ εἰκὸς ἀπὸ χιόνος μιν ῥέειν. πρῶτον μὲν
καὶ μέγιστον μαρτύριον οἱ ἄνεμοι παρέχονται, πνέοντες
4 ἀπὸ τῶν [g] χωρέων τουτέων θερμοί. δεύτερον δὲ, ὅτι ἄνομ-
βρος ἡ χώρη καὶ [h] ἀκρύσταλλος διατελέει ἐοῦσα· ἐπὶ δὲ
χιόνι πεσούσῃ, πᾶσα ἀνάγκη ἐστὶ ὗσαι ἐν πέντε ἡμέρῃσι·
5 ὥστε εἰ ἐχιόνιζε, [i] ὕετο ἂν ταῦτα τὰ χωρία. [k] τρίτα δὲ,
6 οἱ ἄνθρωποι ὑπὸ τοῦ καύματος μέλανες ἐόντες. ἰκτῖνοι
δὲ καὶ χελιδόνες δι' ἔτεος ἐόντες οὐκ ἀπολείπουσι· γέ-
ρανοι δὲ φεύγουσαι τὸν χειμῶνα τὸν ἐν τῇ Σκυθικῇ χώρῃ
[l] γινόμενον, [m] φοιτέωσι ἐς [n] χειμασίην ἐς τοὺς τόπους τού-

21.

[a] ἀνεπιστημοτέρη S. qui mox λεγομένης.

[b] θωμασιωτέρη M.K.

22.

[a] πολλῷ R.

[b] ῥέει S.F.

[c] τόπων om. Ald. S.V. Paris. ῥέων om. K.P.F. utrumque conjunxit Gronovius. τόπων nisi ejiciendum, uncinis saltim includendum vidit Schweighæuserus. ἀπὸ τῶν θερμοτάτων ἐς τὰ ψυχρότατα ῥέων S.

[d] Sic M.F. ψυχρότατα V.a. Ald.

[e] Sic M.K.F. γε om. a.c.S. et alii.

[f] οὐδὲν εἰκὸς F. οὐδὲ οἰκὸς Reizius.

[g] Sic F. Vulgo χωρίων.

[h] ἀκρύσταλος S.

[i] ὗεν b.S.

[k] τρίτα δὲ S.M.K.F. Paris. τρίτον edd.

[l] Sic F.a.S. γιγνόμενον c.R. Vulgo γενόμενον.

[m] Sic F. Vulgo φοιτῶσι.

[n] Sic S.P.V.M.K.F.a.c.d. Vulgo χειμαδίην cum b.

7 τους· εἰ τοίνυν ἐχιόνιζε [o] καὶ ὅσονῶν ταύτην τὴν χώρην,
δι' ἧς τε ῥέει καὶ ἐκ τῆς ἄρχεται ῥέων ὁ Νεῖλος, [p] ἦν
23 ἂν τούτων οὐδὲν, ὡς ἡ ἀνάγκη ἐλέγχει. Ὁ δὲ περὶ
τοῦ Ὠκεανοῦ λέξας, ἐς ἀφανὲς τὸν μῦθον ἀνενείκας,
2 οὐκ ἔχει ἔλεγχον. οὐ γάρ τινα ἔγω γε οἶδα ποταμὸν
Ὠκεανὸν ἐόντα· Ὅμηρον δὲ, ἤ τινα τῶν πρότερον γενο-
μένων ποιητέων, δοκέω τοὔνομα [a] εὑρόντα ἐς [b] τὴν ποίησιν 114
ἐσενείκασθαι.

24 [a] Εἰ δὲ δεῖ μεμψάμενον γνώμας τὰς προκειμένας,
[b] αὐτὸν περὶ τῶν ἀφανέων γνώμην ἀποδέξασθαι, φράσω
2 διότι μοι δοκέει [c] πληθύεσθαι ὁ Νεῖλος τοῦ θέρεος. τὴν
χειμερινὴν ὥρην [d] ἀπελαυνόμενος ὁ ἥλιος ἐκ τῆς ἀρχαίης
διεξόδου ὑπὸ [e] τῶν χειμώνων, [f] ἔρχεται τῆς Λιβύης τὰ
3 ἄνω. ὡς μέν νυν ἐν ἐλαχίστῳ δηλῶσαι, πᾶν εἴρηται·
[g] τῆς γὰρ ἂν [h] ἀγχοτάτω ᾖ χώρης οὗτος ὁ θεὸς, καὶ
κατὰ ἥν τινα, ταύτην [i] οἰκὸς [k] διψῆν τε ὑδάτων μάλιστα,
καὶ τὰ ἐγχώρια ῥεύματα μαραίνεσθαι τῶν ποταμῶν.

Ipsius Herodoti sententia, Nilum æstate abundare, minui hieme, quod eum sol æstivus ab Africa superiore digressus, minus attrahat; hibernus propior, magis.

25 Ὡς δὲ ἐν πλέονι λόγῳ δηλῶσαι, ὧδε ἔχει. διεξιὼν τῆς
Λιβύης τὰ ἄνω ὁ ἥλιος, τάδε ποιέει· ἅτε διὰ παντὸς
τοῦ χρόνου αἰθρίου τε [a] ἐόντος τοῦ ἠέρος τοῦ κατὰ ταῦτα

[o] εἰ καὶ M.K.F.a.c. Alii εἰ om. cum S.

[p] Sic M.P.K.R.a.b. ἦν ἄν τι τοιοῦτον vulg. cum d.S. ἄν τι τούτων c. ἦν τούτων οὐδὲν F. absque ἄν. Mox οἶδα ἔγωγε S.

23.

[a] εὑρόντας F.

[b] τὴν om. K.S.F.a.c.

24.

[a] ἤδη δὲ S. in textu, qui vulg. in marg.

[b] Sic M.S.K.F. Paris. αὐτέων Ald. etc.

[c] Sic M.K.F.a. Vulgo πληθύνεσθαι cum b.c.d. ὁ νεῖλος πληθύεσθαι S.

[d] Citat Schol. Hermogen. p. 390. Plutarch. Pl. Phil. IV. 1.

[e] τοῦ χειμῶνος d.

[f] Sic M.K.F.a.b. Aristid. II. p. 341. cf. 25. 26. Alii ἐς τὰ ἄνω cum S.

[g] Sic K.P.F.a.b. Alii om. ἂν cum S.

[h] Sic M.P.F.b.c. Vulgo ἀγχοτάτω γε. ἀγχοτάτω γε ᾖ a. ἀγχοτάτωγεη S.

[i] Sic Gronov. et Wessel. εἰκὸς S.F.d. edd. vett.

[k] δίψην S.

25.

[a] Sic a.b.c.d.S.V.R. Ald. de-

τὰ χωρία, καὶ [b] ἀλεεινῆς τῆς χώρης ἐούσης, [c] οὐκ ἐόντων ἀνέμων ψυχρῶν, διεξιὼν ποιέει οἷόν περ καὶ τὸ θέρος
2 [d] ἔωθε ποιέειν, ἰὼν τὸ μέσον τοῦ οὐρανοῦ. ἕλκει γὰρ ἐπ' ἑωυτὸν τὸ ὕδωρ· ἑλκύσας δὲ, [e] ἀπωθέει ἐς τὰ ἄνω χωρία· ὑπολαμβάνοντες δὲ οἱ ἄνεμοι, καὶ διασκιδνάντες, τήκουσι· καί εἰσι [f] οἰκότως οἱ ἀπὸ ταύτης τῆς χώρης πνέοντες, ὅ τε νότος, καὶ ὁ λὶψ, ἀνέμων πολλὸν τῶν πάν-
3 των ὑετώτατοι. [g] δοκέει δέ μοι οὐδὲ πᾶν τὸ ὕδωρ τὸ ἐπέτειον ἑκάστοτε ἀποπέμπεσθαι τοῦ Νείλου ὁ ἥλιος, ἀλλὰ
4 καὶ [h] ὑπολείπεσθαι περὶ ἑωυτόν. πρηϋνομένου δὲ τοῦ χειμῶνος, ἀπέρχεται ὁ ἥλιος ἐς μέσον τὸν οὐρανὸν ὀπίσω· καὶ τὸ ἐνθεῦτεν ἤδη ὁμοίως ἀπὸ πάντων ἕλκει τῶν ποτα-
5 μῶν. τέως [i] δὲ οἱ μὲν, [k] ὀμβρίου ὕδατος συμμισγομένου πολλοῦ [l] αὐτοῖσι, ἅτε ὑομένης τε τῆς χώρης καὶ κεχαραδρωμένης, ῥέουσι μεγάλοι· τοῦ δὲ θέρεος, τῶν τε ὄμβρων ἐπιλειπόντων αὐτοὺς, καὶ ὑπὸ τοῦ ἡλίου ἑλκόμενοι,
6 ἀσθενέες εἰσί. ὁ δὲ Νεῖλος ἐὼν ἄνομβρος, ἑλκόμενος [m] δὲ ὑπὸ τοῦ ἡλίου, μοῦνος ποταμῶν τοῦτον τὸν χρόνον οἰκότως αὐτὸς ἑωυτοῦ ῥέει [n] πολλῷ ὑποδεέστερος ἢ τοῦ θέρεος· τότε μὲν γὰρ μετὰ πάντων [o] τῶν ὑδάτων ἴσον ἕλκεται, τὸν δὲ χειμῶνα, μοῦνος πιέζεται. οὕτω τὸν ἥλιον νενό-
26 μικα [p] τούτων αἴτιον εἶναι. Αἴτιος δὲ [a] ὡυτὸς οὗτος, 1

est ἐόντος M.K.F. Supra πλείονι S. qui mox τὸ κατά.

[b] Gl. in P. θερμῆς.

[c] Sic S. (ὄντων S.) b. καὶ ἀνέμων sine οὐκ ἐόντων F.a.c.d. Ald. Gronov. Sic itaque M.K.P. ut videtur.

[d] Sic F. Vulgo ἐώθεε. S. εἴωθε.

[e] ἀπωθεῖ F.S.

[f] Sic M.K.F. Paris. Vulgo εἰκότως, quomodo F. mox.

[g] δοκέω δὲ S.

[h] ὑπολείπεσθαι S.P.V.F.a.b.d. ἀπολείπεσθαι c. et al.

[i] δὲ οἱ om. S.

[k] ὀμβρίου τοῦ ὕ. S.V.A.B. Ald.

[l] αὐτὸς, διά τε R. τε post ὑομένης om. S.

[m] δὲ om. F. Mox εἰκότως S.

[n] Sic S.R.K.M.F. Paris. Alii πολλόν.

[o] τῶν om. S.

[p] Sic M.K.P.F. Paris. Alii τούτου cum S.

26.

[a] Sic Wessel. ἑωυτὸς S. ὁ αὐτὸς

κατὰ γνώμην τὴν ἐμὴν, καὶ τὸν ἠέρα ξηρὸν [b] τὸν ταύτῃ εἶναι, [c] διακαίων τὴν διέξοδον [d] αὐτῷ· οὕτω τῆς Λιβύης
2 τὰ ἄνω θέρος αἰεὶ κατέχει. Εἰ δὲ ἡ στάσις ἤλλακτο τῶν ὡρέων, καὶ τοῦ οὐρανοῦ τῇ μὲν [e] νῦν ὁ Βορέης τε καὶ ὁ χειμὼν ἑστᾶσι, ταύτῃ μὲν τοῦ νότου ἦν [f] ἡ στάσις καὶ τῆς μεσαμβρίης, τῇ δὲ [g] ὁ νότος [h] νῦν ἕστηκε, [i] ταύτῃ δὲ ὁ
3 Βορέης· εἰ ταῦτα [k] οὕτω εἶχε, ὁ ἥλιος ἂν ἀπελαυνόμενος ἐκ μέσου τοῦ οὐρανοῦ ὑπὸ τοῦ χειμῶνος καὶ τοῦ Βορέω, ἥιε ἂν τὰ ἄνω τῆς Εὐρώπης, κατάπερ νῦν [l] τῆς Λιβύης 115
4 ἔρχεται. [m] διεξιόντα δ' ἄν μιν διὰ πάσης Εὐρώπης, 11 ἔλπομαι ποιέειν ἂν τὸν Ἴστρον τά περ νῦν ἐργάζεται τὸν

Conversis cæli regionibus, Danubio idem eventurum.

27 Νεῖλον. Τῆς αὔρης δὲ πέρι, ὅτι [a] οὐκ ἀποπνέει, τήνδε ἔχω γνώμην, ὡς κάρτα ἀπὸ θερμῶν χωρέων οὐκ οἰκός ἐστι οὐδὲν ἀποπνέειν· αὔρη δὲ ἀπὸ ψυχροῦ τινος φιλέει πνέειν.

Auras propter fervorem nullas exspirare.

28 Ταῦτα μέν νυν ἔστω ὡς ἔστι τε καὶ [a] ὡς ἀρχὴν ἐγένετο. Τοῦ δὲ Νείλου τὰς πηγὰς οὔτε Αἰγυπτίων, οὔτε Λιβύων, οὔτε Ἑλλήνων τῶν ἐμοὶ ἀπικομένων ἐς λόγους, οὐδεὶς ὑπέσχετο εἰδέναι, εἰ μὴ ἐν Αἰγύπτῳ [b] ἐν Σάϊ πόλι
2 ὁ γραμματιστὴς τῶν ἱρῶν χρημάτων τῆς Ἀθηναίης. οὗτος

De Nili fontibus quid Saita quidam narrarit: eorum profundam altitudinem a Psammeti-

K.P.F.a. ὡὗτὸς vulgo. Mox καὶ τοῦ τὸν ἠέρα Reiskius. Articulum in talibus negligere Herodotum collato c. 20. monet Schweighæuserus.

[b] Sic R.M.K.F. Paris. αὔτη S.V. ταύτῃ sine τὸν Ald.

[c] δικαίων S. δικαιῶν τὸν Λιβύην τῆς διόδου. οὕτω τῆς Λιβ. d.

[d] αὐτῷ M.K.F.a.c. Ald. om. S. αὐτοῦ vulg. οὕτω om. b.

[e] οὖν F.

[f] ἡ σύστασις F.

[g] ὁ om. F.

[h] συνέστηκε F.S.

[i] ταύτῃ δὴ S.

[k] Sic F. Vulgo οὕτως.

[l] Sic S.M.K.P.F. Paris. Alii τὰ Λιβύης.

[m] Sic M.K.F.a.b.c. διεξιόντα δέ μιν Ald. διεξιὼν δ' ἂν ἡμῖν S.d.

27.

[a] Sic M.K.P.F.a.b.c. ἀποπνέει ἀπὸ τοῦ Νείλου, τήνδε d.S. edd. vett. Mox χώρων S.

28.

[a] τὴν ἀρχὴν S.b. cf. I. 86. 140. Mox τοῦ νείλου δὲ S. ubi ἑλλήνων —λιβύων.

[b] Hinc Pollux IV. 19. Aristid. II. p. 343. Wessel. Mox ἱέρων S.

cho frustra inquisitam esse.

[c] δ' ἐμοί γε παίζειν ἐδόκεε, φάμενος εἰδέναι ἀτρεκέως.
ἔλεγε δὲ ὧδε· "Εἶναι δύο οὔρεα ἐς ὀξὺ τὰς κορυφὰς
" [d] ἀπιγμένα, [e] μεταξὺ Συήνης τε πόλιος κείμενα τῆς
" Θηβαΐδος, καὶ Ἐλεφαντίνης· οὐνόματα δὲ εἶναι τοῖσι
3 " οὔρεσι, τῷ μὲν, [f] Κρῶφι, τῷ δὲ, Μῶφι. τὰς ὦν δὴ πη-
" γὰς τοῦ Νείλου, ἐούσας ἀβύσσους, ἐκ τοῦ μέσου τῶν
" οὐρέων [g] τούτων ῥέειν· καὶ τὸ μὲν ἥμισυ τοῦ ὕδατος, ἐπ'
" Αἰγύπτου ῥέειν καὶ πρὸς βορέην ἄνεμον· τὸ δ' ἕτερον
4 " ἥμισυ, ἐπὶ Αἰθιοπίης τε καὶ νότου. ὡς δὲ ἄβυσσοί εἰσι
" αἱ πηγαὶ, ἐς διάπειραν ἔφη τούτου [h] Ψαμμίτιχον Αἰ-
5 " γύπτου βασιλέα ἀπικέσθαι. πολλέων γὰρ αὐτὸν χι-
" λιάδων [i] ὀργυιέων πλεξάμενον [k] κάλον, κατεῖναι ταύτῃ,
6 " καὶ οὐκ [l] ἐξικέσθαι ἐς βυσσόν." [m] Οὕτω μὲν δὴ ὁ
γραμματιστὴς, εἰ ἄρα ταῦτα γενόμενα ἔλεγε, ἀπέφαινε,
ὡς ἐμὲ κατανοέειν δίνας τινὰς ταύτῃ ἐούσας ἰσχυρὰς
καὶ παλιρροίην· οἷα [n] δὲ ἐμβάλλοντος τοῦ ὕδατος τοῖσι
οὔρεσι, μὴ δύνασθαι κατιεμένην [o] καταπειρητηρίην ἐς βυσ-
σὸν ἰέναι. Ἄλλου δὲ οὐδενὸς οὐδὲν ἐδυνάμην πυθέσθαι.
ἀλλὰ τοσόνδε μὲν ἄλλο ἐπὶ μακρότατον ἐπυθόμην, μέχρι
μὲν Ἐλεφαντίνης πόλιος αὐτόπτης ἐλθὼν, τὸ δ' [a] ἀπὸ

29

Ultra Elephantinam qualis Nili cursus: in-

[c] Sic M.K.P. δέ μοι γε F. Alii γε om. cum Ald. γ' ἔμοιγε S. qui mox ὄρεα.

[d] ἀπηγημένα S.

[e] Perstringit hæc imprudenter Strabo XVII. p. 1174=818. Wess. τε om. S. ubi κείμενα—πόλιος.

[f] Χρωφὶ—Μωφὶ b.d.S.

[g] τουτέων ῥέειν] τουτέειν S. τούτων ῥ. F. ὀρέων et supra ὀνόματα—ὄρεσι S.

[h] Sic F. Ψαμμιήτιχον S. Ψαμμήτιχον edd. pleræque.

[i] ὀργυέων K.S.

[k] κάλων K.d.

[l] ἐξικνέεσθαι b.d.

[m] οὗτος S.

[n] δὲ om. M.K.F. ἐμβάλλοντος K.F. ἐμβαλόντος S. Ald. Locum e conjectura sic edidit Schweighæuserus; ἀπέφαινε· ὡς ἐμὲ κατανοεῖν, διὰ δίνας τινὰς ταύτῃ ἐούσας ἰσχυρὰς καὶ παλιρροίην, οἷα ἐμβάλλοντος κ. τ. λ. sed mentem mutavit in annotationibus. Mox ὄρεσι S.

[o] Sic M.K.F.c. Alii καταπειρατ. cum S. κατιεμένην om. S. Tum ἐς βυθὸν P.K.S.

29.

[a] Sic M.K.S.F. Paris. Alii ἀπὸ τοῦδε. cf. Aristides II. p. 344. Mox ἀκουῇ Ald.

2 τούτου, ἀκοῇ ἤδη ἱστορέων. Ἀπὸ Ἐλεφαντίνης πόλιος
ἄνω ἰόντι, ἀναντές ἐστι χωρίον· ταύτῃ ὦν [b] δεῖ τὸ πλοῖον
[c] διαδήσαντας ἀμφοτέρωθεν, κατάπερ βοῦν, πορεύεσθαι·
ἢν δὲ ἀπορραγῇ, τὸ πλοῖον [d] οἴχεται φερόμενον ὑπὸ ἰσ-
3 χύος τοῦ ῥόου. τὸ δὲ χωρίον τοῦτο ἔστι ἐπὶ ἡμέρας
[e] τέσσερας πλόος· σκολιὸς δὲ ταύτῃ, κατάπερ ὁ Μαίαν-
δρος, ἔστι ὁ Νεῖλος. σχοῖνοι δὲ δυώδεκά εἰσι οὗτοι, τοὺς
4 δεῖ [f] τούτῳ τῷ τρόπῳ διεκπλῶσαι. καὶ ἔπειτα [g] ἀπίξεαι 116
ἐς πεδίον λεῖον, ἐν τῷ νῆσον περιρρέει ὁ Νεῖλος· [h] Τα-
5 χομψὼ οὔνομα αὐτῇ ἐστί. οἰκέουσι δὲ [i] τὰ ἀπὸ Ἐλε-
φαντίνης ἄνω Αἰθίοπες ἤδη, καὶ τῆς νήσου τὸ ἥμισυ· τὸ
δὲ ἥμισυ, Αἰγύπτιοι. ἔχεται δὲ τῆς νήσου λίμνη μεγάλη,
τὴν πέριξ νομάδες Αἰθίοπες νέμονται· [k] τὴν διεκπλώσας,
ἐς τοῦ Νείλου τὸ ῥέεθρον ἥξεις, τὸ ἐς τὴν λίμνην ταύτην
6 ἐκδιδοῖ. καὶ ἔπειτα ἀποβὰς, παρὰ τὸν ποταμὸν ὁδοι-
πορίην ποιήσεαι ἡμερέων [l] τεσσεράκοντα· σκόπελοί τε
γὰρ ἐν τῷ Νείλῳ ὀξέες ἀνέχουσι, καὶ χοιράδες [m] πολλαί
7 εἰσι, δι' ὧν οὐκ οἷά τέ ἐστι πλέειν. διεξελθὼν δὲ ἐν τῇσι
τεσσεράκοντα ἡμέρῃσι τοῦτο τὸ χωρίον, αὖτις ἐς ἕτερον
πλοῖον [n] ἐμβὰς, δυώδεκα ἡμέρας πλεύσεαι· καὶ ἔπειτα
8 [o] ἥξεις [p] ἐς πόλιν μεγάλην, τῇ οὔνομά ἐστι Μερόη. λέ-
γεται δὲ αὕτη ἡ πόλις εἶναι μητρόπολις τῶν ἄλλων

sula Tachompso: Æthiopes: lacus ingens: Meroe urbs, et ibi Jovis ac Liberi cultus, Jovisque oraculum.

[b] Sic Paris., Valla, probante Valckenærio. Alii δή.
[c] Sic M.P. διαδήσαντες S.F. διαδήσαντα a.c. Ald.
[d] Sic M.K.F.d. οἴξεται S.a.c.b. Vulgo ἴξεται.
[e] τέσσαρας F.S. Ald.
[f] τούτῳ τρόπῳ K.F.
[g] Sic Ald. S.R.C.F. ἀπίξαι M. Mox ἐν ᾧ S.
[h] Steph. in v. et Χομψώ.
[i] τὰ om. S.
[k] τὴν δὴ ἐκπ. ἐκ τοῦ N. τὸ ῥέεθρον ἥξεις, τὸ ἐκδ. ἐς τὴν λίμνην S.
[l] τεσσαράκ. F.S. Ald.
[m] ἀνέχουσι c. Mox ἐν om. Ald.
[n] ἐσβὰς K.P.F. Vulg. habet Longinus de Subl. c. 26. ubi mox δυ' pro δυώδεκα.
[o] ἴξεαι Ald. R.V.b.d. ἥξεις Longinus M.K.S.a.c. ἥξει F. ἥξεις item Lucianus Ver. Hist. II. 27. Omnes ἥξεις c. 30.
[p] Cf. Stephanus in Μερόη.

9 Αἰθιόπων. οἱ δ᾽ ἐν [q] ταύτῃ Δία θεῶν καὶ Διόνυσον μού-
νους σέβονται, τούτους τε μεγάλως τιμῶσι· καί σφι
10 μαντήϊον Διὸς [r] κατέστηκε. στρατεύονται δ᾽ ἐπεάν σφεας
ὁ θεὸς οὗτος κελεύῃ διὰ [s] θεσπισμάτων· καὶ, τῇ ἂν κε-
λεύῃ, ἐκεῖσε.
30 Ἀπὸ δὲ ταύτης τῆς πόλιος πλέων, ἐν ἴσῳ
χρόνῳ ἄλλῳ ἥξεις ἐς τοὺς Αὐτομόλους, ἐν ὅσῳ περ ἐξ
Ἐλεφαντίνης ἦλθες ἐς τὴν μητρόπολιν [a] τὴν Αἰθιόπων.
2 τοῖσι δὲ Αὐτομόλοισι τούτοισι οὔνομά ἐστι [b] Ἀσμάχ· δύ-
ναται δὲ τοῦτο τὸ ἔπος κατὰ [c] τὴν Ἑλλήνων γλῶσσαν,
3 οἱ ἐξ ἀριστερῆς [d] χειρὸς παριστάμενοι βασιλέϊ. ἀπέστη-
σαν δὲ αὗται [e] τέσσερες καὶ εἴκοσι μυριάδες Αἰγυπτίων
τῶν μαχίμων ἐς τοὺς Αἰθίοπας [f] τούτους, δι᾽ αἰτίην τοι-
4 ήνδε. ἐπὶ Ψαμμιτίχου [g] βασιλέος φυλακαὶ [h] κατέστα-
σαν ἔν τε Ἐλεφαντίνῃ [i] πόλι πρὸς Αἰθιόπων, καὶ ἐν
Δάφνῃσι τῇσι Πηλουσίῃσι ἄλλη δὲ πρὸς Ἀραβίων [k] τε
5 καὶ [l] Σύρων, καὶ ἐν Μαρέῃ πρὸς Λιβύης ἄλλη. ἔτι δὲ
ἐπ᾽ ἐμεῦ καὶ Περσέων κατὰ ταὐτὰ αἱ φυλακαὶ ἔχουσι,
ὡς καὶ ἐπὶ Ψαμμιτίχου ἦσαν· καὶ [m] γὰρ ἐν Ἐλεφαντίνῃ
6 Πέρσαι φρουρέουσι, καὶ ἐν Δάφνῃσι. τοὺς ὦν δὴ Αἰγυ-
πτίους τρία ἔτεα φρουρήσαντας ἀπέλυε οὐδεὶς τῆς φρου-
ρῆς· οἱ δὲ, βουλευσάμενοι καὶ κοινῷ λόγῳ χρησάμενοι,
πάντες ἀπὸ [n] τοῦ Ψαμμιτίχου ἀποστάντες, ἤϊσαν ἐς
7 Αἰθιοπίην. Ψαμμίτιχος δὲ πυθόμενος, ἐδίωκε. ὡς δὲ

Inde Automoli, coloni Ægyptii, qui a Psammeticho in Æthiopiam transfugerunt: Ægyptia præsidia tria: mitiores facti Æthiopes imitandis moribus colonorum.

[q] αὐτῇ F. Mox μόνους S.
[r] κατεστήκεε F.
[s] θεσπίσματος S.

30.

[a] Sic K.M.P. τῶν Αἰθ. A.B.S. F. Ald.
[b] Sic Ald. Paris. S.V.R. Ἀσχὰμ M.P.K. Ἀχὰμ F. Ἀσμάχην Stephanus Byz. in Αὐτόμολοι.
[c] τὴν τῶν Ἑλ. S.
[d] χερὸς Steph. Byz.
[e] τέσσαρες F.S.
[f] τούτους om. S.
[g] Sic S. qui ψαμμητίχου. ut et infra. βασιλέως vulgo.
[h] κατέστησαν F.S.
[i] Sic K. Vulgo πόλει cum S.
[k] Sic Ald. c.S. τε om. M.K.
[l] Σύρων Sic S.a.b.d. Vall. Ἀσσυρίων F.c. et vulgo.
[m] γὰρ Ἐλεφαντίνην S.b.
[n] τοῦ om. f.

κατέλαβε, ἐδέετο, πολλὰ λέγων, καί σφεας θεοὺς πα-
τρώους ἀπολιπεῖν οὐκ ἔα, καὶ τέκνα, καὶ γυναῖκας.
8 [o] τῶν δέ τινα λέγεται δείξαντα τὸ αἰδοῖον εἰπεῖν “ἔνθα 117
“ἂν τοῦτο ᾖ, ἔσεσθαι αὐτοῖσι ἐνθαῦτα καὶ τέκνα καὶ
9 “γυναῖκας.” Οὗτοι ἐπεί τε ἐς Αἰθιοπίην ἀπίκοντο, δι-
δοῦσι [p] σφέας αὐτοὺς τῷ Αἰθιόπων βασιλέϊ. ὁ δέ σφεας
10 τῷδε ἀντιδωρέεται. ἦσάν οἱ διάφοροί τινες γεγονότες τῶν
Αἰθιόπων· τούτους ἐκέλευε ἐξελόντας, τὴν ἐκείνων γῆν
11 οἰκέειν. τούτων δὲ ἐσοικισθέντων ἐς τοὺς Αἰθίοπας, ἡμερώ-
τεροι γεγόνασι Αἰθίοπες, ἤθεα μαθόντες Αἰγύπτια.

31 Μέχρι μέν νυν [a] τεσσέρων μηνῶν πλόου καὶ ὁδοῦ γι-
νώσκεται ὁ Νεῖλος, πάρεξ τοῦ ἐν Αἰγύπτῳ ῥεύματος.
2 [b] τοσοῦτοι γὰρ συμβαλλομένῳ μῆνες εὑρίσκονται ἀναισι-
μούμενοι ἐξ Ἐλεφαντίνης πορευομένῳ ἐς τοὺς Αὐτομόλους
3 τούτους. ῥέει δὲ ἀπὸ ἑσπέρης τε καὶ [c] ἡλίου δυσμέων.
Τὸ δὲ ἀπὸ τοῦδε, οὐδεὶς ἔχει σαφέως φράσαι· ἔρημος
32 γάρ ἐστι ἡ χώρη αὕτη ὑπὸ καύματος. Ἀλλὰ [a] τάδε
μὲν ἤκουσα ἀνδρῶν Κυρηναίων, φαμένων ἐλθεῖν [b] τε ἐπὶ
τὸ Ἄμμωνος χρηστήριον, καὶ ἀπικέσθαι [c] ἐς λόγους Ἐτε-
άρχῳ τῷ Ἀμμωνίων βασιλέϊ· καί κως ἐκ λόγων ἄλλων
ἀπικέσθαι ἐς λέσχην περὶ τοῦ Νείλου, ὡς οὐδεὶς αὐτοῦ
οἶδε τὰς πηγάς· καὶ τὸν Ἐτέαρχον φάναι ἐλθεῖν κοτε
2 παρ' αὐτὸν [d] Νασαμῶνας ἄνδρας. τὸ δὲ ἔθνος τοῦτο, ἔστι

Nilum apud Automolos fluere ab occidente: quod ultra, incompertum.

Quid Cyrenæi quidam retulerint de quinque Nasamonum profectione ad inspiciendas Africæ solitudines: per quas eos ad Ze-

[o] Sic F.f. Alii τὸν δὲ cum S.
[p] Sic a. et vulgo. σφέας ἑωυτοὺς S.K.M.P.F. σφέας αὐτοὺς Ald. ὁ δέ σφεας — αἰθιόπων S. marg.

31.

[a] τεσσάρων F. Mox γινώσκεται ὁ γινώσκεται S.
[b] Sic Schæferus ex Reiskii correctione Wesselingio probata. τοσούτῳ V.S. οὗτοι vulgo.
[c] ἡλίου om. S.b.d. Supra ἑσπερίης F.

32.

[a] Sic S.V.a.b.c.d.R. Ald. τὰ μὲν M.K.F.
[b] τε om. F.
[c] ἐς λόγους περὶ τοῦ Νείλου M.K.F. qui περὶ τοῦ Νείλου retinent in seqq.
[d] Cf. Stephanus Byz. in v. Eustathius ad Dionys. 209.

phyrum itinere facto, invenisse fluvium in quo crocodili essent, meantem ab occidente ad orientem.

μὲν Λιβυκὸν, νέμεται δὲ τὴν Σύρτιν τε καὶ τὴν [e] πρὸς ἠῶ
3 χώρην τῆς Σύρτιος οὐκ ἐπὶ πολλόν. ἀπικομένους δὲ τοὺς
Νασαμῶνας, καὶ εἰρωτεωμένους εἴ τι ἔχουσι πλέον λέγειν
περὶ τῶν ἐρήμων τῆς Λιβύης, φάναι, παρὰ σφίσι γενέσθαι ἀνδρῶν δυναστέων παῖδας ὑβριστάς· τοὺς ἄλλα τε
μηχανᾶσθαι ἀνδρωθέντας περισσὰ, καὶ δὴ [f] καὶ ἀποκληρῶσαι πέντε ἑωυτῶν, ὀψομένους τὰ ἐρῆμα τῆς Λιβύης,
καὶ εἴ τι πλέον ἴδοιεν [g] τῶν τὰ μακρότατα ἰδομένων.
4 (Τῆς γὰρ Λιβύης τὰ μὲν κατὰ τὴν [h] βορηΐην θάλασσαν,
ἀπ' Αἰγύπτου ἀρξάμενοι μέχρι [i] Σολόεντος ἄκρης, [k] ῆ̃
τελευταὶ τῆς Λιβύης, παρήκουσι παρὰ πᾶσαν Λίβυες,
καὶ Λιβύων ἔθνεα πολλὰ, πλὴν ὅσον Ἕλληνες καὶ
5 Φοίνικες ἔχουσι. τὰ δὲ ὑπὲρ θαλάσσης τε καὶ τῶν [l] ἐπὶ
θάλασσαν κατηκόντων ἀνθρώπων, τὰ κατύπερθε θηριώδης
ἐστὶ ἡ Λιβύη· τὰ δὲ κατύπερθε τῆς θηριώδεος, ψάμμος τέ
6 ἐστι, καὶ ἄνυδρος δεινῶς, καὶ ἐρῆμος πάντων.) " [m] Ἐπεὶ 118
" ὦν τοὺς νεηνίας ἀποπεμπομένους ὑπὸ τῶν ἡλίκων,
" [n] ὕδασί τε καὶ σιτίοισι εὖ [o] ἐξηρτυμένους, ἰέναι τὰ
" πρῶτα μὲν διὰ τῆς οἰκεομένης· ταύτην δὲ διεξελθόντας,
" ἐς τὴν θηριώδεα ἀπικέσθαι· ἐκ δὲ ταύτης, τὴν ἐρῆμον
" διεξιέναι, τὴν ὁδὸν ποιευμένους πρὸς ζέφυρον ἄνεμον·
7 " διεξελθόντας δὲ χῶρον πολλὸν ψαμμώδεα, καὶ ἐν

[e] προσηχώρην S. πρὸς ἕω χώρην K. F. Mox εἰρωτωμένους S. Infra τῆς om. Ald.

[f] καὶ om. F. Supra περισσὰ ἀνδρωθέντας S.

[g] Sic M.K.F.a.b.d. τῶν μακρότατα c. Ald. τῶν μακροτάτων S.

[h] βορίην S.

[i] Σολέοντος K.

[k] ῆ̃ τελευτᾷ τὰ Reizius, Reiskium sequutus. Vulgo cum S. ᾗ τελευτᾷ τῆς, unde Wesselingius ῆ̃ τελευταὶ τῆς Λ. Vetusti codd. τελευτᾶι. τελευταὶ K. Minus placet Schweighæuseri conjectura ἡ τελευταίη τῆς.

[l] Sic Ald. S.a.b.c.d.V.R. ὑπὲρ θ. M.K.P.F.

[m] εἶπον ὦν ed. Reizius, e nonneminis emendatione Wesselingio recte improbata, et Hermanno, quem vide ad Vigerum n. 241. p. 784. ed. sec.

[n] Sic M.K.P.F.a.c. ὕδατί γε b. d. vulgo. ὕδατί τε S. Ald.

[o] ἐξηρτημ. F.S.

" πολλῇσι ἡμέρῃσι, ἰδεῖν δή κοτε δένδρεα ἐν πεδίῳ πε-
" φυκότα· καί σφεας προσελθόντας, ἅπτεσθαι τοῦ ἐπε-
8 " όντος ἐπὶ τῶν δενδρέων καρποῦ. ἁπτομένοισι [p] δέ σφι
" ἐπελθεῖν ἄνδρας μικροὺς, μετρίων ἐλάσσονας ἀνδρῶν,
" λαβόντας δὲ ἄγειν σφέας· φωνῆς δὲ οὔτε τι τῆς ἐκεί-
" νων τοὺς [q] Νασαμῶνας γινώσκειν, οὔτε τοὺς ἄγοντας
9 " τῶν Νασαμώνων. [r] ἄγειν τε δὴ αὐτοὺς δι' ἑλέων με-
" γίστων, καὶ διεξελθόντας ταῦτα, ἀπικέσθαι ἐς πόλιν,
" ἐν τῇ [s] ἅπαντας εἶναι τοῖσι ἄγουσι τὸ μέγαθος ἴσους,
10 " χρῶμα δὲ μέλανας. παρὰ δὲ τὴν πόλιν ῥέειν ποταμὸν
" μέγαν· ῥέειν δὲ ἀπὸ ἑσπέρης αὐτὸν πρὸς ἥλιον ἀνατέλ-
33 " λοντα· φαίνεσθαι δὲ ἐν αὐτῷ κροκοδείλους." Ὁ μὲν
δὴ τοῦ Ἀμμωνίου Ἐτεάρχου λόγος ἐς τοῦτό μοι [a] δεδη-
λώσθω· πλὴν ὅτι " ἀπονοστῆσαί τε ἔφασκε τοὺς Νασα-
" μῶνας, [b] ὡς οἱ Κυρηναῖοι ἔλεγον· καὶ ἐς τοὺς οὗτοι
2 " ἀπίκοντο ἀνθρώπους, γόητας εἶναι [c] πάντας." Τὸν δὲ
δὴ ποταμὸν τοῦτον τὸν παραρρέοντα καὶ Ἐτέαρχος συνε-
βάλλετο εἶναι [d] τὸν Νεῖλον· καὶ δὴ καὶ ὁ λόγος [e] οὕτω
αἱρέει. ῥέει γὰρ ἐκ Λιβύης ὁ Νεῖλος, καὶ μέσην [f] τάμνων
3 Λιβύην· καὶ (ὡς ἐγὼ συμβάλλομαι, τοῖσι ἐμφανέσι
τὰ μὴ γινωσκόμενα τεκμαιρόμενος) τῷ Ἴστρῳ ἐκ τῶν
4 ἴσων μέτρων ὁρμᾶται. [g] Ἴστρος τε γὰρ ποταμὸς ἀρξ-
άμενος ἐκ Κελτῶν καὶ [h] Πυρήνης πόλιος, ῥέει μέσην σχί-

Hunc Nilum videri, qui mediam Africam eadem longitudine secet, qua Danubius Europam.

[p] δέ σφισι F.
[q] Νασσάμωνας F. qui σ duplicat et in seqq.
[r] Sic K.M.P.F. Paris. δὴ om. S. Ald.
[s] Sic M. Alii πάντας cum S. Mox μέγεθος S.

33.

[a] δηλούσθω S. δεδηλούσθω b.
[b] ὡς οἱ Κυρηναῖοι ἔλεγον om. S. οἱ om. K.F. Mox οὓς S. Ald. pro τούς.
[c] ἅπαντας F.
[d] τὸν om. F.a.S.
[e] Sic S.K.F. Vulgo οὕτως.
[f] τέμνει S. Quæ lectio correctori deberi videtur, non animadvertenti e superioribus assumendum esse ῥέει.
[g] Cf. Eustath. Dionys. 298.
[h] Sic S.K.F.c. Vall. Πυρρήνης a. Ald. Πειρήνης b.d. Mox Ἡρακλέων S.

5 ζων τὴν Εὐρώπην. οἱ δὲ Κελτοί εἰσι ἔξω Ἡρακληΐων στηλέων· ὁμουρέουσι δὲ [i] Κυνησίοισι, οἳ ἔσχατοι πρὸς 6 δυσμέων οἰκέουσι τῶν ἐν τῇ Εὐρώπῃ κατοικημένων. τελευτᾷ δὲ ὁ Ἴστρος, ἐς θάλασσαν ῥέων τὴν τοῦ Εὐξείνου πόντου διὰ πάσης Εὐρώπης, τῇ [k] Ἰστρίην οἱ Μιλησίων

34 οἰκέουσι ἄποικοι. Ὁ μὲν δὴ Ἴστρος, [a] ῥέει γὰρ δι' [b] οἰ- 119 κευμένης, πρὸς πολλῶν γινώσκεται· περὶ δὲ τῶν τοῦ Νείλου πηγέων οὐδεὶς ἔχει λέγειν· ἀοίκητός τε [c] γάρ 2 ἐστι καὶ ἐρῆμος ἡ Λιβύη, δι' ἧς ῥέει. περὶ δὲ τοῦ ῥεύματος αὐτοῦ, ἐπ' ὅσον μακρότατον ἱστορεῦντα ἦν ἐξι- 3 κέσθαι, εἴρηται. ἐκδιδοῖ δὲ ἐς Αἴγυπτον. [d] ἡ δὲ Αἴγυπτος τῆς ὀρεινῆς Κιλικίης μάλιστά κῃ ἀντίη κέεται· ἐνθεῦτεν δὲ, ἐς Σινώπην τὴν ἐν τῷ Εὐξείνῳ πόντῳ πέντε ἡμερέων ἰθεῖα ὁδὸς εὐζώνῳ ἀνδρί· ἡ δὲ Σινώπη τῷ Ἴστρῳ 4 ἐκδιδόντι ἐς θάλασσαν [e] ἀντίον κέεται. οὕτω τὸν Νεῖλον δοκέω διὰ πάσης τῆς Λιβύης διεξιόντα ἐξισοῦσθαι τῷ Ἴστρῳ. Νείλου μέν νυν πέρι τοσαῦτα εἰρήσθω.

35 Ἔρχομαι δὲ περὶ Αἰγύπτου μηκυνέων τὸν λόγον, ὅτι [a] πλεῖστα θωυμάσια ἔχει ἢ ἄλλη πᾶσα χώρη, καὶ ἔργα λόγου μέζω παρέχεται πρὸς πᾶσαν χώρην· τούτων εἵνεκα 2 πλέω περὶ αὐτῆς εἰρήσεται. Αἰγύπτιοι ἅμα τῷ οὐρανῷ τῷ κατὰ σφέας ἐόντι ἑτεροίῳ, καὶ τῷ ποταμῷ φύσιν [b] ἀλλοίην παρεχομένῳ ἢ οἱ ἄλλοι ποταμοὶ, τὰ πολλὰ πάντα ἔμπαλιν τοῖσι ἄλλοισι ἀνθρώποισι ἐστήσαντο

Ægyptiorum utriusque sexus, et sacerdotum apud eos, mores et victus et ritus.

[i] De Cynesiis sive Cynetis v. ad IV. 49. Wess.

[k] Sic K.F. Vall. τὴν δ' Ἰστρίην οἱ S. Ἰστριηνοὶ edd. vett.

34.

[a] ῥέει (ων superscr.) F. sine γάρ.

[b] Sic S. Alii οἰκεομένης.

[c] γὰρ καὶ ἔρημος ἐστὶ F.

[d] ἡ δὲ Αἴγυπτος om. F. ubi mox om. πέντε ἡμ. ἰθ. ὁδ. εὐζ. Mox κεῖται S. qui tamen infra κέεται.

[e] Sic R.V.M.K.P.F. Paris. ἀντίη Ald. S.

35.

[a] Sic M.K.P.F. πλέω Ald. S. V.R.A.B. Wesseling. quem vide ad VII. 16. cf. Herman. ad Viger. n. 57. Mox θωμάσια M.K. P. Tum ἢ ἡ ἄλλη S.

[b] ἄλλην F.

3 ἤθεά τε καὶ νόμους. ἐν τοῖσι αἱ μὲν γυναῖκες ἀγορά-
ζουσι καὶ καπηλεύουσι· οἱ δὲ ἄνδρες, κατ᾽ οἴκους ἐόντες,
ὑφαίνουσι. [c] ὑφαίνουσι δὲ οἱ μὲν ἄλλοι, ἄνω τὴν κρόκην
4 ὠθέοντες, Αἰγύπτιοι δὲ, κάτω. τὰ ἄχθεα οἱ μὲν ἄνδρες
ἐπὶ τῶν κεφαλέων φορέουσι, αἱ δὲ γυναῖκες ἐπὶ τῶν
ὤμων· οὐρέουσι, αἱ μὲν γυναῖκες, ὀρθαί· οἱ δὲ ἄνδρες,
5 κατήμενοι. [d] εὐμαρέῃ χρέωνται ἐν τοῖσι οἴκοισι, [e] ἐσθίουσι
δὲ ἔξω ἐν [f] τῇσι ὁδοῖσι· [g] ἐπιλέγοντες, ὡς τὰ μὲν αἰσχρὰ,
ἀναγκαῖα δὲ, ἐν ἀποκρύφῳ ἐστὶ ποιέειν χρεών· τὰ δὲ 120
6 μὴ αἰσχρὰ, ἀναφανδόν. [h] ἱρᾶται γυνὴ μὲν οὐδεμία οὔτε
ἔρσενος θεοῦ, οὔτε θηλέης· ἄνδρες δὲ, πάντων τε καὶ πα-
σέων. τρέφειν τοὺς τοκέας τοῖσι μὲν παισὶ [i] οὐδεμία
ἀνάγκη, μὴ βουλομένοισι· [k] τῇσι δὲ [l] θυγατράσι πᾶσα
36 ἀνάγκη, καὶ μὴ βουλομένῃσι. Οἱ ἱρέες θεῶν τῇ μὲν
2 ἄλλῃ [a] κομέουσι· ἐν Αἰγύπτῳ δὲ, [b] ξυρεῦνται. τοῖσι ἄλ-
λοισι ἀνθρώποισι νόμος ἅμα κήδεϊ κεκάρθαι τὰς κεφα-
λὰς τοὺς μάλιστα ἱκνέεται· Αἰγύπτιοι δὲ ὑπὸ τοὺς θα-
νάτους ἀνιεῖσι τὰς τρίχας αὔξεσθαι, τάς τε ἐν τῇ κεφαλῇ
3 καὶ τῷ γενείῳ, τέως ἐξυρημένοι. τοῖσι μὲν ἄλλοισι ἀν-
θρώποισι χωρὶς θηρίων δίαιτα ἀποκέκριται· Αἰγυπτίοισι
4 δὲ ὁμοῦ θηρίοισι ἡ δίαιτά ἐστι. ἀπὸ [c] πυρέων καὶ [d] κρι-
θέων [e] ὦλλοι ζώουσι· Αἰγυπτίων δὲ τῷ ποιευμένῳ ἀπὸ

[c] Sic M.S.K.F. Paris. Al. δὲ om. Mox καθήμενοι S.

[d] Sic K.P.S.F.a. Suidas h. v. cf. IV. 113. Vide Koen. ad Gregor. Dial. Ion. 119. Vulgo εὐμαρίῃ.

[e] Citat Stobæus 43, 74.

[f] τοῖσι F. ubi passim ὁδὸς in masculino. cf. VII. 114.

[g] λέγοντες f.

[h] ἱρά τε S.

[i] οὐδεμίη] οὐδεμία F. et S., qui paulo supra cum vulg. habet οὐδεμίη.

[k] τῇσι δὲ—βουλομένῃσι om. F.

[l] θυγατρῆσι S.

36.

[a] κομόωσιν S. qui supra τῶν θεῶν cum Ald.

[b] Sic F. Paris. edd. vett. ξηρῶνται S. ξυρῶνται K.P. ξυροῦνται M.

[c] Sic Ald. V. Paris. R. πυρῶν K.M.S.F.

[d] κριθῶν S.

[e] ὦλλοι M.K. Paris. F. ἄλλοι S.V. ‘ὦλλοι Ald.

τούτων τὴν [f] ζόην, ὄνειδος μέγιστόν ἐστι· ἀλλὰ ἀπὸ
ὀλυρέων ποιεῦνται σιτία, τὰς [g] ζειὰς μετεξέτεροι κα-
5 λέουσι. [h] φυρῶσι τὸ μὲν σταῖς τοῖσι ποσί· τὸν δὲ πηλὸν
τῇσι χερσὶ, [i] καὶ τὴν κόπρον ἀναιρέονται. [k] τὰ αἰδοῖα
ὦλλοι μὲν ἐῶσι ὡς ἐγένοντο, πλὴν ὅσοι ἀπὸ τούτων ἔμα-
6 θον· Αἰγύπτιοι δὲ περιτάμνονται. εἵματα, τῶν μὲν ἀν-
7 δρῶν ἕκαστος ἔχει δύο· τῶν δὲ γυναικῶν ἓν ἑκάστη. τῶν
ἱστίων τοὺς [l] κρίκους καὶ κάλους, οἱ μὲν ἄλλοι ἔξωθεν
8 προσδέουσι· Αἰγύπτιοι δὲ, ἔσωθεν. γράμματα γράφουσι
καὶ λογίζονται [m] ψήφοισι, Ἕλληνες μὲν, ἀπὸ τῶν ἀρι-
στερῶν ἐπὶ τὰ δεξιὰ φέροντες τὴν χεῖρα· Αἰγύπτιοι δὲ,
ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερά· καὶ ποιεῦντες ταῦτα,
αὐτοὶ μέν φασι ἐπὶ [n] δεξιὰ ποιέειν, Ἕλληνας δὲ ἐπ' ἀρι-
9 στερά. διφασίοισι [o] δὲ γράμμασι χρέωνται· καὶ τὰ μὲν
αὐτῶν, ἱρά· τὰ δὲ, δημοτικὰ καλέεται.

37 Θεοσεβέες δὲ περισσῶς ἐόντες μάλιστα πάντων ἀν-
2 θρώπων, νόμοισι [a] τοιοίσιδε χρέωνται. [b] Ἐκ χαλκέων
ποτηρίων πίνουσι, [c] διασμέωντες ἀνὰ πᾶσαν [d] ἡμέρην·
3 [e] οὐκ ὁ μὲν, ὁ δ' οὔ, ἀλλὰ πάντες. εἵματα δὲ λίνεα φο-
ρέουσι, αἰεὶ νεόπλυτα· ἐπιτηδεύοντες τοῦτο μάλιστα. τά
τε αἰδοῖα περιτάμνονται [f] καθαριότητος εἵνεκε· [g] προτι-

[f] ζώην F.S.
[g] Sic S. cum Erotiano et Galeno v. Μετεξέτεροι. Vulgo ζεάς.
[h] Citat Strabo XVII. p. 1179 =823.
[i] καὶ τὴν κόπρ. ἀν. om. Vall. S. V.d. Supra ταῖς S. pro τῇσι.
[k] τὰ δὲ αἰ. K. Tum ἄλλοι S.
[l] κρίσκους K. Tum τοὺς κάλους Ald.
[m] ψήφοισι om. c.
[n] Sic F. Paris. S. Vulgo τὰ δεξιά.
[o] δὲ om. F. Mox δημωτικὰ S.

37.
[a] Sic M.K.P. Alii τοιοῖσδε cum S.F.a.
[b] Cf. Athenæus VI. p. 231. D.
[c] διασμέωντες Ald. c.b.d.R.V. F. διασμῶντες M.K. διασμέοντες a. δασμῶντες S.
[d] τὴν ἡμέρην F.
[e] Sic F. Reliqui οὐχ ὁ.
[f] καθαρειότητος a.c. καθαρότητος S.
[g] προτιμέωντες F.

4 μῶντες καθαροὶ εἶναι ἢ εὐπρεπέστεροι. Οἱ δὲ ἱρέες [h] ξυ- 121
ρεῦνται πᾶν τὸ σῶμα διὰ τρίτης ἡμέρης, ἵνα μήτε φθεὶρ,
[i] μήτε ἄλλο μυσαρὸν μηδὲν [k] ἐγγίνηταί σφι θεραπεύουσι
5 τοὺς θεούς. ἐσθῆτα δὲ φορέουσι οἱ ἱρέες λινέην μούνην, καὶ
ὑποδήματα βύβλινα· ἄλλην [l] δέ σφι ἐσθῆτα οὐκ ἔξεστι
6 [m] λαβεῖν, οὐδὲ ὑποδήματα ἄλλα. λοῦνται δὲ δὶς τῆς
7 ἡμέρης ἑκάστης [n] ψυχρῷ, καὶ δὶς ἑκάστης νυκτός. ἄλ-
λας τε [o] θρησκίας [p] ἐπιτελέουσι μυρίας, ὡς εἰπεῖν λόγῳ.
8 πάσχουσι δὲ καὶ ἀγαθὰ οὐκ ὀλίγα. οὔτε τι γὰρ τῶν
οἰκηΐων τρίβουσι, οὔτε δαπανέωνται· ἀλλὰ καὶ σιτία
σφί ἐστι ἱρὰ [q] πεσσόμενα, καὶ [r] κρεῶν βοέων καὶ χηνέων
πλῆθός τι ἑκάστῳ γίνεται πολλὸν, [s] ἡμέρης ἑκάστης·
9 δίδοται δέ σφι καὶ οἶνος ἀμπέλινος. ἰχθύων δὲ οὔ σφι
ἔξεστι [t] πάσασθαι. κυάμους δὲ [v] οὔτε τι μάλα σπεί-
ρουσι Αἰγύπτιοι ἐν τῇ χώρῃ, τούς τε γενομένους οὔτε τρώ-
10 γουσι, οὔτε ἕψοντες [w] πατέονται. οἱ δὲ δὴ ἱρέες οὐδὲ ὁρέ-
οντες ἀνέχονται, νομίζοντες οὐ [x] καθαρόν μιν εἶναι ὄσπρι-
11 ον. ἱρᾶται δὲ οὐκ εἷς ἑκάστου τῶν θεῶν, ἀλλὰ πολλοὶ,
τῶν εἷς ἐστι [y] ἀρχιέρεως· ἐπεὰν δέ τις ἀποθάνῃ, τούτου

[h] ξυρῶνται K. ξηρῶνται S.

[i] μήτε ἄλλο M.K.F. Paris. μήτ' ἄλλο S. μήτε τι ἄλλο edd. Mox μηδὲν om. S.

[k] ἐγγ. σφισι F. ἐγγίγνηταί σφι θεραπεύοντες S.

[l] δέ σφιν S.V.R.a.b.c.d.F. δέ σφισι M.K.

[m] βαλέειν Ald. S. βαλεῖν a.c. Mox δὲ δίς τε S.

[n] χυθρῷ S. sine ὕδατι. ὕδατι om. M.K.F. Paris. ὕδατι ψυχρῷ edd. ante Gronov. τρὶς pro δὶς legisse videtur Valla. Porphyrius de Abst. IV. 7. Wesselingio citatus, τρὶς δὲ τῆς ἡμέρας ἀπελούοντο ψυχρῷ, ἀπό τε κοίτης, καὶ πρὸ ἀρίστου, καὶ πρὸς ὕπνον.

[o] Sic S. Alii θρησκείας.

[p] Sic F.a.S. Vulgo μυρίας ἐπιτ. Mox δαπανῶνται S.

[q] πασσόμενα S.

[r] Sic F.a. Vall. S.K. Vulgo χηνέων καὶ βοέων κρεῶν.

[s] Sic F. Vulgo ἑκάστης ἡμέρης.

[t] πάσσασθαι S.

[v] οὔτε μάλα S. cf. Windet. de Vita functorum statu c. 5. Wess.

[w] Sic M.K.P.F.a.c. cf. infr. 66. δατέονται S.b. Ald. δατέουσι d. Gl. in P.d. γεύονται.

[x] καθαρὸν εἶναι μιν F.

[y] Sic K.M.P.a.F. cf. Reimar. ad Dion. Cass. LIII. p. 712. ἀρχιερεὺς S.b.d. vulgo.

Quomodo taurus ut victima pura exploretur et signetur.

38 [z] ὁ παῖς ἀντικατίσταται. Τοὺς δὲ βοῦς τοὺς ἔρσενας τοῦ
Ἐπάφου εἶναι νομίζουσι, καὶ τούτου εἵνεκα δοκιμάζουσι
2 αὐτοὺς ὧδε. τρίχα [a] ἣν καὶ μίαν ἴδηται [b] ἐπεοῦσαν μέ-
3 λαιναν, οὐ καθαρὸν εἶναι νομίζει. [c] δίζηται δὲ ταῦτα [d] ἐπὶ
τούτῳ τεταγμένος τῶν τις ἱρέων, καὶ ὀρθοῦ ἑστεῶτος τοῦ
κτήνεος καὶ ὑπτίου, καὶ τὴν γλῶσσαν ἐξειρύσας, εἰ κα-
θαρὴ τῶν προκειμένων σημηΐων, τὰ ἐγὼ ἐν ἄλλῳ λόγῳ
4 ἐρέω. κατορᾷ δὲ καὶ τὰς τρίχας τῆς οὐρῆς, εἰ κατὰ
5 φύσιν ἔχει πεφυκυίας. ἢν δὲ [e] τούτων [f] πάντων ᾖ καθα-
ρὸς, σημαίνεται βύβλῳ περὶ τὰ κέρεα [g] εἰλίσσων· καὶ 122
ἔπειτα γῆν σημαντρίδα ἐπιπλάσας, ἐπιβάλλει τὸν δα-
6 κτύλιον· καὶ οὕτω ἀπάγουσι. ἀσήμαντον δὲ θύσαντι
θάνατος [h] ἡ ζημίη ἐπικέεται. δοκιμάζεται [i] μέν νυν τὸ
κτῆνος τρόπῳ τοιῷδε. Θυσίη δέ σφι ἥδε κατέστηκε.

In eo immolando quid observent, et mactati capite quare non vescantur.

39 [a] ἀγαγόντες τὸ σεσημασμένον κτῆνος πρὸς τὸν βωμὸν,
2 ὅκου ἂν [b] θύωσι, πυρὴν καίουσι. ἔπειτα δὲ ἐπ᾽ αὐτοῦ
οἶνον κατὰ τοῦ ἱρηΐου ἐπισπείσαντες, καὶ ἐπικαλέσαντες
τὸν θεὸν, σφάζουσι· σφάξαντες δὲ, [c] ἀποτάμνουσι τὴν
3 κεφαλήν. [d] σῶμα μὲν [e] δὴ τοῦ κτήνεος [f] δείρουσι· κε-
φαλῇ [g] δὲ κείνῃ πολλὰ [h] καταρησάμενοι, φέρουσι, τοῖσι

[z] ὁ om. S. qui ἀντικαθίσταται.

38.

[a] ἢν καὶ μίην] ἢν μίαν F. ἢν καὶ μίαν S. Supra βοῦς ἔρσ. S.

[b] Sic P.F.a.c. ἐνεοῦσαν S.b. ἐπιοῦσαν alii.

[c] Sic S.K.P.F. Paris. Eustath. Od. p. 1774, 31=564, 50. Alii δίζεται.

[d] ἐπὶ τούτῳ F.a.c. Vulgo ἐπὶ τοῦτο cum S.

[e] τουτέων] τούτων F.S.

[f] πάντων om. S.

[g] Sic F. εἰλίσσων M.K.P. ἑλίσσων alii cum S.

[h] καὶ ἡ ζημίη F. ἡ ζημία S.

[i] μέν τοι τὸ d.

39.

[a] ἀπαγόντες R.

[b] Sic P.M.K.F.b.d. θύσωσι Ald. S.V.a.c. Mox δὲ om. S.

[c] ἀποτέμνουσι b.

[d] τὸ σῶμα Schæferus.

[e] δὴ om. M.K.P.F.

[f] δέρουσι S.

[g] δὲ κείνῃ M.K.P.F. Paris. Alii cum S. δ᾽ ἐκείνου. Mox πολλὰ om. S.

[h] καταρησάμενοι K.V.P.F.a.c.d. καταρησόμενοι S.b. κατηρασάμενοι alii.

μὲν ἂν [i] ᾖ ἀγορὴ, καὶ Ἕλληνές [k] σφισι ἔωσι [l] ἐπιδήμιοι
ἔμποροι, [m] οἱ δὲ φέροντες ἐς τὴν ἀγορὴν, ἀπ' ὧν ἔδοντο·
τοῖσι δὲ ἂν μὴ παρέωσι Ἕλληνες, οἱ δ' ἐκβάλλουσι ἐς
4 τὸν ποταμόν. [n] καταρέονται δὲ, τάδε λέγοντες, τῇσι κε-
φαλῇσι· "εἴ τι μέλλοι ἢ σφίσι τοῖσι θύουσι, ἢ Αἰγύπτῳ
"τῇ συναπάσῃ κακὸν γενέσθαι, ἐς κεφαλὴν [o] ταύτην
5 "τραπέσθαι." Κατὰ μέν νυν τὰς κεφαλὰς τῶν θυο-
μένων κτηνέων, καὶ τὴν [p] ἐπίσπεισιν τοῦ οἴνου, πάντες
Αἰγύπτιοι νόμοισι τοῖσι αὐτοῖσι χρέωνται ὁμοίως ἐς πάν-
τα τὰ ἱρά· καὶ ἀπὸ τούτου τοῦ νόμου, [q] οὐδὲ ἄλλου οὐ-
40 δενὸς ἐμψύχου κεφαλῆς γεύσεται Αἰγυπτίων οὐδείς. Ἡ
δὲ δὴ ἐξαίρεσις τῶν ἱρῶν [a] καὶ ἡ καῦσις, ἄλλη περὶ ἄλλο
ἱρόν σφι κατέστηκε. τὴν [b] δ' ὦν μεγίστην τε δαίμονα
[c] ἥγηνται εἶναι, καὶ μεγίστην οἱ ὁρτὴν [d] ἀνάγουσι, [e] ταύτῃ
2 ἔρχομαι ἐρέων. [f] ἐπεὰν [g] ἀποδείρωσι τὸν βοῦν, κατευξά-
μενοι, κοιλίην μὲν [h] κεινὴν πᾶσαν ἐξ ὧν εἷλον, σπλάγχνα
δὲ αὐτοῦ λείπουσι ἐν τῷ σώματι καὶ τὴν πιμελήν· σκέ-
λεα δὲ ἀποτάμνουσι, καὶ τὴν ὀσφὺν ἄκρην, καὶ τοὺς

Isis maxima Dea, et maximum ejus festum: ante sacrificium jejunant, et eo ardente se verberant.

[i] εἰν ἀγορῇ S.

[k] Sic M.F. σφι Ald. a.c. σφιν S.

[l] Sic M.P.F. ἐπίδημοι A.B.S. V.R. Ald.

[m] Sic F.a. Vulgo οἵδε cum S.

[n] καταρέωνται F. καταρῶνται S.

[o] ταύτης F.

[p] ἐπίπασιν οἴνου Galeus ex S. Perperam. Codex iste cum vulg. consentit. ἐπίπασιν b. Mox ἱερὰ S.

[q] οὐδὲ ἄλλου om. S.b.d.

40.

[a] καὶ om. F. Supra ἱερῶν S.

[b] δ' ὡς μ. S.

[c] ἄγειν τε. F. Nempe ἄγηνται debuerat, qua forma Dorica idem alibi utitur, ut II. 69. 72. ἄγημαι pro ἥγημαι II. 115. Schweigh.

[d] ἄγουσι F.

[e] Sic ed. Schweighæuserus. ταύτῃ F. ταύτην S. vulgo.

[f] Sic fere M.K.P.F.a. ἐπὴν προνηστεύσωσι τῇ Ἴσι, καὶ ἐπὴν κατεύξωνται, θύουσι τὸν βοῦν· καὶ ἀποδείραντες, κοιλίην μὲν ἐκείνην (κείνην Ald.) πᾶσαν ἐξ ὧν εἷλον. V.R. Paris. tres. Ald. nisi quod τῇσι pro τῇ Ἴσι Ald. c. et mox τὴν βῶν et ἔξω εἷλον Ald. προνηστεύσουσι τῇσι—κατεύξονται—βῶν—κείνην S.

[g] ἀποδείρουσι F.

[h] κεινὴν, id est κενὴν, conj. Schweighæuserus, κεινὴν κοιλίην idem monens significare q. κενεῶνα, *abdomen*, *alvum*, in quo intestina. κείνην F.a. Vulgo ἐκείνην. Mox τῷ om. S.

3 ὤμους τε καὶ τὸν τράχηλον. ταῦτα δὲ ποιήσαντες, τὸ ἄλλο σῶμα τοῦ βοὸς πιμπλᾶσι ἄρτων καθαρῶν, καὶ μέλιτος, καὶ [i] ἀσταφίδος, καί σύκων, καὶ λιβανωτοῦ, καὶ σμύρνης, καὶ τῶν ἄλλων [k] θυωμάτων. πλήσαντες δὲ
4 τούτων, καταγίζουσι, ἔλαιον ἄφθονον [l] καταχέοντες. προνηστεύσαντες δὲ, θύουσι. καιομένων δὲ τῶν ἱρῶν τύπτονται πάντες· ἐπεὰν δὲ ἀποτύψωνται, δαῖτα προτίθενται τὰ ἐλίποντο τῶν ἱρῶν.

41

Boves Isidi consecratæ, venerationisque maximæ omnium pecudum: aversabiles Ægyptiis Græci: mortuæ boves merguntur: pecudes aliæ quomodo sepeliantur: urbs Atarbechis.

Τοὺς μέν νυν [a] καθαροὺς βοῦς τοὺς ἔρσενας καὶ τοὺς 123 μόσχους οἱ πάντες Αἰγύπτιοι θύουσι· τάς δὲ θηλέας οὔ
2 σφι ἔξεστι θύειν, ἀλλὰ ἱραί εἰσι τῆς [b] Ἴσιος. τὸ γὰρ τῆς Ἴσιος ἄγαλμα ἐὸν γυναικήϊον, [c] βούκερών ἐστι, κατάπερ Ἕλληνες τὴν Ἰοῦν γράφουσι· καὶ τὰς βοῦς τὰς θηλέας Αἰγύπτιοι πάντες [d] ὁμοίως σέβονται προβάτων
3 πάντων μάλιστα μακρῷ. τῶν εἵνεκα οὔτ᾽ ἀνὴρ Αἰγύπτιος, οὔτε γυνὴ, ἄνδρα Ἕλληνα φιλήσειε ἂν τῷ στόματι, οὐδὲ μαχαίρῃ ἀνδρὸς Ἕλληνος χρήσεται, οὐδ᾽ ὀβελοῖσι, οὐδὲ λέβητι, οὐδὲ κρέως καθαροῦ βοὸς διατετμημένου
4 Ἑλληνικῇ μαχαίρῃ [e] γεύσεται. Θάπτουσι δὲ τοὺς ἀποθνήσκοντας βοῦς, τρόπον τόνδε. τὰς μὲν θηλέας ἐς τὸν ποταμὸν ἀπιᾶσι· τοὺς δὲ ἔρσενας κατορύσσουσι ἕκαστοι ἐν τοῖσι προαστείοισι, τὸ κέρας τὸ ἕτερον ἢ καὶ ἀμφότερα
5 ὑπερέχοντα, σημηΐου [f] εἵνεκεν. ἐπεὰν δὲ σαπῇ, καὶ προσίῃ 1 ὁ τεταγμένος χρόνος, ἀπικνέεται ἐς ἑκάστην πόλιν βάρις

[i] Wesselingius ἀσταφίδων ex S. Alii et meliores codd. in his F.a. ἀσταφίδος.

[k] θωϋμάτων S. cf. Thomas M. in v.

[l] καταχέαντες S. et mox ἐλίποντα.

41.

[a] Sic P.M.K.S.F. Paris. Athenag. Legat. c. 24. καθαροὺς ἔρσενας τῶν βοῶν edd. vett.

[b] Ἴσιδος Athenag.

[c] βούκερόν S.

[d] ὁμοίως om. S.

[e] χρήσεται S.b. Notam ad h. v. habet S., pravi quid, ut puto, subesse indicantem. Mox τρόπον τοιόνδε Ald.

[f] εἵνεκεν M.K.P.F. εἵνεκα S. alii.

6 ἐκ τῆς Προσωπίτιδος [g] καλευμένης [h] νήσου. ἡ δ' ἔστι μὲν
ἐν τῷ Δέλτα, [i] περίμετρον δὲ αὐτῆς εἰσὶ σχοῖνοι ἐννέα.
7 ἐν [k] ταύτῃ ὦν τῇ Προσωπίτιδι νήσῳ ἔνεισι μὲν καὶ ἄλλαι
[l] πόλιες συχναί· ἐκ τῆς δὲ αἱ βάρις παραγίνονται ἀναι-
ρησόμεναι τὰ ὀστέα τῶν βοῶν, οὔνομα τῇ [m] πόλι [n] Ἀτάρ-
8 βηχις· ἐν δ' αὐτῇ Ἀφροδίτης ἱρὸν [o] ἅγιον ἵδρυται. ἐκ
ταύτης τῆς πόλιος [p] πλανέονται πολλοὶ [q] ἄλλοι ἐς ἄλλας
[r] πόλις· ἀνορύξαντες δὲ τὰ ὀστέα, ἀπάγουσι καὶ θά-
9 πτουσι ἐς [s] ἕνα χῶρον πάντες. κατὰ ταὐτὰ δὲ τοῖσι
βουσὶ καὶ τἆλλα [t] κτήνεα θάπτουσι ἀποθνήσκοντα· καὶ
γὰρ περὶ ταῦτα οὕτω σφι νενομοθέτηται· κτείνουσι γὰρ
42 δὴ οὐδὲ ταῦτα. Ὅσοι μὲν δὴ Διὸς [a] Θηβαιέος [b] ἵδρυνται
ἱρὸν, ἢ νομοῦ τοῦ Θηβαίου εἰσὶ, οὗτοι [c] μέν νυν πάντες ὀΐων
2 ἀπεχόμενοι, αἶγας θύουσι. θεοὺς γὰρ δὴ οὐ τοὺς αὐτοὺς
ἅπαντες ὁμοίως Αἰγύπτιοι σέβονται, πλὴν Ἴσιός τε καὶ
[d] Ὀσίριος, τὸν δὴ Διόνυσον εἶναι λέγουσι· τούτους δὲ
3 ὁμοίως ἅπαντες σέβονται. [e] ὅσοι δὲ τοῦ Μένδητος [f] ἔκτην-
ται ἱρὸν, ἢ νομοῦ τοῦ Μενδησίου εἰσὶ, οὗτοι δὲ αἰγῶν ἀπε-

Isis et Osiris, qui et Bacchus, Dii omnium communes: Thebani quare ab ovibus immolandis abstineant, et quare Jupiter ari-

[g] Sic M.K.P. καλεομένης S.F. a. alii.

[h] χώρης Steph. marg. νήσου χώρης c.

[i] Sic P.K.F. περίμετροι Ald. περίμετρος S. Steph. et edd. seqq. τὸ περίμετρον infr. 149.

[k] ταύτῃ ὦν S.M.K.P.F. Paris. Alii ταύτῃ δὴ ὦν.

[l] πόλιες F. et alii. πόλις a. πόλεις S.

[m] πόλι. Sic K. πόλει F.S. et vulg.

[n] Ἀταρβίκις Steph. Byz. cf. Jablonskii Diss. de Remphah p. 77. Wessel.

[o] ἅγιον om. b.

[p] πλανέωνται F. πλανῶνται S.

[q] ἄνθρωποι videtur legendum. Schweigh. Nihil mutandum.

[r] Sic M.K.P. πόλεις F. πόλιας S. alii.

[s] ἐν χωρίον S.b.

[t] κτήνεα ἅπαντα θ. b. et al.

42.

[a] Θηβαιέος Ald. S.V.a.b.c.d.R. cf. I. 182. II. 54. IV. 181. Θηβαίου K.M.P.F.

[b] ἵδρυται F.

[c] Sic P.M.K.F. νυν om. al. cum a. S. Mox σέβονται, ἅπαντες ὁμοίως Αἰγύπτιοι S.

[d] Sic Ald. S.A.B.V.R. Ὀσίριδος P.M.K.F.

[e] Sic S.F. Paris. ὅσοι δὴ M. Alii ὅσοι μὲν δή.

[f] κέκτηνται S.

etina facie apud Ammonios.

4 χόμενοι, ὄϊς θύουσι. Θηβαῖοι μέν νυν, καὶ ὅσοι [g] διὰ τούτους οἰῶν ἀπέχονται, διὰ τάδε λέγουσι τὸν νόμον τόνδε σφι [h] τεθῆναι· "Ἡρακλέα θελῆσαι πάντως ἰδέσθαι τὸν
5 "Δία, καὶ τὸν οὐκ ἐθέλειν ὀφθῆναι ὑπ' αὐτοῦ. [i] τέλος "δὲ, ἐπεί τε λιπαρέειν τὸν Ἡρακλέα, τὸν Δία μηχα-"νήσασθαι, κριὸν ἐκδείραντα, [k] προέχεσθαί τε τὴν κεφα-"λὴν ἀποταμόντα τοῦ κριοῦ, καὶ ἐνδύντα τὸ [l] νάκος,
6 "οὕτω οἱ ἑωυτὸν [m] ἐπιδέξαι." Ἀπὸ τούτου κριοπρόσωπον [n] τοῦ Διὸς τὤγαλμα ποιεῦσι Αἰγύπτιοι· ἀπὸ δὲ Αἰγυπτίων, Ἀμμώνιοι, ἐόντες Αἰγυπτίων τε καὶ Αἰθιόπων ἄποικοι, καὶ φωνὴν μεταξὺ ἀμφοτέρων νομίζοντες. 124
7 [o] δοκέειν δ' ἐμοὶ, καὶ τὸ οὔνομα Ἀμμώνιοι ἀπὸ τοῦδέ 31 σφι τὴν ἐπωνυμίην ἐποιήσαντο· [p] Ἀμοῦν γὰρ Αἰγύπτιοι
8 [q] καλέουσι τὸν Δία. τοὺς δὲ κριοὺς οὐ θύουσι Θηβαῖοι, ἀλλ' εἰσί σφι ἱροὶ διὰ τοῦτο. μιῇ δὲ ἡμέρῃ τοῦ ἐνιαυτοῦ, ἐν ὁρτῇ τοῦ Διὸς, [r] κριὸν ἕνα κατακόψαντες καὶ ἀποδείραντες, κατὰ τὠυτὸ ἐνδύουσι τὤγαλμα τοῦ Διὸς, καὶ ἔπειτα ἄλλο ἄγαλμα [s] Ἡρακλέος προσάγουσι πρὸς
9 αὐτό. ταῦτα δὲ ποιήσαντες, τύπτονται [t] οἱ περὶ τὸν ἱρὸν [v] ἅπαντες τὸν κριὸν, καὶ ἔπειτα ἐν ἱρῇ θήκῃ θάπτουσι αὐτόν.

[g] διὰ τούτων b.S. qui mox σφίσι pro σφι.

[h] τεθῆναι] δοθῆναι d.

[i] Sic M.K.S.F. Paris. Al. om. δέ.

[k] προέχεσθαι M.K.R.P.F.a.c. προεκθέσθαι Ald. S.V.b.d. προσχέσθαι malebat Wessel. cum Reiskio.

[l] δέρμα gl. in P.

[m] Sic M.K.P. ἀποδέξαι (ἐπι) F. Alii ἐπιδεῖξαι cum S.

[n] Sic F. τὤγαλμα τοῦ Διὸς vulgo. τὸ ἄγ. τ. δ. S.

[o] δοκέει δέ μοι S. δοκέειν δέ μοι F.

[p] Ἀμμοῦν] Ἀμοῦν F. Eustath. Dionys. 211. Plutarch. Isid. et Osir. p. 354. C. cf. Jablonski Panth. Ægypt. II. 2.

[q] καλοῦσι F.

[r] κριὸν om. F. Mox κατὰ ταῦτα S. qui deinde om. τοῦ.

[s] Sic Ald. a.b.c.d.V.S.R.K.P. F. Ἡρακλέους M. cf. ad I. 180. ἄγαλμα ἄλλο S.

[t] οἱ om. F. Mox τὸ ἱρὸν S. Ald.

[v] πάντες S.

43 Ἡρακλέος δὲ πέρι τόνδε τὸν λόγον ἤκουσα, [a] ὅτι εἴη
2 τῶν δυώδεκα θεῶν. τοῦ ἑτέρου δὲ πέρι Ἡρακλέος, τὸν
Ἕλληνες οἴδασι, οὐδαμῇ Αἰγύπτου ἐδυνάσθην ἀκοῦσαι.
3 καὶ μὴν ὅτι γε οὐ παρ' Ἑλλήνων ἔλαβον [b] τὸ οὔνομα
[c] τοῦ Ἡρακλέος Αἰγύπτιοι, ἀλλὰ Ἕλληνες μᾶλλον παρ'
Αἰγυπτίων, καὶ Ἑλλήνων οὗτοι οἱ θέμενοι τῷ Ἀμφι-
τρύωνος γόνῳ τοὔνομα Ἡρακλέα, πολλά μοι καὶ ἄλλα
τεκμήριά ἐστι τοῦτο οὕτω ἔχειν, [d] ἐν δὲ καὶ τόδε, ὅτι τε
τοῦ Ἡρακλέος τούτου οἱ γονέες ἀμφότεροι ἦσαν, Ἀμφι-
τρύων καὶ Ἀλκμήνη, γεγονότες τὸ ἀνέκαθεν ἀπ' Αἰγύ-
πτου, καὶ διότι Αἰγύπτιοι οὔτε Ποσειδέωνος οὔτε [e] Διοσ-
κούρων τὰ οὐνόματά φασι εἰδέναι, οὐδέ σφι θεοὶ οὗτοι ἐν
4 τοῖσι ἄλλοισι θεοῖσι ἀποδεδέχαται. καὶ μὴν εἴ γε παρ'
Ἑλλήνων ἔλαβον οὔνομά τευ δαίμονος, τούτων [f] οὐκ ἥκι-
στα ἀλλὰ μάλιστα ἔμελλον μνήμην ἕξειν, εἴπερ καὶ
τότε ναυτιλίῃσι ἐχρέωντο, καὶ ἦσαν Ἑλλήνων τινὲς ναυ-
τίλοι· ὡς ἔλπομαί τε καὶ [g] ἐμὴ γνώμη αἱρέει, ὥστε
[h] τούτων ἂν καὶ μᾶλλον τῶν θεῶν τὰ οὐνόματα ἐξεπι-
5 στέατο Αἰγύπτιοι ἢ τοῦ Ἡρακλέος. Ἀλλά τις [i] ἀρχαῖός
ἐστι θεὸς Αἰγυπτίοισι Ἡρακλέης· ὡς δὲ αὐτοὶ λέγουσι,
ἔτεά ἐστι ἑπτακισχίλια καὶ μύρια ἐς Ἄμασιν βασιλεύ-
σαντα, ἐπεί τε ἐκ τῶν ὀκτὼ θεῶν οἱ [k] δυώδεκα θεοὶ ἐγέ-
44 νοντο, τῶν Ἡρακλέα ἕνα νομίζουσι. Καὶ θέλων δὲ τού-

Hercules Deorum XII unus: Græcos illius nomen ab Ægyptiis accepisse.

In urbe Tyro Herculis

43.

[a] Sic M.K.P.F. ὡς εἴη Ald. S. V. Paris. Supra τὸν om. S.

[b] Sic K.P.F. τοὔνομα vulg. cum S.

[c] Αἰγύπτιοι τοῦ Ἡρακλ. F. Mox οὔνομα S. Ald. Infra Ἀμφιτρύονος Ald.

[d] Sic M.K.P.F. Paris. cf. I. 74. II. 176. VIII. 113. ἐν δὲ δὴ I. 185. 192. II. 79. III. 15. 38. Alii ἓν δὲ δὴ καί. ἓν δὲ καὶ S.

[e] Διοσκόρων S. hic et VI. 127. qui cum vulg. II. 50. cf. Schæfer. ad Gregor. p. 300. Lobeck. Phrynich. p. 235.

[f] οὐκ om. F.

[g] ἐμῇ γνώμῃ F. Mox αἱρέειν Schæfer.

[h] τουτέων] τούτων F.S.

[i] ἐστὶν Αἰγ. ἀρχ. θεὸς S.

[k] δώδεκα S. qui mox τὸν pro τῶν.

templum antiquissimum, et aliud ejusdem cognomine Thasii: Thasum, ibique Herculis templum, qui condiderint: Hercules in Græcia passim duplex, Olympius et Heros.

τῶν πέρι σαφές τι εἰδέναι ἐξ ὧν οἷόν τε ἦν, ἔπλευσα καὶ
ἐς Τύρον τῆς Φοινίκης, πυνθανόμενος αὐτόθι εἶναι ἱρὸν
Ἡρακλέος ἅγιον· καὶ [a] ἴδον πλουσίως κατεσκευασμένον
ἄλλοισί τε πολλοῖσι ἀναθήμασι, καὶ ἐν αὐτῷ ἦσαν στῆ-
λαι δύο, ἡ μὲν, χρυσοῦ ἀπέφθου· ἡ δὲ, [b] σμαράγδου
λίθου, λάμποντος τὰς νύκτας μέγαθος. ἐς λόγους δὲ
ἐλθὼν τοῖσι ἱρεῦσι τοῦ θεοῦ [c] εἰρόμην ὁκόσος χρόνος εἴη ἐξ
2 οὗ σφι τὸ ἱρὸν ἵδρυται. εὗρον δὲ οὐδὲ τούτους τοῖσι Ἕλ-
λησι συμφερομένους. ἔφασαν γὰρ ἅμα Τύρῳ οἰκιζομένῃ
καὶ τὸ ἱρὸν τοῦ θεοῦ [d] ἱδρυθῆναι· εἶναι δὲ ἔτεα [e] ἀφ᾽ οὗ
3 Τύρον οἰκέουσι, τριηκόσια καὶ δισχίλια. [f] εἶδον δὲ ἐν τῇ
Τύρῳ καὶ ἄλλο ἱρὸν Ἡρακλέος, ἐπωνυμίην ἔχοντος Θα-
4 σίου εἶναι. [g] ἀπικόμην δὲ καὶ ἐς Θάσον, ἐν τῇ εὗρον
ἱρὸν Ἡρακλέος ὑπὸ Φοινίκων ἱδρυμένον, οἳ κατ᾽ Εὐρώπης
ζήτησιν ἐκπλώσαντες, Θάσον ἔκτισαν· [h] καὶ ταῦτα καὶ
πέντε γενεῇσι ἀνδρῶν πρότερά ἐστι ἢ τὸν Ἀμφιτρύωνος
5 Ἡρακλέα ἐν τῇ Ἑλλάδι γενέσθαι. Τὰ μέν νυν ἱστορη-
μένα δηλοῖ σαφέως παλαιὸν θεὸν [i] τὸν Ἡρακλέα ἐόντα.
6 καὶ δοκέουσι δέ μοι οὗτοι ὀρθότατα [k] Ἑλλήνων ποιέειν, οἳ
διξὰ [l] Ἡράκλεια ἱδρυσάμενοι ἔκτηνται· καὶ τῷ μὲν, ὡς
ἀθανάτῳ, Ὀλυμπίῳ δὲ ἐπωνυμίην, θύουσι· τῷ δὲ ἑτέρῳ,
45 ὡς ἥρωϊ ἐναγίζουσι. Λέγουσι δὲ πολλὰ καὶ ἄλλα ἀν-

44.

[a] εἶδον F.

[b] μαράγδου M.K.P.F.c. cf. Athenæus III. p. 94. B. σμαράγδου S. Ald. et al. cf. III. 41. Wass. Thucyd. IV. 31. Broukhusius ad Propert. II. 13, 43. Mox pro μέγαθος Reiskius μέγα φῶς.

[c] ἠρόμην F.

[d] Sic P.M.K.S. ἱδρυνθῆναι Ald. R.V.F.a.c. cf. I. 172.

[e] ἀπ᾽ οὗ Schæferus. cf. Koen. Gregor. Dial. Ion. s. 18.

[f] ἴδον S.

[g] Sic M.P.K.S. Vall. F.a.b.d. sed καὶ om. S. Vulgo ἀπικόμενος —Θάσον, εὗρον. cf. Eustath. Dionys. 517.

[h] Sic M.K.P.F.a.b.d. καὶ sec. om. S. c. et al.

[i] τὸν om. P.S.F.c.

[k] τῶν Ἑλλήνων S.

[l] Ἡράκλεα F. Ἡρακλήϊα Borheck.

ἐπισκέπτως οἱ Ἕλληνες. εὐήθης δὲ [a] αὐτῶν καὶ ὅδε ὁ μῦθός ἐστι, [b] τὸν περὶ τοῦ Ἡρακλέος λέγουσι· ὡς "αὐ-"τὸν ἀπικόμενον ἐς Αἴγυπτον στέψαντες οἱ Αἰγύπτιοι, "ὑπὸ πομπῆς ἐξῆγον ὡς θύσοντες τῷ Διΐ· τὸν δὲ, "τέως μὲν ἡσυχίην ἔχειν· ἐπεὶ [c] δὲ αὐτοῦ πρὸς τῷ "βωμῷ κατάρχοντο, ἐς ἀλκὴν τραπόμενον, πάντας
2 "σφέας καταφονεῦσαι." Ἐμοὶ μέν νυν δοκέουσι, ταῦτα λέγοντες, τῆς Αἰγυπτίων φύσιος καὶ τῶν νόμων πάμ-
3 παν [d] ἀπείρως ἔχειν οἱ Ἕλληνες. τοῖσι γὰρ οὐδὲ κτήνεα ὁσίη θύειν ἐστὶ, χωρὶς [e] οἴων, [f] καὶ ἐρσένων βοῶν καὶ
4 μόσχων, [g] ὅσοι ἂν καθαροὶ ἔωσι, καὶ [h] χηνέων, κῶς ἂν οὗτοι ἀνθρώπους θύοιεν; ἔτι δὲ ἕνα [i] ἐόντα τὸν Ἡρακλέα, 126
καὶ ἔτι ἄνθρωπον, ὡς δή φασι, κῶς φύσιν ἔχει πολλὰς μυριάδας φονεῦσαι; Καὶ περὶ μὲν τούτων τοσαῦτα ἡμῖν εἰποῦσι, καὶ παρὰ τῶν θεῶν καὶ παρὰ τῶν ἡρώων [k] εὐμένεια εἴη.

Refellitur Græcorum quædam fabula de Hercule.

46 Τὰς δὲ δὴ αἶγας καὶ τοὺς τράγους τῶνδε εἵνεκα οὐ θύουσι Αἰγυπτίων οἱ εἰρημένοι. τὸν Πᾶνα τῶν ὀκτὼ θεῶν λογίζονται εἶναι οἱ Μενδήσιοι· τοὺς δὲ ὀκτὼ θεοὺς τού-
2 τους, προτέρους τῶν δυώδεκα θεῶν φασι γενέσθαι. [a] γράφουσί τε δὴ [b] καὶ γλύφουσι οἱ ζωγράφοι καὶ οἱ ἀγαλματοποιοὶ τοῦ Πανὸς [c] τὤγαλμα, κατάπερ Ἕλληνες,

Mendesii non immolant capras et hircos: Pan unus ex viii Diis: quale simulacrum ejus fingatur: capris

45.

[a] αὐτέων] αὐτῶν F.S.

[b] τὸν om. S. qui mox sic interpungit, Ἡρακλέος· λέγουσιν ὡς.

[c] δὲ αὐτοὶ S.b.V.

[d] ἀπείκως S.V.

[e] Ita Schweigh. e Valckenærii emendatione. οἴω̃ (sic) F. si Schweighæuserum recte intelligo. ὑῶν vulgo.

[f] καὶ σέων S.

[g] καὶ ὅσοι ἐὰν F.

[h] χηνῶν F.S.

[i] Sic S. Al. ὄντα.

[k] εὐμενέα S.V. cf. Koen. ad Gregor. Dial. Ion. 41. Schæfer. ib. p. 521.

46.

[a] Sic M.K.P.F.b.d. γρ. δὲ δὴ Ald. a.c.S.V.R.

[b] καὶ γλύφουσι om. F. Mox καὶ οἱ ἀγαλματοποιοὶ om. F.M.K.

[c] Sic M.K.P.V.S.F. Paris. κατάπερ Ἕλληνες τὤγαλμα edd. vett.

et maxime hircis quantus apud Mendesios honor.

αἰγοπρόσωπον καὶ τραγοσκελέα· [d] οὔ τι τοιοῦτον νομί- 3 ζοντες εἶναί μιν, ἀλλ' ὁμοῖον τοῖσι ἄλλοισι θεοῖσι. ὅτευ δὲ εἵνεκα τοιοῦτον γράφουσι αὐτὸν, οὔ μοι ἥδιόν ἐστι 4 λέγειν. σέβονται δὲ πάντας τοὺς αἶγας οἱ Μενδήσιοι, καὶ μᾶλλον τοὺς ἔρσενας τῶν θηλέων, καὶ τούτων οἱ [e] αἰπόλοι τιμὰς μέζονας ἔχουσι· ἐκ δὲ τούτων εἷς μάλιστα, ὅστις ἐπεὰν ἀποθάνῃ, πένθος μέγα παντὶ τῷ [f] Μενδησίῳ 5 νομῷ τίθεται. καλέεται δὲ ὅ τε τράγος καὶ ὁ Πὰν Αἰγυπτιστὶ, Μένδης. ἐγένετο δ' ἐν τῷ νομῷ τούτῳ ἐπ' ἐμεῦ τοῦτο τὸ τέρας· γυναικὶ τράγος ἐμίσγετο ἀναφανδόν. τοῦτο ἐς [g] ἐπίδεξιν ἀνθρώπων ἀπίκετο.

47

Sues et subulcos Ægyptii aversantur: Lunæ ac Baccho semel per annum, eodem plenilunio utrique, sues immolant, et immolatarum carnibus vescuntur: quomodo eas Lunæ immolent, et

Ὗν δὲ Αἰγύπτιοι μιαρὸν ἥγηνται θηρίον εἶναι, καὶ τοῦτο μὲν, ἤν τις ψαύσῃ αὐτῶν παριὼν ὑὸς [a] αὐτοῖσι ἱματίοισι, [b] ἀπ' ὦν ἔβαψε ἑωυτὸν, βὰς [c] ἐπὶ τὸν ποταμόν· τοῦτο δὲ, οἱ συβῶται, ἐόντες Αἰγύπτιοι ἐγγενέες, ἐς ἱρὸν οὐδὲν τῶν ἐν Αἰγύπτῳ ἐσέρχονται μοῦνοι πάντων· οὐδέ σφι ἐκδίδοσθαι [d] θυγατέρα οὐδεὶς ἐθέλει, οὐδ' ἄγεσθαι ἐξ [e] αὐτῶν· ἀλλ' [f] ἐκδιδόαταί τε οἱ συβῶται καὶ ἀγέαται ἐξ ἀλλήλων. 2 τοῖσι μέν νυν ἄλλοισι θεοῖσι θύειν ὗς οὐ δικαιεῦσι Αἰγύπτιοι· Σελήνῃ δὲ καὶ Διονύσῳ μούνοισι, τοῦ αὐτοῦ 127 χρόνου, τῇ αὐτῇ πανσελήνῳ, τοὺς ὗς θύσαντες, [g] πατέονται τῶν κρεῶν. 3 [h] διότι δὲ τοὺς ὗς ἐν [i] μὲν τῇσι ἄλλῃσι

[d] ὅ τι F. Mox ἕνεκα S. et ἴδιον pro ἥδιον.

[e] Schæferus edidit κόλοι, *mutili, cornua non habentes.* Vide Wesseling. ad IV. 29.

[f] Sic S.F. Paris. Al. Μενδησίων. Mox τὸ ante τέρας om. S.

[g] Sic K.P. Paris. ἐπίδειξιν S. F. et al.

47.

[a] Sic V.S. αὐτοῖσι τοῖσι ἱμ. F. et al. Supra θηρίων credo S.

[b] Sic M.K.P.a. pro v. l. ἀπῶν F. ἀπιὼν S.a.d. edd. vett.

[c] Sic M.P.F. ἐς τὸν π. S.a. vulg.

[d] οὐδεὶς θυγ. F.

[e] αὐτέων] αὐτῶν F. αὐτέων hic retinet S.

[f] Sic F. Vulgo ἐκδίδονται et ἄγονται. cf. I. 209. τε om. edd. vett.

[g] πατέωνται F.

[h] διότι μὲν F.

[i] μὲν om. S.V.F. Mox ἀποστυγήκασιν ἐν ταύτῃ δὲ S.

ὁρτῇσι ἀπεστυγήκασι, ἐν δὲ ταύτῃ θύουσι, ἔστι μὲν
λόγος περὶ αὐτοῦ ὑπ' Αἰγυπτίων λεγόμενος· ἐμοὶ μέν-
4 τοι ἐπισταμένῳ οὐκ εὐπρεπέστερός ἐστι λέγεσθαι. θυσίη
δὲ ἥδε τῶν ὑῶν τῇ Σελήνῃ ποιέεται· ἐπεὰν θύσῃ, τὴν οὐρὴν
ἄκρην καὶ τὸν σπλῆνα καὶ τὸν [k] ἐπίπλοον συνθεὶς ὁμοῦ,
κατ' ὦν ἐκάλυψε πάσῃ τοῦ κτήνεος τῇ πιμελῇ τῇ περὶ
5 τὴν νηδὺν γινομένῃ· καὶ ἔπειτα καταγίζει πυρί. τὰ δὲ
ἄλλα [l] κρέα σιτέονται ἐν τῇ [m] πανσελήνῳ, ἐν τῇ ἂν τὰ
ἱρὰ [n] θύσωσι· ἐν ἄλλῃ δὲ ἡμέρῃ οὐκ ἂν [o] ἔτι γευσαίατο.
6 οἱ δὲ πένητες αὐτῶν ὑπ' [p] ἀσθενείης [q] βίου σταιτίνας
48 πλάσαντες ὗς, καὶ ὀπτήσαντες ταύτας, θύουσι. Τῷ δὲ
Διονύσῳ, τῆς ὁρτῆς [a] τῇ δορπίῃ, χοῖρον πρὸ τῶν θυρέων
σφάξας ἕκαστος, διδοῖ ἀποφέρεσθαι τὸν χοῖρον αὐτῷ
2 τῷ [b] ἀποδομένῳ τῶν συβωτέων. τὴν δὲ ἄλλην ἀνάγουσι
ὁρτὴν τῷ Διονύσῳ οἱ Αἰγύπτιοι, πλὴν [c] χορῶν, κατὰ
3 ταὐτὰ σχεδὸν πάντα Ἕλλησι. ἀντὶ δὲ φαλλῶν, ἄλλα
σφί ἐστι ἐξευρημένα ὅσον τε πηχυαῖα ἀγάλματα νευ-
ρόσπαστα, τὰ περιφορέουσι κατὰ κώμας [d] γυναῖκες,
νεῦον τὸ αἰδοῖον, οὐ πολλῷ τέῳ ἔλασσον ἐὸν τοῦ ἄλλου
4 σώματος. προηγέεται δὲ [e] αὐλός· αἱ δὲ ἕπονται ἀείδου-
5 σαι τὸν Διόνυσον. διότι δὲ μέζον τε ἔχει τὸ αἰδοῖον, καὶ
κινέει μοῦνον τοῦ σώματος, ἔστι λόγος περὶ αὐτοῦ [f] ἱρὸς
49 λεγόμενος. Ἤδη ὦν δοκέει μοι Μελάμπους ὁ Ἀμυ-

quomodo Baccho: hujus festum ut agant.

Melampodem sacra

[k] ἐπίπλον F.
[l] κρέα om. b.S.
[m] πανσελήνη F.
[n] Sic M.K.P.F. θύωσι S.c. et vulgo.
[o] ἐπιγευσαίατο R.
[p] ἀσθενίης a.
[q] Sic mss. meliores. βιούς τε τινας Ald. S.V. quod eodem redit.

48.
[a] τῆς τῇ δορπίης S. τῆς τε V.
[b] ἀδυμένῳ R.
[c] Sic M.K.P.F. probantibus Gronovio, Reizio, Schæfero, Schweighæusero. χοίρων Ald. R. a.c. probante Wesselingio. χαίρων S.V.
[d] Sic S.V.M.K.P.F. Paris. Vulgo ταὶ γ.
[e] ὁ αὐλὸς S.
[f] προσλεγόμενος S. pro ἱρὰς λεγόμενος.

Ægyptiaca, tum alia, tum Bacchi, a Cadmo accepta Græcos docuisse.

θέωνος τῆς θυσίης ταύτης οὐκ εἶναι ἀδαὴς, ἀλλ' ἔμπει-
2 ρος. Ἕλλησι γὰρ δὴ Μελάμπους ἐστὶ ὁ ἐξηγησάμενος
τοῦ Διονύσου [a] τό τε οὔνομα, καὶ τὴν θυσίην, καὶ τὴν
3 πομπὴν τοῦ φαλλοῦ. ἀτρεκέως μὲν οὐ πάντα συλλα-
βὼν τὸν λόγον ἔφηνε· ἀλλ' οἱ ἐπιγενόμενοι [b] τούτῳ σο-
4 φισταὶ μεζόνως ἐξέφηναν. τὸν δ' ὦν φαλλὸν τὸν τῷ
Διονύσῳ πεμπόμενον Μελάμπους ἐστὶ ὁ [c] κατηγησά-
μενος· καὶ ἀπὸ τούτου μαθόντες ποιεῦσι τὰ ποιεῦσι
5 Ἕλληνες. Ἐγὼ μέν νύν φημι Μελάμποδα γενόμενον
ἄνδρα σοφὸν, μαντικήν τε ἑωυτῷ συστῆσαι, καὶ πυθό-
μενον ἀπ' Αἰγύπτου, ἄλλα τε πολλὰ ἐσηγήσασθαι
Ἕλλησι, καὶ τὰ περὶ τὸν Διόνυσον, ὀλίγα [d] αὐτῶν παρ- 128
6 αλλάξαντα. οὐ γὰρ δὴ συμπεσέειν γε φήσω τά τε ἐν 66
Αἰγύπτῳ ποιεύμενα τῷ θεῷ, καὶ τὰ ἐν τοῖσι Ἕλλησι·
[e] ὁμότροπα γὰρ [f] ἂν ἦν τοῖσι Ἕλλησι, καὶ οὐ νεωστὶ
7 [g] ἐσαγμένα. [h] οὐ μὴν οὐδὲ φήσω ὅκως Αἰγύπτιοι παρ'
Ἑλλήνων ἔλαβον ἢ τοῦτο, ἢ ἄλλο κού τι νόμαιον. πυ-
θέσθαι δέ μοι δοκέει [i] μάλιστα Μελάμπους τὰ περὶ τὸν
Διόνυσον παρὰ Κάδμου [k] τε τοῦ [l] Τυρίου, καὶ τῶν σὺν
αὐτῷ ἐκ Φοινίκης ἀπικομένων ἐς τὴν νῦν Βοιωτίην καλεο-
μένην χώρην.

50

Græcorum Deos par-

Σχεδὸν δὲ καὶ [a] πάντα τὰ οὐνόματα τῶν θεῶν ἐξ Αἰγύπτου ἐλήλυθε ἐς τὴν Ἑλλάδα. διότι μὲν γὰρ ἐκ

49.

[a] Sic M.K.P.F. Al. cum S. om. τε. Vid. Plutarch. II. p. 857.

[b] τοῦτο d.

[c] Sic M.P.K.F. ἀπηγησάμενος S.a.c.b. Ald. ἐξηγ. d. Infra ἀπηγήσασθαι Ald.

[d] αὐτὸν S. Mox παραλλάξοντα F. Tum δὴ om. S. ubi συμπεσεῖ γε.

[e] ὁμήτροπα S.V. Supra τοῖς S. et mox.

[f] Sic M.K.P.F. Paris. ἂν om. S.V. Ald.

[g] Sic M.K.P.F.a.b. ἐσηγμένα R.c. ἐσηγημένα V.S.d. Ald.

[h] οὐ μὲν S.

[i] μάλιστα om. S.

[k] τοῦ τε F.

[l] Τύρεω S.V.

50.

[a] πάντων τῶν θεῶν τὰ οὐν. S.V. πάντων τὰ οὐν. τῶν θ. b.d.

τῶν βαρβάρων [b] ἥκει, πυνθανόμενος οὕτω εὑρίσκω ἐόν·
2 δοκέω δ' ὦν μάλιστα ἀπ' Αἰγύπτου ἀπῖχθαι. ὅτι γὰρ δὴ μὴ Ποσειδέωνος, καὶ Διοσκούρων, ὡς καὶ πρότερόν μοι ταῦτα εἴρηται, καὶ Ἥρης, καὶ Ἱστίης, καὶ [c] Θέμιος, καὶ Χαρίτων, καὶ [d] Νηρηΐδων, [e] τῶν ἄλλων θεῶν Αἰγυπτίοισι αἰεί κοτε τὰ οὐνόματά [f] ἐστι ἐν τῇ χώρῃ.
3 [g] λέγω δὴ τὰ λέγουσι αὐτοὶ Αἰγύπτιοι. τῶν δὲ οὔ φασι θεῶν γινώσκειν τὰ οὐνόματα, οὗτοι δέ μοι δοκέουσι ὑπὸ Πελασγῶν ὀνομασθῆναι, πλὴν Ποσειδέωνος. τοῦτον δὲ
4 τὸν θεὸν παρὰ Λιβύων ἐπύθοντο. [h] οὐδαμοὶ γὰρ ἀπ' ἀρχῆς Ποσειδέωνος [i] οὔνομα [k] ἔκτηνται, εἰ μὴ Λίβυες· καὶ τιμέωσι τὸν θεὸν [l] τοῦτον αἰεί. νομίζουσι δ' ὦν Αἰγύπτιοι
51 I [m] οὐδ' ἥρωσι οὐδέν. Ταῦτα μέν νυν, καὶ ἄλλα πρὸς τούτοισι τὰ ἐγὼ φράσω, Ἕλληνες [a] ἀπ' Αἰγυπτίων νενομίκασι. τοῦ δὲ Ἑρμέω τὰ ἀγάλματα ὀρθὰ ἔχειν τὰ αἰδοῖα ποιεῦντες, οὐκ ἀπ' Αἰγυπτίων μεμαθήκασι, ἀλλ' ἀπὸ Πελασγῶν· πρῶτοι μὲν Ἑλλήνων ἁπάντων Ἀθη-
2 ναῖοι παραλαβόντες, παρὰ δὲ τούτων ὦλλοι. Ἀθηναίοισι [b] γάρ, ἤδη τηνικαῦτα ἐς Ἕλληνας τελέουσι, Πελασγοὶ σύνοικοι ἐγένοντο ἐν τῇ χώρῃ· ὅθεν περ καὶ Ἑλ-

tim ab Ægyptiis, partim a Pelasgis; Neptunum ab Afris esse: Heroibus non uti Ægyptios.

Mercurii statuas quales facere Græci a quibus didicerint: Pelasgos cum Atheniensibus habitasse, prius autem Samothraciam incoluisse, ibique Ca-

[b] ἧκε S.
[c] Θέμιδος P.K.F.
[d] Νηριΐδων K.
[e] Sic M.K.P.F. Paris. καὶ τῶν ἄλλων edd. vett. S.
[f] εἰσὶν S.
[g] λέγω δὲ F.c.
[h] οὐδαμοὶ K.M.P.F. Paris. Al. οὐδαμῇ cum S.
[i] ὄνομα F.
[k] κέκτηνται S.P.K.F. pr. Mox τιμῶσι S.
[l] τοῦτον εἶναι K.
[m] οὐ δὴ δρῶσιν S.V. Vall.

51.
[a] ὑπ' c. Paulo infr. ποιεῦνται S.
[b] Sic M.K.P.F.b.c. γὰρ δὴ Ald. a.d. nec δὴ nec ἤδη agnoscunt S.V. Schweighæuserus: "Differunt sane δὴ et ἤδη. Si δὴ "hic legas, significabitur de-"siisse deinde Athenienses in "Hellenum numero censeri; "quod falsum. Sin ἤδη, signifi-"cabitur fuisse olim tempus quo "nondum in Hellenum nume-"ro sint habiti; id quod Hero-"dotus tradidit I. 57."

birorum sacra instituisse.

3 ληνες [c] ἤρξαντο νομισθῆναι. ὅστις δὲ τὰ Καβείρων ὄργια
μεμύηται, τὰ Σαμοθρηΐκες ἐπιτελέουσι [d] παραλαβόντες
4 παρὰ Πελασγῶν, οὗτος ὡνὴρ οἶδε [e] τὸ λέγω. τὴν γὰρ
[f] Σαμοθρηΐκην οἴκεον πρότερον Πελασγοὶ οὗτοι, [g] τοί περ
Ἀθηναίοισι σύνοικοι ἐγένοντο, καὶ [h] παρὰ τούτων Σαμο-
5 θρηΐκες τὰ ὄργια παραλαμβάνουσι. ὀρθὰ ὦν ἔχειν τὰ 129
αἰδοῖα τἀγάλματα τοῦ Ἑρμέω, Ἀθηναῖοι πρῶτοι Ἑλ-
6 λήνων, [i] μαθόντες παρὰ Πελασγῶν, ἐποιήσαντο. οἱ δὲ
Πελασγοὶ ἱρόν τινα λόγον περὶ αὐτοῦ ἔλεξαν, τὰ ἐν τοῖσι
52 [k] ἐν Σαμοθρηΐκῃ μυστηρίοισι δεδήλωται. Ἔθυον [a] δὲ πάν-
τα πρότερον οἱ Πελασγοὶ θεοῖσι ἐπευχόμενοι, ὡς ἐγὼ ἐν
Δωδώνῃ οἶδα ἀκούσας· ἐπωνυμίην δὲ οὐδ᾽ οὔνομα [b] ἐποι-
2 εῦντο οὐδενὶ αὐτῶν· οὐ γὰρ [c] ἀκηκόεσάν κω. θεοὺς δὲ
προσωνόμασάν σφεας ἀπὸ τοῦ τοιούτου, ὅτι [d] κόσμῳ
θέντες τὰ πάντα πρήγματα καὶ πάσας νομὰς εἶχον.
[e] ἔπειτεν δὲ, χρόνου πολλοῦ [f] διεξελθόντος, ἐπύθοντο ἐκ
τῆς Αἰγύπτου [g] ἀπικόμενα τὰ οὐνόματα τῶν θεῶν τῶν
3 ἄλλων, Διονύσου δὲ ὕστερον πολλῷ ἐπύθοντο. καὶ μετὰ
χρόνον ἐχρηστηριάζοντο περὶ τῶν οὐνομάτων ἐν Δωδώνῃ·
τὸ γὰρ δὴ μαντήϊον τοῦτο [h] νενόμισται ἀρχαιότατον τῶν

Caruisse Pelasgorum Deos nominibus: ea post ex Ægypto allata, oraculi Dodonæi solius tum in Græcia monitu illis indita esse.

[c] Ἕλληνες ἐσήρξαντο F.
[d] Sic M.K.S.P.F.a.b.d. Vulgo λαβόντες.
[e] τὸ λέγω M.K.S.P.F.a.b.d. τὰ λ. al.
[f] Σαμοθρήκην V.S.K.
[g] Sic Ald. R.V. οἵπερ M.S.K. P.F.a.
[h] παρὰ τούτων τὰ ὄργια τοῦ Ἑρμέω, Ἀθηναῖοι mediis omissis F.
[i] Sic P.S.K.V.F. παρὰ Π. μ. vulg.
[k] ἐν om. V.S. Ald.

52.

[a] Sic M.P.S.V.F. Paris. Vulg. δὲ καὶ π.
[b] ποιεῦντο F. qui mox cum S. αὐτῶν. non αὐτέων.
[c] ἀκηκόασιν ἂν κόθεν, οὓς δὲ S.V. Vall.
[d] κοσμωθέντες S.V. cf. Eustath. Il. α΄. p. 19, 2=14, 45.
[e] Sic Reizius. ἐπεί τε δὲ P.M. K. Gronov. Wessel. ἔπειτα δὲ Ald. et al. cum S. ἔπειτε δὲ F.
[f] Sic M.P.F. al. διελθόντος S. a.c. Ald.
[g] Sic M.P.F. ἀπηγμένα Ald. S.V.R. ἀπιγμένα a.b.c.
[h] νενόμισται P.M.K.S.F. Paris. νενόμιστο Ald. al.

ἐν Ἕλλησι χρηστηρίων εἶναι, καὶ ἦν τὸν χρόνον τοῦτον
4 μοῦνον. [i] ἐπεὶ ὦν ἐχρηστηριάζοντο ἐν τῇ Δωδώνῃ οἱ Πε-
λασγοὶ " εἰ ἀνέλωνται τὰ οὐνόματα [k] τὰ ἀπὸ τῶν βαρ-
5 " βάρων ἥκοντα·" ἀνεῖλε τὸ μαντήϊον " χρᾶσθαι." ἀπὸ
μὲν δὴ τούτου τοῦ χρόνου ἔθυον, τοῖσι οὐνόμασι τῶν θεῶν
χρεώμενοι. παρὰ δὲ Πελασγῶν Ἕλληνες [l] ἐξεδέξαντο
ὕστερον.

53 [a] Ἔνθεν δὲ [b] ἐγένετο ἕκαστος τῶν θεῶν, εἴ τε
[c] δ' αἰεὶ ἦσαν πάντες, ὁκοῖοί τέ τινες τὰ εἴδεα, οὐκ ἠπι-
στέατο μέχρι οὗ [d] πρώην τε καὶ χθὲς, ὡς εἰπεῖν λόγῳ.
2 Ἡσίοδον γὰρ καὶ Ὅμηρον ἡλικίην τετρακοσίοισι ἔτεσι
3 δοκέω μευ πρεσβυτέρους γενέσθαι, καὶ οὐ πλέοσι. οὗτοι
δέ εἰσι οἱ ποιήσαντες [e] θεογονίην Ἕλλησι, καὶ τοῖσι
θεοῖσι τὰς ἐπωνυμίας δόντες, καὶ τιμάς τε καὶ τέχνας
4 διελόντες, καὶ εἴδεα αὐτῶν σημήναντες. οἱ δὲ [f] πρότερον
ποιηταὶ λεγόμενοι τούτων τῶν ἀνδρῶν γενέσθαι, ὕστερον,
5 [g] ἐμοί γε δοκέειν, ἐγένοντο [h] τούτων. καὶ τὰ μὲν πρῶτα
αἱ Δωδωνίδες [i] ἱρήϊαι λέγουσι· [k] τὰ δὲ ὕστερα, τὰ ἐς
Ἡσίοδόν τε καὶ Ὅμηρον ἔχοντα, ἐγὼ λέγω.

Theogoniæ conditorum Hesiodi et Homeri quam recens ætas: quibus qui poetæ priores habeantur, eos illis posteriores fuisse.

130

54 Χρηστηρίων δὲ πέρι, [a] τοῦ τε [b] ἐν Ἕλλησι, καὶ τοῦ ἐν
2 Λιβύῃ, τόνδε Αἰγύπτιοι λόγον λέγουσι. ἔφασαν οἱ ἱρέες
τοῦ Θηβαιέος Διὸς " δύο γυναῖκας [c] ἱρηΐας ἐκ [d] Θηβέων

Narrationes de origine duorum Jovis oraculorum,

[i] ἐπεὶ γοῦν c. ἐπεὶ οὖν S.
[k] τὰ om. S.
[l] Sic M.K.R.F. Paris. ἐδέξαντο al. cum S.

53.

[a] Sic M.P.F.a.b.c. ὅθεν δὲ Ald. S.V.R.
[b] ἐγένοντο K.S.
[c] Sic F. δ' ἀεὶ M.K.P. δὲ om. a.c.d.S.
[d] Sic Ald. S.R.V. Paris. πρίν τε κ. χθ. M.P. Sequentia citant Athenagor. Apol. c. 14. Cyrillus c. Julian. III. p. 76.
[e] θεολογίην d.
[f] πρότεροι V. Ald.
[g] ἐμοί γε (vel ἔμοιγε) δοκέειν M.K.F.b.d. ἐμοὶ δοκέειν Ald. a.c. ἐμοὶ δοκέει S.
[h] τούτων. τὰ F.d.S.
[i] ἱέρειαι F.
[k] τὰ δὲ ὕστερα M.P.F.b.c.d. τὰ δὲ ὕστερον a. et al. τὸ δὲ ὕστερον S.

54.

[a] Sic M.K.S.P.F.a. Vulg. τῶν τε.
[b] ἐν om. M. Mox θηβάεος S.
[c] ἱέρειαι K.P. teste Wessel. qui probabiliter tamen cum F. præbent ἱερείας.
[d] Sic Wessel. Libri Θηβαίων.

Dodonæi et Ammonis, instituto-rum circiter a. 1980.

" ἐξαχθῆναι ὑπὸ Φοινίκων· καὶ τὴν μὲν [e] αὐτέων πυ-
" θέσθαι ἐς Λιβύην πρηθεῖσαν, τὴν δὲ ἐς τοὺς Ἕλληνας·
" ταύτας δὲ τὰς γυναῖκας [f] εἶναι τὰς ἱδρυσαμένας τὰ
3 " μαντήϊα πρώτας ἐν τοῖσι εἰρημένοισι ἔθνεσι." [g] Εἰρο-
μένου δέ μευ, ὁκόθεν οὕτω ἀτρεκέως ἐπιστάμενοι λέγου-
σι, ἔφασαν πρὸς ταῦτα, " ζήτησιν μεγάλην ἀπὸ σφέων
" γενέσθαι τῶν γυναικῶν τουτέων· καὶ ἀνευρεῖν μέν σφε-
" ας οὐ δυνατοὶ γενέσθαι· πυθέσθαι δὲ ὕστερον ταῦτα
55 " περὶ αὐτέων τάπερ δὴ ἔλεγον." Ταῦτα μέν νυν τῶν
ἐν Θήβῃσι ἱρέων ἤκουον· [a] τάδε δὲ [b] Δωδωναίων φασὶ αἱ
προμάντιες· " Δύο πελειάδας μελαίνας ἐκ [c] Θηβέων
" τῶν [d] Αἰγυπτιέων [e] ἀναπταμένας, τὴν μὲν [f] αὐτέων ἐς
2 " Λιβύην, τὴν δὲ παρὰ σφέας ἀπικέσθαι. ἱζομένην δέ
" μιν ἐπὶ φηγὸν, αὐδάξασθαι φωνῇ [g] ἀνθρωπηΐῃ, ὡς
3 " χρεὼν εἴη μαντήϊον αὐτόθι Διὸς γενέσθαι. καὶ αὐτοὺς
" [h] ὑπολαβεῖν θεῖον εἶναι τὸ ἐπαγγελλόμενον αὐτοῖσι,
4 " καί σφεας ἐκ τούτου ποιῆσαι. τὴν δὲ ἐς τοὺς Λίβυας
" οἰχομένην πελειάδα λέγουσι Ἄμμωνος χρηστήριον
5 " κελεῦσαι τοὺς Λίβυας ποιέειν." ἔστι δὲ καὶ τοῦτο
Διός. [i] Δωδωναίων δὲ αἱ ἱρήϊαι, τῶν τῇ πρεσβυτάτῃ οὔ-
νομα ἦν Προμένεια, τῇ δὲ [k] μετὰ ταύτην, Τιμαρέτη, τῇ δὲ

[e] αὐτῶν F. male.
[f] εἶναι om. F.
[g] εἰρημένου S.

55.

[a] Sic M.K.P.c.b. τὰ δὲ a.d.S. vulg. τὰ δὲ F.
[b] Δωδωνέων S.V. tamquam ex Δωδῶναι apud Steph. Byz. Wess.
[c] Θηβαέων S.V. Θηβαίων F. Ald.
[d] Αἰγυπτιέων S.V.P.K.F. Αἰγυπτίων vulgo. cf. Theon. Progymn. p. 90.
[e] ἀναπταμένας Ald. S.V.R. Paris. Eustath. Od. p. 1760, 50 = 545, 9. ἀναπτομένας M.P.K.F. cf. Brunck. Aristoph. Av. 48. Hunc locum respicit Servius ad Virgil. Eclog. IX. 13.
[f] αὐτῶν F. sed αὐτέων infr. 56.
[g] ἀνθρωπηΐῃ K.P.F. al. ἀνθρωπίνῃ Ald. Eustath. ἀνθρωπείῃ a. ἀνθρωπίῃ S.
[h] ὑπολαβέειν Borheckius.
[i] Δωδονέων S. et mox ἱρήιαι sine αἱ. αἱ ἱέρειαι F.
[k] Sic M.P.F. μετ' αὐτὴν Eustath. S.V.R. Paris. Ald. μετὰ αὐτὴν Wessel.

6 νεωτάτη, Νικάνδρη, ἔλεγον ταῦτα. συνωμολόγεον δέ σφι
56 καὶ [1] οἱ ἄλλοι Δωδωναῖοι οἱ περὶ τὸ ἱρόν. Ἐγὼ δ' ἔχω
περὶ αὐτέων γνώμην τήνδε. εἰ ἀληθέως οἱ Φοίνικες ἐξ-
ήγαγον τὰς ἱρὰς γυναῖκας, καὶ τὴν μὲν αὐτέων ἐς Λι-
βύην, τὴν δὲ ἐς τὴν Ἑλλάδα ἀπέδοντο, [a] δοκέει ἐμοὶ ἡ
γυνὴ αὕτη τῆς νῦν Ἑλλάδος, πρότερον δὲ Πελασγίης
καλευμένης τῆς αὐτῆς ταύτης, [b] πρηθῆναι ἐς Θεσπρω-
τούς· ἔπειτα [c] δουλεύουσα αὐτόθι, ἱδρύσασθαι ὑπὸ φηγῷ
πεφυκυίῃ Διὸς ἱρόν· ὥσπερ ἦν οἰκὸς, [d] ἀμφιπολεύουσαν
ἐν Θήβῃσι ἱρὸν Διὸς, [e] ἔνθα ἀπίκετο, ἐνθαῦτα μνήμην
2 αὐτοῦ ἔχειν. ἐκ δὲ τούτου, χρηστήριον κατηγήσατο, ἐπεί
3 τε συνέλαβε τὴν Ἑλλάδα γλῶσσαν. φάναι δέ οἱ ἀδελ-
φεὴν ἐν Λιβύῃ πεπρῆσθαι ὑπὸ τῶν αὐτῶν Φοινίκων, ὑπ'
57 ὧν καὶ αὐτὴ ἐπρήθη. Πελειάδες δέ μοι δοκέουσι κλη-
θῆναι πρὸς Δωδωναίων ἐπὶ τοῦδε αἱ γυναῖκες, διότι βάρ-
βαροι ἦσαν· [a] ἐδόκεον δέ σφι [b] ὁμοίως ὄρνισι φθέγγεσθαι.
2 μετὰ δὲ χρόνον τὴν πελειάδα [c] ἀνθρωπηΐῃ φωνῇ αὐδά-
ξασθαι λέγουσι, ἐπεί τε [d] συνετά σφι [e] ηὔδα ἡ γυνή· ἕως
δὲ ἐβαρβάριζε, [f] ὄρνιθος τρόπον ἐδόκεέ σφι φθέγγεσθαι.

131 Herodoti ea de re opinio: Græcia, olim Pelasgia.

Columbas a Dodonæis mulieres barbaras dictas videri.

[1] Sic M.P.K.F. et al. οἱ om. S.c. et al. et mox οἱ om. S.

56.

[a] δοκέει ἐμοὶ S.V.b.d. probante Wesselingio et citante Reitz. ad Lucian. Astrol. 9. Abresch. Dil. Thuc. p. 5. δοκέειν ἐμοὶ F.a.c. al.

[b] προσθῆναι R. Mox εἰκὸς S. Ald.

[c] δουλεύουσαν V.S. δουλεύσασα K.

[d] ἀμφιπολεύουσαν M.V.S.K.P. F. ἀμφιπολεῦσαν c. Ald. Schæfer.

[e] Sic mss. plerique. ἐνθάδ' M. quod perperam amplexus est Gronovius.

57.

[a] ἐδόκεον Eustath. S.V.K.P.F. Schol. Sophocl. Trach. 176. ἐδόκεε M.a.c. Ald. Conf. de hoc loco Valckenær. ad Eurip. Phoen. 1475. Sallier Acad. Inscr. V. Hist. p. 35.

[b] ὅμοια V.b.d. Wessel. ὁμοῖα probat Schweigh. Alii omnes ὁμοίως cum Eustath. et Schol. Sophocl. ed. vet. nam mutavit Brunck. Conf. Hemsterhus. ad Lucian. Somn. c. 2. Infra III. 8. 35. 57. VII. 120.

[c] Sic M.K.P.F. ἀνθρωπίῃ S.V. ἀνθρωπείῃ a. ἀνθρωπίνῃ vulgo.

[d] Sic F. Vulgo τὰ συνετά.

[e] αὖδα F.

[f] Sic P.S.V.K.F. Vulgo ἐδόκ. σφι ὄρν. τρ.

3 ἐπεὶ τέῳ τρόπῳ ἂν [g] πελειάς γε ἀνθρωπηΐῃ φωνῇ φθέγ-
ξαιτο; μέλαιναν δὲ λέγοντες εἶναι τὴν πελειάδα, σημαί-
4 νουσι ὅτι Αἰγυπτίη ἡ γυνὴ ἦν. Ἡ δὲ μαντηΐη ἥ τε ἐν
Θήβῃσι [h] τῇσι Αἰγυπτίῃσι καὶ ἐν Δωδώνῃ, παραπλήσιαι
ἀλλήλῃσι τυγχάνουσι ἐοῦσαι. Ἔστι δὲ καὶ τῶν [i] ἱρῶν ἡ
μαντικὴ ἀπ' Αἰγύπτου [k] ἀπιγμένη.

58 Extispicium, conventus, pompas, et victimarum adducendarum ritus, Ægyptios primos instituisse.

[a] Πανηγύρις δὲ ἄρα καὶ πομπὰς καὶ προσαγωγὰς
πρῶτοι ἀνθρώπων Αἰγύπτιοί εἰσι οἱ ποιησάμενοι· καὶ
2 παρὰ τούτων Ἕλληνες μεμαθήκασι. τεκμήριον δέ μοι
τούτου, τόδε· αἱ μὲν γὰρ φαίνονται ἐκ [b] πολλοῦ τευ
χρόνου ποιεύμεναι· αἱ δὲ Ἑλληνικαὶ νεωστὶ ἐποιήθησαν.

59 Quibus in urbibus quorum Deorum honori conventus celebrentur: Isis eadem quæ Ceres.

Πανηγυρίζουσι δὲ Αἰγύπτιοι οὐκ ἅπαξ τοῦ ἐνιαυτοῦ,
2 [a] πανηγύρις δὲ συχνάς. μάλιστα μὲν καὶ προθυμότατα
3 [b] ἐς Βούβαστιν πόλιν, τῇ Ἀρτέμιδι. δεύτερα ἐς Βούσιριν 132
πόλιν, τῇ Ἴσι· ἐν ταύτῃ γὰρ δὴ τῇ [c] πόλι ἐστὶ μέγι-
4 στον Ἴσιος ἱρόν. ἵδρυται δὲ ἡ πόλις αὕτη τῆς Αἰγύπτου
5 ἐν μέσῳ [d] τῷ Δέλτα. Ἶσις δέ ἐστι κατὰ τὴν Ἑλλήνων
γλῶσσαν Δημήτηρ. τρίτα δ' ἐς Σάϊν πόλιν τῇ Ἀθηναίῃ
πανηγυρίζουσι· τέταρτα δὲ, ἐς Ἡλιούπολιν τῷ Ἡλίῳ·
πέμπτα δὲ, ἐς Βουτοῦν πόλιν τῇ Λητοῖ· ἕκτα δὲ, ἐς

60 [e] Πάπρημιν πόλιν τῷ [f] Ἄρεϊ. Ἐς μέν νυν [a] Βούβαστιν

[g] γε om. a.S. ubi ἀνθρωπίη. ἀνθρωπίνῃ absque γε Ald.
[h] τοῖσι Αἰγυπτίοισι V.
[i] ἱρῶν R. Ald. Paris. V.S. ἱρέων P.M.K.F. Supra ἔστι δὴ S.
[k] ἀπηγμένη S.V. cf. c. 52.

58.

[a] πανηγύρις K. πανηγύρεις M.F. πανηγύριας a.S. al. cf. Plutarch. II. p. 857. Mox Αἰγύπτιοι om. S. et paulo post τοῦδε pro τούτου.
[b] πολλοῦ τοῦ χρ. F. πολλοῦ τε d.

59.

[a] Sic M.K. πανηγύρεις F. πανηγύριας S.a. Ald. al.
[b] τὰ ἐς Βούβαστιν τὴν S.V. ἐς Βούβαστον M.K.F. Receptam tuetur Steph. Byz. v. Βούβαστος. cf. II. 67. 137.
[c] πόλι K. πόλει F.S. πόλεϊ al.
[d] τῷ δέλτα. S.V.P.F.a.b.c.d. cf. 17. τοῦ δέλτα edd.
[e] Πατρῆμιν S. Πρήμην V. Πάμπρημιν F. Πρῆμιν b.d. cf. c. 71.
[f] Ἄρη F.

60.

[a] Βούβαστον M.K.P.F.

2 [b]πόλιν ἐπεὰν κομίζωνται, ποιεῦσι [c]τοιάδε. πλέουσί τε
γὰρ δὴ ἅμα ἄνδρες γυναιξὶ, καὶ πολλόν τι πλῆθος
3 ἑκατέρων ἐν ἑκάστῃ βάρι. αἱ μέν τινες τῶν γυναικῶν
κρόταλα ἔχουσαι κροταλίζουσι, οἱ δὲ αὐλέουσι, κατὰ
πάντα τὸν πλόον· αἱ δὲ λοιπαὶ γυναῖκες καὶ ἄνδρες
4 ἀείδουσι, καὶ τὰς χεῖρας κροτέουσι. ἐπεὰν δὲ πλέοντες
κατά τινα πόλιν ἄλλην γένωνται, [d]ἐγχρίψαντες τὴν
5 βάριν τῇ γῇ, [e]ποιεῦσι τοιάδε. αἱ μέν τινες τῶν γυναικῶν
ποιεῦσι τάπερ εἴρηκα· αἱ δὲ τωθάζουσι, βοῶσαι, τὰς ἐν
τῇ [f]πόλει ταύτῃ γυναῖκας· αἱ δ' ὀρχέονται· αἱ δ' ἀνα
6 σύρονται ἀνιστάμεναι. ταῦτα παρὰ πᾶσαν πόλιν παρα-
ποταμίην ποιεῦσι. ἐπεὰν δὲ ἀπίκωνται ἐς τὴν [g]Βού-
βαστιν, [h]ὁρτάζουσι, μεγάλας ἀνάγοντες θυσίας· καὶ
οἶνος ἀμπέλινος ἀναισιμοῦται [i]πλέον ἐν τῇ ὁρτῇ ταύτῃ
7 ἢ ἐν τῷ ἅπαντι ἐνιαυτῷ [k]τῷ ἐπιλοίπῳ. [l]συμφοιτέωσι
δὲ, ὅ τι ἀνὴρ καὶ γυνή ἐστι, πλὴν παιδίων, καὶ ἐς ἑβδο-
μήκοντα μυριάδας, ὡς οἱ ἐπιχώριοι λέγουσι. ταῦτα μὲν
61 δὴ ταύτῃ ποιέεται. Ἐν δὲ Βουσίρι [a]πόλι ὡς ἀνάγουσι
2 τῇ Ἴσι τὴν ὁρτὴν, εἴρηται πρότερόν μοι. τύπτονται [b]μὲν
γὰρ δὴ μετὰ τὴν θυσίην πάντες καὶ πᾶσαι, μυριάδες
κάρτα πολλαὶ ἀνθρώπων. [c]τὸν δὲ τύπτονται, οὔ μοι
3 ὅσιόν ἐστι λέγειν. ὅσοι δὲ Καρῶν εἰσὶ ἐν Αἰγύπτῳ οἰ-
κέοντες, οὗτοι δὲ τοσούτῳ ἔτι [d]πλέω [e]ποιεῦσι τούτων, ὅσῳ

Dianæ festum Bubastiticum.

Festum Isidos Busiriticum: [2, 40] quidnam indicio sit, Cares qui Ægyptum incolant, hospites esse.

[b] πόλιν om. S. edd. vett. Dederunt M.P.K.F.
[c] τοιάδε M.S.K.P.V.F. et sic infra. τάδε Ald. a.d. Mox καὶ om. S.
[d] Sic S. Gloss. Suid. cf. III. 85. IX. 98. Alii ἐγχρίμψαντες.
[e] ποιέουσι M. Tum τάδε Ald.
[f] πόλεϊ Ald.
[g] Βούβαστον M.K.F.
[h] ἑορτάζουσι M.K.
[i] πλέων F. e corr. Schæfer.
[k] τῷ om. F.
[l] Sic F. et al. συμφοιτῶσι S. V.K.P.

61.

[a] πόλει F.S.
[b] Sic M.K.P.F. μὲν om. S.a. c. Ald. Athenagoras Leg. c. 25.
[c] Sic M.K.P.F.a.c. τὸ ᾧ δὲ S.V. τῷ δὲ Ald. b. al. τὸν δὲ τύπτονται τρόπον Athenagoras.
[d] πλέον F.
[e] ποιέουσι V.S.a. Mox ξένοι S.

καὶ τὰ μέτωπα κόπτονται μαχαίρῃσι· καὶ τούτῳ εἰσὶ
62 δῆλοι ὅτι εἰσὶ ξεῖνοι καὶ οὐκ Αἰγύπτιοι. Ἐς Σάϊν δὲ
πόλιν ἐπεὰν [a] συλλεχθέωσι [b] τῇσι θυσίῃσι, [c] ἔν τινι νυκτὶ
[d] λύχνα καίουσι πάντες πολλὰ ὑπαίθρια περὶ τὰ δώ- 133
ματα κύκλῳ. τὰ δὲ λύχνα ἐστὶ ἐμβάφια ἔμπλεα ἁλὸς
καὶ ἐλαίου· [e] ἐπιπολῆς δὲ ἔπεστι αὐτὸ τὸ ἐλλύχνιον.
2 καὶ τοῦτο καίεται παννύχιον· καὶ τῇ ὁρτῇ οὔνομα κέεται
3 [f] Λυχνοκαΐη. οἳ δ' ἂν μὴ ἔλθωσι τῶν Αἰγυπτίων ἐς τὴν
πανήγυριν ταύτην, φυλάσσοντες τὴν νύκτα τῆς θυσίης,
καίουσι καὶ αὐτοὶ πάντες τὰ λύχνα· καὶ οὕτω οὐκ ἐν
Σάϊ μούνῃ καίεται, ἀλλὰ καὶ ἀνὰ πᾶσαν Αἴγυπτον.
4 [g] ὅτευ δὲ [h] εἵνεκα φῶς ἔλαχε καὶ τιμὴν ἡ νὺξ αὕτη, ἔστι
63 ἱρὸς περὶ αὐτοῦ λόγος λεγόμενος. Ἐς δὲ [a] Ἡλίου πόλιν
καὶ Βουτοῦν θυσίας μούνας ἐπιτελέουσι φοιτέοντες. ἐν δὲ
[b] Παπρήμι θυσίας μὲν καὶ ἱρά, κατάπερ καὶ τῇ ἄλλῃ,
2 [c] ποιεῦσι. εὖτ' ἂν [d] δὲ γίνηται καταφερὴς ὁ ἥλιος, ὀλίγοι
μέν τινες τῶν ἱρέων περὶ τὤγαλμα πεπονέαται· οἱ δὲ
πολλοὶ αὐτῶν, [e] ξύλων κορύνας ἔχοντες, ἑστᾶσι τοῦ ἱροῦ
ἐν τῇ ἐσόδῳ· [f] ἄλλοι δὲ εὐχωλὰς [g] ἐπιτελέοντες, πλεῦ-
νες χιλίων ἀνδρῶν, [h] ἕκαστοι ἔχοντες ξύλα καὶ οὗτοι, ἐπὶ

Minervæ festum Saiticum nocturnum, lucernis per totam Ægyptum accensis.

Festum Solis Heliopolitanum; Latonæ, Butoiticum; Martis, Paprerniticum, in quo lignis convulnerant sibi mutuo capita.

62.

[a] συλλεχθέωσι M.P.K.F. Paris. cf. VI. 58. Alii συλλεχθῶσι cum S.

[b] Fors. τῆς θυσίης ἔν τινι νυκτί. Schweigh.

[c] Sic M.K.P.F. ἐν τῇ ν. a.c. d.S. Ald.

[d] Hinc Pollux X. 115. Athen. XV. p. 701. Hesych. in v. Wess.

[e] ἐπὶ πολλῆς S.V.

[f] Quasi dicas, *Candlemas*. conf. Pollux VII. 178.

[g] ὅτου F.

[h] Sic F. ἕνεκα vulgo cum S.

63.

[a] Sic M.K.P.F.a. Ἡλίου τε π. S.c. et vulgo. Mox φοιτῶντες S.

[b] Sic M.P.K.F.a. Πατρήμι S. V.c. Παπρῆμι b.

[c] Sic M. et al. Vulgo ποιέουσι cum S.

[d] δὲ Ald. et al. δὴ M.K.F.

[e] Sic M.P.K.F. ἐκ ξύλων S.V. R.a.c. Ald. αὐτῶν M.P.K.F. pro αὐτέων, quod retinet S.

[f] ἄλλοι τε F.

[g] ἀποτελέοντες S.V.

[h] ἕκαστος Steph. marg.

3 τὰ ἕτερα [i] ἀλέες ἑστᾶσι. τὸ δὲ ἄγαλμα, ἐὸν ἐν νηῷ μι-
κρῷ ξυλίνῳ κατακεχρυσωμένῳ, προεκκομίζουσι τῇ [k] προ-
4 τεραίῃ ἐς ἄλλο οἴκημα ἱρόν. οἱ μὲν δὴ ὀλίγοι οἱ περὶ
τὤγαλμα λελειμμένοι, ἕλκουσι τετράκυκλον ἅμαξαν,
ἄγουσαν τὸν νηόν τε καὶ [l] τὸ ἐν τῷ νηῷ ἐνεὸν ἄγαλμα.
5 οἱ δὲ οὐκ ἐῶσι, ἐν τοῖσι προπυλαίοισι ἑστεῶτες, [m] ἐσιέ-
ναι· οἱ δὲ εὐχωλιμαῖοι, τιμωρέοντες τῷ θεῷ, παίουσι
6 αὐτοὺς [n] ἀλεξόμενοι. ἐνθαῦτα μάχη ξύλοισι καρτερὴ γί-
νεται· κεφαλάς τε συναράσσονται, καὶ ὡς ἐγὼ δοκέω,
πολλοὶ καὶ ἀποθνήσκουσι ἐκ τῶν τρωμάτων· [o] οὐ μέντοι
64 οἵ γε Αἰγύπτιοι ἔφασαν ἀποθνήσκειν οὐδένα. Τὴν δὲ
πανήγυριν ταύτην ἐκ τοῦδε νομίσαι φασὶ οἱ ἐπιχώριοι.
οἰκέειν ἐν τῷ ἱρῷ τούτῳ τοῦ Ἄρεος τὴν μητέρα· καὶ τὸν
Ἄρεα ἀπότροφον γενόμενον, [a] ἐλθεῖν ἐξανδρωμένον, ἐθέλον-
τα τῇ [b] μητρὶ συμμῖξαι· καὶ [c] τοὺς προπόλους τῆς μη-
τρὸς, οἷα οὐκ ὀπωπότας αὐτὸν πρότερον, οὐ περιορᾷν παρ-
ιέναι, ἀλλ' ἀπερύκειν· τὸν δ' ἐξ ἄλλης πόλιος ἀγαγό-
μενον ἀνθρώπους, τούς τε προπόλους τρηχέως περισπεῖν,
2 καὶ ἐσελθεῖν παρὰ τὴν μητέρα. ἀπὸ τούτου τῷ Ἀρεϊ
ταύτην τὴν πληγὴν ἐν τῇ ὁρτῇ νενομικέναι φασί.
3 Καὶ τὸ μὴ μίσγεσθαι γυναιξὶ ἐν ἱροῖσι, μηδὲ ἀλού-
τους ἀπὸ γυναικῶν ἐς ἱρὰ ἐσιέναι, οὗτοί εἰσι οἱ πρῶτοι
4 θρησκεύσαντες. οἱ μὲν γὰρ ἄλλοι σχεδὸν πάντες ἄν-
θρωποι, πλὴν Αἰγυπτίων καὶ Ἑλλήνων, μίσγονται ἐν

Ejus consuetudinis origo: Ægyptiorum et Græcorum in adeundis templis castitas.
134

[i] Citat Eustath. Il. p. 179, 20 =135, 52. deest v. F.
[k] προτέρῃ S.V.
[l] τὸ om. S.
[m] προσιέναι S.
[n] ἀλεξομένους S.V. probante Wesselingio. Hoc recepit Schæferus. cf. I. 211.
[o] Sic K.S.V.P.F. Paris. οὐ μέντοι γε οἵ τε Ald. al. Valckenærius citat I. 51. 80. II. 81. 83.

64.

[a] ἐλθεῖν ἐξανδ. Habet M. in marg.
[b] Sic K.P.F. Paris. ματρὶ—ματρὸς vulgo. μρι—μρς S.
[c] Sic M.K.R.P.V. Gloss. Suid. προσπόλους S. Ald. et al. προπόλλους καὶ τῆς F.

ἱροῖσι· καὶ ἀπὸ γυναικῶν [d] ἀνιστάμενοι, ἄλουτοι ἐσέρχονται ἐς ἱρόν· νομίζοντες ἀνθρώπους εἶναι κατάπερ τὰ
5 ἄλλα κτήνεα. καὶ γὰρ [e] τὰ ἄλλα κτήνεα ὁρᾶν καὶ ὀρνίθων [f] γένεα ὀχευόμενα ἔν τε τοῖσι νηοῖσι τῶν θεῶν καὶ
6 ἐν τοῖσι [g] τεμένεσι. [h] εἰ ὦν εἶναι τῷ θεῷ τοῦτο μὴ φίλον, οὐκ ἂν οὐδὲ τὰ κτήνεα ποιέειν. οὗτοι μέν νυν τοιαῦτα
7 [i] ἐπιλέγοντες, ποιεῦσι ἐμοί γε οὐκ ἀρεστά. Αἰγύπτιοι δὲ θρησκεύουσι περισσῶς τά τε ἄλλα περὶ τὰ ἱρὰ, καὶ δὴ καὶ τάδε.

65 Bestiarum cultus apud Ægyptios: necis earum pœna mors.

Ἐοῦσα δὲ Αἴγυπτος ὅμουρος τῇ Λιβύῃ, οὐ μάλα θη-
2 ριώδης ἐστί. τὰ δὲ ἐόντα σφι [a] ἅπαντα ἱρὰ νενόμισται· καὶ τὰ μὲν, σύντροφα αὐτοῖσι [b] τοῖσι ἀνθρώποισι· τὰ δὲ,
3 οὔ. τῶν δὲ [c] εἵνεκεν [d] ἀνεῖται τὰ ἱρὰ εἰ λέγοιμι, καταβαίην ἂν τῷ λόγῳ ἐς τὰ θεῖα πρήγματα, τὰ ἐγὼ φεύγω μάλιστα ἀπηγέεσθαι. τὰ δὲ καὶ εἴρηκα αὐτῶν ἐπι-
4 ψαύσας, [e] ἀναγκαίῃ καταλαμβανόμενος εἶπον. Νόμος δέ ἐστι περὶ τῶν θηρίων ὧδε ἔχων. [f] μελεδωνοὶ [g] ἀποδεδέχαται τῆς τροφῆς χωρὶς ἑκάστων, καὶ ἔρσενες καὶ θήλεαι τῶν Αἰγυπτίων, τῶν παῖς παρὰ πατρὸς ἐκδέ-
5 κεται τὴν τιμήν. οἱ δὲ ἐν τῇσι πόλισι ἕκαστοι εὐχὰς τάσδε σφι ἀποτελέουσι· εὐχόμενοι τῷ θεῷ τοῦ ἂν ᾖ τὸ θηρίον, [h] ξυροῦντες τῶν παιδίων ἢ πᾶσαν τὴν κεφαλὴν,

[d] ἄλουτοι ἀνιστάμενοι S.
[e] τὰ πάντα S.V.
[f] τέλεα S. et Barocc. apud Wassium ad Thucydid. II. 81. Vall. probantibus Wesselingio, Valcken. Schæfer. et Schweighæusero.
[g] Sic V.S.P.K.M.F. Paris. τεμένοισι Ald.
[h] Sic P.K.S.V.F.a.c. Vulgo ἐν ὦν ἦν.
[i] Sic M.P.K.F. ποιεῦντες ἐπιλέγουσιν S.a.b.c.d. et al.

65.
[a] ἱρὰ ἅπαντα S.V. πάντα ἱρὰ F.
[b] τοῖσι om. S.V.
[c] Sic S.P.M.K.F. εἵνεκα vulg.
[d] εἰ λέγοιμι ἀνεῖται τὰ ἱρὰ S.
[e] ἀναγκαίῃ Paris. S.V.R. Ald. cf. II. 182. IV. 180. ἀνάγκῃ P.M.K. ἀνάγκῃ καὶ καταλ. F.
[f] Gl. in P. φροντισταί. cf. Suidas in Μελεδωνός.
[g] ἀποδέχαται V.S. Vall. et mox ἑκάστου.
[h] ξυρῶντες S.V.P.K.

ἢ τὸ ἥμισυ, ἢ τὸ τρίτον μέρος τῆς κεφαλῆς, ἱστᾶσι σταθ- 135
μῷ πρὸς ἀργύριον τὰς τρίχας· τὸ δ' ἂν ἑλκύσῃ, τοῦτο
6 [i] τῇ μελεδωνῷ τῶν θηρίων διδοῖ. ἡ δ' ἀντ' αὐτοῦ τάμνουσα
ἰχθῦς, παρέχει βορὴν τοῖσι θηρίοισι. τροφὴ μὲν δὴ αὐ-
7 τοῖσι τοιαύτη ἀποδέδεκται. Τὸ δ' ἄν τις τῶν θηρίων
τούτων ἀποκτείνῃ, ἢν μὲν ἑκὼν, θάνατος ἡ ζημίη· ἢν δὲ
[k] ἀέκων, [l] ἀποτίνει ζημίην τὴν ἂν οἱ ἱρέες τάξωνται. ὃς
δ' ἂν [m] ἶβιν ἢ [n] ἴρηκα ἀποκτείνῃ, ἤν τε ἑκὼν, ἤν τε ἀέκων,
66 τεθνάναι ἀνάγκη. Πολλῶν δὲ [a] ἐόντων [b] ὁμοτρόφων τοῖσι
ἀνθρώποισι θηρίων, πολλῷ ἂν ἔτι πλέω [c] ἐγίνετο, εἰ μὴ
2 κατελάμβανε τοὺς [d] αἰελούρους τοιάδε. Ἐπεὰν τέκωσι
αἱ θήλεαι, οὐκέτι φοιτέουσι παρὰ τοὺς ἔρσενας· οἱ δὲ,
διζήμενοι μίσγεσθαι [e] αὐτῇσι, οὐκ ἔχουσι. πρὸς ὦν ταῦ-
τα σοφίζονται τάδε· ἁρπάζοντες ἀπὸ τῶν [f] θηλέων καὶ
3 ὑπαιρεόμενοι τὰ τέκνα, κτείνουσι. κτείναντες μέντοι, οὐ
[g] πατέονται. αἱ δὲ, στερισκόμεναι τῶν τέκνων, ἄλλων
δὲ ἐπιθυμέουσαι, οὕτω [h] δὴ ἀπικνέονται παρὰ τοὺς ἔρ-
4 σενας· φιλότεκνον [i] δὲ τὸ θηρίον. πυρκαϊῆς δὲ [k] γενο-
μένης, θεῖα πρήγματα καταλαμβάνει τοὺς αἰελούρους.
5 οἱ μὲν γὰρ Αἰγύπτιοι διαστάντες φυλακὰς ἔχουσι τῶν
αἰελούρων, ἀμελήσαντες σβεννύναι τὸ καιόμενον· οἱ δὲ

Felium genus crescere quid vetet: luctus in morte felis, item in canis.

[i] τῷ μελ. S. Mox τῶν om. Ald.
[k] ἄκων S.
[l] Sic S.P.M.K.F. Paris. ἀποτίνειν Aldus et Schæferus.
[m] ἴβην V.S.
[n] Sic F. Vulgo ἴρηκα.

66.

[a] Sic P.M.K.F. Paris. ὄντων alii cum S,
[b] τῶν ὁμοτρ. b.
[c] ἐγένετο S.d. πλείω S.
[d] Sic M.K.P.F. αἰλούρους S.a. d. et vulgo. Vide Pierson. ad Mœrin p. 36.
[e] αὐτοῖσι S. Mox τὰ, S. pro ταῦτα.
[f] Sic S.V.F. al. θηλεῶν a. et al. Mox ὑπαιρόμενοι S.
[g] Sic S.V. Ald. R. Paris. δατέονται P.M.K.F.a. pro v. l. cf. II. 37. IV. 186.
[h] om. δὴ S.V.
[i] Sic M.K.F. γὰρ a.b.c.d. Ald. φιλ. δὲ τὸ θ. om. S.
[k] γενομένης K.P.S.V.F.a.d. γινομένης Ald. M.b. γιγνομένης c. Mox αἰλούρους et αἰλούρων etc. S. Ald.

αἰέλουροι, διαδύοντες καὶ ὑπερθρώσκοντες τοὺς ἀνθρώπους,
6 [l] ἐσάλλονται ἐς τὸ πῦρ. [m] ταῦτα δὲ γινόμενα, πένθεα
7 μεγάλα τοὺς Αἰγυπτίους καταλαμβάνει. ἐν [n] ὁτέοισι δ' ἂν οἰκίοισι αἰέλουρος ἀποθάνῃ ἀπὸ τοῦ αὐτομάτου, οἱ ἐνοικέοντες πάντες [o] ξυρέονται τὰς [p] ὀφρύας μούνας· παρ' ὁτέοισι δ' ἂν κύων, πᾶν τὸ σῶμα καὶ τὴν κεφαλήν.

67 Ubi et quomodo hæ atque aliæ nonnullæ bestiæ sepeliantur.

[a] Ἀπαγέαται δὲ οἱ αἰέλουροι ἀποθανόντες ἐς ἱρὰς στέγας, ἔνθα θάπτονται ταριχευθέντες ἐν [b] Βουβάστι
2 πόλι. τὰς δὲ κύνας ἐν τῇ ἑωυτῶν ἕκαστοι πόλι θάπτουσι ἐν ἱρῇσι [c] θήκῃσι. [d] ὡς δὲ αὔτως τῇσι κυσὶ οἱ ἰχνευταὶ
3 θάπτονται. τὰς δὲ [e] μυγαλᾶς καὶ τοὺς [f] ἴρηκας ἀπάγουσι ἐς Βουτοῦν πόλιν· [g] τὰς δὲ ἴβις ἐς Ἑρμέω πόλιν.
4 τὰς δὲ ἄρκτους, ἐούσας [h] σπανίας, καὶ τοὺς λύκους, οὐ πολλῷ τέῳ ἐόντας ἀλωπέκων μέζονας, αὐτοῦ θάπτουσι τῇ ἂν εὑρεθέωσι κείμενοι.

68 Crocodili natura: pacem agit cum solo trochilo.

Τῶν δὲ κροκοδείλων φύσις ἐστὶ τοιήδε. τοὺς χειμε- 138
2 ριωτάτους μῆνας [a] τέσσερας ἐσθίει οὐδέν. ἐὸν δὲ τετρά- 26
πουν, χερσαῖον καὶ λιμναῖον ἐστί· τίκτει μὲν γὰρ ὠὰ

[l] ἐσάλλονται Ald. S.V. Paris. R. ἄλλονται M.K.F.

[m] Sic M.K.P.F. τούτων δέ γινομένων S.b.c. Ald. τούτων δὲ γιγνομένων a.d. Correctori scilicet displicebat nominativus absolutus.

[n] Sic M.S.P.V.F. Paris. ὁτέῃσι—οἰκίῃσι al.

[o] ξυροῦντες F.

[p] ὀφρῦς S.

67.

[a] Sic F. Vulgo cum S. ἀπάγονται cf. II. 47.

[b] Βουβάστῃ F. Mox ἑκάστῃ S.

[c] θήβῃσι S.V.

[d] Sic F.S.K.P. Paris. cf. I. 215. VII. 86. IX. 80. Alii ὡσαύτως δέ. Mox τοῖσι κυσὶν S.

[e] μυγάλας F. μυγαλᾶς a.

[f] Sic Reizius. F. et al. h. l. ἴρηκας.

[g] τὰς δὲ ἴβις, ἐούσας ἱρὰς, ἐς Ἑρμέω πόλιν. Ita Schweighæuserus, monens ad ἐούσας ἱρὰς ex adjuncto oppidi nomine ἱρὰς τοῦ Ἑρμέω facile intelligi posse; Ibin Mercurio sacram fuisse, ex Æliano N. A. X. 29. Platon. Phædr. extr. patere: τὰς δὲ ἄρκτους ἐούσας ἱρὰς ἐς Ἑ. π. τὰς δὲ ἀρκτοὺς ἐούσας σπ. c. τὰς δὲ ἴβις ἐς Ἑ. π. sine ἐούσας ἱρὰς P.M.K.F. τὰς—πόλιν om. Ald. S.d.

[h] ἱρὰς S. Ald. et al. Mox πολλῷ τε pro πολλῷ τέῳ S. et infra ἐρεθῶσι.

68.

[a] τέσσαρας F.S. Ald.

ἐν γῇ, καὶ ἐκλέπει, καὶ τὸ πολλὸν τῆς ἡμέρης διατρί-
βει ἐν τῷ ξηρῷ, τὴν δὲ νύκτα πᾶσαν ἐν τῷ ποταμῷ·
θερμότερον γὰρ δή ἐστι τὸ ὕδωρ [b] τῆς τε αἰθρίης καὶ τῆς
3 δρόσου. πάντων δὲ τῶν ἡμεῖς [c] ἴδμεν θνητῶν, τοῦτο ἐξ
ἐλαχίστου μέγιστον γίνεται. τὰ μὲν γὰρ [d] ὠὰ, χηνέων
οὐ πολλῷ [e] μέζονα τίκτει· καὶ ὁ νεοσσὸς κατὰ λόγον
τοῦ ὠοῦ γίνεται· αὐξανόμενος δὲ, γίνεται καὶ ἐς ἑπτα-
4 καίδεκα πήχεας, καὶ μέζων ἔτι. ἔχει δὲ ὀφθαλμοὺς
μὲν ὑὸς, ὀδόντας δὲ μεγάλους καὶ χαυλιόδοντας, κατὰ
5 λόγον τοῦ σώματος. γλῶσσαν δὲ μοῦνον [f] θηρίων οὐκ
ἔφυσε· οὐδὲ τὴν κάτω [g] κινέει γνάθον, ἀλλὰ καὶ τοῦτο
μοῦνον [h] θηρίων τὴν ἄνω γνάθον προσάγει τῇ κάτω. ἔχει
δὲ καὶ ὄνυχας καρτεροὺς, καὶ δέρμα λεπιδωτὸν, ἄρρηκ-
6 τον ἐπὶ τοῦ νώτου. τυφλὸν δὲ ἐν ὕδατι, ἐν δὲ τῇ αἰθρίῃ
[i] ὀξυδερκέστατον. ἅτε δὴ ὦν ἐν ὕδατι δίαιταν ποιεύμε-
7 νον, τὸ στόμα ἔνδοθεν φορέει πᾶν μεστὸν [k] βδελλέων. τὰ
μὲν δὴ ἄλλα ὄρνεα καὶ θηρία φεύγει μιν· ὁ δὲ [l] τρο-
χίλος εἰρηναῖόν οἱ ἐστὶ, ἅτε ὠφελεομένῳ πρὸς αὐτοῦ.
8 [m] ἐπεὰν γὰρ ἐς τὴν γῆν ἐκβῇ ἐκ τοῦ ὕδατος ὁ κροκόδει-
λος, καὶ ἔπειτα χάνῃ ([n] ἔωθε γὰρ τοῦτο ὡς ἐπίπαν
ποιέειν πρὸς τὸν ζέφυρον,) ἐνθαῦτα ὁ τροχίλος ἐσδύνων ἐς
τὸ στόμα αὐτοῦ, καταπίνει τὰς βδέλλας· ὁ δὲ, [o] ὠφε-

[b] Sic Paris. Ald. R.S.V. τε om. M.K.F.

[c] ἴσμεν S.V. qui mox om. μέγιστον.

[d] ὠεὰ V. ὠιὰ P.F. cf. 73. Schweigh. Animadv. Athen. III. p. 121. C. ὠὰ S. cum vulg.

[e] μέζονα P.M.K.F.b.c. μέζω a. Ald. S.V.

[f] θηρίων om. S.V.

[g] Sic K. Paris. Vulgo κινεῖ cum S. οὐδὲ κινέειν τὴν κάτω γνάθον F.

[h] θηρίον S.V.

[i] ὀξυδερκέστατον hinc citat Pollux II. 51.

[k] βδελέων S. et infra.

[l] Sic S. Mendose nonnulli libri τροχῖλος, cum media syllaba corripiatur. Vide Aristoph. Acharn. 876. et alibi.

[m] Citat Gregorius Dial. Ion. 55.

[n] ἐώθεε S.V. qui ἔωθε III. 33. ubi alii mss. ἐώθεε. cf. I. 11. Mox ὡς τοεπίπαν S.

[o] ὠφελεύμενος M.K.F. Alii ὠφελεόμενος cum S.

Crocodilum Ægyptii alii colunt, alii comedunt: ipsi eum *champsam* nominant: crocodilum Iones dixerunt.

69 λεύμενος ἥδεται, καὶ οὐδὲν σίνεται τὸν τροχίλον. Τοῖσι
μὲν δὴ τῶν Αἰγυπτίων ἱροί εἰσι οἱ κροκόδειλοι· τοῖσι δ'
οὔ, ἀλλ' ἅτε πολεμίους περιέπουσι. οἱ δὲ περί τε Θήβας
καὶ τὴν [a] Μοίριος [b] λίμνην οἰκέοντες, καὶ κάρτα [c] ἥγηνται
2 αὐτοὺς εἶναι ἱρούς. ἐκ πάντων δὲ ἕνα ἑκάτεροι [d] τρέφουσι
κροκόδειλον, δεδιδαγμένον εἶναι χειροήθεα· ἀρτήματά τε
[e] λίθινα χυτὰ καὶ [f] χρύσεα ἐς τὰ ὦτα [g] ἐνθέντες, καὶ
[h] ἀμφιδέας περὶ τοὺς [i] προσθίους πόδας, καὶ σιτία ἀπο-
τακτὰ διδόντες καὶ ἱρήϊα, καὶ περιέποντες ὡς κάλλιστα
[k] ζώοντας, ἀποθανόντας δὲ [l] ταριχεύοντες θάπτουσι ἐν
3 ἱρῇσι θήκῃσι. οἱ δὲ περὶ Ἐλεφαντίνην πόλιν οἰκέοντες,
4 καὶ ἐσθίουσι αὐτοὺς, οὐκ ἡγεόμενοι ἱροὺς εἶναι. Καλέον-
ται δὲ οὐ κροκόδειλοι, ἀλλὰ χάμψαι. κροκοδείλους δὲ
Ἴωνες ὠνόμασαν, εἰκάζοντες αὐτῶν τὰ εἴδεα τοῖσι παρὰ 137
σφίσι γινομένοισι κροκοδείλοισι [m] τοῖσι ἐν τῇσι αἱμα-
σιῇσι.

Captura crocodilorum.

70 Ἄγραι δέ σφεων πολλαὶ κατεστέασι, καὶ παν-
τοῖαι· ἡ δ' ὦν [a] ἐμοί γε δοκέει ἀξιωτάτη ἀπηγήσιος
εἶναι, ταύτην γράφω. ἐπεὰν [b] νῶτον ὑὸς δελεάσῃ περὶ
ἄγκιστρον, [c] μετίει ἐς μέσον τὸν ποταμόν· αὐτὸς δὲ ἐπὶ
τοῦ χείλεος τοῦ ποταμοῦ ἔχων δέλφακα [d] ζωὴν, ταύτην
2 τύπτει. ἐπακούσας δὲ τῆς φωνῆς ὁ κροκόδειλος, ἵεται

69.

[a] Μύριος S.V.
[b] πόλιν c.
[c] ἄγηνται F. cf. 40.
[d] Sic M.K.P.F. Paris. S. ἐκτρέφουσι Ald.
[e] λιθωτὰ S.V.b.d.
[f] χρύσινα F.
[g] Sic M.K.F. Paris. ἐσθέντες S.V. Ald. al.
[h] ἀμφιδέας. Vide Casaubon. ad Athen. IV. 27. p. 323.
[i] Sic K.P.F. Alii ἐμπροσθίους cum S.
[k] Sic F. Vulgo ζῶντας.
[l] Sic M.K.P.F.d. ταριχεύσαντες S.a.c.d. Ald. θάπτουσι ταρ. F.
[m] τοῖσι om. S.V.

70.

[a] Sic S.V.R. Ald. γε om. M. F.K.P. Supra κατεστᾶσι S. Infra εἶναι S. Supra αὖραι Ald. pro ἄγραι.
[b] νῶτον ὑὸς M.K.P.b.d. νῶτος ὑὸς S.V. συὸς Ald. a.c. ὑιὸς F.
[c] μετήει F. μετιεῖ Schæferus. Vid. ad I. 180. Schweigh.
[d] Gregorius Dial. Ion. 57. partim huc, partim VIII. 93. spectat.

κατὰ τὴν φωνήν· ἐντυχὼν δὲ τῷ νώτῳ, καταπίνει· [e] οἱ
3 δὲ ἕλκουσι. ἐπεὰν δὲ [f] ἐξελκυσθῇ ἐς γῆν, πρῶτον ἁπάν-
των ὁ [g] θηρευτὴς πηλῷ κατ' ὦν ἔπλασε [h] αὐτοῦ τοὺς
ὀφθαλμούς· τοῦτο δὲ ποιήσας, κάρτα εὐπετέως τὰ λοιπὰ
71 χειροῦται· [i] μὴ ποιήσας δὲ τοῦτο, σὺν πόνῳ. Οἱ δὲ
ἵπποι οἱ ποτάμιοι νομῷ μὲν τῷ [a] Παπρημίτῃ ἱροί εἰσι,
2 τοῖσι δὲ ἄλλοισι Αἰγυπτίοισι οὐκ ἱροί. φύσιν δὲ παρ-
έχονται ἰδέης τοιήνδε· τετράπουν ἐστὶ, δίχηλον, ὁπλαὶ
βοὸς, σιμὸν, λοφιὴν ἔχον ἵππου, [b] χαυλιόδοντας φαῖνον,
οὐρὴν ἵππου καὶ φωνήν· μέγαθος, ὅσον τε βοῦς ὁ μέ-
γιστος· τὸ δέρμα δ' αὐτοῦ οὕτω [c] δή τι παχύ ἐστι,
ὥστε αὔου γενομένου, ξυστὰ [d] ποιέεσθαι ἀκόντια ἐξ αὐ-
72 τοῦ. Γίνονται δὲ καὶ ἐνύδριες ἐν τῷ ποταμῷ, τὰς ἱρὰς
[a] ἥγηνται εἶναι. νομίζουσι δὲ [b] καὶ πάντων ἰχθύων τὸν
2 καλεύμενον λεπιδωτὸν ἱρὸν εἶναι, καὶ τὴν ἔγχελυν. ἱροὺς
δὲ τούτους [c] τοῦ Νείλου φασὶ εἶναι· καὶ τῶν ὀρνίθων τοὺς
χηναλώπεκας.

73 Ἔστι δὲ καὶ ἄλλος ὄρνις ἱρὸς, τῷ οὔνομα φοῖνιξ· ἐγὼ
μέν μιν οὐκ εἶδον, εἰ μὴ ὅσον γραφῇ· καὶ γὰρ δὴ καὶ
σπάνιος ἐπιφοιτᾷ σφι, διὰ ἐτέων (ὡς Ἡλιουπολῖται
2 λέγουσι) πεντακοσίων. [a] φοιτᾶν δὲ τότε φασὶ, ἐπεάν οἱ

Hippopotamus in qua præfectura sacer: describitur.

Lutra, squameus, anguilla, vulpanser.

Phœnix qualis et quantus: fabula de illo.

[e] οἱ δὲ ἕλκουσι om. V.S.d.
[f] ἑλκύσθῃ S.V.
[g] Sic M.K.P.F.a.c.b. θηρευτὴρ Ald. S.V.R.d.
[h] αὐτοὺς τοὺς F.
[i] μὴ δὲ ποιήσας S.

71.

[a] Παπρημίτῃ Ald. R.V. Paris. Παπριημίτῃ M.K.F. Πατρημίτῃ S.
[b] χαυλιόδοντον, φαῖνον οὐρ. S. ἵππου χαυλιόδοντος b.
[c] δὴ παχύ τι F.
[d] ποιέεσθαι M.K.P.F.b.d. ποιέεται S.a.c. Ald. Mox ἀκόντια delet Schæferus.

72.

[a] ἄγηνται F. ut 69. et alibi. Supra ἐνιδρύες S.
[b] Sic M.K.F.b.d. καὶ τῶν a. c.S.
[c] Sic P.V.K.S.F. Vulgo εἶναι τοῦ Ν. φ.

73.

[a] φοιτᾷν P.M.K.F. Paris. φοιτῆν Ald. S.V.R. Superiora adtigit Themistius XXXIII. fin. Wess. Mox εἰ τῇ γραφῇ ex R. V. Vall. a.b.c. οἱ τῇ γρ. S. ἐν τῇ γρ. F. et al. εἰ ἐν τῇ d.

ἀποθάνῃ ὁ πατήρ. ἔστι δὲ, εἰ τῇ γραφῇ παρόμοιος, το-
σόσδε καὶ τοιόσδε· τὰ μὲν αὐτοῦ χρυσόκομα τῶν [b] πτε-
ρῶν, τὰ δὲ, ἐρυθρά· ἐς τὰ μάλιστα [c] αἰετῷ περιήγησιν
3 ὁμοιότατος, καὶ τὸ μέγαθος. Τοῦτον δὲ λέγουσι μη-
χανᾶσθαι τάδε, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες· ἐξ Ἀρα- 95
βίης [d] ὁρμεώμενον, ἐς τὸ ἱρὸν τοῦ Ἡλίου κομίζειν τὸν
πατέρα, ἐν σμύρνῃ [e] ἐμπλάσσοντα, καὶ θάπτειν ἐν τοῦ
4 Ἡλίου τῷ ἱρῷ. κομίζειν δὲ οὕτω· πρῶτον, [f] τῆς σμύρνης
[g] ᾠὸν πλάσσειν [h] ὅσον τε δυνατός ἐστι φέρειν· μετὰ δὲ,
πειρᾶσθαι αὐτὸ φορέοντα· ἐπεὰν δὲ ἀποπειρηθῇ, οὕτω
δὴ κοιλήναντα τὸ ᾠὸν, τὸν πατέρα ἐς αὐτὸ ἐντιθέναι,
σμύρνῃ [i] δὲ ἄλλῃ ἐμπλάσσειν τοῦτο [k] κατ' ὅ τι τοῦ ᾠοῦ 138
[l] ἐγκοιλήνας ἐνέθηκε τὸν πατέρα· [m] ἐσκειμένου δὲ τοῦ 2
πατρὸς, γίνεσθαι τὠυτὸ βάρος· ἐμπλάσαντα δὲ, [n] κο-
μίζειν μιν ἐπ' Αἰγύπτου ἐς τοῦ Ἡλίου τὸ ἱρόν. ταῦτα
μὲν τοῦτον τὸν ὄρνιν λέγουσι ποιέειν.

74 Sacri serpentes circa Thebas.

Εἰσὶ δὲ περὶ Θήβας ἱροὶ ὄφιες, ἀνθρώπων [a] οὐδαμῶς
δηλήμονες· οἳ μεγάθεϊ ἐόντες μικροὶ, δύο κέρεα [b] φορέου-
2 σι, πεφυκότα ἐξ ἄκρης τῆς κεφαλῆς. [c] τοὺς θάπτουσι
ἀποθανόντας ἐν τῷ ἱρῷ τοῦ Διός· τούτου γάρ σφεας τοῦ
θεοῦ φασὶ εἶναι ἱρούς.

75 Ex Arabia serpentes

Ἔστι δὲ χῶρος τῆς Ἀραβίης, κατὰ Βουτοῦν πόλιν μάλιστά [a] κῃ κείμενος· καὶ ἐς τοῦ-

[b] πτερύγων S.b.d.
[c] αἰετῶν S.V.
[d] ὁρμεόμενον a. ὁρμώμενον S.
[e] ἐμπλάσαντα Schæferus.
[f] τῆς μύρνῃ S. τῆς σμύρνῃ V.
[g] ᾠιὸν F. et sic infra.
[h] Sic Ald. V.R. Paris. ὅσον τε δυνατὸς εἶναι M.K.P.F. ὅσον δυνατός ἐστι S. qui mox om. αὐτό.
[i] δὲ om. S.V.
[k] Sic K. et fere F. ubi κατότι. Vulg. καθότι.
[l] ἐκκοιλήνας K.F.
[m] Sic M.K.P.F. ἐγκειμένου a. b.c.d.S.V.R. Ald.
[n] Sic M.K.P.F. μιν om. Ald. a.S.

74.

[a] Sic M.K.S.P.V.F. Paris. οὐδαμᾶ vulgo. Mox μεγέθει S.
[b] φέροντες F.
[c] Sic F. Vulgo τοὺς ἀποθ. θάπτ.

75.

[a] κῃ F. om. d.

το τὸ χωρίον ἦλθον, πυνθανόμενος [b] περὶ τῶν πτερωτῶν
2 ὀφίων. ἀπικόμενος δὲ, εἶδον ὀστέα ὀφίων καὶ ἀκάνθας,
πλήθεϊ μὲν ἀδύνατα ἀπηγήσασθαι· σωροὶ δὲ [c] ἦσαν
ἀκανθέων καὶ μεγάλοι, καὶ ὑποδεέστεροι, καὶ ἐλάσσονες
3 ἔτι τούτων· πολλοὶ δὲ ἦσαν οὗτοι. ἔστι δὲ ὁ χῶρος οὗτος,
[d] ἐν τῷ αἱ ἄκανθαι [e] κατακεχύαται, τοιόσδε τις· ἐσβολὴ
ἐξ οὐρέων στεινῶν ἐς πεδίον μέγα· τὸ δὲ πεδίον τοῦτο
4 συνάπτει τῷ Αἰγυπτίῳ πεδίῳ. λόγος δέ ἐστι, ἅμα τῷ
[f] ἔαρι πτερωτοὺς ὄφις ἐκ τῆς Ἀραβίης πέτεσθαι ἐπ' Αἰ-
γύπτου· τὰς δὲ ἴβις τὰς ὄρνιθας ἀπαντώσας ἐς τὴν
ἐσβολὴν ταύτης τῆς χώρης, οὐ παριέναι τοὺς ὄφις, ἀλλὰ
5 κατακτείνειν. καὶ τὴν ἶβιν διὰ τοῦτο τὸ ἔργον τετιμῆσθαι
λέγουσι [g] Ἀράβιοι μεγάλως πρὸς Αἰγυπτίων· [h] ὁμολο-
γέουσι δὲ καὶ Αἰγύπτιοι διὰ ταῦτα τιμᾶν τὰς ὄρνιθας
ταύτας.

alatos advolantes confici ab ibidibus: quas aves ideo sacras esse.

76 Εἶδος δὲ [a] τῆς μὲν ἴβιος τόδε. μέλαινα δεινῶς
πᾶσα, σκέλεα δὲ φορέει γεράνου, [b] πρόσωπον δὲ ἐς τὰ
2 μάλιστα ἐπίγρυπον, μέγαθος ὅσον κρέξ. τῶν μὲν δὴ
μελαινέων, τῶν [c] μαχομένων πρὸς τοὺς ὄφις, ἥδε ἰδέη.
τῶν δ' ἐν ποσὶ μᾶλλον εἱλευμένων τοῖσι ἀνθρώποισι·
(διξαὶ γὰρ [d] δή εἰσι αἱ ἴβιες·) [e] ψιλὴ τὴν κεφαλὴν, καὶ

Ibidum quæ species: aliud earum genus diversum: quæ serpentum figura.

[b] περὶ om. S.V.d. πτερωτῶν om. M.K.F.c. Mox ἀπικνόμενος et ἴδον S.

[c] ἦσαν τῶν θεῶν M.F. In marg. M. ὀστέων probante Gronovio. Sed bene admovet Wesselingius Schol. Apoll. Rhod. IV. 150. τὰ τῶν ὀφέων ὀστᾶ ἄκανθαι λέγεται. Ceterum in utroque codice scribam voluisse τῶν ἀκανθέων opinatur Schweigh. hac sententia, *harum, quas dixi, spinarum.* Mox ἐπὶ τούτων Ald.

[d] Sic M.P.K.F. ἐν ᾧ S.a. al.

[e] κατακεχύδαται S.V. Schæferus, improbante Schweighæusero, et monente literam δ ab Ionibus in iis tantum verbis adhiberi, quæ in ζω terminantur. κατακεχύνδαται d. Mox ὀρέων S.

[f] ἦρι F. et mox ὄφεις.

[g] Ἀράβιοι om. S. in textu.

[h] οὐκ ὁμολ. d.

76.

[a] Sic M.P.S.K.V. μὲν om. F. et al.

[b] Citat Gregorius Dial. Ion. 59. Mox μέγεθος S.

[c] Sic P.M.F. μαχομενέων S.V. R. Ald.

[d] δὴ et αἱ om. S.V.P. αἱ item F.a.

[e] Sic Ald. V.S.R. Paris. ἡ

τὴν δειρὴν πᾶσαν· λευκὴ πτεροῖσι, πλὴν κεφαλῆς καὶ
[f] τοῦ αὐχένος καὶ ἄκρων τῶν πτερύγων καὶ τοῦ πυγαίου
ἄκρου· ταῦτα δὲ τὰ εἶπον πάντα, [g] μέλαινά ἐστι δεινῶς·
3 σκέλεα δὲ καὶ πρόσωπον, ἐμφερὴς τῇ ἑτέρῃ. τοῦ δὲ
ὄφιος ἡ μορφὴ, οἵη περ τῶν ὕδρων. πτίλα δὲ οὐ πτερωτὰ
φορέει, ἀλλὰ τοῖσι τῆς νυκτερίδος πτεροῖσι μάλιστά
κῃ ἐμφερέστατα. Τοσαῦτα μὲν θηρίων πέρι ἱρῶν εἰ-
ρήσθω.

77

Qui ex Ægyptiis campestria loca incolunt, quare ii solertissimi hominum sint: eorum corporis cura, cibus et potus.

Αὐτῶν δὲ δὴ Αἰγυπτίων, οἳ μὲν περὶ τὴν σπειρομένην
Αἴγυπτον οἰκέουσι, μνήμην ἀνθρώπων πάντων ἐπασκέον-
τες μάλιστα, λογιώτατοί εἰσι μακρῷ τῶν ἐγὼ ἐς διά- 139
2 πειραν ἀπικόμην. Τρόπῳ δὲ ζόης τοιῷδε [a] διαχρέωνται.
Συρμαΐζουσι τρεῖς ἡμέρας ἐπεξῆς μηνὸς ἑκάστου, ἐμέ-
τοισι θηρώμενοι τὴν [b] ὑγιείην καὶ κλύσμασι, νομίζοντες
ἀπὸ τῶν τρεφόντων σιτίων πάσας τὰς νούσους τοῖσι ἀν-
3 θρώποισι γίνεσθαι. εἰσὶ μὲν γὰρ καὶ ἄλλως Αἰγύπτιοι
μετὰ Λίβυας [c] ὑγιηρέστατοι πάντων [d] ἀνθρώπων, τῶν
ὡρέων ([e] δοκέειν ἐμοὶ) [f] εἵνεκεν, ὅτι οὐ μεταλλάσσουσι
4 αἱ ὧραι. ἐν γὰρ τῇσι μεταβολῇσι τοῖσι ἀνθρώποισι αἱ
νοῦσοι μάλιστα γίνονται, [g] τῶν τε ἄλλων πάντων, καὶ
5 δὴ καὶ τῶν ὡρέων μάλιστα. Ἀρτοφαγέουσι δὲ, ἐκ τῶν

ψιλὴ M.K.P.F. Schweighæusero placeret ἤδε. ψιλὴ τὴν κ.

[f] Sic K.M.P.F. τοῦ om. Ald. S.a.c. et ante πυγαίου. v. Theon. Progymn. p. 122. Wess.

[g] Sic recte F. Scil. μέλαινά ἐστι ἡ ἶβις κατὰ ταῦτα πάντα. Vulgo (cum S.) μέλανα. Schweigh.

77.

[a] δὴ χρέωνται M.K.P.F. Gronov. Wessel. διαχρέονται a. Supra ζωῆς S.

[b] ὑγιείην V.M.K.P.F. Paris. ὑγείην S. ὑγηΐην Ald. Schæfer. ὑγιηίην Borheck. Mox νόσους S.

[c] ὑγιηρέστατοι P.M.K.F.a.c. ὑγιέστεροι S.V.b.d. Eustath. Dionys. 262. ὑγιέστατοι Ald. Lexic. Seg. p. 115, 7. Ὑγιηρότατος Ἡρόδοτος β̄. cf. IV. 187.

[d] ἀνθρώπων M.K.P.F. ἀνδρῶν Ald. S.V. Eust. a.c.

[e] δοκέειν ἐμοὶ F. Vulgo ἐμοὶ δοκέειν. S. μοι δοκέειν.

[f] εἵνεκα M.K.F. Mox γίνονται μάλιστα S.

[g] ἄλλων εἵνεκα πάντων Ald. τῶν τε—ὡρέων μάλιστα om. S.V.d. Vall.

[h] ὀλυρέων ποιεῦντες ἄρτους, τοὺς ἐκεῖνοι [i] κυλλῆστις ὀνο-
6 μάζουσι. οἴνῳ δ' ἐκ κριθέων πεποιημένῳ διαχρέωνται· οὐ γάρ σφί εἰσι ἐν τῇ χώρῃ ἄμπελοι. ἰχθύων δὲ τοὺς μὲν, πρὸς ἥλιον αὐήναντες, ὠμοὺς σιτέονται· τοὺς δὲ,
7 ἐξ ἅλμης [k] τεταριχευμένους. ὀρνίθων δὲ τούς τε ὄρτυγας, καὶ τὰς νήσσας, καὶ τὰ [l] σμικρὰ τῶν [m] ὀρνιθίων, ὠμὰ
8 σιτέονται, προταριχεύσαντες. τὰ δὲ ἄλλα ὅσα ἢ ὀρνίθων ἢ ἰχθύων ἐστί σφι ἐχόμενα, χωρὶς ἢ ὁκόσοι σφι ἱροὶ ἀποδεδέχαται, τοὺς λοιποὺς ὀπτοὺς καὶ ἑφθοὺς σιτέονται.

78 Ἐν δὲ τῇσι συνουσίῃσι, [a] τοῖσι εὐδαίμοσι [b] αὐτῶν, ἐπεὰν ἀπὸ δείπνου γένωνται, περιφέρει ἀνὴρ νεκρὸν ἐν σορῷ ξύλινον πεποιημένον, [c] μεμιμημένον ἐς τὰ μάλιστα καὶ γραφῇ καὶ ἔργῳ, μέγαθος ὅσον τε πάντῃ πηχυαῖον, ἢ 140 [d] δίπηχυν· δεικνὺς δὲ ἑκάστῳ τῶν συμποτέων, λέγει· "Ἐς [e] τοῦτον ὁρέων, πῖνέ τε καὶ τέρπευ· ἔσεαι γὰρ "ἀποθανὼν τοιοῦτος." Ταῦτα μὲν παρὰ τὰ συμπόσια ποιεῦσι.

In commessatione argumentum bibendi a morte.

79 Πατρίοισι δὲ [a] χρεώμενοι νόμοισι, ἄλλον οὐδένα ἐπι-
2 κτέωνται. τοῖσι [b] ἄλλα τε ἐπάξιά ἐστι νόμιμα, καὶ δὴ καὶ ἄεισμα [c] ἕν ἐστι, [d] Λίνος, ὅσπερ [e] ἔν τε Φοινίκῃ ἀοί-

Carmina patria: Maneros, antiquissimum car-

[h] ἀλλυρέων S.V. ὀλλυρέων c. Ald.
[i] Sic S.M.K.P. Vall. F. Paris. κολλῆστις edd. cf. Athenæus III. p. 114. C.
[k] Sic R.S.V.P.M.F. Paris. Vulgo τεταριχευκότες.
[l] Sic S. et al. μικρὰ alii cum Aldo.
[m] Sic Ald. S.V.R. Paris. ὀρνίθων M.K.P.F. Vulgatum defendunt, Wesselingio judice, Aristophanis μικρὸν ἀργυρίδιον, Terentii *pisciculi minuti*, et Ciceronis *minutæ interrogatiunculæ*.

78.

[a] τοῖσι om. S.
[b] αὐτέων] αὐτων F.
[c] μεμιγμένον ed. Steph. 1. et al.
[d] δίπηχυν M.P.K.F. δίπηχυ Ald. a.c. διπλοῦν S.V.b.d.
[e] τοῦτο d. Mox πίνεύ τε S.

79.

[a] χρεόμενοι a. qui mox ἐπικτέονται. ἐπικτῶνται S.
[b] ἄλλα τε ἐπάξιά ἐστι S.V. Vall. A.B. ἄλλα τε πολλὰ ἐπάξιά ἐστι edd. vett. ἄλλα τε ἅπαξ ἅ ἐστι M.P.K.F. Gronov.
[c] Sic Wesseling. et Valcken. pro ἔνεστι.
[d] Λίνος om. S.V. Vall. qui mox ὥσπερ et ἀοίδιμόν τι. (ἀοίδημός τι S.)
[e] ἐν τῇ Φοινίκῃ d.S.

men, et idem quod Græcorum Linus.

δίμός ἐστι καὶ ἐν Κύπρῳ, [f] καὶ ἄλλῃ· κατὰ μέντοι ἔθνεα
οὔνομα ἔχει, συμφέρεται δὲ [g] ὠυτὸς εἶναι τὸν οἱ Ἕλληνες
3 Λίνον ὀνομάζοντες ἀείδουσι. ὥστε πολλὰ μὲν καὶ ἄλλα
ἀποθωυμάζειν με τῶν περὶ Αἴγυπτον ἐόντων, ἐν δὲ δὴ καὶ
τὸν Λίνον ὁκόθεν [h] ἔλαβον· φαίνονται δὲ αἰεί κοτε τοῦτον
4 ἀείδοντες. ἔστι δὲ Αἰγυπτιστὶ ὁ Λίνος καλεύμενος Μα-
5 νέρως. ἔφασαν δέ μιν Αἰγύπτιοι τοῦ πρώτου βασιλεύ-
σαντος [i] Αἰγύπτου παῖδα μουνογενέα γενέσθαι· ἀπο-
θανόντα δ' αὐτὸν [k] ἄνωρον, θρήνοισι τούτοισι ὑπ' Αἰγυ-
πτίων τιμηθῆναι· καὶ ἀοιδήν τε [l] ταύτην πρώτην καὶ μού-
νην σφίσι γενέσθαι.

80

Honor erga majores natu, salutatio mutua.

Συμφέρονται δὲ καὶ τόδε ἄλλο
2 Αἰγύπτιοι Ἑλλήνων μούνοισι Λακεδαιμονίοισι. οἱ νεώτε-
ροι [a] αὐτῶν τοῖσι πρεσβυτέροισι συντυγχάνοντες, εἴκουσι
τῆς ὁδοῦ καὶ ἐκτράπονται· καὶ ἐπιοῦσι, ἐξ ἕδρης ὑπανι- 141
3 στέαται. Τόδε μέντοι [b] ἄλλοισι Ἑλλήνων οὐδαμοῖσι συμ-
φέρονται· ἀντὶ τοῦ προσαγορεύειν ἀλλήλους ἐν [c] τῇσι
ὁδοῖσι, προσκυνέουσι κατιέντες μέχρι τοῦ γούνατος τὴν
χεῖρα.

81

Vestes lineæ ac laneæ: laneæ vestes profanæ.

Ἐνδεδύκασι δὲ κιθῶνας λινέους, περὶ τὰ σκέ-
λεα [a] θυσανωτοὺς, οὓς καλέουσι καλασίρις· ἐπὶ τούτοισι
2 δὲ εἰρίνεα εἵματα λευκὰ ἐπαναβληδὸν φορέουσι. οὐ μέν-
τοι ἔς γε τὰ ἱρὰ ἐσφέρεται εἰρίνεα, οὐδὲ συγκαταθάπτε-

[f] Sic K.S.V.P.F. Paris. καὶ ἐν ἄλλῃ al.
[g] τὠϋτὸ εἶναι τὸ οἱ Ἕ. Reizius ex Wesselingii conj.
[h] ἔλαβον τοὔνομα] Sic (vel τὸ οὔνομα) mss. omnes. ἔλαβε τ. Ald. Eustath. Il. Σ. p. 1164=1223, 4. τοὔνομα suadente Wesselingio post Reizium delevit Schweighæuserus. Mox ὁ ante Λίνος om. S. qui deinde μάνερος cum V.
[i] Sic M.K.P.F.b. Αἰγυπτίων S. a.c.d. Ald.
[k] ἄωρον S.b.d.
[l] Sic M.K.P.F.a.b.c. αὐτὴν καὶ μούνην σφίσι S.V. Vall. d. Vulgo ταύτην μούνην εἶναι, καὶ πρώτην σφισι γενέσθαι.

80.

[a] αὐτῶν F.S.
[b] ἄλλο Steph. et seqq. edd. Male. Abundat ἄλλοισι ut sæpe alibi.
[c] Sic mss. Vulgo τοῖσι.

81.

[a] Sic V.S.K.F. Paris. Al. θυσσανωτοὺς cf. IV. 189. Mox ἐς δὲ τὰ ἱρὰ S.

3 ταί σφι· οὐ γὰρ ὅσιον. [b] ὁμολογέουσι δὲ ταῦτα τοῖσι Ὀρφικοῖσι καλεομένοισι [c] καὶ Βακχικοῖσι, ἐοῦσι δὲ Αἰ-
4 γυπτίοισι, καὶ [d] Πυθαγορείοισι. οὐδὲ γὰρ τούτων τῶν ὀργίων μετέχοντα ὅσιόν ἐστι ἐν εἰρινέοισι εἵμασι [e] θαφθῆναι. ἔστι δὲ περὶ αὐτῶν ἱρὸς λόγος λεγόμενος.

Menses et dies singuli sacrati: thema natalitium: prodigiorum observatio.

82 Καὶ τάδε ἄλλα Αἰγυπτίοισί ἐστι ἐξευρημένα· μείς τε καὶ ἡμέρη ἑκάστη θεῶν [a] ὅτευ ἐστί· καὶ τῇ ἕκαστος ἡμέρῃ γενόμενος, [b] ὁτέοισι [c] ἐγκυρήσει, καὶ ὅκως τελευ-
2 τήσει, καὶ ὁκοῖός τις ἔσται. καὶ τούτοισι τῶν Ἑλλήνων οἱ ἐν ποιήσει γενόμενοι ἐχρήσαντο. Τέρατά τε πλέα [d] σφι
3 ἀνεύρηται ἢ τοῖσι ἄλλοισι ἅπασι ἀνθρώποισι. γενομένου γὰρ τέρατος, φυλάσσουσι γραφόμενοι [e] τὠποβαῖνον· καὶ ἤν κοτε ὕστερον παραπλήσιον τούτῳ γένηται, κατὰ τὠυτὸ

Divinationem solis Diis quibusdam attribui.

83 νομίζουσι ἀποβήσεσθαι. Μαντικὴ δὲ αὐτοῖσι ὧδε διακέεται. ἀνθρώπων μὲν οὐδενὶ προσκέεται ἡ τέχνη, τῶν δὲ
2 θεῶν μετεξετέροισι. καὶ γὰρ Ἡρακλέος μαντήϊον αὐτόθι ἐστὶ, καὶ Ἀπόλλωνος, καὶ [a] Ἀθηναίης, καὶ Ἀρτέμιδος, καὶ Ἄρεος, καὶ Διός· καὶ ὅγε μάλιστα ἐν τιμῇ ἄγονται
3 πάντων τῶν μαντηΐων, Λητοῦς ἐν [b] Βουτοῖ πόλι ἐστί. οὐ μέντοι αἵ γε μαντήϊαί σφι κατὰ τὠυτὸ ἑστᾶσι, ἀλλὰ

Medici alii alius morbi.

84 διάφοροί εἰσι. Ἡ δὲ ἰητρικὴ κατὰ τάδε σφι δέδασται.
2 μιῆς νούσου ἕκαστος ἰητρός ἐστι, καὶ οὐ πλεόνων. πάντα

[b] ὁμολογέει V.S.
[c] καὶ Β. ἐ. δὲ Αἰγ. om. M.K. P.F. Gronov. Wessel. confer Valcken. de Aristobulo p. 83.
[d] Πυθαγορίοισιν S.V.a.c.d.
[e] ταφῆναι S.V.b.d. θαφῆναι F. cf. Eustath. Il. p. 519, 41=323, 29.

82.
[a] οὔτε ἐστὶ F.
[b] Sic a.b.c.d.S.V. Ald. τέοισι M.K.F.
[c] ἐγγηρήσει S. Mox πλέω Ald.
[d] σφι εὕρηται a.V. Ald. σφιν εὕρηται b.d.S. σφιν ἀνεύρηται P. M.K. σφι ἀνεύρηται F.c.
[e] τῶν ποιμαῖνον F. Supra τραφόμενοι S. et mox εἴ κοτε. Infra διακέαται Ald.

83.
[a] Ἀθηναίης Ald. Paris. S.V.R. Ἀθήνης M.P.K.F. cf. H. Steph. de Dial. p. 236. Supra μετεξέτεροι S.
[b] Βουτοπόλι K. Βουτοῖσι πόλι Ald. Βουτοῖ πόλει F.S. Supra ὅ τε Ald.

δ' ἰητρῶν ἐστὶ πλέα. οἱ μὲν γὰρ, ὀφθαλμῶν ἰητροὶ [a] κατ-
εστέασι· οἱ δὲ, κεφαλῆς· οἱ δὲ, ὀδόντων· οἱ δὲ, [b] τῶν
κατὰ νηδύν· οἱ δὲ, τῶν ἀφανέων νούσων.

85 Θρῆνοι δὲ καὶ ταφαί σφεων, εἰσὶ αἵδε. τοῖσι ἂν ἀπο-
γένηται ἐκ τῶν [a] οἰκίων ἄνθρωπος, τοῦ τις καὶ λόγος ᾖ,
τὸ θῆλυ γένος πᾶν τὸ ἐκ τῶν οἰκίων τούτων κατ' ὦν
2 ἐπλάσατο τὴν κεφαλὴν πηλῷ [b] ἢ καὶ τὸ πρόσωπον. κἄ-
πειτα ἐν τοῖσι [c] οἰκίοισι λιποῦσαι τὸν νεκρὸν, [d] αὐταὶ ἀνὰ 142
τὴν πόλιν [e] στρωφώμεναι, τύπτονται [f] ἐπεζωσμέναι, καὶ
φαίνουσαι τοὺς μαζούς· σὺν δέ σφι αἱ προσήκουσαι
3 πᾶσαι. ἑτέρωθεν δὲ οἱ ἄνδρες τύπτονται, [g] ἐπεζωσμένοι
4 καὶ οὗτοι. ἐπεὰν δὲ ταῦτα ποιήσωσι, οὕτω ἐς τὴν τα-
86 ρίχευσιν κομίζουσι. Εἰσὶ δὲ οἳ ἐπ' αὐτῷ τούτῳ [a] κα-
2 τέαται, καὶ τέχνην ἔχουσι ταύτην. οὗτοι ἐπεάν σφι κο-
μισθῇ [b] νεκρὸς, [c] δεικνύασι τοῖσι κομίσασι παραδείγματα
νεκρῶν ξύλινα, τῇ γραφῇ μεμιμημένα. καὶ τὴν μὲν σπου-
δαιοτάτην αὐτέων φασὶ εἶναι, τοῦ οὐκ ὅσιον ποιεῦμαι
3 [d] τὸ οὔνομα ἐπὶ τοιούτῳ πρήγματι ὀνομάζειν. τὴν δὲ

Luctus in morte propinquorum.

Triplex condiendi cadaveris ratio: qualis prima: gummi pro glutine.

84.

[a] κατεστεᾶσι F. Supra νόσου S.

[b] τῶν om. M.K.F. Habent Ald. S.V.R. Paris.

85.

[a] Hic et infra vulgo cum S. οἰκηΐων. οἰκιέων utrobique F. οἰκίων posteriore loco P.K. quod utrobique reposuit Schweighæuserus, monens, "si οἰκηΐων (i. e. οἰκείων) voluisset, non ἐκ τῶν οἰκ. ἀνθ. scripturus erat, sed τῶν οἰκ. absque præpositione. Porro ἡ οἰκίη, unde gen. pl. τῶν οἰκιέων, Nostro significat *familiam*: h. l. de *ædibus* agitur, quæ ei sunt τὰ οἰκία."

[b] Sic M.K.P.F. Paris. ἢ al. om. cum S.

[c] οἰκίοισι K.P.S.V.F.a.b.c.d. Vulg. οἰκηΐοισι. Tum λειποῦσαι S.

[d] αὐταὶ F. Vulgo αὗται.

[e] Sic V.F.a. στροφώμεναι Wess. et al. στρεφόμεναι d. στροφόμεναι S.

[f] ὑπεζωόμεναι S. qui mox om. σὺν δέ σφι—πᾶσαι.

[g] ἐπεζωόμενοι S.V.

86.

[a] κατατετάχαται S. Vall.

[b] νεκρὸς K.S.V.P.F. Paris. Athenag. Legat. c. 25. Al. ὁ νεκρός. F. repetit κομισθῇ post νεκρός.

[c] Sic M.K.F.b.d. Athenag. P. Thomas M. in Ζευγνύασι. δεικνύουσι Ald. a.c.S. qui mox τὸ, οὐκ ὅσιον.

[d] τὸ om. V.S. Athenag. τὸ pro τοῦ d.

δευτέρην [e] δεικνύασι ὑποδεεστέρην [f] τε ταύτης καὶ εὐτελε-
στέρην· τὴν δὲ τρίτην, εὐτελεστάτην. φράσαντες δὲ, πυν-
θάνονται παρ᾽ αὐτῶν κατὰ ἥν τινα βούλονταί σφι σκευ-
4 ασθῆναι τὸν νεκρόν. οἱ μὲν δὴ ἐκποδὼν, μισθῷ ὁμολογή-
σαντες, ἀπαλλάσσονται· οἱ δὲ ὑπολειπόμενοι ἐν οἰκήμασι,
5 ὧδε τὰ σπουδαιότατα ταριχεύουσι. πρῶτα μὲν σκολιῷ
σιδήρῳ διὰ τῶν [g] μυξωτήρων [h] ἐξάγουσι τὸν ἐγκέφαλον,
τὰ μὲν αὐτοῦ οὕτω ἐξάγοντες, τὰ δὲ [i] ἐγχέοντες φάρμακα.
6 μετὰ δὲ, λίθῳ Αἰθιοπικῷ ὀξέϊ παρασχίσαντες παρὰ τὴν
λαπάρην, ἐξ ὧν εἷλον τὴν κοιλίην πᾶσαν· ἐκκαθήραντες
δὲ αὐτὴν, καὶ [k] διηθήσαντες οἴνῳ φοινικηΐῳ, αὖτις [l] διη-
7 θέουσι θυμιήμασι [m] τετριμμένοισι. ἔπειτα τὴν νηδὺν σμύρ-
νης [n] ἀκηράτου τετριμμένης, καὶ κασίης, καὶ τῶν ἄλλων
[o] θυωμάτων, πλὴν λιβανωτοῦ, πλήσαντες, συρράπτουσι
8 ὀπίσω. ταῦτα δὲ ποιήσαντες, ταριχεύουσι [p] λίτρῳ, κρύ-
ψαντες ἡμέρας ἑβδομήκοντα· πλεῦνας δὲ τουτέων οὐκ
9 ἔξεστι ταριχεύειν. ἐπεὰν δὲ παρέλθωσι αἱ ἑβδομήκοντα,
λούσαντες τὸν νεκρὸν, [q] κατειλίσσουσι πᾶν αὐτοῦ τὸ
σῶμα σινδόνος [r] βυσσίνης τελαμῶσι κατατετμημένοισι,
ὑποχρίοντες τῷ [s] κόμμι, τῷ δὴ ἀντὶ κόλλης [t] τὰ πολλὰ 143

[e] Sic P.M.K.F. Al. δεικνύουσι cum S.

[f] τε ταύτης κ. ε. om. F. τε om. S.

[g] μυκτήρων S.V. μυξητήρων d.

[h] ἐνάγουσι F.

[i] Sic P.K.V.S.F. φάρμ. ἐγχ. vulgo.

[k] θεραπεύσαντες b.d.

[l] διηθεύουσι F. αὖθις S.

[m] Sic M.P.S.K.V.R.F. Paris. περιτετριμμ. vulgo.

[n] ἀκράτου V.S.

[o] Sic Ald. R.a.b.c.d.V.S. Eustath. Od. δ'. p. 1488, 16=157, 5. Thomas M. in v. cf. II. 40. III. 113. θυώμασι non θυμιάμασι in Simonide ap. Clement. Alex. Pæd. II. p. 207. ex Athenæo XV. p. 690. C. legendum docuit Wesseling. θυμιημάτων M. K.P.F. Infra συρράπτουσιν S.

[p] λίτρῳ P.M.K.F.a. νίτρῳ S.c. b.d.P. pro v. l. Ald. Vide Pierson. ad Mœrin p. 246.

[q] κατειλήσουσι F. Mox τὸ σῶμα αὐτοῦ S.

[r] συσσίνης V.S.

[s] κόμι F. κόμμιδι Lex. Seguier. p. 104, 1.

[t] Sic F. ταπολλὰ vulgo.

10 [v] χρέωνται Αἰγύπτιοι. ἐνθεῦτεν δὲ παραδεξάμενοί μιν οἱ
προσήκοντες, ποιεῦνται ξύλινον τύπον ἀνθρωποειδέα· ποιη-
σάμενοι δὲ, [w] ἐσεργνῦσι τὸν νεκρόν· καὶ κατακληΐσαντες
οὕτω, θησαυρίζουσι ἐν οἰκήματι [x] θηκαίῳ, ἱστάντες ὀρθὸν
πρὸς τοῖχον. οὕτω μὲν τοὺς τὰ πολυτελέστατα σκευά-
87 ζουσι νεκρούς. Τοὺς δὲ [a] τὰ μέσα [b] βουλομένους, τὴν δὲ
2 [c] πολυτεληΐην [d] φεύγοντας, σκευάζουσι ὧδε. ἐπεὰν [e] τοὺς
κλυστῆρας πλήσωνται τοῦ [f] ἀπὸ κέδρου ἀλείφατος γινο-
μένου, [g] ἐν ὦν ἔπλησαν [h] τοῦ νεκροῦ τὴν κοιλίην, οὔτε
ἀναταμόντες αὐτὸν, οὔτε ἐξελόντες τὴν νηδὺν, [i] κατὰ δὲ
τὴν ἕδρην ἐσηθήσαντες· καὶ ἐπιλαβόντες τὸ κλύσμα τῆς
3 ὀπίσω ὁδοῦ, ταριχεύουσι τὰς προκειμένας ἡμέρας· τῇ δὲ
τελευταίῃ ἐξιεῖσι ἐκ τῆς κοιλίης τὴν [k] κεδρίην, τὴν ἐσῆ-
καν πρότερον· ἡ δὲ ἔχει τοσαύτην δύναμιν, ὥστε ἅμα
ἑωυτῇ τὴν νηδὺν καὶ τὰ σπλάγχνα κατατετηκότα ἐξά-
γει· τὰς δὲ σάρκας τὸ [l] λίτρον κατατήκει· καὶ δὴ λεί-
4 πεται τοῦ νεκροῦ τὸ δέρμα [m] μοῦνον, καὶ τὰ ὀστέα. ἐπεὰν
δὲ ταῦτα ποιήσωσι, ἀπ' ὧν ἔδωκαν οὕτω τὸν νεκρὸν, οὐ-
88 δὲν ἔτι πρηγματευθέντες. Ἡ δὲ τρίτη ταρίχευσίς ἐστι
ἥδε, [a] ἣ τοὺς χρήμασι ἀσθενεστέρους σκευάζει. [b] συρμαίῃ
διηθήσαντες τὴν κοιλίην, ταριχεύουσι [c] τὰς ἑβδομήκοντα

Reliqua duo genera conditurae.

[v] χρέονται a.
[w] ἐσεργνύουσι S.V.d. Mox κατακλείσαντες S.
[x] θηβαίῳ K.F. ἐν οἰκήματι—νεκροὺς om. S.V.d. Vall.

87.

[a] τὰ om. F.
[b] βουλομένους S.V.F. Paris. βουλευμένους edd. vett.
[c] πολυτελείην S.V.K.F.a.
[d] Sic P.M.F. Paris. Vulgo ἐκφεύγοντας.
[e] Sic M.K.P.F.b.d. τοὺς om. S. al. cf. Pollux X. 150.
[f] Sic K.S.V.P.F.d. ἀπὸ τοῦ κ. al.
[g] ἐν τῷ d.
[h] τὴν κοιλίην τοῦ νεκροῦ F.
[i] κατά τε F.
[k] κέδρην V.S.b.d.
[l] λίτρον F.a. νίτρον al. cum S. Supra δὲ om. Ald.
[m] μόνον F.

88.

[a] ἣ om. S.V.
[b] Hinc Pollux I. 247. et Suid. in v.
[c] Sic M.K.P.F. al. τὰς om. al. cum S.

89 ἡμέρας, καὶ ἔπειτα ἀπ' ὧν ἔδωκαν ἀποφέρεσθαι. Τὰς δὲ γυναῖκας τῶν ἐπιφανέων ἀνδρῶν, ἐπεὰν τελευτήσωσι, οὐ παραυτίκα διδοῦσι ταριχεύειν, οὐδὲ ὅσαι ἂν ὦσι εὐειδέες κάρτα καὶ λόγου [a] πλεῦνος γυναῖκες· ἀλλ' ἐπεὰν τριταῖαι ἢ τεταρταῖαι γένωνται, οὕτω παραδιδοῦσι τοῖσι
2 ταριχεύουσι. τοῦτο δὲ [b] ποιέουσι οὕτω τοῦδε [c] εἵνεκεν, ἵνα
3 μή σφι οἱ ταριχευταὶ [d] μίσγωνται τῇσι γυναιξί. [e] λαμφθῆναι γάρ τινά φασι μισγόμενον νεκρῷ προσφάτῳ γυναικός· [f] κατεῖπαι δὲ τὸν ὁμότεχνον.

Mulieres eximiæ, defunctæ non statim condiuntur.

90 Ὃς δ' ἂν ἢ αὐτῶν Αἰγυπτίων, ἢ ξείνων ὁμοίως, ὑπὸ κροκοδείλου [a] ἁρπαχθεὶς ἢ ὑπ' αὐτοῦ τοῦ ποταμοῦ φαίνηται [b] τεθνηὼς, κατ' ἣν ἂν πόλιν [c] ἐξενειχθῇ, τούτους πᾶσα ἀνάγκη ἐστὶ ταριχεύσαντας αὐτὸν, καὶ περιστείλαντας ὡς κάλλιστα, θάψαι
2 ἐν ἱρῇσι θήκῃσι. οὐδὲ ψαῦσαι ἔξεστι [d] αὐτοῦ ἄλλον οὐδένα, οὔτε τῶν προσηκόντων, οὔτε τῶν φίλων· ἀλλά μιν οἱ ἱρέες αὐτοὶ [e] οἱ τοῦ Νείλου, ἅτε πλέον τι ἢ [f] ἀνθρώπου νεκρὸν, [g] χειραπτάζοντες θάπτουσι.

Ab crocodilo raptus, aut mersus fluvio, sacrum funus.

91 Ἑλληνικοῖσι δὲ νομαίοισι [a] φεύγουσι χρᾶσθαι· τὸ δὲ σύμπαν εἰπεῖν, μήδ' ἄλλων μηδαμᾶ μηδαμῶν ἀνθρώπων νομαίοισι. οἱ μέν νυν ἄλλοι Αἰγύπτιοι οὕτω τοῦτο
2 φυλάσσουσι. [b] ἔστι δὲ [c] Χέμμις [d] πόλις μεγάλη νομοῦ

Chemmis urbs: in ea Perseo templum et signum dicatum, et 144

89.

[a] πλεῦνες S.
[b] ποιεῦσι F.
[c] Sic P.K.F. Vulgo εἵνεκα cum S.
[d] μίσγονται V.S.
[e] λαφθῆναι P. λαμφῆναι (θ) S.
[f] Sic Ald. c. cf. Gregor. Dial. Ion. 72. κατεῖπε V.S. κατειπεῖν M.K.P.F.

90.

[a] ἁρπασθεὶς b.d.S.
[b] τεθνεὼς K.F. τεθνηκὼς d.
[c] ἐξενεχθῇ F.
[d] αὐτῷ S.V.
[e] οἱ om. F.a.c.
[f] Sic P.M.K.F. Paris. Vulgo cum S. ἄνθρωπον.
[g] χειραπάζοντες K. quod adoptavit Schæferus.

91.

[a] φεύγουσι om. S.V. et mox μηδαμά.
[b] ἔτι V.S.
[c] χέμις V.F. sed mox χέμμιος F. cf. Steph. Byz. in v. χέμις (μ) S.
[d] πόλις om. S.

instituti ludi gymnici.

τοῦ Θηβαϊκοῦ, ἐγγὺς Νέης πόλιος. ἐν ταύτῃ τῇ [e] πόλι
ἐστὶ [f] Περσέος τοῦ Δανάης ἱρὸν τετράγωνον· πέριξ δὲ
[g] αὐτοῦ φοίνικες πεφύκασι· τὰ δὲ πρόπυλα τοῦ ἱροῦ
λίθινά ἐστι, κάρτα μεγάλα· [h] ἐπὶ δὲ αὐτοῖσι ἀνδριάντες
3 δύο ἑστᾶσι λίθινοι μεγάλοι. ἐν δὲ τῷ περιβεβλημένῳ
τούτῳ νηός τε ἔνι, καὶ ἄγαλμα ἐν αὐτῷ ἐνέστηκε [i] τοῦ
4 Περσέος. οὗτοι οἱ [j] Χεμμῖται λέγουσι τὸν Περσέα [k] πολ-
λάκι μὲν ἀνὰ τὴν γῆν φαίνεσθαί σφι, [k] πολλάκι δὲ ἔσω
τοῦ ἱροῦ. [l] σανδάλιόν τε αὐτοῦ [m] πεφορημένον εὑρίσκε-
σθαι, ἐὸν τὸ μέγαθος δίπηχυ· τὸ ἐπεὰν φανῇ, [n] εὐθηνέειν
5 ἅπασαν [o] Αἴγυπτον. ταῦτα μὲν λέγουσι. ποιεῦσι δὲ
[p] τάδε Ἑλληνικὰ τῷ Περσέϊ· ἀγῶνα γυμνικὸν τιθεῖσι
διὰ πάσης ἀγωνίης ἔχοντα· παρέχοντες ἄεθλα, κτήνεα
6 καὶ χλαίνας καὶ δέρματα. εἰρομένου δέ μευ ὅ τι σφι
μούνοισι ἔωθε ὁ Περσεὺς ἐπιφαίνεσθαι, καὶ ὅ τι κεχω-
ρίδαται Αἰγυπτίων τῶν ἄλλων, ἀγῶνα γυμνικὸν τιθέντες,
ἔφασαν "τὸν Περσέα ἐκ τῆς ἑωυτῶν πόλιος γεγονέναι·
"τὸν γὰρ Δαναὸν καὶ τὸν Λυγκέα, ἐόντας Χεμμίτας,
7 "ἐκπλῶσαι ἐς τὴν Ἑλλάδα." ἀπὸ δὲ τούτων γενεηλο-
8 γέοντες, κατέβαινον ἐς τὸν Περσέα. "ἀπικόμενον δὲ
"[q] αὐτὸν ἐς Αἴγυπτον, κατ' αἰτίην [r] τὴν καὶ Ἕλληνες

[e] πόλει F.S.
[f] τοῦ Π. K.P. teste Wesselingio. cf. infra. Mox Δαναοῦ S.
[g] αὐτὸ S.V.d. cf. I. 196. II. 29.
[h] ἐπὶ δὲ—μεγάλοι om. F. Mox μεγάλοι λίθινοι S.
[i] Sic F. Vulgo τοῦ om. Varietatem a Wesselingio e K.P. paullo supra enotatam huc pertinere censet Schweighæuserus.
[j] χεμῖται K.V.F. et infra.
[k] πολλάκις bis K.S.V.F.
[l] Hinc Pollux VII. 86.
[m] περιφορημένον d. Mox μέγεθος S.
[n] εὐθυνέειν Ald. εὐθενέειν in Zonarae Lex. p. 920. contra lexicographi mentem scribitur, monente Schweighæusero.
[o] Sic M.K.S.V.P.F. Paris. Vulgo τὴν Αἴγ.
[p] τὰ Ἑλλ. F. Mox κεχωρίκαται S.
[q] ἐς Αἴγ. αὐτὸν S.
[r] Sic S.V.R. Paris. Ald. ἣν καὶ M.K.P.F. τὴν Ἕλληνες absque καὶ d.

“ λέγουσι, οἴσοντα ἐκ Λιβύης τὴν Γοργοῦς κεφαλὴν
“ ἔφασαν, ἐλθεῖν καὶ παρὰ σφέας, καὶ ἀναγνῶναι τοὺς
“ συγγενέας πάντας· ἐκμεμαθηκότα δέ μιν ἀπικέσθαι
“ ἐς Αἴγυπτον τὸ τῆς [s] Χέμμιος οὔνομα, [t] πεπυσμένον
“ παρὰ τῆς μητρός· ἀγῶνά δέ οἱ γυμνικὸν, αὐτοῦ [v] κε-
“ λεύσαντος, ἐπιτελέειν.”

92 Ταῦτα μὲν πάντα οἱ κατύπερθε τῶν ἑλέων οἰκέοντες
2 Αἰγύπτιοι νομίζουσι. οἱ δὲ δὴ ἐν τοῖσι [a] ἕλεσι κατοικη-
μένοι, τοῖσι μὲν αὐτοῖσι νόμοισι χρέωνται τοῖσι καὶ οἱ ἄλ-
λοι Αἰγύπτιοι· καὶ τὰ ἄλλα, καὶ γυναικὶ μιῇ ἕκαστος
3 [b] αὐτῶν συνοικέει, κατάπερ Ἕλληνες. Ἀτὰρ πρὸς [c] εὐ-
4 τελέην τῶν σιτίων τάδε σφι ἄλλα ἐξεύρηται. [d] ἐπεὰν
πλήρης γένηται ὁ ποταμὸς, καὶ τὰ πεδία πελαγίσῃ,
φύεται ἐν τῷ ὕδατι κρίνεα πολλὰ, τὰ Αἰγύπτιοι κα-
λέουσι λωτόν· ταῦτα ἐπεὰν [e] δρέψωσι, αὐαίνουσι πρὸς
ἥλιον· καὶ ἔπειτα τὸ ἐκ [f] τοῦ μέσου τοῦ λωτοῦ [g] τῇ
μήκωνι ἐὸν ἐμφερὲς, [h] πτίσαντες, ποιεῦνται ἐξ αὐτοῦ
5 ἄρτους ὀπτοὺς πυρί. ἔστι δὲ καὶ ἡ ῥίζα τοῦ λωτοῦ τού-
του ἐδωδίμη, καὶ [i] ἐγγλύσσει ἐπιεικέως, ἐὸν στρογγύλον,
6 μέγαθος κατὰ μῆλον. Ἔστι δὲ καὶ ἄλλα κρίνεα ῥό-
δοισι ἐμφερέα, ἐν τῷ ποταμῷ γινόμενα καὶ ταῦτα· ἐξ
ὧν ὁ καρπὸς ἐν ἄλλῃ κάλυκι παραφυομένῃ [k] ἐκ τῆς

Ægyptiorum qui loca palustria habitant, mores iidem: victus e loto et byblo; aut ex solis piscibus ad solem siccatis.

[s] Χέμιος K.
[t] πεπασμένον S. πεπυσμένου F.
[v] τελέσαντος d.

92.

[a] ἕλλησι V. Supra οἰκέοντες om. S. Tum τοῖς Ald. Mox οἱ ante ἄλλοι om. S. et sic Schweigh. tacite.
[b] αὐτέων] αὐτῶν F.S.
[c] Sic S.V. Schæfer. cf. Koen. ad Gregor. Dial. Ion. 41. εὐτελείην vulgo. εὐτεληΐην Borheck.
[d] Citat Eustathius Od. ι΄. p. 1616, 46=337, med. Mox πελασγίσῃ S.
[e] Sic S.V.R.P.M.K. Eustath. F. Paris. Vulgo δρέψωνται.
[f] τοῦ om. V.P.S.F.
[g] τῇ μήκωνι S.V.R. Eustath. Ald. τῷ μ. M.P.K.F.c.
[h] Sic V.a.b.d. Eustath. loc. cit. et ad Il. δ΄. p. 481, 30=367, 11. πτύσαντες S. ὀπτήσαντες F.c. et al.
[i] ἐγγλύσσει P.M.K. Hesych. ἐγγλύσει F. Ald. C. ἐγγὺς εἰ S.V. ἐγγλυκάζει schol. in P.
[k] ἐκ τῆς γῆς V.S.b.d. Vall.

7 ῥίζης γίνεται, κηρίῳ σφηκῶν ἰδέην ὁμοιότατον. ἐν τούτῳ τρωκτὰ ὅσον τε πυρὴν ἐλαίης ἐγγίνεται συχνά. τρώ-
8 γεται δὲ καὶ ἁπαλὰ [l] ταῦτα καὶ αὖα. Τὴν δὲ βύβλον τὴν ἐπέτειον γινομένην, ἐπεὰν [m] ἀνασπάσωσι ἐκ τῶν ἑλέων, τὰ μὲν ἄνω αὐτῆς ἀποτάμνοντες, ἐς ἄλλο τι [n] τράπουσι· τὸ δὲ [o] κάτω λελειμμένον ὅσον τε ἐπὶ πῆ-
9 χυν, τρώγουσι, καὶ πωλέουσι. [p] οἳ δὲ ἂν καὶ κάρτα 145
βούλωνται χρηστῇ [q] τῇ βύβλῳ χρᾶσθαι, ἐν [r] κλιβάνῳ 41
10 διαφανέϊ πνίξαντες, οὕτω τρώγουσι. Οἱ δέ τινες αὐτῶν [s] ζῶσι ἀπὸ τῶν ἰχθύων [t] μούνων· τοὺς ἐπεὰν λάβωσι, καὶ ἐξέλωσι τὴν κοιλίην, αὐαίνουσι πρὸς ἥλιον, καὶ ἔπειτα αὔους ἐόντας σιτέονται.

93

Pisces in paludibus natos, gregatim in mare abeuntes gignere, ac redeuntes ova parere: multitudinis palustrium piscium quæ causa.

Οἱ δὲ ἰχθύες [a] οἱ ἀγελαῖοι, ἐν μὲν τοῖσι ποταμοῖσι οὐ μάλα γίνονται· τρεφόμενοι δὲ ἐν τῇσι λίμνῃσι, τοιάδε
2 [b] ποιεῦσι. ἐπεάν σφεας ἐσίῃ [c] οἶστρος κυΐσκεσθαι, ἀγεληδὸν ἐκπλώουσι ἐς [d] τὴν θάλασσαν. ἡγέονται δὲ οἱ ἔρσενες, ἀπορραίνοντες τοῦ θοροῦ· αἱ δὲ, ἑπόμεναι [e] ἀνα-
3 κάπτουσι, καὶ ἐξ αὐτοῦ κυΐσκονται. ἐπεὰν δὲ πλήρεες [f] γένωνται ἐν τῇ θαλάσσῃ, ἀναπλώουσι ὀπίσω ἐς ἤθεα
4 τὰ ἑωυτῶν ἕκαστοι. ἡγέονται μέντοι γε οὐκέτι οἱ αὐτοὶ, ἀλλὰ τῶν [g] θηλέων γίνεται ἡ ἡγεμονίη. [h] ἡγεύμεναι δὲ

[l] καὶ ταῦτα καὶ F.
[m] σπάσωσιν S.V.
[n] τρέπουσι d.S.
[o] καταλελ. S.
[p] οἱ δὲ ἐὰν K.P. οἱ δὲ καὶ ἂν βούλ. κάρτα V.S.
[q] τῇ om. V.S.
[r] Cf. Eustath. p. 975, 52=963, 32. Athen. III. p. 110. C. Wess.
[s] Forte ζώουσι. Schweigh.
[t] μοῦνον S.V.F.

93.

[a] οἱ om. S. et mox ἐν μὲν τοῖσι ποτ. om. S.
[b] Sic M.K.P.F. ποιέονται S. ποιέουσι d. edd.
[c] οἶστρον F. ἴστρος V.S.
[d] τὴν om. F.a.S.
[e] ἀναλάμπτουσι Ald. R. ἀνακάμπτουσι a.b.c.d. κατεσθίουσι gl. in P. Aristot. Gener. Anim. III. 5. citat Wesseling. τὸν εὐήθη λόγον—ὅνπερ καὶ Ἡρόδοτος ὁ μυθόλογος, ὡς κυϊσκομένων τῶν ἰχθύων ἐκ τοῦ ἀνακάπτειν τὸν θορόν.
[f] γίνωνται F.
[g] Sic V.S.F. θηλεῶν Ald. a.
[h] ἡγεύμενοι V.S.

ἀγεληδὸν, ποιεῦσι οἷόν περ ἐποίευν οἱ ἔρσενες· τῶν γὰρ
ὠῶν ἀπορραίνουσι κατ' ὀλίγους τῶν κέγχρων, οἱ δὲ [i]ἔρ-
5 σενες καταπίνουσι [k]ἑπόμενοι. εἰσὶ δὲ οἱ κέγχροι οὗτοι
ἰχθύες. ἐκ δὲ τῶν περιγινομένων καὶ μὴ καταπινομένων
6 κέγχρων οἱ τρεφόμενοι ἰχθύες γίνονται. οἳ δ' ἂν [l]αὐτῶν
ἁλῶσι ἐκπλώοντες ἐς θάλασσαν, φαίνονται τετριμμένοι
τὰ ἐπαριστερὰ τῶν κεφαλέων· οἳ δ' ἂν ὀπίσω ἀναπλώ-
7 οντες, τὰ ἐπιδέξια τετρίφαται. πάσχουσι δὲ ταῦτα διὰ
τόδε. ἐχόμενοι τῆς γῆς ἐπ' ἀριστερὰ καταπλώουσι ἐς
θάλασσαν· καὶ ἀναπλώοντες ὀπίσω, τῆς αὐτῆς ἀντέ-
χονται, ἐγχριπτόμενοι καὶ ψαύοντες ὡς μάλιστα, [m]ἵνα
8 δὴ μὴ ἁμάρτοιεν τῆς ὁδοῦ διὰ τὸν ῥόον. Ἐπεὰν δὲ [n]πλη-
θύεσθαι ἄρχηται ὁ Νεῖλος, τά τε κοῖλα τῆς γῆς καὶ τὰ
τέλματα [o]τὰ παρὰ τὸν ποταμὸν πρῶτα ἄρχεται [p]πί-
πλασθαι, διηθέοντος τοῦ ὕδατος ἐκ τοῦ ποταμοῦ· καὶ
αὐτίκα τε [q]πλέα γίνεται ταῦτα, καὶ παραχρῆμα ἰχ-
9 θύων σμικρῶν πίπλαται πάντα. [r]κόθεν δὲ [s]οἰκὸς αὐτοὺς
γίνεσθαι, ἐγώ μοι δοκέω [t]κατανοέειν τοῦτο. τοῦ προτέρου
ἔτεος ἐπεὰν ἀπολίπῃ ὁ Νεῖλος, οἱ ἰχθύες [v]ἐντεκόντες ὠὰ
ἐς τὴν ἰλὺν, ἅμα τῷ ἐσχάτῳ ὕδατι ἀπαλλάσσονται·
ἐπεὰν δὲ περιελθόντος τοῦ χρόνου πάλιν ἐπέλθῃ τὸ ὕδωρ, 146

[i] ἔῤῥενες S. ἔρνεες V.

[k] Sic M.K.P.F. al. ἐρχόμενοι Ald. a.c.S.

[l] αὐτέων] αὐτῶν F.S. Mox κεφαλαίων S.

[m] Sic S.V.a.b. edd. vett. δὴ om. M.K.P.F. Supra ἐγχριπτόμενοι cum S. pro ἐγχριμπ.

[n] πλήθεσθαι S.V.

[o] τὰ om. S.V.P.

[p] πίπλασθαι et infra πίπλαται solus M. Ceteri πίμπ. πιμπλασθαι S. cf. I. 212. IV. 72.

[q] πελάγια F. πλέα τε S.

[r] ὅθεν δεύτερον S.V.b.d.

[s] Sic F.b. Alii cum S. εἰκός. Deest voc. d.

[t] Sic F. Vulgo κατανοεῖν cum S. Mox ἀπολείπῃ S. qui ἔτεος ponit post Νεῖλος.

[v] Sic K.F.a.b.d. ἐκτεκόντες edd. οἱ τεκόντες S.V. probante Wessel. sed repugnante Schweigh. qui receptum interpretatur, *pisces, postquam ova in limo deposuerunt.* ὠιὰ F. Mox ὕλην pro ἰλὺν S.

ἐκ τῶν ᾠῶν τούτων παραυτίκα γίνονται [w] οἱ ἰχθύες. καὶ
περὶ μὲν [x] τοὺς ἰχθῦς οὕτω ἔχει.

94 Olei cicini usus ad uncturam et ad lucernas.

Ἀλείφατι δὲ χρέωνται [a] Αἰγυπτίων οἱ περὶ τὰ ἕλεα
οἰκέοντες, ἀπὸ τῶν σιλλικυπρίων τοῦ καρποῦ, τὸ [b] κα-
2 λεῦσι μὲν Αἰγύπτιοι [c] κίκι· ποιεῦσι δὲ ὧδε. παρὰ [d] τὰ
χείλεα τῶν τε ποταμῶν καὶ τῶν λιμνέων σπείρουσι τὰ
σιλλικύπρια ταῦτα, [e] τὰ ἐν [f] Ἕλλησι αὐτόματα ἄγρια
3 φύεται. ταῦτα ἐν τῇ Αἰγύπτῳ σπειρόμενα, καρπὸν
4 φέρει πολλὸν μὲν, δυσώδεα δέ. [g] τοῦτον ἐπεὰν συλλέ-
ξωνται, οἱ μὲν κόψαντες [h] ἀπιποῦσι· οἱ δὲ καὶ φρύξαν-
τες ἀπέψουσι, καὶ τὸ ἀπορρέον [i] ἀπ᾽ αὐτοῦ [k] συγκομί-
5 ζονται. ἔστι δὲ πῖον, καὶ οὐδὲν ἧσσον τοῦ ἐλαίου τῷ

95 Remedium adversus culices.

λύχνῳ προσηνές· ὀδμὴν δὲ [l] βαρέαν παρέχεται. Πρὸς
δὲ τοὺς κώνωπας, ἀφθόνους ἐόντας, τάδε σφί ἐστι με-
2 μηχανημένα. τοὺς μὲν τὰ ἄνω τῶν [a] ἑλέων οἰκέοντας οἱ
πύργοι ὠφελέουσι, [b] ἐς οὓς ἀναβαίνοντες [c] κοιμέονται· οἱ
γὰρ κώνωπες ὑπὸ τῶν ἀνέμων οὐκ οἷοί τέ εἰσι ὑψοῦ
3 πέτεσθαι. τοῖσι δὲ περὶ τὰ ἕλεα οἰκέουσι τάδε ἀντὶ τῶν
πύργων ἄλλα μεμηχάνηται. πᾶς ἀνὴρ [d] αὐτῶν ἀμφι-

[w] Sic M.P.K.F. οἱ ἰχθύες οὗτοι S.V.a.c. Ald.

[x] τοὺς ἰχθῦς P.M.K.F. τῶν ἰχθύων edd. vett. τοὺς ἰχθύας a.S.

94.

[a] Αἰγύπτιοι S.V.b.

[b] καλέουσι F.

[c] κίκι S.V.R.b.d. Vall. Ald. Strabo XVII. p. 1179=824. Conf. Plinius XV. 7. Dioscorid. IV. 164. Scaliger. Opusc. p. 432. Salmas. in Solin. p. 686. Jablonski Lexic. Vocum Ægypt. p. 110. τήκι P.M.K.F. a.c.

[d] τὰ om. F.

[e] τὰ ἐν] Sic M.K.V.P.S. Vulg. τὰ γὰρ ἐν cum F.c.

[f] ἕλεσι S. quam lectionem consideratione dignam judicat Wesselingius, videndus ad Hieroclis Synecd. p. 726.

[g] τούτων S.V.

[h] ἀπειποῦσι Ald. F.a. ἀπειτοῦσι Steph. marg. ἀπητοῦσι K.

[i] ἀπ᾽ αὐτοῦ M.P.K.F. Al. ἀπ᾽ om. cum S.

[k] συγκομίζουσι S.V.

[l] βαρείαν F. βαρέην Borheck. Male. παρέχεται βαρέαν S.

95.

[a] ἐλαίων F. Supra τὸ ἄνω S.

[b] ἐς τοὺς Borheck.

[c] κοιμέονται Ald. Paris. R. κοιμῶνται M.K.S. κοιμέωνται F.

[d] αὐτέων] αὐτῶν F.S.

βληστρον [e] ἔκτηται, τῷ [f] τῆς μὲν ἡμέρης ἰχθῦς ἀγρεύει,
τὴν δὲ νύκτα τάδε αὐτῷ χρᾶται· ἐν τῇ ἀναπαύεται κοίτῃ,
περὶ ταύτην ἵστησι τὸ ἀμφίβληστρον, καὶ ἔπειτα ἐνδὺς,
4 [g] ὑπ' αὐτῷ καθεύδει. οἱ δὲ κώνωπες, ἢν μὲν ἐν ἱματίῳ
[h] ἐνελιξάμενος [i] εὕδῃ ἢ σινδόνι, διὰ τούτων δάκνουσι· διὰ
δὲ τοῦ δικτύου οὐδὲ πειρῶνται [k] ἀρχήν.

Navium vectoriarum structura et cursus.

96 Τὰ δὲ δὴ πλοῖά σφι, τοῖσι φορτηγέουσι, ἔστι ἐκ τῆς
ἀκάνθης ποιεύμενα· τῆς ἡ μορφὴ μέν ἐστι [a] ὁμοιοτάτη τῷ
2 Κυρηναίῳ λωτῷ, τὸ δὲ δάκρυον κόμμι ἐστί. ἐκ ταύτης
ὦν τῆς ἀκάνθης κοψάμενοι ξύλα ὅσον τε [b] διπήχεα, πλιν-
3 θηδὸν συντιθεῖσι, [c] ναυπηγεύμενοι τρόπον [d] τοιόνδε. περὶ
γόμφους πυκνοὺς καὶ μακροὺς περιείρουσι τὰ διπήχεα
ξύλα· ἐπεὰν δὲ [e] τῷ τρόπῳ τούτῳ ναυπηγήσωνται, ζυγὰ
[f] ἐπιπολῆς [g] τείνουσι αὐτῶν· νομεῦσι δὲ οὐδὲν χρέωνται,
ἔσωθεν δὲ τὰς [h] ἁρμονίας ἐν ὦν ἐπάκτωσαν τῇ βύβλῳ·
πηδάλιον δὲ [i] ἓν ποιεῦνται, καὶ τοῦτο διὰ τῆς τρόπιος 147
[k] διαβύνεται· ἱστῷ δὲ ἀκανθίνῳ χρέωνται, ἱστίοισι δὲ
4 βυβλίνοισι. ταῦτα τὰ πλοῖα ἀνὰ μὲν τὸν ποταμὸν οὐ
[l] δύνανται πλέειν, ἢν μὴ λαμπρὸς ἄνεμος ἐπέχῃ, ἐκ γῆς
5 δὲ παρέλκεται. κατὰ ῥόον δὲ [m] κομίζεται ὧδε· ἔστι ἐκ

[e] κέκτηται M.P.F. Mox τὸ, τῆς S.

[f] Sic P.K.S.V.F. τῆς ἡ. μὲν vulgo. Mox τάδε post νύκτα solus suppeditavit F.

[g] ὑπ' αὐτὸ S.V.F. ὑπ' αὐτὸν a.c.

[h] ἐνελιξάμενος P.M.K.F. ἑλιξάμενος Ald. a.b. εἰλιξάμενος S.

[i] εὕδει F.

[k] την αρχὴν S.

96.

[a] Sic V.P.M.K.F. Paris. ὁμοιωτάτη S. Vulgo ὁμοίη.

[b] διπήχαια S. et mox.

[c] ἀπηγεύμενοι K.

[d] τοιοῦτον S.V.

[e] Sic S.K.P.F. Vulgo om. τῷ.

[f] ἐπὶ πολλῆς V.S.F.d.

[g] Sic Ald. V.R.S. Paris. F. τίνουσι M.K.P.

[h] Cf. Eustath. Od. p. 1532, 56=220, 28. Hesych. in Ἐπάκτωσαν.

[i] εὖ ποιεῦνται S.V.

[k] διαβύνεται P. Ald. M.K.F. Paris. cf. Kuster. ad Hesych. in Διαβύσσει. διαδύνεται S.V. διαβαίνεται Steph. edd. seqq.

[l] δύνανται M.K.P.F. quod defendit Wesseling. citans II. 125. et not. ad Diodor. V. 8. δύναται S.a.b. edd.

[m] κομίζονται F.

μυρίκης πεποιημένη θύρη, κατερραμμένη [n] ῥίπεϊ καλά-
μων, καὶ λίθος [o] τετρημένος διτάλαντος [p] μάλιστά κη
σταθμόν· τούτων τὴν μὲν θύρην, δεδεμένην κάλῳ, ἔμπρο-
σθε τοῦ πλοίου ἀπίει ἐπιφέρεσθαι, τὸν δὲ λίθον ἄλλῳ
6 κάλῳ ὄπισθε. ἡ μὲν δὴ θύρη, τοῦ ῥόου ἐμπίπτοντος, χω-
ρέει ταχέως, καὶ ἕλκει τὴν βᾶριν· (τοῦτο γὰρ δὴ οὔνομά
ἐστι τοῖσι πλοίοισι τούτοισι·) ὁ δὲ λίθος ὄπισθε [q] ἐπελ-
7 κόμενος, καὶ ἐὼν ἐν βυσσῷ, κατιθύνει τὸν πλόον. ἔστι δέ
σφι τὰ πλοῖα ταῦτα πλήθεϊ πολλὰ, καὶ ἄγει ἔνια πολ-
97 λὰς χιλιάδας ταλάντων. Ἐπεὰν δὲ ἐπέλθῃ ὁ Νεῖλος
τὴν χώρην, [a] αἱ πόλις μοῦναι φαίνονται ὑπερέχουσαι,
μάλιστά κη ἐμφερέες τῇσι ἐν τῷ Αἰγαίῳ [b] πόντῳ νήσοισι.
2 τὰ μὲν [c] γὰρ ἄλλα τῆς Αἰγύπτου πέλαγος γίνεται· αἱ
3 δὲ πόλις μοῦναι [d] ὑπερέχουσι. πορθμεύονται ὦν, ἐπεὰν
τοῦτο γένηται, οὐκέτι κατὰ [e] τὰ ῥέεθρα τοῦ ποταμοῦ,
4 ἀλλὰ διὰ μέσου τοῦ πεδίου. ἐς μέν γε Μέμφιν ἐκ
Ναυκράτιος [f] ἀναπλώοντι, παρ' αὐτὰς τὰς πυραμίδας
γίνεται ὁ πλόος· ἔστι δὲ [g] οὐκ οὗτος, ἀλλὰ παρὰ τὸ
5 ὀξὺ τοῦ Δέλτα, καὶ παρὰ Κερκάσωρον πόλιν. ἐς δὲ
Ναύκρατιν ἀπὸ θαλάσσης καὶ Κανώβου διὰ πεδίου
πλέων, ἥξεις κατ' [h] Ἄνθυλλάν τε πόλιν, καὶ [i] τὴν Ἀρ-
98 χάνδρου [k] καλευμένην. Τουτέων δὲ ἡ μὲν Ἄνθυλλα, ἐοῦ-

Ægypti Nilo inundatæ facies et navigatio.

[n] ῥιπικαλάμῳ S.V. Vid. Suid. v. Ῥιπῆς.

[o] τετριγμένος V. τετριμμένος F.S.

[p] μάλ. κη σταθμῷ διτάλ. S.V.

[q] Sic S.V.a. Ald. ἑλκόμενος P. M.K.F.

97.

[a] Sic Ald. R. Paris. αἱ πόλεις M.K.S. αἱ πόλιες F. et sic mox cum a. Ald.

[b] Sic M.S.K.P.V.F.b.d. κόλπῳ a.c. Ald.

[c] γὰρ om. S. Mox πόλιες S.

[d] ὑπερέχουσαι πορθμεύονται· ἐπεὰν ὦν τοῦτο Vall. S.V.

[e] τὰ om. F.S.

[f] ἀναπλέοντι F.

[g] Sic S.V. Vall. Schæfer. Vulgo οὐδ' οὗτος. Mox ἐς δὲ Ναυκράτιν S. et πλέων διὰ πεδίου.

[h] Hinc Steph. Byz. in v. qui citat τουτέων—ἐξαιρέτως. Postremum amplectitur Valckenærius; incaute.

[i] τὴν om. S.V.d.

[k] κελευομένην F.

σα λογίμη πόλις, ἐς ὑποδήματα ἐξαίρετος δίδοται τοῦ
2 αἰεὶ βασιλεύοντος Αἰγύπτου τῇ γυναικί. τοῦτο δὲ γίνεται,
3 [a] ἐξ ὅσου ὑπὸ Πέρσῃσί ἐστι Αἴγυπτος. ἡ δὲ ἑτέρη πόλις
δοκέει μοι τὸ οὔνομα ἔχειν ἀπὸ τοῦ Δαναοῦ γαμβροῦ,
Ἀρχάνδρου τοῦ Φθίου, τοῦ Ἀχαιοῦ· καλέεται γὰρ δὴ
4 Ἀρχάνδρου πόλις. εἴη δ' ἂν καὶ ἄλλος τις Ἄρχανδρος· 148
οὐ μέντοι γε Αἰγύπτιον τὸ οὔνομα.

Anthylla urbs et Archandropolis.

99 Μέχρι μὲν τούτου ὄψις τε [a] ἐμὴ καὶ γνώμη καὶ
ἱστορίη ταῦτα λέγουσά ἐστι· τὸ δὲ ἀπὸ τοῦδε, Αἰγυ-
2 πτίους ἔρχομαι λόγους ἐρέων, κατὰ τὰ ἤκουον. [b] προσ-
3 έσται [c] δὲ αὐτοῖσί τι καὶ τῆς ἐμῆς ὄψιος. Τὸν [d] Μῆνα,
[e] τὸν πρῶτον βασιλεύσαντα Αἰγύπτου, οἱ ἱρέες ἔλεγον,
4 [f] τοῦτο μὲν, ἀπογεφυρῶσαι [g] καὶ τὴν Μέμφιν. τὸν γὰρ
ποταμὸν πάντα ῥέειν παρὰ τὸ ὄρος τὸ [h] ψάμμινον πρὸς
Λιβύης· τὸν δὲ Μῆνα ἄνωθεν, ὅσον τε ἑκατὸν σταδίους
ἀπὸ Μέμφιος, [i] τὸν πρὸς μεσαμβρίης ἀγκῶνα προσχώ-
σαντα, τὸ μὲν ἀρχαῖον ῥέεθρον ἀποξηράναι, τὸν δὲ ποτα-
5 μὸν ὀχετεῦσαι, τὸ μέσον τῶν οὐρέων ῥέειν. ἔτι δὲ καὶ νῦν
ὑπὸ Περσέων ὁ ἀγκὼν οὗτος τοῦ Νείλου, [k] ὃς ἀπεργμένος
ῥέει, ἐν φυλακῇσι μεγάλῃσι ἔχεται, [l] φρασσόμενος ἀνὰ
6 πᾶν ἔτος. εἰ γὰρ [m] ἐθελήσει ῥήξας ὑπερβῆναι ὁ ποταμὸς

Menes, Ægypti rex primus, ab a. 2235 ad 2173: condidit Memphin, et in ea templum Vulcani.

98.

[a] ἐξ ὅτου S.

99.

[a] Sic V.M.P.K.S.F. Paris. ἐμοὶ al.

[b] πρόσεστι S. qui supra om. τὰ cum vulg. quod præbent B.K. P.V.

[c] Sic M.K.V.F.b.d. δέ τοι καὶ αὐτοῖσι τὶ καὶ τῆς ἐ. ὄ. c. vulgo. δέ τι κ. α. τι a. δέ τι καὶ αὐτοῖσι καὶ S.

[d] Μῆνα Ald. R. Μῖνα M.K.S. F.a.b.c. Vall. et mox. cf. supra 4.

[e] Sic S.V. Paris. Vall. τὸν om. F. et al.

[f] Sic S.P.V.K.F.b. τοῦτον a.c. d. edd. vett.

[g] Sic M.K.F.a.c. καὶ om. Ald. V.R.S.

[h] ψάμμινον P.K.M.F. ψίμμινον V.S.b.d. ψάμμιον a.c. Ald.

[i] τὸν om. S.V. Mox ὀρέων S.

[k] ὡς Ald. V.S.K.F. ἀπεργόμενος F.d.

[l] φρασόμενος S.V.F.

[m] ἐθελήσει V.S.F. Paris. ἐθελήσοι edd. vett.

7 ταύτῃ, κίνδυνος πάσῃ Μέμφι κατακλυσθῆναί ἐστι. [n] ὡς
δὲ τῷ [o] Μῆνι τούτῳ τῷ πρώτῳ γενομένῳ βασιλέϊ χέρσον
γεγονέναι τὸ ἀπεργμένον, τοῦτο μὲν, [p] ἐν αὐτῷ πόλιν
8 κτίσαι ταύτην, ἥτις νῦν Μέμφις καλέεται· ἔστι γὰρ
καὶ ἡ Μέμφις ἐν τῷ στεινῷ τῆς Αἰγύπτου· ἔξωθεν δὲ
αὐτῆς [q] περιορύξαι λίμνην ἐκ τοῦ ποταμοῦ πρὸς βορέην
τε καὶ [r] πρὸς ἑσπέρην· τὸ γὰρ πρὸς τὴν ἠῶ αὐτὸς ὁ Νεῖ-
9 λος ἀπέργει. τοῦτο δὲ, τοῦ Ἡφαίστου τὸ ἱρὸν ἱδρύσασθαι
100 ἐν αὐτῇ, ἐὸν μέγα τε καὶ ἀξιαπηγητότατον. Μετὰ δὲ

Reges post Menem cccxxx, in quibus Æthiopes xviii, et una mulier Nitocris nomine, imperans ab a. 1994 ad 1982: quomodo hæc ulta sit cædem fraternam.

τοῦτον, κατέλεγον οἱ ἱρέες ἐκ [a] βύβλου ἄλλων [b] βασιλέων
2 τριηκοσίων τε καὶ τριήκοντα οὐνόματα. ἐν [c] τοσαύτῃσι
γενεῇσι ἀνθρώπων, ὀκτωκαίδεκα μὲν Αἰθίοπες ἦσαν, μία
3 δὲ γυνὴ ἐπιχωρίη· οἱ δὲ ἄλλοι, ἄνδρες Αἰγύπτιοι. τῇ δὲ
γυναικὶ οὔνομα ἦν ἥ τις ἐβασίλευσε [d] τόπερ τῇ Βαβυ-
4 λωνίῃ, Νίτωκρις. τὴν ἔλεγον τιμωρέουσαν [e] ἀδελφεῷ, τὸν
Αἰγύπτιοι [f] βασιλεύοντα σφέων ἀπέκτειναν· ἀποκτεί-
ναντες δὲ, οὕτω ἐκείνῃ ἀπέδοσαν τὴν βασιληΐην· τούτῳ
τιμωρέουσαν, πολλοὺς Αἰγυπτίων [g] διαφθεῖραι δόλῳ.
5 ποιησαμένην γάρ μιν οἴκημα περίμηκες [h] ὑπόγαιον, και- 149
6 νοῦν τῷ λόγῳ, νόῳ δὲ ἄλλα μηχανᾶσθαι. [i] καλέσασαν

[n] τῷ δὲ sine ὡς S.V.b.
[o] Μινὶ S.a.b.c. Μηνὶ F. suprascripto Μινί.
[p] Ald. Paris. S.V. ἐν om. P. M.K.F.
[q] περιόρυξε S.
[r] Sic M.K.S.V.P.F. Paris. πρὸς al. om.

100.

[a] Sic F. Paris. et al. βύβλων Ald. Schæfer. βίβλων S.
[b] βασιλέων F. et vulgo. βασιλήων ἄλλων S. Mox τε post τριηκοσίων om. F.S.
[c] Sic F.a.c.M. Ald. τοσαύτῃσι δὲ γ. S.V.b.d. Mox dedi μία pro μίη ex S.
[d] τόπερ τῇ R.V.S.a.b.c. τόπερ ἐν τῇ P.M.K.F. τῇπερ τῇ Ald. τόπερ τῆς βαβυλωνίης d. Pro ἐν τῇ Schweigh. suspicatur καὶ τῇ, Valckenærius τῇ ἐν. Possis et ἦν τῇ. Ad Josephi Antiq. VIII. 6. 2. remittit Wesselingius, et Bochart. Phaleg. II. 26.
[e] ἀδελφεὸν S.
[f] βασιλεύσαντα S.
[g] δόλῳ διαφθεῖραι F.
[h] ὑπόγεον, καὶ νῦν S.V.
[i] Sic M.K.P.F. Paris. καλέεσαν V.S. καλέουσαν edd.

δέ μιν Αἰγυπτίων τοὺς μάλιστα μεταιτίους τοῦ φόνου
[k] ἤδεε, πολλοὺς ἑστιᾶν· δαινυμένοισι δὲ ἐπεῖναι τὸν πο-
7 ταμὸν δι' αὐλῶνος κρυπτοῦ μεγάλου. ταύτης μὲν πέρι
τοσαῦτα ἔλεγον· πλὴν ὅτι [l] αὐτήν μιν, ὡς τοῦτο [m] ἐξέρ-
γαστο, ῥίψαι ἐς οἴκημα [n] σποδοῦ πλέον, ὅκως ἀτιμώ-
101 ρητος γένηται. Τῶν δὲ ἄλλων βασιλέων οὐ γὰρ ἔλεγον
[a] οὐδεμίαν ἔργων ἀπόδεξιν, κατ' οὐδὲν εἶναι λαμπρότητος,
2 πλὴν ἑνὸς τοῦ ἐσχάτου αὐτῶν [b] Μοίριος. τοῦτον δὲ ἀπο-
δέξασθαι μνημόσυνα, τοῦ Ἡφαίστου τὰ πρὸς [c] Βορῆν
ἄνεμον τετραμμένα προπύλαια· λίμνην τε ὀρύξαι, τῆς ἡ
[d] περίοδος ὅσων ἐστὶ σταδίων ὕστερον δηλώσω· πυραμίδας
τε ἐν αὐτῇ οἰκοδομῆσαι, τῶν τοῦ μεγάθεος πέρι ὁμοῦ αὐ-
3 τῇ τῇ λίμνῃ ἐπιμνήσομαι. τοῦτον μὲν τοσαῦτα ἀποδέ-
ξασθαι, τῶν δὲ ἄλλων [e] οὐδένα οὐδέν.

Rex Mœris, ultimus illorum, ab a. 1445 ad 1416: ejus tria opera.

102 Παραμειψάμενος ὦν τούτους, τοῦ ἐπὶ τούτοισι γενο-
μένου [a] βασιλέος, τῷ οὔνομα [b] ἔην Σέσωστρις, τούτου
2 μνήμην ποιήσομαι. τὸν [c] ἔλεγον οἱ ἱρέες πρῶτον μὲν
[d] πλοίοισι μακροῖσι ὁρμηθέντα ἐκ τοῦ Ἀραβίου κόλπου,
τοὺς [e] παρὰ τὴν Ἐρυθρὴν θάλασσαν κατοικημένους κατα-
στρέφεσθαι· ἐς ὃ πλέοντά μιν πρόσω, ἀπικέσθαι ἐς
3 θάλασσαν [f] οὐκέτι πλωτὴν ὑπὸ βραχέων. ἐνθεῦτεν δὲ
[g] ὡς ὀπίσω ἀπίκετο ἐς Αἴγυπτον, κατὰ τῶν ἱρέων τὴν

Post illos regnat Sesostris, ab a. 1416 ad 1357: is ex Arabico sinu quam longe potuit progressus, rubri maris accolas; et reversus mediterraneos populos ad sep-

[k] ἤδε V.d. ἤϊδε S. Mox δεννυμένοισι S.
[l] αὐτήν μιν M.K.V.S.F. Paris. αὐτὴν μὲν Ald.
[m] ἐξεργάσατο S. ἐξέργατο V.
[n] σπονδῆς S.

101.

[a] οὐδεμίην] οὐδεμίαν F.S. Mox ἀπόδειξιν S.
[b] Μύριος V.S.b.
[c] Sic P.F.b.c.d. Alii cum S. Βιρέην. cf. 149.
[d] Sic M.S.K.P.V.F.a.b.d. περίμετρος c. et vulg. Mox μεγέθεος S.
[e] οὐδένα ἄλλων] ἄλλων οὐδένα F.a.S.

102.

[a] Sic S.K. Paris. Ald. βασιλέως F. al.
[b] ἦν S.K.V.F.
[c] ἔλεγον om. V.S.
[d] πλόοισι a.c.
[e] Sic M.K.S.V.P.F. Paris. περὶ Ald.
[f] Sic S.K.V.M.P.F. Paris. μηκέτι edd. c.
[g] ὡς om. ed. Steph. 2. et al.

tentrionem domuit: cippi victoriæ indices.

φάτιν, στρατιὴν [h] πολλὴν λαβὼν ἤλαυνε διὰ τῆς ἠπεί- 150 4 ρου, πᾶν ἔθνος τὸ [i] ἐμποδὼν καταστρεφόμενος. ὁτέοισι μέν νυν [k] αὐτῶν ἀλκίμοισι ἐνετύγχανε [l] καὶ δεινῶς γλι- 1 χομένοισι [m] περὶ τῆς ἐλευθερίης, τούτοισι μὲν στήλας [n] ἐνίστη ἐς τὰς χώρας, διὰ γραμμάτων λεγούσας τό τε ἑωυτοῦ οὔνομα καὶ τῆς πάτρης, καὶ ὡς [o] δυνάμι τῇ 5 ἑωυτοῦ κατεστρέψατό σφεας. [p] ὁτέων δὲ ἀμαχητὶ καὶ εὐπετέως παρέλαβε [q] τὰς πόλις, τούτοισι δὲ ἐνέγραφε ἐν τῇσι στήλῃσι κατὰ ταὐτὰ [r] καὶ τοῖσι ἀνδρηΐοισι τῶν ἐθνέων γενομένοισι· καὶ δὴ καὶ αἰδοῖα γυναικὸς [s] προσενέγραφε, δῆλα βουλόμενος ποιέειν ὡς [t] εἴησαν ἀνάλκιδες.

103 Quousque in Europam arma tulerit.

103 [a] Ταῦτα δὲ ποιέων, διεξήϊε τὴν ἤπειρον· ἐς ὃ ἐκ τῆς Ἀσίης ἐς τὴν Εὐρώπην διαβὰς, τούς τε Σκύθας κατ- 2 εστρέψατο καὶ τοὺς Θρήϊκας. ἐς τούτους δέ μοι δοκέει [b] καὶ προσώτατα ἀπικέσθαι ὁ Αἰγύπτιος [c] στρατός· ἐν μὲν γὰρ τῇ τούτων χώρῃ φαίνονται σταθεῖσαι αἱ στῆλαι· 3 [d] τὸ δὲ προσωτέρω τούτων, οὐκέτι. ἐνθεῦτεν δὲ ἐπιστρέψας ὀπίσω ἤϊε· καὶ ἐπεί τε ἐγένετο ἐπὶ [e] Φάσι ποταμῷ, οὐκ

[h] Sic S.V. Paris. πολλὴν τῶν λαβὼν Ald. et alii. πολλὴν στρατιὴν τῶν λαβὼν F. ubi τῶν notatur ut suspectum, quod, docente Schweighæusero, non habet quo referatur, nisi interciderit Αἰγυπτίων. Pro τῶν nescio an legendum αὐτῶν.

[i] ἐμποδὸν S.V.

[k] αὐτέων] αὐτῷ F.

[l] καὶ om. S.V.b.d.

[m] περὶ delevit cum Valckenærio Schæferus. Nostrum VIII. 143. conferens Wesselingius nihil hic mutandum statuit, potest enim idem videri ac περιγλίχεσθαι. cf. Abresch. ad Cattier. p. 86. Dil. Thuc. p. 722.

[n] Sic M.P.K.V.F. Paris. ἀνίστη al. cum S.

[o] Sic M.P.K.V. δυνάμει S.F.a. vulg.

[p] καὶ τέων δὲ F.

[q] Sic Paris. R. Ald. πόλιας P. M.K.F. πόλεις S.V.

[r] καὶ om. c.

[s] Sic M.K.P.F. Paris. προσανέγραφε Ald. Eustath. Hom. p. 668, 42=537, 46. προσενέγραψε S.V.

[t] Sic P.M.K.F. ἦσαν S.V.a.d. al.

103.

[a] Sic K.F.S. ταῦτα δὴ vulgo.

[b] Sic P.F. Schæfer. καὶ οὐ πρ. vulgo cum S.

[c] Σέσωστρις S. nec male. Vid. c. 107. Wess.

[d] τῷ δὲ S.

[e] Φάσει V.S.

ἔχω [f] τὸ ἐνθεῦτεν ἀτρεκέως εἰπεῖν, εἴτε αὐτὸς ὁ βασιλεὺς
Σέσωστρις ἀποδασάμενος τῆς ἑωυτοῦ στρατιῆς μόριον ὅσον
[g] δὴ, αὐτοῦ [h] κατέλιπε [i] τῆς χώρης οἰκήτορας· εἴτε τῶν
τινὲς στρατιωτέων [k] τῇ πλάνῃ αὐτοῦ [l] ἀχθεσθέντες, περὶ
104 Φᾶσιν ποταμὸν κατέμειναν. Φαίνονται μὲν γὰρ ἐόντες
[a] οἱ Κόλχοι Αἰγύπτιοι· νοήσας δὲ πρότερον αὐτὸς, ἢ ἀκού-
2 σας ἄλλων, λέγω. ὡς δέ μοι ἐν φροντίδι ἐγένετο, [b] εἰρό-
μην ἀμφοτέρους· καὶ μᾶλλον οἱ Κόλχοι ἐμεμνέατο τῶν
3 Αἰγυπτίων, ἢ οἱ Αἰγύπτιοι τῶν Κόλχων. νομίζειν δ'
ἔφασαν [c] Αἰγύπτιοι τῆς Σεσώστριος στρατιῆς εἶναι τοὺς
Κόλχους· αὐτὸς δὲ εἴκασα τῇδε, καὶ ὅτι [d] μελάγχροές
4 εἰσι καὶ [e] οὐλότριχες. καὶ τοῦτο μὲν ἐς οὐδὲν [f] ἀνήκει·
5 εἰσὶ γὰρ καὶ ἕτεροι τοιοῦτοι. ἀλλὰ [g] τοισίδε [h] καὶ μᾶλ-
λον, ὅτι μοῦνοι πάντων ἀνθρώπων Κόλχοι καὶ Αἰγύπτιοι
[i] καὶ Αἰθίοπες περιτάμνονται ἀπ' ἀρχῆς τὰ αἰδοῖα.
6 Φοίνικες δὲ καὶ [l] Σύροι οἱ ἐν τῇ Παλαιστίνῃ, καὶ αὐτοὶ 151
ὁμολογέουσι παρ' Αἰγυπτίων μεμαθηκέναι· Σύριοι δὲ οἱ
περὶ [m] Θερμώδοντα καὶ Παρθένιον ποταμὸν, καὶ [n] Μά-
κρωνες οἱ τούτοισι ἀστυγείτονες ἐόντες, ἀπὸ Κόλχων φασὶ

Colchi ab Ægyptiis oriundi: quæ gentes virilia circumcidant.

[f] ἀτρεκέως τὸ ἐνθ. V.S.
[g] δὴ αὐτοῦ om. S.V. αὐτοῦ om. d.
[h] Sic Ald. V.S. Paris. R. καταλείπει M.K.F.
[i] τῆς χώρου S.V.
[k] Edd. Steph. 2. et seqq. ἐν τῇ πλ.
[l] ἀχθέντες V.S.b.d.

104.

[a] οἱ om. V. ἐόντες τῇ χροιῇ Αἰγύπτιοι S. unde Schæferus ἐόντες τῇ χροιῇ οἱ K. A. improbante Schweighæusero.
[b] Sic S.V. Alii ἠρόμην.
[c] οἱ Αἰγ. F.
[d] μελάχροες V.S.
[e] Hinc Pollux II. 23. Eustath. Dionys. 689.
[f] ἀφήκει S.
[g] Sic Schæferus. τοῖσι δὲ K.d. τοῖσιδε S.a. Vulgo τοῖσι δή.
[h] Sic P.M.K.F.a.c. καὶ om. vulg. cum S. Tum οὗτοι S. pro ὅτι.
[i] καὶ Αἰθίοπες om. c.
[k] περιτάμνουσιν F.
[l] Σύροι P.M.F.b.c. Σύριοι S.K. a.d. Ald. Josephus Antiq. VIII. 10, 31. c. Ap. I. 21. Ἀσσύριοι Africanus apud Euseb. Præp. X. 10. p. 490. Wess. Mox omnes Σύριοι δέ.
[m] Θερμώδοντα ποταμὸν καὶ Παρθ. S.V. Eustath. Dionys. 772.
[n] Conf. Schol. Apoll. Rhod. I. 1024.

7 νεωστὶ μεμαθηκέναι. οὗτοι γάρ εἰσι [o] οἱ περιταμνόμενοι
ἀνθρώπων [p] μοῦνοι· καὶ οὗτοι [q] Αἰγυπτίοισι φαίνονται
ποιεῦντες κατὰ τὰ αὐτά. αὐτῶν δὲ Αἰγυπτίων καὶ Αἰ-
θιόπων οὐκ ἔχω εἰπεῖν ὁκότεροι παρὰ τῶν ἑτέρων ἐξέμαθον·
8 ἀρχαῖον γὰρ δή τι φαίνεται ἐόν. ὡς δ᾽ ἐπιμισγόμενοι
Αἰγύπτῳ ἐξέμαθον, μέγα μοι καὶ τόδε [r] τεκμήριον γί-
νεται· Φοινίκων ὁκόσοι τῇ Ἑλλάδι ἐπιμίσγονται, οὐκέτι
Αἰγυπτίους μιμέονται κατὰ τὰ αἰδοῖα, ἀλλὰ τῶν ἐπι-
105 γινομένων οὐ περιτάμνουσι τὰ αἰδοῖα. [a] Φέρε νυν καὶ
ἄλλο εἴπω περὶ τῶν Κόλχων, ὡς Αἰγυπτίοισι [b] προσ-
2 φερέες εἰσί. [c] λίνον μοῦνοι οὗτοί τε καὶ Αἰγύπτιοι [d] ἐργά-
ζονται κατὰ τὰ αὐτά· καὶ ἡ ζόη πᾶσα καὶ ἡ γλῶσσα
3 ἐμφερής ἐστι ἀλλήλοισι. [e] λίνον δὲ τὸ μὲν Κολχικὸν,
ὑπὸ Ἑλλήνων [f] Σαρδονικὸν κέκληται· τὸ μέντοι ἀπ᾽ Αἰ-
106 γύπτου ἀπικνεύμενον, καλέεται Αἰγύπτιον. [a] Τὰς δὲ
στήλας τὰς [b] ἵστα [c] κατὰ τὰς χώρας ὁ Αἰγύπτου βα-
σιλεὺς Σέσωστρις, αἱ μὲν πλεῦνες οὐκέτι φαίνονται πε-
ριεοῦσαι· ἐν δὲ τῇ Παλαιστίνῃ Συρίῃ αὐτὸς [d] ὥρεον ἐούσας,

Colchi et Ægyptii lino elaborando, et vita, et lingua similes.

Cippi victoriæ de imbellibus, in Palæstina: duæ statuæ circa Io-

[o] ἀνθρώπων οἱ περιτ. S.V.

[p] μόνοι F.

[q] Αἰγύπτιοι V.S. Mox τι om. S.

[r] Sic M.K.P.F.a. μαρτύριον S. b.c.d. et al.

105.

[a] φέρε νυν M.K.V.S.P. φέρε νῦν F. φέρε δὴ vulgo.

[b] προσφορέες F.

[c] Spectavit hæc Strabo XI. p. 762=498. Eustath. Dionys. 689. Schol. Apoll. Rh. IV. 277. Wess. λῖνον μοῦνον S.

[d] Sic S.V. Paris. ἐργάζονται, καὶ κατὰ ταὐτὰ καὶ ἡ ζ. M.F. Mox ζωὴ S.

[e] λίνων a. Sequentia exscripsit Pollux, auctore Wesselingio, sic legendus V. 26. Ἡρόδοτος δὲ τὸ Κολχικὸν, ὅπερ ἐστι Φασιανὸν, ὑφ᾽ Ἑ.

[f] Σαρδωνικὸν S.F.a. Neutrum male. Σαρδιηνὸν forsan malles cum Larchero: sed videntur ipsi Græci vulgo subinde duo nomina gentilitia, Σαρδωνικὸς et Σαρδιανὸς vel Σαρδιανικὸς, quorum alterum ad Sardiniam insulam, alterum ad Sardes urbem pertinet, inter se confudisse. Vide Holsten. ad Steph. Byz. p. 284. Schweigh. Mox ἀπικνεόμενον S.

106.

[a] Sic S.V.b.c.d. αἱ δὲ στῆλαι F.a. Ald. et forte M.K.P.

[b] ἵστη b.S. Mox περιοῦσαι S.

[c] Sic M.S.V.K.P.F.a.b.d. κατὰ χώρας c. κατὰ χώραν vulgo.

[d] Sic S. probante Koen. ad

καὶ τὰ γράμματα τὰ εἰρημένα ἐνεόντα, καὶ γυναικὸς
2 αἰδοῖα. εἰσὶ δὲ καὶ περὶ Ἰωνίην δύο τύποι ἐν πέτρῃσι ἐγ-
κεκολαμμένοι τούτου τοῦ ἀνδρὸς, τῇ τε ἐκ τῆς Ἐφεσίης [e] ἐς
3 Φώκαιαν ἔρχονται, καὶ τῇ ἐκ Σαρδίων ἐς Σμύρνην. [f] ἑκα-
τέρωθι δὲ ἀνὴρ ἐγγέγλυπται, μέγαθος πέμπτης σπιθα-
μῆς, τῇ μὲν δεξιῇ χερὶ ἔχων αἰχμὴν, τῇ δὲ ἀριστερῇ
[g] τόξα, καὶ τὴν ἄλλην [h] σκευὴν ὡσαύτως· καὶ γὰρ Αἰ-
γυπτίην καὶ [i] Αἰθιοπίδα ἔχει· ἐκ δὲ τοῦ ὤμου ἐς τὸν
ἕτερον ὦμον διὰ τῶν στηθέων γράμματα ἱρὰ Αἰγύπτια 152
4 διήκει ἐγκεκολαμμένα, λέγοντα τάδε· ΕΓΩ ΤΗΝΔΕ
ΤΗΝ ΧΩΡΗΝ [k] ΩΜΟΙΣΙ ΤΟΙΣΙ ΕΜΟΙΣΙ ΕΚΤΗ-
ΣΑΜΗΝ. ὅστις δὲ καὶ ὁκόθεν ἐστὶ, ἐνθαῦτα μὲν οὐ δη-
5 λοῖ, ἑτέρωθι δὲ δεδήλωκε. [l] τὰ δὴ καὶ μετεξέτεροι τῶν
[m] θεησαμένων Μέμνονος εἰκόνα εἰκάζουσί μιν εἶναι, πολὺ
τῆς [n] ἀληθηΐης [o] ἀπολελειμμένοι.

niam, Sesostris imaginem referentes, non Memnonis.

107 Τοῦτον δὴ τὸν Αἰγύπτιον Σέσωστριν ἀναχωρέοντα, καὶ ἀνάγοντα [a] πολέας ἀνθρώπους τῶν ἐθνέων τῶν τὰς χώρας κατεστρέψατο, ἔλεγον οἱ ἱρέες, ἐπεί τε [b] ἐγένετο ἀνακομιζόμενος ἐν Δάφνῃσι τῇσι Πηλουσίῃσι, τὸν ἀδελφεὸν ἑωυτοῦ τῷ ἐπέτρεψε [c] Σέσωστρις τὴν Αἴγυπτον, τοῦτον ἐπὶ [d] ξείνια αὐτὸν καλέσαντα, καὶ πρὸς αὐτῷ τοὺς παῖ-

Redeunti Sesostri periculum a fratre: quomodo id evitarit.

Gregor. p. 190=407. cf. 150. ὥρων K.F.a. ὧρον P. ὥρεων Ald. ὥρεον vulgo.

[e] ἐς Φώκαιαν ἔρχονται M.K.V. P.F. Paris. ἐφ' ᾧ καὶ ἀνέρχονται S. Vulgo κατέρχονται.

[f] Sic M.K.P.F.a.b.d. Alii ἑκατέρωθεν cum S. qui mox μέγεθος.

[g] Sic K.S.V.M.P.F. Paris. τόξον edd. vett.

[h] κατασκευὴν S.V.d. ὁπλισμὸν gl. in P.

[i] Αἰθιοπίην b.d.

[k] νόμοισι S. ὤμοισι V.

[l] τὰ δὲ S.

[m] θειησάμενοι S. θειησαμένων V.

[n] ἀληθείης F.a. ἀληθείας S.

[o] ἀπολελυμμένοι V.

107.

[a] Sic R.b.c.d. πολλέας Ald. πολλοὺς M.K.V.S.F.a.

[b] ἐγίνετο K.S.V.P.F.a. Mox αὐτοῦ S. Ald.

[c] ὁ Σ. F.

[d] ξεινίᾳ b.

δας, [e] περινῆσαι ἔξωθεν τὴν οἰκίην [f] ὕλῃ· περινήσαντα
2 δὲ, ὑποπρῆσαι. τὸν δὲ ὡς μαθεῖν τοῦτο, αὐτίκα συμ-
βουλεύεσθαι τῇ γυναικί· καὶ γὰρ δὴ καὶ τὴν γυναῖκα
3 αὐτὸν ἅμα ἄγεσθαι. τὴν δέ οἱ συμβουλεῦσαι, τῶν παί-
δων ἐόντων ἓξ, [g] τοὺς δύο ἐπὶ τὴν πυρὴν ἐκτείναντα, γε-
φυρῶσαι τὸ καιόμενον, αὐτοὺς δ' ἐπ' ἐκείνων ἐπιβαίνον-
4 τας ἐκσώζεσθαι. ταῦτα ποιῆσαι τὸν Σέσωστριν· καὶ δύο
μὲν τῶν παίδων κατακαῆναι τρόπῳ [h] τοιούτῳ· τοὺς δὲ
108 λοιποὺς ἀποσωθῆναι ἅμα τῷ πατρί. Νοστήσας δὲ ὁ
Σέσωστρις ἐς τὴν Αἴγυπτον, καὶ [a] τισάμενος τὸν ἀδελ-
φεὸν, τῷ μὲν ὁμίλῳ τὸν ἐπηγάγετο, τῶν τὰς χώρας
2 κατεστρέψατο, τούτῳ μὲν τάδε ἐχρήσατο. τούς τέ οἱ
λίθους, τοὺς ἐπὶ τούτου τοῦ βασιλέος κομισθέντας ἐς τοῦ
Ἡφαίστου τὸ ἱρὸν, ἐόντας μεγάθεϊ περιμήκεας, οὗτοι
ἦσαν οἱ ἑλκύσαντες· καὶ τὰς διώρυχας τὰς νῦν ἐούσας
ἐν Αἰγύπτῳ πάσας οὗτοι ἀναγκαζόμενοι [b] ὤρυσσον·
[c] ἐποίευν τε οὐκ ἑκόντες Αἴγυπτον, τὸ πρὶν ἐοῦσαν [d] ἱπ-
3 πασίμην καὶ ἁμαξευομένην πᾶσαν, ἐνδέα τούτων. ἀπὸ
γὰρ τούτου τοῦ χρόνου Αἴγυπτος, ἐοῦσα [e] πεδιὰς πᾶσα,
ἄνιππος καὶ ἀναμάξευτος γέγονε· αἴτιαι δὲ τούτων αἱ
διώρυχες γεγόνασι, ἐοῦσαι πολλαὶ, καὶ παντοίους τρό-
4 πους ἔχουσαι. κατέταμνε δὲ τοῦδε εἵνεκα τὴν χώρην [f] ὁ
βασιλεύς· ὅσοι τῶν Αἰγυπτίων μὴ ἐπὶ τῷ ποταμῷ [g] ἔ-

Punit fratrem: captivorum opera trahit lapides ingentes in Vulcani templum, et secat Ægyptum fossis.

[e] περινῆσαι et mox περινήσαντα K.F.P. ubi gl. σωρεῦσαι. cf. I. 50.

[f] ὕλην S.

[g] τὰς δύο S.V. et mox ἐκτείνοντα.

[h] τοιῷδε a. Ald. καὶ δύο μὲν—ὁ Σέσωστρις init. c. seq. om. F. 108.

[a] τιμωρησάμενος gl. in P.

[b] Sic M.K.P.F.b.d. διώρυξαν R. ὤρυξαν Ald. a.c.S.

[c] ἐποίευν K.F. al. ἐποίεον S.a. edd. vett.

[d] ἱππασίην S.V.

[e] πᾶσα πεδιὰς F.

[f] οὗτος ὁ βασ. R. probante Schæfero.

[g] ἔκτηνται F.

κτηντο [h] τὰς πόλις, ἀλλ᾽ ἀναμέσους, οὗτοι ὅκως τε ἀπίοι ὁ ποταμὸς, σπανίζοντες ὑδάτων, πλατυτέροισι [i] ἐχρέοντο τοῖσι πόμασι, ἐκ φρεάτων [i] χρεόμενοι. τούτων μὲν δὴ

109 εἵνεκα κατετμήθη [k] ἡ Αἴγυπτος. Κατανεῖμαι δὲ τὴν χώρην Αἰγυπτίοισι ἅπασι τοῦτον ἔλεγον τὸν βασιλέα, κλῆρον [a] ἴσον ἑκάστῳ τετράγωνον διδόντα· καὶ ἀπὸ τούτου τὰς προσόδους ποιήσασθαι, ἐπιτάξαντα ἀποφορὴν

2 [b] ἐπιτελέειν κατ᾽ ἐνιαυτόν. εἰ δέ τινος τοῦ κλήρου ὁ ποταμός [c] τι παρέλοιτο, ἐλθὼν ἂν πρὸς αὐτὸν ἐσήμαινε τὸ γεγενημένον· ὁ δὲ ἔπεμπε τοὺς ἐπισκεψομένους καὶ ἀναμετρήσοντας ὅσῳ ἐλάσσων ὁ χῶρος [d] γέγονε, ὅκως τοῦ λοιποῦ κατὰ λόγον τῆς τεταγμένης ἀποφορῆς τε-

3 λέοι. δοκέει δέ μοι ἐνθεῦτεν γεωμετρίη εὑρεθεῖσα, ἐς τὴν Ἑλλάδα ἐπανελθεῖν. πόλον μὲν γὰρ, καὶ γνώμονα, καὶ τὰ δυώδεκα μέρεα τῆς ἡμέρης, παρὰ Βαβυλωνίων ἔμα-

110 θον [e] οἱ Ἕλληνες. Βασιλεὺς [a] μὲν δὴ οὗτος μοῦνος Αἰγύπτιος Αἰθιοπίης ἦρξε. Μνημόσυνα δὲ ἐλίπετο πρὸ τοῦ [b] Ἡφαιστείου, ἀνδριάντας λιθίνους· δύο μὲν, τριήκοντα πηχέων, ἑωυτόν τε καὶ τὴν γυναῖκα· τοὺς δὲ παῖδας

2 ἐόντας τέσσερας, εἴκοσι πηχέων ἕκαστον. [c] τῶν δὴ ὁ ἱρεὺς τοῦ Ἡφαίστου χρόνῳ μετέπειτα πολλῷ Δαρεῖον τὸν Πέρσην οὐ [d] περιεῖδε ἱστάντα ἔμπροσθεν ἀνδριάντα, φὰς

153
Æqualiter et agros assignat, et vectigal imponit: Geometriæ origo: polum et gnomonem et diei partes xii a Babyloniis Græci habent.

Solus Ægyptiorum Sesostris Æthiopibus imperavit: colossos ad Vulcani statuit, suam et uxoris et filio-

[h] Sic K.M.S.V.P.F. Paris. τὰς om. al. πόλεις S.
[i] Sic S.V.a. Alii ἐχρέωντο—χρεώμενοι. Mox δὴ om. S.
[k] ἡ om. K.F.

109.
[a] ὅσον F.
[b] Sic Ald. S.V. Paris. R. cf. V. 49. 82. 84. ἀποτελέειν M.K. P.F. Gronov.
[c] τι om. S.V.d. ἂν mox om. d.
[d] γεγονέναι S.V.
[e] οἱ Ἕλληνες Eustath. Dionys. 988. S.K.V.F. Paris. οἱ om. vulgo.

110.
[a] Sic M.K.P.F. Paris. δὴ οὗτος δὴ vulgo. δὲ δὴ οὗτος S.
[b] Ἡφαιστίου F.
[c] τῶνδε δὴ S.V. alterum præferunt Schæferus et Schweighæuserus.
[d] περιῗδε S.V.

rum imagines: Darii statuam poni ante illas quis vetuerit.

“ οὔ [e] οἱ πεποιῆσθαι ἔργα οἷά περ [f] Σεσώστρι τῷ Αἰγυ-
“ πτίῳ. [g] Σέσωστριν μὲν γὰρ ἄλλα τε καταστρέψα-
“ σθαι ἔθνεα οὐκ ἐλάσσω ἐκείνου, καὶ δὴ καὶ Σκύθας·
3 “ [h] Δαρεῖον δὲ οὐ δυνασθῆναι Σκύθας ἑλεῖν. οὔκων δί-
“ καιον εἶναι [i] ἱστάναι ἔμπροσθε τῶν ἐκείνου ἀναθημά-
“ των, μή οὐκ [k] ὑπερβαλλόμενον [l] τοῖσι ἔργοισι.” Δα-
ρεῖον μέν νυν λέγουσι πρὸς ταῦτα συγγνώμην ποιήσα-
σθαι.

III Phero, ab an. 1357 ad 1291: quare amiserit et quomodo recuperarit visum: Nilus ultra modum abundans: cavillatio contra mulieres: obelisci duo in templo Solis.

III Σεσώστριος δὲ τελευτήσαντος, ἐκδέξασθαι ἔλεγον τὴν
βασιληΐην τὸν παῖδα αὐτοῦ [a] Φερῶν· τὸν ἀποδέξασθαι
μὲν [b] οὐδεμίαν [c] στρατηΐην, συνενειχθῆναι δέ οἱ τυφλὸν
2 γενέσθαι, διὰ τοιόνδε πρῆγμα. τοῦ ποταμοῦ κατελθόντος
μέγιστα δὴ τότε ἐπ᾽ ὀκτωκαίδεκα πήχεας, ὡς ὑπερέ-
βαλε τὰς ἀρούρας, πνεύματος ἐμπεσόντος, [d] κυματίης ὁ
ποταμὸς ἐγένετο· τὸν δὲ βασιλέα λέγουσι τοῦτον ἀτα-
σθαλίῃ χρησάμενον, λαβόντα αἰχμὴν, βαλέειν ἐς μέσας 154
τὰς δίνας τοῦ ποταμοῦ· μετὰ δὲ, αὐτίκα καμόντα αὐ-
3 τὸν τοὺς ὀφθαλμοὺς, τυφλωθῆναι. δέκα μὲν δὴ ἔτεα
εἶναί μιν τυφλόν· ἑνδεκάτῳ δὲ ἔτεϊ ἀπικέσθαι οἱ μαν-
τήϊον ἐκ Βουτοῦς πόλιος, ὡς “ ἐξήκει τέ οἱ ὁ χρόνος τῆς
“ ζημίης, καὶ ἀναβλέψει, γυναικὸς οὔρῳ νιψάμενος
“ τοὺς ὀφθαλμοὺς, ἥτις παρὰ τὸν ἑωυτῆς ἄνδρα μοῦνον
4 “ πεφοίτηκε, ἄλλων ἀνδρῶν ἐοῦσα ἄπειρος·” καὶ τὸν

[e] οἱ om. S.V.
[f] Sic V.S.K.F. Paris. Σεσώστριϊ al.
[g] ὁ μὲν γὰρ Σέσωστρις S.V.
[h] Δαρεῖον—Σκύθας om. S.V. Vall.
[i] Sic M.K.S.V.P.F. Paris. Al. στάναι.
[k] ὑπερβαλόμενον b.
[l] Sic M.S.V.K.P.F. Paris. Vulgo τοῖσι ἐκείνου ἔργοισι.

III.

[a] Φερῶν M.P.K. Φέρωνα S.b.d. Ald. Φερων sine acc. F. Φέρων a.c.
[b] οὐδεμίην] οὐδεμίαν F. cum vulg. consentit S.
[c] στρατιήν S.V.
[d] κυματίης citat Eustath. Il. λ΄. p. 827, 49=759, 8. Mox ἀναπικέσθαι S.V.

πρώτης τῆς ἑωυτοῦ γυναικὸς πειρᾶσθαι· μετὰ δὲ, ὡς οὐκ
5 [e] ἀνέβλεπε, ἐπεξῆς πασέων πειρᾶσθαι. ἀναβλέψαντα
δὲ, συναγαγεῖν τὰς γυναῖκας τῶν ἐπειρήθη, πλὴν ἢ τῆς
τῷ οὔρῳ νιψάμενος ἀνέβλεψε, ἐς μίαν πόλιν, ἣ νῦν
καλέεται Ἐρυθρὴ βῶλος· ἐς ταύτην [f] συναλίσαντα, ὑπο-
6 πρῆσαι πάσας σὺν αὐτῇ τῇ [g] πόλι. τῆς δὲ νιψάμενος
7 τῷ οὔρῳ ἀνέβλεψε, ταύτην δὲ εἶχε αὐτὸς γυναῖκα. Ἀνα-
θήματα δὲ, ἀποφυγὼν τὴν πάθην τῶν ὀφθαλμῶν, ἄλλα
τε ἀνὰ τὰ ἱρὰ πάντα τὰ λόγιμα ἀνέθηκε, καὶ [h] τοῦ γε
λόγον μάλιστα ἄξιόν ἐστι ἔχειν, ἐς τοῦ Ἡλίου τὸ ἱρὸν
ἀξιοθέητα ἀνέθηκε ἔργα, ὀβελοὺς δύο λιθίνους, ἐξ ἑνὸς
[i] ἐόντα ἑκάτερον λίθου, μῆκος μὲν ἑκάτερον πηχέων ἑκα-
τὸν, εὖρος δὲ ὀκτὼ [k] πηχέων.

112 Τούτου δὲ ἐκδέξασθαι τὴν βασιληΐην ἔλεγον ἄνδρα
Μεμφίτην, τῷ κατὰ τὴν τῶν [a] Ἑλλήνων γλῶσσαν οὔνο-
μα Πρωτέα εἶναι· τοῦ νῦν τέμενός ἐστι ἐν Μέμφι κάρτα
καλόν τε καὶ εὖ ἐσκευασμένον, τοῦ [b] Ἡφαιστηΐου πρὸς
2 νότον ἄνεμον κείμενον. περιοικέουσι δὲ τὸ τέμενος τοῦτο
Φοίνικες Τύριοι· καλέεται δὲ ὁ χῶρος οὗτος ὁ συνάπας,
3 Τυρίων στρατόπεδον. ἔστι δὲ ἐν τῷ τεμένεϊ τοῦ Πρωτέος
ἱρὸν, τὸ καλέεται Ξείνης Ἀφροδίτης· συμβάλλομαι [c] δὲ
τοῦτο τὸ ἱρὸν εἶναι Ἑλένης τῆς [d] Τυνδάρεω, καὶ τὸν λόγον
ἀκηκοὼς ὡς [e] διαιτήθη Ἑλένη παρὰ Πρωτέϊ, καὶ δὴ καὶ

Proteus, ab a. 1291 ad 1237: ejus fanum, circumhabitatum a Tyriis, continens ædem Veneris Hospitæ.

[e] Sic M.P.K.b.d. ἀνέβλεψε cum S.a.c. Ald. Schæferus. μετὰ δὲ—πειρᾶσθαι om. F. Mox dedi μίαν pro μίην ex S.

[f] συναυλίσαντα V. συναυλήσαντα d.

[g] πόλει F.S.

[h] τό γε λόγου et σχεῖν S. σχεῖν V.

[i] Sic M.K.P.F.c. ἐόντας S.a.b. vulg. Schæfer. ἐόντος d.

[k] πηχέων om. edd. vett. habent mss.

112.

[a] Sic P.M.K.F. Paris. τῶν al. om. Respexit Eustath. Od. δ'. p. 1500, 35 = 174, 11.

[b] Ἡφαιστίου K.F. Ἡφαιστείου a.S. cf. Lobeck. Phryn. p. 369.

[c] δὲ om. S. Mox εἶναι om. Steph. et edd. seqq.

[d] Τυνδάρεως F.

[e] Sic P.F.a. edd. vett. ἐδιαιτήθη S. Gronov. Wessel.

ὅτι Ξείνης Ἀφροδίτης [f] ἐπωνύμιόν ἐστι· ὅσα γὰρ [g] ἄλλα Ἀφροδίτης ἱρά ἐστι, [h] οὐδαμῶς Ξείνης ἐπικαλέεται.

113 Ἔλεγον δέ μοι οἱ ἱρέες ἱστορέοντι τὰ περὶ Ἑλένην, γενέσθαι ὧδε· Ἀλέξανδρον ἁρπάσαντα Ἑλένην ἐκ Σπάρτης, 2 ἀποπλέειν ἐς τὴν ἑωυτοῦ. καί μιν, ὡς ἐγένετο ἐν τῷ Αἰγαίῳ, ἐξῶσται ἄνεμοι ἐκβάλλουσι ἐς τὸ [a] Αἰγύπτιον πέλαγος· ἐνθεῦτεν δὲ (οὐ γὰρ [b] ἀνίει τὰ πνεύματα) ἀπικνέεται ἐς Αἴγυπτον, [c] καὶ Αἰγύπτου ἐς τὸ [d] νῦν Κανωβικὸν [e] καλεύμενον στόμα τοῦ Νείλου, καὶ ἐς Ταριχείας. 3 ἦν δὲ ἐπὶ τῆς [f] ἠϊόνος, ὃ καὶ νῦν ἐστι, Ἡρακλέος ἱρόν· ἐς τὸ ἢν καταφυγὼν οἰκέτης ὅτεῳ ἀνθρώπων [g] ἐπιβάληται 155 στίγματα ἱρὰ, ἑωυτὸν διδοὺς τῷ θεῷ, οὐκ ἔξεστι τούτου ἅψασθαι. ὁ νόμος οὗτος διατελέει ἐὼν [h] ὁμοῖος μέχρι 4 ἐμεῦ τῷ ἀπ᾽ ἀρχῆς. τοῦ ὦν δὴ Ἀλεξάνδρου ἀπιστέαται θεράποντες, πυθόμενοι τὸν περὶ τὸ ἱρὸν ἔχοντα νόμον· ἱκέται δὲ [i] ἱζόμενοι τοῦ θεοῦ, κατηγόρεον τοῦ Ἀλεξάνδρου, βουλόμενοι βλάπτειν αὐτὸν, πάντα λόγον ἐξηγεύμενοι ὡς εἶχε περὶ τὴν Ἑλένην τε καὶ τὴν ἐς Μενέλεων ἀδικίην· κατηγόρεον δὲ ταῦτα πρός τε τοὺς ἱρέας καὶ τὸν [k] τοῦ στόματος τούτου φύλακον, τῷ οὔνομα ἦν Θῶνις.

Paris cum Helena delatus in Ægyptum: Herculis Ægyptii templum, jure asyli: Thonis, præfectus ostio Canobico.

114 Ἀκούσας δὲ τούτων ὁ Θῶνις, πέμπει τὴν ταχίστην ἐς Μέμφιν 2 παρὰ Πρωτέα ἀγγελίην, λέγουσαν τάδε· "Ἥκει ξεῖνος,

Proteus Parin comprehensum ad se duci jubet.

[f] Sic P.M.K. ἐπώνυμον b.c.V. S. Ald. ἐπων.—Ἀφροδίτης om. F.

[g] ἄλλα Ἀφρ. M.K.V.P.F.b.d. ἄλλῃ ἄλλης Ἀφρ. c. Ald. ἄλλης Ἀφρ. a.S.

[h] οὐδαμῶς M.K.S.V.P.F. Paris. οὐδαμᾶ al. Mox ξείνῃ S.

113.

[a] Sic S.V. Vall. F. Paris. Vulgo Αἰγυπτίων.

[b] ἀνήει F.

[c] καὶ Αἰγύπτου om. S. Vall.

[d] νῦν om. b.S.

[e] καλεόμενον F.

[f] κιόνος S.V.

[g] ἐπιλάβηται S.b. ἐπιβέβληται F.

[h] Sic fere F. ubi τὸ pr. et ἀπαρχῆς. ὅμοιος τὸ μέχρι ἐμεῦ ἀπαρχ. V.S. μεχρὶ plurimi pro μέχρις. ὅμοιος τὸ μέχρι ἀπ᾽ ἀρχῆς d. ὁμοίως μέχρις ἐμεῦ τῷ ἀπαρχῆς vulgo.

[i] Sic M.P.S.V.K.F. Paris. Al. ἑζόμενοι.

[k] Citat Eustath. Od. 1500=174, 13. τούτου om. S.V.

“ γένος μὲν [a] Τευκρὸς, ἔργον δὲ ἀνόσιον ἐν τῇ Ἑλλάδι
“ [b] ἐξεργασμένος· ξείνου γὰρ τοῦ ἑωυτοῦ ἐξαπατήσας
“ τὴν γυναῖκα, αὐτήν τε ταύτην ἄγων ἥκει, καὶ πολλὰ
“ κάρτα χρήματα, ὑπὸ ἀνέμων [c] ἐς γῆν τὴν σὴν [d] ἀπε-
“ νειχθείς. κότερα [e] δῆτα τοῦτον ἐῶμεν ἀσινέα ἐκπλέειν,
3 “ ἢ [f] ἀφελώμεθα τὰ ἔχων ἦλθε;” Ἀντιπέμπει πρὸς
ταῦτα ὁ Πρωτεὺς [g] λέγοντα τάδε· “Ἄνδρα τοῦτον, ὅστις
“ κοτέ ἐστι [h] ἀνόσια [i] ἐργασμένος ξεῖνον τὸν ἑωυτοῦ, συλ-
“ λαβόντες, [k] ἀπάγετε παρ' ἐμὲ, ἵνα [l] εἰδῶ ὅ τι κοτὲ καὶ
115 “ λέξει.” Ἀκούσας δὲ [a] ταῦτα ὁ Θῶνις, συλλαμβάνει
τὸν Ἀλέξανδρον, καὶ τὰς νέας αὐτοῦ κατίσχει· μετὰ δὲ,
αὐτόν τε τοῦτον [b] ἀνήγαγε ἐς Μέμφιν, καὶ τὴν Ἑλένην τε
2 καὶ τὰ χρήματα· πρὸς δὲ, καὶ τοὺς [c] ἱκέτας. [d] ἀνακο-
μισθέντων δὲ πάντων, [e] εἰρώτα τὸν Ἀλέξανδρον ὁ Πρω-
τεὺς, [f] τίς εἴη, καὶ ὁκόθεν πλέοι. ὁ δέ οἱ καὶ τὸ γένος
κατέλεξε, καὶ τῆς πάτρης εἶπε [g] τὸ οὔνομα· καὶ δὴ καὶ
3 τὸν πλόον ἀπηγήσατο ὁκόθεν πλέοι. μετὰ δὲ, ὁ Πρωτεὺς
εἰρώτα αὐτὸν ὁκόθεν τὴν Ἑλένην λάβοι· πλανωμένου δὲ

Increpatum Ægypto exigit, ablatam ei Helenam et opes marito servans.

114.

[a] Τευκρὸς Schweighæuserus cum S.F.a. et Steph. Byz. Vulgo Τεῦκρος. γενόμενος pro γένος S.

[b] ἐξεργασμένος M.K.P.F. ἐξεργασάμενος d. ἐργασάμενος V.S.b. εἰργασμένος c. ἐργασμένος edd. vett. Mox αὐτήν γε S.

[c] Sic Ald. S. Paris. a.b.d. Schæfer. Schweigh. cf. cap. 115. ἐς γῆν ταύτην M.P.K.F. Gronov. Wessel.

[d] Sic Ald. P.F. et alii. cf. I. 66. 141. II. 116. ἀπενεχθεὶς S. Steph. Gron. Wess.

[e] δὴ ταῦτα F.

[f] ἀπελώμεθα Schæfer.

[g] λέγοντας S.V. λέγων d.

[h] ἀνόσιον F.

[i] ἐργασμένος M.K.P.F. et al. ἐξεργασμένος Ald. d.V.S.

[k] ἀπαγάγετε S.

[l] εἰδῶ P.S.V.M.K.F.a. ἰδῷ τί κοτε Ald.

115.

[a] Sic M.P.K.F. τοῦτο vulgo cum S.

[b] Sic M.P.K.F.a.b.d. ἀνῆγεν S.c. al.

[c] οἰκέτας S. Vall.

[d] ἀνακομισθέντας ed. Steph.

[e] Sic S.P.V. Paris. cf. Gregor. Dial. Ion. 73. ἠρώτα F. et al.

[f] Sic M.S.V.P.F. Paris. τίς τε εἴη Ald. Schæfer.

[g] τὸ ὄνομα F.

τοῦ Ἀλεξάνδρου ἐν τῷ λόγῳ, καὶ οὐ λέγοντος τὴν [h] ἀλη-
θηΐην, ἤλεγχον οἱ γενόμενοι [i] ἱκέται, ἐξηγεύμενοι πάντα
4 λόγον τοῦ ἀδικήματος. τέλος δὲ [k] δή σφι λόγον τόνδε
ἐκφαίνει ὁ Πρωτεὺς, λέγων ὅτι "[l] Ἐγὼ εἰ μὴ περὶ πολ-
" λοῦ ἡγεύμην μηδένα ξείνων κτείνειν, ὅσοι ὑπ' ἀνέμων
" ἤδη [m] ἀπολαμφθέντες ἦλθον ἐς χώρην τὴν ἐμὴν, ἐγὼ ἄν
" σε ὑπὲρ τοῦ Ἕλληνος ἐτισάμην· [n] ὃς, ὦ κάκιστε ἀν-
" δρῶν, [o] ξεινίων τυχὼν, ἔργον [p] ἀνοσιώτατον ἐργάσαο.
5 " [q] παρὰ τοῦ σεωυτοῦ ξείνου τὴν γυναῖκα ἦλθες· [r] καὶ
" μάλα ταῦτά τοι οὐκ ἤρκεσε, ἀλλὰ ἀναπτερώσας αὐ- 156
6 " τὴν, [s] οἴχεαι ἔχων ἐκκλέψας. καὶ οὐδὲ ταῦτά τοι
" μοῦνα ἤρκεσε, ἀλλὰ καὶ [t] τὰ οἰκία τοῦ ξείνου κεραΐ-
7 " σας ἥκεις. νῦν ὦν, ἐπειδὴ περὶ πολλοῦ [v] ἥγημαι μὴ
" ξεινοκτονέειν, γυναῖκα μὲν ταύτην καὶ τὰ χρήματα
" [w] οὔ τοι προήσω ἀπάγεσθαι, ἀλλὰ [x] αὐτὰ ἐγὼ τῷ
" Ἕλληνι ξείνῳ φυλάξω, [y] ἐς ὃ ἂν [z] αὐτὸς ἐλθὼν ἐκεῖνος
" ἀπαγαγέσθαι [a] ἐθέλῃ· αὐτὸν δὲ σὲ καὶ τοὺς σοὺς συμ-
" πλόους τριῶν ἡμερέων προαγορεύω ἐκ τῆς ἐμῆς γῆς ἐς

[h] ἀληθείην F.a.

[i] οἰκέται S.b.

[k] Sic M.K.P.F. δὴ om. a.b. d.S. Ald.

[l] ἐγὼ P.K.S.M.V.F. Paris. Vulgo om.

[m] ἀπολαφθ. P.d. δὴ ἀπολαμφ. S.V.

[n] ὅσον S.V.b. pro ὅς ὦ.

[o] ξείνων Vall.

[p] ἀνόσιον S.V.

[q] Sic P.K.M.F.a.c. περὶ τοῦ σ. ξ. γυναῖκα, τὴν ἣν ἔχων ἦλθες Ald. παρὰ τ. σ. γ. ἣν ἔχων S.V. ἔχων ἦ. sine τὴν vel ἣν b.d.

[r] Sic M.P.K.F. Paris. καὶ λα ταῦτα V. Vulgo καὶ μάλα οὐκ ἤρκεσέ σοι τὸ συγγενέσθαι αὐτῇ, ἀλλ'—et sic S. nisi quod μάλα om.

[s] Sic M.P.K.R.F.a.c. οἴχεται ἔχων V. οἴχου λαβὼν S. Ald. et al. οἴχεαι ἔχων b.d. absque ἐκκλέψας, quod om. S. Ald.

[t] Sic V.b.d. Eustath. Il. β'. p. 364, 27=476, 1. τὰ om. M. F. al. τὰ τοῦ ξείνου οἰκία S.

[v] ἄγημαι F. Mox ξεινοκτενέειν S.

[w] τοι om. F.

[x] ταῦτα F.

[y] ἐς ὃ ἐὰν F.

[z] αὐτὸς ἐκ. ἐλθὼν P.F. ἐλθὼν αὐτὸς S.

[a] θέλῃ S.V.

“ ἄλλην τινὰ [b] μετορμίζεσθαι· εἰ δὲ μὴ, ἅτε πολεμίους “ περιέψεσθαι.”

116 Ἑλένης μὲν ταύτην ἄπιξιν παρὰ Πρωτέα ἔλεγον οἱ ἱρέες γενέσθαι· δοκέει δέ μοι καὶ Ὅμηρος τὸν λόγον τοῦτον πυθέσθαι· ἀλλ᾽ οὐ γὰρ ὁμοίως ἐς τὴν ἐποποιΐην εὐπρεπὴς ἦν τῷ ἑτέρῳ τῷπερ ἐχρήσατο· ἐς ὃ μετῆκε αὐτὸν, 2 δηλώσας ὡς καὶ τοῦτον [a] ἐπίσταιτο τὸν λόγον. δῆλον δέ· [b] κατὰ γὰρ ἐποίησε [c] ἐν Ἰλιάδι (καὶ οὐδαμῇ ἄλλῃ ἀνεπόδισε ἑωυτὸν) πλάνην τὴν Ἀλεξάνδρου, ὡς [d] ἀπηνείχθη ἄγων Ἑλένην, τῇ τε δὴ [e] ἄλλῃ πλαζόμενος, καὶ ὡς ἐς 3 Σιδῶνα τῆς Φοινίκης ἀπίκετο. ἐπιμέμνηται δὲ αὐτοῦ ἐν Διομήδεος ἀριστείῃ, λέγει δὲ τὰ ἔπεα [f] οὕτω·

Homerum videri non ignorasse istam famam, sed propter carminis decus neglexisse. [Il. 6, 289. Od. 4, 227. 351.]

Ἔνθ᾽ ἔσαν οἱ πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν
Σιδονίων, [g] τὰς αὐτὸς Ἀλέξανδρος θεοειδὴς
ἤγαγε Σιδονίηθεν, ἐπιπλὼς εὐρέα πόντον,
τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν.

4 Ἐπιμέμνηται δὲ καὶ ἐν Ὀδυσσείῃ, ἐν [h] τοῖσίδε τοῖσι ἔπεσι·

Τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα,
ἐσθλὰ, τά οἱ Πολύδαμνα πόρεν, [i] Θῶνος παράκοιτις
Αἰγυπτίη· τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα
φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά.

5 καὶ τάδε ἕτερα πρὸς Τηλέμαχον [k] Μενέλεως λέγει·

[b] μετεωρίζεσθαι S.b.d. μετωρίζεσθαι V. ἐς ante ἄλλην om. S.

116.

[a] ἐπίσταται K.F. Supra μεθῆκεν S.

[b] κατάπερ Reizius, κατὰ τὰ Schæferus. κατὰ Ionice pro καθὰ scriptum putant Wesseling. et Schweighæuser.

[c] ἐν om. V. ἐποίησεν Ἰλιάδα S.

[d] ἀπενείχθη F.

[e] ἄλῃ S. qui mox ἐπιμέμνηται δή.

[f] Sic M.K.P.F. ὧδε Ald. a.S.

[g] Sic Homer. Il. ζ′. 290. Ald. V.S.R. Paris. ἃς αὐτὸς P.M.K.F. Strabo I. p. 69=41.

[h] τοῖσιδε S. Vulgo τοῖσδε. ἐπιμέμνηται usque ad ἑκατόμβας, ut suspecta, uncis inclusit Schæferus.

[i] Θωνὸς S.V. vid. Odyss. δ′. 228.

[k] Sic S.V.F. Paris. Μενέλεος M.P. Μενέλαος edd. vett. Mox δέτι S. pro μ᾽ ἔτι.

Αἰγύπτῳ μ' ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
[1] ἔσχον, ἐπεὶ οὔ σφιν ἔρεξα τεληέσσας ἑκατόμβας.

6 Ἐν τούτοισι τοῖσι ἔπεσι δηλοῖ, ὅτι ἠπίστατο τὴν ἐς Αἴγυπτον Ἀλεξάνδρου πλάνην· ὁμουρέει γὰρ ἡ Συρίη Αἰγύπτῳ· οἱ δὲ Φοίνικες, τῶν [m] ἐστὶ ἡ Σιδὼν, ἐν τῇ Συρίῃ οἰκέουσι. 157

117 Cypria carmina Homeri non esse.

Κατὰ ταῦτα δὲ τὰ ἔπεα, καὶ τόδε τὸ χωρίον οὐκ ἥκιστα, ἀλλὰ μάλιστα, δηλοῖ ὅτι οὐκ Ὁμήρου τὰ Κύπρια
2 [a] ἔπεά ἐστι, ἀλλ' ἄλλου τινός. ἐν μὲν γὰρ τοῖσι Κυπρίοισι εἴρηται, ὡς τριταῖος [b] ἐκ Σπάρτης Ἀλέξανδρος ἀπίκετο ἐς τὸ Ἴλιον ἄγων [c] τὴν Ἑλένην, [d] εὐαέϊ τε πνεύματι χρησάμενος καὶ θαλάσσῃ λείῃ· ἐν δὲ Ἰλιάδι λέγει ὡς ἐπλάζετο ἄγων αὐτήν. Ὅμηρος μέν νυν, καὶ τὰ Κύπρια ἔπεα, χαιρέτω.

118 Ægyptiorum narratio de Troja expugnata.

[a] Εἰρομένου δέ μευ τοὺς ἱρέας, εἰ μάταιον λόγον λέγουσι οἱ Ἕλληνες τὰ περὶ Ἴλιον γενέσθαι, ἢ οὔ· ἔφασαν πρὸς ταῦτα τάδε, ἱστορίῃσι φάμενοι εἰδέναι παρ' αὐτοῦ
2 Μενέλεω. Ἐλθεῖν [b] μὲν γὰρ, μετὰ τὴν Ἑλένης ἁρπαγὴν, ἐς τὴν Τευκρίδα [c] γῆν Ἑλλήνων στρατιὴν πολλὴν, [d] βοηθεῦσαν Μενέλεῳ· ἐκβᾶσαν δὲ ἐς γῆν καὶ ἱδρυθεῖσαν τὴν στρατιὴν, πέμπειν ἐς τὸ Ἴλιον ἀγγέλους· σὺν δέ σφι
3 ἰέναι καὶ αὐτὸν Μενέλεων· τοὺς δ' ἐπεί τε ἐσελθεῖν ἐς τὸ τεῖχος, ἀπαιτέειν Ἑλένην τε καὶ τὰ χρήματα τά [e] οἱ

[1] ἴσχον P.F. Mox σφι ῥέξας S. ῥέξα V. σφιν ἔρξα F. σφι ῥέξα d. vid. Odyss. δ'. 352. τεληέσσας pro τελευτήσας F. Mox ὁμουρρέει S. ὁμουρέη Ald.

[m] Sic P.K.F. Paris. ἡ om. edd. vett. ἐστὶ ἡ Σίδων om. S.V.

117.

[a] ἔπεα om. S. Hoc caput, ut suspectum, uncis inclusit Borheck.

[b] Sic K.S.V.P.F. Paris. Ἀλέξανδρος ἀπίκετο ἐκ Σπάρτης vulg.

[c] τὴν om. P.K.V.F.S.

[d] Sic Eustath. Il. ζ'. p. 643, 3 = 503, 12. V.R.S. Paris. εὐαγέϊ τε Ald. τε om. F.M.

118.

[a] ἠρομένου F.

[b] μὲν om. P.M.K.F.

[c] Sic S.b.d. τὴν F.a.c. et al.

[d] Cf. Gregorius Dial. Ion. 60. Libanius T. I. p. 189. Mox δ' post τοὺς om. S.

[e] οἱ om. S.a. Ald. et forte al.

οἴχετο κλέψας Ἀλέξανδρος, τῶν τε ἀδικημάτων δίκας
αἰτέειν· τοὺς δὲ Τευκροὺς τὸν αὐτὸν λόγον λέγειν τότε
καὶ μετέπειτα, καὶ ὀμνύντας καὶ [f] ἀνωμοτὶ, [g] μὴ μὲν
ἔχειν Ἑλένην, μηδὲ τὰ [h] ἐπικαλεύμενα χρήματα, ἀλλ᾽
4 εἶναι αὐτὰ πάντα ἐν Αἰγύπτῳ· καὶ οὐκ ἂν δικαίως
αὐτοὶ δίκας ὑπέχειν, ἃ Πρωτεὺς ὁ Αἰγύπτιος βασιλεὺς
ἔχει. οἱ δὲ Ἕλληνες καταγελᾶσθαι δοκέοντες ὑπ᾽ αὐτῶν,
5 οὕτω δὴ ἐπολιόρκεον, [i] ἐς ὃ ἐξεῖλον. ἑλοῦσι δὲ τὸ τεῖχος
ὡς οὐκ ἐφαίνετο ἡ Ἑλένη, ἀλλὰ τὸν αὐτὸν λόγον τῷ
προτέρῳ ἐπυνθάνοντο, οὕτω δὴ πιστεύσαντες τῷ λόγῳ τῷ
πρώτῳ οἱ Ἕλληνες, αὐτὸν Μενέλεων ἀποστέλλουσι παρὰ
119 Πρωτέα. Ἀπικόμενος δὲ ὁ Μενέλεως ἐς τὴν Αἴγυπτον,
καὶ ἀναπλώσας ἐς τὴν Μέμφιν, εἴπας τὴν [a] ἀληθηΐην
τῶν πρηγμάτων, καὶ ξεινίων ἤντησε μεγάλων, καὶ Ἑλέ-
νην ἀπαθέα κακῶν ἀπέλαβε· πρὸς δὲ, καὶ τὰ ἑωυτοῦ
2 χρήματα πάντα. Τυχὼν μέντοι τούτων, ἐγένετο [b] Μενέ-
λεως ἀνὴρ ἄδικος ἐς Αἰγυπτίους. ἀποπλέειν γὰρ [c] ὡρμη-
μένον αὐτὸν ἴσχον ἄπλοιαι· ἐπειδὴ [d] δὲ τοῦτο ἐπὶ πολλὸν 158
τοιοῦτο ἦν, ἐπιτεχνᾶται πρῆγμα οὐκ ὅσιον· λαβὼν γὰρ
δύο παιδία ἀνδρῶν [e] ἐπιχωρίων, ἔντομά σφεα ἐποίησε.
3 μετὰ δὲ, ὡς ἐπάϊστος ἐγένετο τοῦτο [f] ἐργασμένος, [g] μιση-
θείς τε καὶ διωκόμενος, [h] οἴχετο φεύγων τῇσι νηυσὶ [i] ἐπὶ
4 Λιβύης. τὸ ἐνθεῦτεν δὲ [k] ὅκου ἐτράπετο, οὐκέτι εἶχον

Menelaus Ægyptiis pro beneficio quam injuriam reddiderit.

[f] ἀνωμοτεὶ F.
[g] μὴ μὲν hinc Gregorius Dial. Ion. 62. μὴ δὲν F.
[h] ἐπικελ. P.
[i] Citat Gregorius Dial. Ion. 63.

119.

[a] ἀληθείην F. Mox ἔλαβε S.
[b] Sic P.K.V.S.F. Paris. ἀνὴρ Μενέλ. ἄδ. alii.
[c] ὁρμημένον V. Schæfer.
[d] δὲ τὸ πολλὸν τοιοῦτον ἦν V.S.b. Mox ἐπιτεχνᾶται γὰρ S.V.
[e] ἐγχωρίων S.V.d.
[f] ἐργασάμενος F.
[g] μισωθεὶς S.V.
[h] ᾤχετο a.S.
[i] ἰθὺ ἐπὶ Λιβ. citat Plutarchus II. p. 857. ἰθὺ Λιβύης ed. Reiz. et Schæfer. Valckenærium secuti.
[k] Sic a.c. Ald. ὅκου ἐτρ. ἔτι οὐκ Vall. V.S. εἰπεῖν om. S. ὅκου ἔτι

εἰπεῖν Αἰγύπτιοι· τούτων δὲ τὰ μὲν ἱστορίῃσι ἔφασαν
ἐπίστασθαι, τὰ δὲ, παρ' ἑωυτοῖσι γενόμενα, ἀτρεκέως
120 ἐπιστάμενοι λέγειν. Ταῦτα μὲν Αἰγυπτίων οἱ ἱρέες ἔλε-
γον· ἐγὼ δὲ τῷ λόγῳ τῷ περὶ Ἑλένης λεχθέντι καὶ
αὐτὸς προστίθεμαι, τάδε ἐπιλεγόμενος· εἰ ἦν Ἑλένη ἐν
Ἰλίῳ, ἀποδοθῆναι [a] ἂν αὐτὴν τοῖσι Ἕλλησι, ἤτοι ἑκόντος
2 γε ἢ ἄκοντος Ἀλεξάνδρου. [b] οὐ γὰρ δὴ οὕτω γε φρε-
νοβλαβὴς ἦν ὁ Πρίαμος, οὐδὲ οἱ ἄλλοι προσήκοντες αὐτῷ,
ὥστε τοῖσι σφετέροισι σώμασι καὶ τοῖσι τέκνοισι καὶ [c] τῇ
πόλι κινδυνεύειν ἐβούλοντο, ὅκως Ἀλέξανδρος Ἑλένῃ συν-
3 οικέῃ. εἰ [d] δέ τοι καὶ ἐν τοῖσι πρώτοισι χρόνοισι ταῦτα
ἐγίνωσκον· ἐπεὶ πολλοὶ μὲν τῶν ἄλλων Τρώων, ὁκότε
συμμίσγοιεν τοῖσι Ἕλλησι, [e] ἀπώλλυντο, αὐτοῦ δὲ Πρι-
άμου οὐκ ἔστι [f] ὅτε οὐ δύο ἢ τρεῖς ἢ [g] καὶ ἔτι πλείους τῶν
παίδων, μάχης [h] γινομένης, ἀπέθνησκον, εἰ [i] χρή τι τοῖσι
4 ἐποποιοῖσι χρεώμενον λέγειν· τούτων δὲ τοιούτων συμ-
βαινόντων, ἐγὼ μὲν ἔλπομαι, εἰ καὶ αὐτὸς Πρίαμος
συνοίκεε Ἑλένῃ, ἀποδοῦναι ἂν αὐτὴν τοῖσι Ἀχαιοῖσι,
μέλλοντά γε δὴ τῶν παρεόντων κακῶν ἀπαλλαγήσε-
5 σθαι. [k] οὐ μὲν οὐδὲ ἡ βασιληΐη ἐς Ἀλέξανδρον περιήϊε,
ὥστε γέροντος Πριάμου ἐόντος, [l] ἐπ' ἐκείνῳ τὰ [m] πρήγμα-
τα εἶναι· [n] ἀλλὰ Ἕκτωρ, [o] καὶ πρεσβύτερος καὶ ἀνὴρ

Rationibus disputat Herodotus, Helenam Trojæ non fuisse.

ἐτράπετο, οὐκ εἶχον εἰπεῖν M.P.K.F. Wessel.

120.

[a] ἂν om. V.S.

[b] Citat Eustath. Il. γ΄. p. 307 =301. Od. δ΄. p. 1500, 38= 174, 15.

[c] Sic Ald. τῇ πόλει S. al. πόλει sine τῇ F.

[d] δέ τι S.F.

[e] ἀπόλοιντο S. ἀπώλυντο F. ἀπώλοντο Ald.

[f] ὅτε οὐ δύο Paris. S.V.R. Ald. ὅτε ἢ δύο M.K.P.F.

[g] καὶ om. F.

[h] γενομένης F.S.

[i] Sic M.K.P.F.a.b.d.S. τι om. c. al. Mox οἴκεεν S. pro συνοίκεε, et paulo post om. ἄν. Tum ἀπαλλαγήσασθαι Ald.

[k] οὐ μὴν Reiskius. Monet autem Schweigh. Herodotum sic dixisse atque ἦ μὲν pro ἦ μήν.

[l] ὑπ' ἐκ. S.V.

[m] πράγματα F.S.

[n] ἀλλὰ καὶ Ἕ. S.V.

[o] καὶ πρεσβ. καὶ ἀνὴρ om. K. M.F.

[p] ἐκείνου μᾶλλον ἐὼν, ἔμελλε αὐτὴν Πριάμου ἀποθανόντος
[q] παραλάμψεσθαι· τὸν οὐ προσῆκε ἀδικέοντι τῷ ἀδελ-
φεῷ ἐπιτρέπειν, καὶ ταῦτα μεγάλων κακῶν δι' αὐτὸν
συμβαινόντων ἰδίῃ τε [r] καὶ αὐτῷ καὶ τοῖσι ἄλλοισι πᾶσι
6 Τρωσί. Ἀλλ' οὐ γὰρ εἶχον Ἑλένην ἀποδοῦναι οὐδὲ λέ-
γουσι αὐτοῖσι τὴν ἀληθηΐην ἐπίστευον οἱ Ἕλληνες· ὡς μὲν
ἐγὼ γνώμην ἀποφαίνομαι, τοῦ δαιμονίου παρασκευάζον-
τος, ὅκως πανωλεθρίῃ ἀπολόμενοι, καταφανὲς τοῦτο τοῖσι 159
ἀνθρώποισι [s] ποιήσωσι, ὡς τῶν μεγάλων ἀδικημάτων με-
γάλαι εἰσὶ καὶ αἱ τιμωρίαι παρὰ τῶν θεῶν. καὶ ταῦτα
μὲν, τῇ [t] ἐμοὶ δοκέει, εἴρηται.

121 1 Πρωτέος δὲ ἐκδέξασθαι τὴν βασιληΐην [a] Ῥαμψίνιτον
ἔλεγον· ὃς μνημόσυνα ἐλίπετο τὰ προπύλαια τὰ πρὸς
2 ἑσπέρην τετραμμένα τοῦ [b] Ἡφαιστείου. ἀντίους δὲ τῶν
προπυλαίων ἔστησε ἀνδριάντας δύο, ἐόντας τὸ μέγαθος
πέντε καὶ [c] εἐίκοσι πηχέων· τῶν Αἰγύπτιοι τὸν μὲν πρὸς
[d] βορέω ἑστεῶτα καλέουσι θέρος· [e] τὸν δὲ πρὸς νότον, χει-
3 μῶνα. καὶ τὸν μὲν καλέουσι θέρος, τοῦτον μὲν προσκυνέ-
ουσί τε, καὶ εὖ ποιέουσι· [f] τὸν δὲ χειμῶνα καλεύμενον,
I 4 τὰ ἔμπαλιν τούτων ἔρδουσι. Πλοῦτον δὲ τούτῳ τῷ βα-
σιλέϊ γενέσθαι ἀργύρου μέγαν, τὸν οὐδένα τῶν ὕστερον
[g] ἐπιτραφέντων βασιλέων δύνασθαι ὑπερβαλέσθαι, οὐδ'

Rhampsinitus, ab an. 1237 ad 1182: Vulcani templum ornat: statuit Æstatem et Hiemem, duo simulacra ingentia.

Ditissimus omnium: architecti fraus, exstruentis ei

[p] Sic M.K.F.a.c.d. μᾶλλον ἐκείνου ἐὼν S.V. ἐκείνου μᾶλλόν γ' ἐὼν edd. vett.

[q] παραλάμψασθαι V.S.F. παραλάψεσθαι d.

[r] Sic M.K.P.F. Paris. καὶ S. al. om.

[s] Sic M.K.P.S.V.F. Paris. ποιήσωνται edd. vett.

[t] ἐμοὶ om. S.V.

121.

[a] Ῥαμψίνητον S.V.

[b] Ἡφαιστίου K.F.

[c] εἴκοσι V.S.F. Paris. εἐίκοσι al.

[d] Sic M.K.P.S.F. Paris. Al. βορέην.

[e] Sic M.K.P.F.b.d. Desunt usque ad θέρος a.c. edd. vett. Mox καὶ τὸν μὲν—χειμῶνα om. S.V. Vall.

[f] τὸν δὲ πρὸς νότον χειμ. καλεόμ. edd. vett. a.c.

[g] Sic M.K.P.R.F.a.c. ἔτι γραφέντων S.V.b. ἐπιγραφέντων Ald. d. ἐπιτραφθέντων Borheck.

ædificium condendæ pecuniæ.

5 ἐγγὺς ἐλθεῖν. βουλόμενον δὲ αὐτὸν ἐν [h] ἀσφαληΐῃ τὰ
χρήματα θησαυρίζειν, [i] οἰκοδομέεσθαι οἴκημα λίθινον· τοῦ
6 τῶν τοίχων ἕνα ἐς τὸ ἔξω μέρος τῆς οἰκίης ἔχειν. τὸν δὲ
ἐργαζόμενον, ἐπιβουλεύοντα, τάδε μηχανᾶσθαι· τῶν λί-
θων παρασκευάσασθαι ἕνα ἐξαιρετὸν εἶναι ἐκ τοῦ τοίχου
7 ῥηϊδίως καὶ ὑπὸ δύο ἀνδρῶν καὶ ὑπὸ ἑνός. ὡς δὲ [k] ἐπε-
τελέσθη τὸ οἴκημα, τὸν μὲν βασιλέα θησαυρίσαι τὰ χρή-
8 ματα ἐν αὐτῷ. χρόνου δὲ περιϊόντος, τὸν οἰκοδόμον, περὶ
τελευτὴν τοῦ βίου ἐόντα, ἀνακαλέσασθαι τοὺς παῖδας·
9 (εἶναι γὰρ αὐτῷ δύο·) [l] τούτοισι δὲ ἀπηγήσασθαι, ὡς
ἐκείνων [m] προορέων ὅκως βίον ἄφθονον ἔχωσι, τεχνάσαιτο
10 οἰκοδομέων τὸν θησαυρὸν τοῦ [n] βασιλέος. σαφέως δὲ αὐ-
τοῖσι πάντα ἐξηγησάμενον τὰ περὶ τὴν [o] ἐξαίρεσιν τοῦ
λίθου, δοῦναι τὰ μέτρα αὐτοῦ, λέγοντα ὡς ταῦτα δια-
φυλάσσοντες, ταμίαι τῶν βασιλέος χρημάτων ἔσονται.
11 καὶ τὸν μὲν τελευτῆσαι τὸν βίον, τοὺς δὲ παῖδας αὐτοῦ
οὐκ [p] ἐς μακρὴν ἔργου ἔχεσθαι· [q] ἐπελθόντας δὲ ἐπὶ τὰ
βασιλήϊα νυκτὸς, καὶ τὸν λίθον ἐπὶ τῷ οἰκοδομήματι
ἀνευρόντας, ῥηϊδίως μεταχειρίσασθαι, καὶ τῶν χρημάτων
12 πολλὰ ἐξενείκασθαι. Ὡς δὲ τυχεῖν τὸν βασιλέα ἀνοί-
ξαντα τὸ οἴκημα, [r] θωυμάσαι, ἰδόντα τῶν χρημάτων
καταδεᾶ τὰ ἀγγήϊα· οὐκ ἔχειν δὲ ὅν τινα [s] ἐπαιτιᾶται,
τῶν τε [t] σημάντρων ἐόντων σώων, καὶ τοῦ οἰκήματος [v] κε-

2
Fures fratres: alter laqueo captus, alter capite fratri amputato elapsus.

[h] ἀσφαλείῃ F.a.
[i] οἰκονομέεσθαι S.V.
[k] ἐτελέσθη S.V. Mox dedi βασιλέα ex S. pro βασιλῆα.
[l] τ. γὰρ F. Deest particula S.
[m] προορῶν P.K.S. Mox οἰκοδομῶν F.
[n] βασιλέως F. βασιλέος S. qui mox ἐξηγησάμενον αὐτοῖσι πάντα.
[o] Exscripsit Eustath. Homer. p. 119, 35=90, 12.
[p] Sic Ald. V.S. cf. V. 108. ἐς μακρὸν M.P.K.F. Paris. Wessel.
[q] ἐλθόντας S.V.d. Mox ἐνευρόντας S.
[r] θωμάσαι S.V. Dedi supra βασιλέα ex S.
[s] ἀπαιτιᾶσθαι (sic) S.V. ἐπαιτιᾶσαι b.d.
[t] σημαντόρων S.
[v] Sic M.P.F.d. κεκλεισμένου S.V.K.a.b.c. probante Schweigh-

13 κλειμένου. ὡς δὲ αὐτῷ, καὶ δὶς καὶ τρὶς ἀνοίξαντι, αἰεὶ
ἐλάσσω φαίνεσθαι τὰ χρήματα, (τοὺς γὰρ κλέπτας οὐκ
[w] ἀνιέναι [x] κεραΐζοντας,) ποιῆσαί μιν τάδε· πάγας προσ-
τάξαι ἐργάσασθαι, καὶ ταύτας περὶ τὰ ἀγγήϊα, ἐν τοῖσι
14 τὰ χρήματα ἐνῆν, [y] στῆσαι. τῶν δὲ φωρῶν, ὥσπερ ἐν τῷ
πρὸ τοῦ χρόνῳ, ἐλθόντων, καὶ [z] ἐνδύντος τοῦ ἑτέρου αὐτῶν,
ἐπεὶ πρὸς τὸ ἄγγος προσῆλθε, [a] ἰθέως τῇ πάγῃ ἐνέχεσθαι·
ὡς δὲ γνῶναι αὐτὸν ἐν οἵῳ κακῷ ἦν, ἰθέως καλέειν τὸν
ἀδελφεὸν, καὶ δηλοῦν αὐτῷ τὰ παρεόντα, καὶ κελεύειν
τὴν ταχίστην [b] ἐσδύντα, [c] ἀποτάμνειν αὐτοῦ τὴν κεφαλήν·
ὅκως μὴ αὐτὸς ὀφθεὶς, καὶ γνωρισθεὶς ὃς εἴη, [d] προσ-
15 απολέσει καὶ ἐκεῖνον. τῷ δὲ [e] δόξαι εὖ λέγειν, καὶ ποιῆ-
σαί μιν πεισθέντα ταῦτα· καὶ καταρμόσαντα τὸν λίθον,
ἀπιέναι ἐπ' οἴκου, [f] φέροντα τὴν κεφαλὴν τοῦ ἀδελφεοῦ.

3 16 Ὡς δὲ ἡμέρη ἐγένετο, ἐσελθόντα τὸν βασιλέα ἐς τὸ
οἴκημα, ἐκπεπλῆχθαι, ὁρέοντα τὸ σῶμα τοῦ φωρὸς ἐν τῇ
πάγῃ ἄνευ τῆς κεφαλῆς ἐόν· τὸ δὲ οἴκημα, ἀσινὲς, καὶ
17 οὔτε ἔσοδον οὔτε ἔκδυσιν [g] οὐδεμίαν [h] ἔχον. ἀπορεύμενον
δέ μιν, τάδε ποιῆσαι· τοῦ φωρὸς τὸν νέκυν κατὰ τοῦ
τείχεος κατακρεμάσαι· φυλάκους δὲ αὐτοῦ καταστή-
σαντα, ἐντείλασθαί [i] σφι, τὸν ἂν ἴδωνται [k] ἀποκλαύ-

Dolor matris ob filii cadaver e muro suspensum.

æusero. κατακεκλεισμένου edd. vett. Mox αἰεὶ om. M.P.K.F.

[w] Gl. in P. ἐνδιδοῦναι.

[x] Huc respicit Eustath. Hom. Il. β'. p. 364, 22=476, 1.

[y] στῆναι S.V. Supra οἷσι S. pro τοῖσι.

[z] ἐσδύντος S. Schæfer.

[a] Sic M.P.K.S.V.F.a.b.d. εὐθέως c. vulg. Mox ἔχεσθαι S. pro ἐνέχεσθαι.

[b] ἐλθόντα b.

[c] ἀποταμεῖν P.F.

[d] Sic S.b.d. probante Wesseling. et conferente Dawes. Misc. p. 228. προσαπολέσῃ F.a.c. edd. vett.

[e] δόξαν S.

[g] οὐδεμίαν F.S. οὐδεμίην vulg. Paulo supra ἀσινὲς ἐὸν Ald.

[f] Sic M.K.P.F.c. ἀπάγοντα S.a. b.d. Ald. Mox βασιλέα et ὁρῶντα S.

[h] ἔχον τε πορευόμενον S. ἔχοντα πορευόμενον δέ μιν τάδε, τάδε ποιῆσαι V. Mox φύλακας—καταστῆσαι ἐντείλασθαί τε S.V.b.d.

[i] σφι S.V.a.b.c.d. σφισι M.F. Gron. Wess. Mox αὐτὸν S. pro ἑωυτόν.

[k] ἐπικλαύσ. K. cf. III. 14. Wess.

σαντα, ἢ κατοικτισάμενον, συλλαβόντας ἄγειν πρὸς
18 ἑωυτόν. ἀνακρεμαμένου δὲ τοῦ νέκυος, τὴν μητέρα δεινῶς
φέρειν· λόγους δὲ πρὸς τὸν περιεόντα παῖδα ποιευμένην,
προστάσσειν αὐτῷ, ὅτεῳ τρόπῳ δύναται, [l] μηχανᾶσθαι
ὅκως τὸ σῶμα τοῦ ἀδελφεοῦ καταλύσας [m] κομιεῖ· εἰ δὲ
τούτων ἀμελήσει, [n] διαπειλέειν αὐτὴν, ὡς ἐλθοῦσα πρὸς

4 Id quo astu deceptis custodibus frater abstulerit.

19 τὸν βασιλέα, μηνύσει αὐτὸν ἔχοντα τὰ χρήματα. Ὡς
δὲ χαλεπῶς [o] ἐλαμβάνετο ἡ μήτηρ τοῦ περιεόντος παι-
δὸς, καὶ πολλὰ πρὸς αὐτὴν λέγων οὐκ ἔπειθε, [p] ἐπιτε-
20 χνήσασθαι τοιάδε μιν. ὄνους κατασκευασάμενον, καὶ
ἀσκοὺς πλήσαντα οἴνου, ἐπιθεῖναι ἐπὶ τῶν ὄνων, καὶ
ἔπειτα ἐλαύνειν αὐτούς· ὡς δὲ κατὰ τοὺς φυλάσσον-
τας [q] ἦν τὸν κρεμάμενον νέκυν, ἐπισπάσαντα [r] τῶν ἀσκῶν
21 δύο ἢ τρεῖς ποδεῶνας αὐτὸν λύειν [s] ἀπαμμένους. ὡς δὲ
ἔρρεε ὁ οἶνος, τὴν κεφαλήν μιν κόπτεσθαι μεγάλα βοῶντα,
ὡς οὐκ ἔχοντα πρὸς ὁκοῖον τῶν ὄνων πρῶτον τράπηται.
22 τοὺς δὲ φυλάκους, ὡς ἰδεῖν πολὺν ῥέοντα τὸν οἶνον, συν-
τρέχειν ἐς τὴν ὁδὸν ἀγγήϊα ἔχοντας, καὶ τὸν ἐκκεχυ- 161
μένον [t] οἶνον συγκομίζειν ἐν κέρδεϊ ποιευμένους· τὸν δὲ
23 διαλοιδορέεσθαι πᾶσι, ὀργὴν προσποιεύμενον. παραμυ-
θευμένων δὲ αὐτὸν τῶν φυλάκων, χρόνῳ πρηΰνεσθαι προσ- 1
ποιέεσθαι, καὶ [u] ὑπίεσθαι τῆς ὀργῆς· τέλος δὲ, ἐξελάσαι
24 αὐτὸν τοὺς ὄνους ἐκ τῆς ὁδοῦ, καὶ κατασκευάζειν. ὡς δὲ

[l] μηχανήσασθαι S.V.d.

[m] κομίσῃ S.V.d. Mox ἀμελήσῃ S.

[n] ἀπειλέειν S.V.d. Mox αὐτὴν M.P.K.S.V.F.a.c.d. αὐτῷ edd. αὐτὸν d. Tum βασιλέα S.

[o] Sic mss. ἐπελαμβάνετο edd. vett.

[p] ἐπιτεχνίσασθαι F.

[q] ἦν ἴσον τὸν κρ. S.V.d. φυλ. τὸν κ. sine ἦν c. Ald.

[r] τὸν ἀσκὸν S.V.

[s] ἀπαμμένους Ald. V.S. Paris. R. cf. I. 199. IV. 98. ἀφαμμένους M.K.F. κρεμαμένους gl. P. Mox πρῶτον τῶν ὄνων S. et post paulo φύλακας.

[t] οἶνον om. S. συντρέχειν—οἶνον om. F.

[u] Sic K.R.P.M.F.a.c.d. ὑπίσχεσθαι S.b. edd. vett. Gronovius citat I. 156. Schweighæuserus IV. 181.

λόγους τε πλείους ἐγγίνεσθαι, καί τινα καὶ σκῶψαί
μιν καὶ [x] ἐς γέλωτα [y] προαγαγέσθαι, [z] ἐπιδοῦναι αὐ-
τοῖσι τῶν ἀσκῶν ἕνα· τοὺς δὲ αὐτοῦ, ὥσπερ εἶχον, κατα-
κλιθέντας πίνειν διανοέεσθαι, καὶ ἐκεῖνον παραλαμβά-
νειν, καὶ κελεύειν μετ' ἑωυτῶν μείναντα συμπίνειν· τὸν
25 δὲ πεισθῆναί [a] τε δὴ, καὶ καταμεῖναι. ὡς δέ μιν παρὰ
τὴν πόσιν [b] φιλοφρόνως ἠσπάζοντο, ἐπιδοῦναι [c] αὐτοῖσι
καὶ ἄλλον τῶν ἀσκῶν. δαψιλέϊ δὲ τῷ ποτῷ χρησα-
μένους τοὺς φυλάκους, ὑπερμεθυσθῆναι· καὶ κρατηθέντας
ὑπὸ τοῦ ὕπνου, αὐτοῦ ἐνθάπερ [d] ἔπινον [e] κατακοιμηθῆναι.
26 τὸν δὲ, ὡς πρόσω ἦν τῆς νυκτὸς, τό τε σῶμα τοῦ ἀδελ-
φεοῦ [f] καταλῦσαι, καὶ τῶν φυλάκων ἐπὶ λύμῃ [g] πάν-
των ξυρῆσαι τὰς δεξιὰς [h] παρηΐδας· ἐπιθέντα δὲ τὸν
νέκυν ἐπὶ τοὺς ὄνους, [i] ἀπελαύνειν ἐπ' οἴκου, ἐπιτελέ-
5 27 σαντα τῇ μητρὶ τὰ προσταχθέντα. Τὸν δὲ βασιλέα,
ὡς αὐτῷ [k] ἀπηγγέλθη τοῦ φωρὸς ὁ νέκυς ἐκκεκλεμμένος,
δεινὰ ποιέειν· πάντως δὲ βουλόμενον εὑρεθῆναι ὅστις κοτὲ
εἴη ὁ ταῦτα μηχανώμενος, ποιῆσαί μιν τάδε, ἐμοὶ μὲν
28 οὐ πιστά· [l] τὴν δὲ θυγατέρα τὴν ἑωυτοῦ [m] κατίσαι ἐπ'
οἰκήματος, ἐντειλάμενον πάντας τε ὁμοίως προσδέκεσθαι,
καὶ πρὶν συγγενέσθαι, ἀναγκάζειν λέγειν αὐτῇ ὅ τι δὴ
ἐν τῷ βίῳ ἔργασται αὐτῷ σοφώτατον καὶ ἀνοσιώτατον·
ὃς δ' ἂν [n] ἀπηγήσηται τὰ περὶ τὸν φῶρα γεγενημένα,

Regis filia quo consilio a patre prostituta, quomodo a fure delusa.

[x] ἐς om. d. ἐς καὶ γ. S.

[y] προαγαγέσθαι M. K. F. a. c. προσαγαγέσθαι P. edd. vett. προσαγεῖν (sic) S.V. προσαγαγεῖν b.d.

[z] Sic P.K.V.S.F. Paris. ἐπιδοῦναί σφι τῶν (τὸν Ald.) ἀσκῶν ἕνα αὐτοῖσι M. Ald. et al. cf. Plutarch. II. p. 866. c.

[a] τε δεῖ V.

[b] φιλοφρόνως om. S.V.b.

[c] Sic P.K.S.V. Paris. F. Ald. καὶ ἄλλον om. M. καὶ ἄλλων Steph. ed. 2.

[d] ἐπίπονον F.

[e] κοιμηθῆναι S.V.d.

[f] κατεκλῦσαι S.V.

[g] πάντων om. S.V.b.

[h] παρηϊὰς S.V. παρειὰς b.d.

[i] ἐπελαύνειν R.

[k] ἀπηγγέλη S.V.

[l] Sic F.M.P.K. δὲ om. S. edd. vett.

[m] κτίσαι F. καθίσαι S.

[n] ἀπηγήσεται S. Supra ἔργασθαι Ald.

29 τοῦτον συλλαμβάνειν, καὶ μὴ ἀπιέναι ἔξω. ὡς δὲ τὴν
παῖδα ποιέειν τὰ ἐκ τοῦ πατρὸς προσταχθέντα, τὸν
φῶρα πυθόμενον τῶν εἵνεκα ταῦτα ἐπρήσσετο, βουλη-
θέντα πολυτροπίῃ τοῦ [o] βασιλέος περιγενέσθαι, ποιέειν
30 τάδε. νεκροῦ προσφάτου ἀποταμόντα [p] ἐν τῷ ὤμῳ τὴν
χεῖρα, ἰέναι αὐτὸν ἔχοντα αὐτὴν ὑπὸ τῷ ἱματίῳ· [q] ἐσελ-
θόντα δὲ [r] ὡς τοῦ βασιλέος τὴν θυγατέρα, καὶ [s] εἰρωτώ-
μενον τάπερ καὶ οἱ ἄλλοι, ἀπηγήσασθαι ὡς ἀνοσιώτατον 162
μὲν εἴη ἐργασμένος, ὅτε τοῦ ἀδελφεοῦ ἐν τῷ θησαυρῷ τοῦ
βασιλέος ὑπὸ πάγης ἁλόντος ἀποτάμοι τὴν κεφαλήν·
σοφώτατον δὲ, ὅτι τοὺς φυλάκους καταμεθύσας, [t] κατα-
31 λύσειε τοῦ ἀδελφεοῦ [v] κρεμάμενον τὸν νέκυν. τὴν δὲ, ὡς
ἤκουσε, ἅπτεσθαι αὐτοῦ. τὸν δὲ φῶρα ἐν τῷ σκότεϊ προ-
τεῖναι αὐτῇ τοῦ νεκροῦ τὴν χεῖρα· τὴν δὲ, ἐπιλαβομένην
ἔχειν, νομίζουσαν αὐτοῦ ἐκείνου τῆς χειρὸς ἀντέχεσθαι·
τὸν δὲ φῶρα προέμενον [w] αὐτῇ, οἴχεσθαι διὰ θυρέων φεύ-
32 γοντα. Ὡς δὲ καὶ ταῦτα ἐς τὸν βασιλέα [x] ἀνενεῖχθαι,
ἐκπεπλῆχθαι [y] μὲν ἐπὶ τῇ πολυφροσύνῃ [z] τε καὶ τόλμῃ
τἀνθρώπου. τέλος δὲ, διαπέμποντα ἐς πάσας τὰς [a] πό-
λις, ἐπαγγέλλεσθαι ἄδειάν τε διδόντα, καὶ μεγάλα
33 ὑποδεκόμενον ἐλθόντι ἐς ὄψιν τὴν ἑωυτοῦ. τὸν δὲ φῶρα,
πιστεύσαντα, ἐλθεῖν πρὸς αὐτόν· [b] Ῥαμψίνιτον δὲ με-

6 Ob calliditatem et audaciam fur a rege adsciscitur gener.

[o] βασιλῆος] βασιλέως F. βασιλέος S. et infra.

[p] Sic S.V.P.K.F. Paris. τὴν χεῖρα ἐν τῷ ὤμῳ M. edd. πρόσφατον hinc explicat Eustath. Il. ε'. p. 564, 10=428, 19.

[q] ἐσελθεῖν d.S.

[r] ὡς τοῦ βασ. M.P.V.S.K. Wesseling. ἐς Ald. R.F.a.c. quod retinet Schweighæuserus, citans I. 116. II. 135. 147. III. 140.

[s] ἠρωτω. F. εἰρωτεόμενον Borheck. Mox μὲν om. S.

[t] καταλύσει V.S.

[v] κρεμάμενον V.S. Ald. a.b.c. κρεμαμένου M.K.P.F. Gronov. Wessel.

[w] αὐτὴν S.

[x] ἀνενεῖχθαι Schæfer. ἀνηνεῖχθαι S.V. Alii ἀνενείχθη.

[y] μὲν om. d.S.

[z] τε om. F.

[a] πόλιας S.V. πόλεις F.

[b] Ῥαμψίνητον S. et infra; qui mox θαυμάσαι.

γάλως θωυμάσαι, [c] καί οἱ τὴν θυγατέρα ταύτην συνοικίσαι, ὡς πλεῖστα ἐπισταμένῳ ἀνθρώπων· Αἰγυπτίους μὲν γὰρ τῶν ἄλλων προκεκρίσθαι, ἐκεῖνον δὲ Αἰγυπτίων.

122 Μετὰ δὲ ταῦτα, ἔλεγον, [a] τοῦτον τὸν βασιλέα ζωὸν καταβῆναι κάτω ἐς τὸν οἱ Ἕλληνες ἀΐδην νομίζουσι εἶναι, καὶ κεῖθι [b] συγκυβεύειν τῇ Δήμητρι· καὶ τὰ μὲν, νικᾷν αὐτὴν, τὰ δὲ, ἑσσοῦσθαι ὑπ' αὐτῆς· καί μιν [c] πάλιν ἄνω ἀπικέσθαι, δῶρον ἔχοντα παρ' αὐτῆς χειρόμα-
2 κτρον χρύσεον. ἀπὸ δὲ τῆς Ῥαμψινίτου καταβάσιος, ὡς πάλιν ἀπίκετο, ὁρτὴν δὴ ἀνάγειν Αἰγυπτίους ἔφασαν· τὴν καὶ ἐγὼ οἶδα ἔτι καὶ ἐς ἐμὲ ἐπιτελέοντας αὐτούς· [d] οὐ μέντοι εἴ τε δι' ἄλλο τι εἴ τε διὰ ταῦτα
3 ὁρτάζουσι ἔχω λέγειν. φᾶρος δὲ αὐτημερὸν [e] ἐξυφήναντες οἱ ἱρέες, κατ' ὧν ἔδησαν ἑνὸς αὐτῶν μίτρῃ τοὺς ὀφθαλμούς· ἀγαγόντες [f] δέ μιν ἔχοντα τὸ φᾶρος ἐς ὁδὸν φέρουσαν ἐς ἱρὸν Δήμητρος, αὐτοὶ ἀπαλλάσσονται ὀπίσω· τὸν δὲ ἱρέα τοῦτον καταδεδεμένον τοὺς ὀφθαλμοὺς, λέγουσι ὑπὸ δύο λύκων ἄγεσθαι ἐς τὸ ἱρὸν τῆς Δήμητρος, ἀπέχον τῆς [g] πόλιος [h] ἐείκοσι σταδίους· καὶ αὖτις ὀπίσω ἐκ τοῦ ἱροῦ ἀπάγειν μιν τοὺς λύκους ἐς τὠυτὸ χωρίον.

Descendisse Rhampsinitum vivum ad inferos: lusisse ibi cum Cerere alea, et munere donatum inde rediisse: Ægyptiorum festum Cereris, et in eo ritus.

123 Τοῖσι μέν νυν ὑπ' Αἰγυπτίων λεγομένοισι χράσθω ὅτεῳ τὰ τοιαῦτα πιθανά ἐστι· ἐμοὶ δὲ παρὰ πάντα τὸν λόγον

Inferorum qui principes: animam ho-

[c] οἱ καὶ S.V.

122.

[a] Citat Athenæus IX. p. 410. E. Mox ἅδην S. et ἐκεῖθι.

[b] Schol. in P. συνταυλίζειν sive συνταβλίζειν. Mox ἡσσοῦσθαι S.

[c] Sic S.V.b. Valla. Schæfer. ἄνω om. vulgo, et noluit recipere Wesselingius, propterea quod ab Athenæo negligitur.

[d] Sic Ald. R.K. οὐ μὲν εἴγε διὰ ταῦτα ἑορτάζουσι V.S.d. Vall. οὐ μέντοι εἴγε διὰ ταῦτα P. et sic fere M. ubi εἴτε, cujus tamen margo omissas habet voces.

[e] ἐξυφάναντες V.S.

[f] μιν om. S.V. qui mox om. ἱρόν.

[g] Sic V.S.P.K.F. Paris. Al. πόλεως. πόλεος Ald.

[h] Sic P. edd. vett. εἴκοσι V.S. K.F. Paris. Mox αὖθις S. et ἀπαγάγειν.

minis primos Ægyptios dixisse immortalem esse, quæ spatio ter mille annorum finitis omnibus mutationibus in hominem remigret.

ὑπόκειται, [a] ὅτι τὰ λεγόμενα [b] ὑπὲρ ἑκάστων ἀκοῇ γρά-
φω. ἀρχηγετεύειν δὲ τῶν κάτω Αἰγύπτιοι λέγουσι [c] Δή-
2 μητρα καὶ Διόνυσον. Πρῶτοι δὲ καὶ [d] τόνδε τὸν λόγον
Αἰγύπτιοί εἰσι [e] οἱ εἰπόντες, ὡς ἀνθρώπου ψυχὴ ἀθάνα-
τός ἐστι· τοῦ σώματος δὲ [f] καταφθίνοντος, ἐς ἄλλο ζῶον 163
αἰεὶ γινόμενον ἐσδύεται· ἐπεὰν δὲ περιέλθῃ πάντα τὰ
χερσαῖα καὶ τὰ θαλάσσια καὶ τὰ [g] πετεινὰ, αὖτις ἐς
ἀνθρώπου σῶμα [h] γινόμενον [i] ἐσδύνειν· τὴν [k] περιήλυσιν
3 δὲ αὐτῇ γίνεσθαι ἐν τρισχιλίοισι ἔτεσι. τούτῳ τῷ λόγῳ
εἰσὶ οἳ Ἑλλήνων ἐχρήσαντο, οἱ μὲν, [l] πρότερον, οἱ δὲ,
[m] ὕστερον, ὡς ἰδίῳ ἑωυτῶν ἐόντι· τῶν ἐγὼ εἰδὼς τὰ οὐνό-
ματα, οὐ γράφω.

124

Cheops, ab a. 1182 ad 1132, impius et durus: itinerarium aggerem lapideum struit ingentis operis, et

Μέχρι μέν νυν Ῥαμψινίτου βασιλέος εἶναι [a] ἐν Αἰ-
γύπτῳ πᾶσαν εὐνομίην ἔλεγον, καὶ εὐθηνέειν Αἴγυπτον
μεγάλως. μετὰ δὲ τοῦτον, [b] βασιλεύσαντά σφεων Χέο-
2 πα, ἐς πᾶσαν κακότητα ἐλάσαι. [c] κατακληΐσαντα γάρ
μιν πάντα τὰ ἱρὰ, πρῶτα μέν σφεας [d] θυσιέων ἀπέρξαι·
μετὰ δὲ, ἐργάζεσθαι [e] ἑωυτῷ κελεύειν πάντας Αἰγυπτί-

123.

[a] ὅτι om. V.S.b.d. Mox τὰ λεγόμενα ἀκοῇ γράφειν ὑπὲρ ἑκάστου S. Valla.

[b] Sic V. ὑπ' ἑκάστων edd. F. Paris. περὶ ἑκάστων. d.

[c] Sic M.K.P.V.S.F. Paris. Δήμητραν edd. Plutarch. II. p. 857. C. Schweighæuserus citat Heynium ad Apollodor. I. 1, 1. 5, 3. Diod. Sic. V. 68. Conf. Dobræus ad Aristoph. Plut. 64.

[d] τοῦτον S.

[e] Sic M.P.K.S.V.b.d. οἱ om. F.a.c. edd. vett.

[f] καταφθίναντος V.S. Mox πάντα περιέλθῃ S.

[g] Sic M.K.P.S.V.b.d. Vulgo πτηνὰ cum a.c. πετεινὰ (η) F.

[h] γινομένην Steph. marg. Ald.

[i] ἐσδύνει P.K.a.c. εἰσδύνει F.

[k] Sic M.P.S.R.F. Paris. περίκλυσιν K. περιείλυσιν V. περιείλησιν Ald. Gl. in P. ἔφοδον, πόρειαν.

[l] πρότεροι F.

[m] δεύτερον S.V.b.d.

124.

[a] ἐν om. V.S. Ραμψινήτου βασιλέος S. Mox εὐθυνέειν S. Ald.

[b] βασιλεύοντα S.V.d.

[c] κατακλήσαντα K.V. κατακλείσαντα S. καταβλήσαντα F.

[d] Sic V.S.b. θ. τουτέων ἀπ. M. F.a.d. Ald. τούτων c. Τουτέων mendosam fuisse sinceræ lectionis θυσιέων scriptionem suspicatur Valckenær.

[e] ἑωυτοῦ V.S.

3 ους. τοῖσι μὲν δὴ ἀποδεδέχθαι, ἐκ τῶν [f] λιθοτομιέων τῶν ἐν τῷ Ἀραβίῳ οὔρεϊ, ἐκ τουτέων ἕλκειν λίθους μέχρι τοῦ Νείλου· διαπεραιωθέντας δὲ τὸν ποταμὸν πλοίοισι τοὺς λίθους ἑτέροισι ἔταξε ἐκδέκεσθαι, καὶ πρὸς τὸ Λιβυκὸν

maximam pyramidem cum subterraneis ædibus.

4 καλεύμενον ὄρος, πρὸς τοῦτο ἕλκειν. [g] ἐργάζοντο δὲ κατὰ δέκα μυριάδας ἀνθρώπων αἰεὶ τὴν τρίμηνον ἑκάστην.

5 χρόνον δὲ [h] ἐγγενέσθαι τριβομένῳ [i] τῷ λαῷ, δέκα [k] μὲν ἔτεα τῆς ὁδοῦ [l] κατὰ τὴν [m] εἷλκον τοὺς λίθους, τὴν ἔδειμαν· ἔργον ἐὸν οὐ πολλῷ τέῳ ἔλασσον τῆς πυραμίδος,

6 ὡς ἐμοὶ [n] δοκέειν· ([o] τῆς γὰρ μῆκος μέν εἰσι πέντε στάδιοι· εὖρος δὲ, δέκα ὀργυιαί· ὕψος δὲ, τῇ ὑψηλοτάτη ἐστὶ αὐτὴ ἑωυτῆς, ὀκτὼ ὀργυιαί· [p] λίθου τε ξεστοῦ καὶ

7 ζώων ἐγγεγλυμμένων·) [q] ταύτῃ τε [r] δὴ τὰ δέκα ἔτεα γενέσθαι, καὶ τῶν ἐπὶ τοῦ λόφου, [s] ἐπ' οὗ ἑστᾶσι αἱ πυ- 164
ραμίδες, [t] τῶν ὑπὸ γῆν οἰκημάτων, τὰς ἐποιέετο θήκας

8 ἑωυτῷ ἐν νήσῳ, διώρυχα τοῦ Νείλου [v] ἐσαγαγών. τῇ δὲ πυραμίδι αὐτῇ χρόνον γενέσθαι ἐείκοσι ἔτεα ποιευμένῃ· τῆς ἐστι [w] πανταχῆ μέτωπον ἕκαστον ὀκτὼ πλέθρα, ἐούσης τετραγώνου, καὶ ὕψος ἴσον· λίθου δὲ ξεστοῦ τε καὶ ἁρμοσμένου τὰ μάλιστα· οὐδεὶς τῶν λίθων τριήκοντα ποδῶν ἐλάσσων.

152 Ἐποιήθη δὲ ὧδε αὕτη ἡ πυραμίς· ἀνα-

Quomodo pyramis

[f] λιθοτομέων P. Mox ὄρει S.
[g] εἰργάζοντο S.V.K.F.
[h] ἐπιγενέσθαι S.V.d. γενέσθαι F.
[i] τῷ ἄλλῳ P.M.C.K.F.
[k] ἔτεα μὲν F.S.
[l] Sic K. Alii κατ' ἥν.
[m] εἵλκοντο S. εἵλκηντο V.
[n] δοκέει S.
[o] Sic S.V.d. Schæfer. τῆς μὲν γὰρ μῆκός ἐστι edd. vett. τῆς μὲν γὰρ μῆκός εἰσι K.P.F.a.b.c.
[p] λίθου δὲ S.V.
[q] ταύτης τε Schweighæuserus ex Reizii emend. ταύτης δὲ Schæferus. ταύτῃ δὲ S.b.c.d. edd. vett. ταύτῃ τε F.a. probante Schweighæusero in annot.
[r] δὴ om. S.V.
[s] ἐφ' οὗ S.V.P.K.F.
[t] καὶ τῶν Reiz. τῶν τ' Schæfer. At copulæ non erat hic locus: nam τὰ ἐπὶ τοῦ λόφου οἰκήματα, quæ hic significat auctor, sunt ea ipsa *opera* quæ ὑπὸ γῆν erant *substructa:* a quibus mox dein distinguit *pyramidem* ipsam, quæ in eodem colle in altum exstruebatur. SCHWEIGH.
[v] εἰσαγαγὼν F.
[w] πανταχῇ K.V.F.S.

exstructa, et quantæ in eam factæ impensæ.

βαθμῶν τρόπον, τὰς μετεξέτεροι [a] κρόσσας, οἱ δὲ [b] βω-
2 μίδας ὀνομάζουσι. τοιαύτην τὸ πρῶτον ἐπεί τε ἐποίησαν
αὐτὴν, ἤειρον τοὺς ἐπιλοίπους λίθους μηχανῇσι ξύλων
βραχέων πεποιημένῃσι· [c] χαμάθεν μὲν ἐπὶ τὸν πρῶτον
στοῖχον τῶν ἀναβαθμῶν ἀείροντες, [d] ὅκως δὲ [e] ἀνίοι ὁ λί-
θος ἐπ᾽ αὐτὸν, εἰς ἑτέρην μηχανὴν ἐτίθετο, ἑστεῶσαν ἐπὶ
τοῦ πρώτου στοίχου· ἀπὸ τούτου [f] δὲ ἐπὶ τὸν δεύτερον
3 [g] ἕλκετο [h] στοῖχον ἐπ᾽ ἄλλης μηχανῆς. ὅσοι γὰρ δὴ
στοῖχοι ἦσαν τῶν ἀναβαθμῶν, τοσαῦται καὶ [i] αἱ μηχα-
ναὶ ἦσαν· εἴ τε καὶ τὴν αὐτὴν μηχανὴν, ἐοῦσαν [k] μίαν τε
καὶ εὐβάστακτον, μετεφόρεον ἐπὶ στοῖχον ἕκαστον, ὅκως
τὸν λίθον ἐξέλοιεν· [l] λελέχθω γὰρ ἡμῖν ἐπ᾽ ἀμφότερα,
4 κατάπερ λέγεται. Ἐξεποιήθη δ᾽ ὦν τὰ ἀνώτατα αὐτῆς
πρῶτα· μετὰ δὲ, τὰ ἑπόμενα τούτων ἐξεποίευν· τελευ-
ταῖα δὲ αὐτῆς τὰ [m] ἐπίγαια καὶ τά κατωτάτω ἐξεποί-
5 ησαν. Σεσήμανται δὲ διὰ γραμμάτων Αἰγυπτίων ἐν τῇ
πυραμίδι, ὅσα ἔς τε [n] συρμαίην καὶ κρόμμυα καὶ σκό-
ροδα [o] ἀναισιμώθη τοῖσι ἐργαζομένοισι· καὶ ὡς ἐμὲ εὖ
μεμνῆσθαι τὰ ὁ ἑρμηνεύς μοι, [p] ἐπιλεγόμενος τὰ γράμ-
ματα, ἔφη, ἑξακόσια καὶ χίλια τάλαντα ἀργυρίου τε-
6 τελέσθαι. εἰ δ᾽ ἔστι οὕτως ἔχοντα ταῦτα, κόσα εἰκὸς
ἄλλα δεδαπανῆσθαί ἐστι ἔς τε σίδηρον τῷ ἐργάζοντο,

125.

[a] κρόσσας F.a.c. Vulgo κρώσσας cum S.

[b] Hesych. in v.

[c] χαμάθεν M.S.V.K.P.F.a.c. χαμόθεν Ald. b. cf. Pierson. ad Moerin p. 409.

[d] ὅκως τε F.

[e] ἂν εἴη V.S.

[f] δ᾽ ἂν ἐπὶ V.S.

[g] Sic F. ἥλκετο M.K.P. εἵλκετο Ald. S.V.R. Paris.

[h] Post στοῖχον intercidisse videntur talia quædam verba, καὶ ἐκ τοῦ δευτέρου ἐπὶ τὸν τρίτον στοῖχον. Schweigh.

[i] αἱ om. V.S.

[k] μίην] μίαν F.S.

[l] Sic F.a.c.d. edd. vett. γὰρ om. M.K.P.d. Wessel. λελέχθην S.V. absque γάρ. Mox ἐξεποήθην S.

[m] ἐπίγεα V.S. Mox κατώτατα S.

[n] Gl. in P.M. εἶδος πλακοῦντος καθαρτικοῦ. ὅσα τε ἐς σ. S.

[o] ἐδαπανήθη b. scil. e gl.

[p] Gl. in P. ἀναγινωσκόμενος.

καὶ σιτία, καὶ ἐσθῆτα τοῖσι ἐργαζομένοισι; ὁκότε χρόνον
μὲν οἰκοδόμεον τὰ ἔργα τὸν εἰρημένον· ἄλλον δὲ, ὡς ἐγὼ
δοκέω, ἐν τῷ τοὺς λίθους ἔταμνον, καὶ [q] ἄγον, καὶ τὸ
126 ὑπὸ γῆν ὄρυγμα [r] ἐργάζοντο, οὐκ ὀλίγον χρόνον. Ἐς
τοῦτο δὲ ἐλθεῖν Χέοπα κακότητος, [a] ὥστε χρημάτων δε-
όμενον, τὴν θυγατέρα τὴν ἑωυτοῦ [b] κατίσαντα ἐπ' οἰκή-
ματος, προστάξαι [c] πρήσσεσθαι ἀργύριον, ὁκόσον δή τι·
2 οὐ γὰρ δὴ τοῦτό γε ἔλεγον· τὴν δὲ, τά τε ὑπὸ τοῦ πα-
τρὸς ταχθέντα πρήσσεσθαι, ἰδίῃ δὲ καὶ αὐτὴν διανοηθῆναι 165
[d] μνημήϊον καταλιπέσθαι, καὶ τοῦ ἐσιόντος πρὸς αὐτὴν
ἑκάστου δέεσθαι, ὅκως ἂν αὐτῇ ἕνα λίθον ἐν τοῖσι ἔργοισι
3 δωρέοιτο. ἐκ τούτων δὲ τῶν λίθων ἔφασαν τὴν πυραμίδα
οἰκοδομηθῆναι, τὴν ἐν μέσῳ τῶν τριῶν ἑστηκυῖαν, ἔμ-
προσθε τῆς μεγάλης πυραμίδος· [e] τῆς ἔστι τὸ κῶλον
127 ἕκαστον [f] ὅλου καὶ ἡμίσεος πλέθρου. Βασιλεῦσαι δὲ
τὸν Χέοπα τοῦτον Αἰγύπτιοι [a] ἔλεγον πεντήκοντα ἔτεα·
τελευτήσαντος δὲ τούτου, ἐκδέξασθαι τὴν βασιληΐην τὸν
2 ἀδελφεὸν αὐτοῦ [b] Χεφρῆνα. καὶ τοῦτον δὲ τῷ αὐτῷ τρό-
πῳ διαχρᾶσθαι τῷ ἑτέρῳ, τά τε ἄλλα, καὶ πυραμίδα
ποιῆσαι, ἐς μὲν τὰ ἐκείνου μέτρα οὐκ ἀνήκουσαν· ταῦτα
3 γὰρ ὦν καὶ ἡμεῖς ἐμετρήσαμεν· οὔτε γὰρ ὕπεστι οἰκή-
ματα ὑπὸ γῆν, οὔτε ἐκ τοῦ Νείλου διῶρυξ ἥκει ἐς αὐτὴν,
ὥσπερ [c] ἐς τὴν ἑτέρην, ῥέουσα· [d] διὰ οἰκοδομημένου δὲ

Quæstus causu prostituit pater filiam: filiæ pyramis.

Chephren, ab a. 1132 ad 1076, itidem improbus: tertiam pyramidem ædificavit.

[q] Sic Paris. F.R. Ald. ἦγον M. S.V.P.

[r] εἰργάζοντο V.S. et sic supra.

126.

[a] Sic S.P.V.K.F. Paris. Vulg. ὥστε τ. θ. τ. ἑωυτοῦ χρημάτων δεόμενον.

[b] κτίσαντα F. καθίσαντα S.

[c] πρήσασθαι V.S. πρήσεσθαι F.

[d] μνημήϊον M.K.P.V.S. μνημόσυνον Ald. c. Mox δωροῖτο S.

[e] Sic M.R.K.V.P.S. Paris. τῆς τὸ κ. vulgo. τῆς ἐς τὸ F. Forsan ἔστι κ. sine τό. Schweigh.

[f] ὅλον S.V.

127.

[a] ἔλεγον S.V.M.K.P.F.a.b.d. λέγουσι Ald.

[b] Χεβρῆνα S.V. Mox ὑπέστη S.

[c] ἐστὶν ἑτέρη S.V.

[d] Edd. vett. et mss. διοικοδ. una voce.

[e] αὐλῶνος [f] ἔσω νῆσον [g] περιρρέει, ἐν τῇ αὐτὸν λέγουσι
4 κεῖσθαι Χέοπα. [h] ὑποδείμας δὲ τὸν πρῶτον δόμον λίθου
Αἰθιοπικοῦ ποικίλου, [i] τεσσεράκοντα πόδας [k] ὑποβὰς τῆς
ἑτέρης τὠυτὸ μέγαθος, ἐχομένην τῆς μεγάλης [l] οἰκοδό-
μησε. ἑστᾶσι δὲ ἐπὶ λόφου τοῦ αὐτοῦ ἀμφότεραι, μά-
λιστα ἐς ἑκατὸν πόδας ὑψηλοῦ. βασιλεῦσαι δὲ ἔλεγον
128 [m] Χεφρῆνα ἓξ καὶ πεντήκοντα ἔτεα. Ταῦτα ἕξ τε καὶ
ἑκατὸν λογίζονται ἔτεα, ἐν τοῖσι Αἰγυπτίοισί τε πᾶσαν
εἶναι κακότητα, καὶ τὰ ἱρὰ χρόνου τοσούτου [a] κατακληϊ-
2 σθέντα οὐκ ἀνοιχθῆναι. τούτους ὑπὸ μίσεος οὐ [b] κάρτα
θέλουσι Αἰγύπτιοι ὀνομάζειν, ἀλλὰ καὶ τὰς πυραμίδας
καλέουσι ποιμένος [c] Φιλιτίωνος, ὃς τοῦτον τὸν χρόνον ἔνεμε
[d] κτήνεα κατὰ ταῦτα τὰ χωρία.

Odio Cheopis et Chephrenis, Ægyptii eorum pyramides vocant pastoris Philitidis.

129 Μετὰ δὲ τοῦτον, βασιλεῦσαι Αἰγύπτου [a] Μυκερῖνον
ἔλεγον, Χέοπος παῖδα· τῷ τὰ μὲν τοῦ πατρὸς ἔργα
[b] ἀπαδεῖν· τὸν δὲ τά τε ἱρὰ ἀνοῖξαι, καὶ τὸν [c] λεὼν [d] τε-
τρυμένον ἐς τὸ ἔσχατον κακοῦ ἀνεῖναι πρὸς ἔργα τε καὶ
θυσίας· δίκας δέ σφι πάντων [e] βασιλέων δικαιοτάτας

Mycerinus, ab a. 1076 ad 1056, æquitatis colens: mortuam filiam in bove lignea

[e] ἀλῶνος S.V.

[f] ἔξω Schæfer. improbante Schweighæusero.

[g] Sic S.b.d. Ceteri περιρρέειν.

[h] ὑποδόμας S. qui mox ποικίλον.

[i] τεσσαρ. F.S. Ald.

[k] ὑπόβασιν Reizius, ὑποβάσι Schæfer. si quid mutandum, ὑποβᾶσαν τῆς ἑτέρης, *inferiorem, depressiorem altera*, maluisset Schweighæuser.

[l] Sic H. Stephanus. Vulgo οἰκοδομῆς. Schweighæusero omnium msstorum lectionem defendenti obloquitur Lobeck. ad Phrynich. p. 491. quasi is trium codicum auctoritatem respuisset.

[m] Χεβρῆῖνα S. Χεβριῆνα V.

128.

[a] Sic M. Paris. Ald. κατακλεισθέντα P.S.K. κατακληθέντα V. κατακλῃϊθέντα F.

[b] καταθέλουσιν S.V.

[c] Sic Ald. a.c.d. Φιλιτίονος F. Φιλιώντιος V. Φιλίτιος M.P.S.K. Vall.

[d] κτήνεα] om. S.V.

129.

[a] Respexit Hesychius in Μυκερίνα.

[b] ἐπάδειν S.

[c] Sic S.V.F. Paris. λεῷ M.P. K. cf. notas ad Gregor. Dial. Att. 91. λαὸν Ald.

[d] τετρυγμένον S. τετρυγημένον Gregorius Dial. Ion. 140. ubi vide notas.

[e] βασιλήων] βασιλέων F.S. et mox βασιλέες.

2 κρίνειν. κατὰ τοῦτο μέν νυν τὸ ἔργον, ἁπάντων ὅσοι ἤδη
βασιλέες ἐγένοντο Αἰγυπτίων, αἰνέουσι μάλιστα τοῦτον·
τά τε [f] ἄλλα γάρ μιν κρίνειν εὖ, καὶ δὴ καὶ τῷ ἐπιμεμ- 166
φομένῳ ἐκ τῆς δίκης παρ' ἑωυτοῦ διδόντα ἄλλα, ἀπο-
3 πιμπλάναι αὐτοῦ τὸν θυμόν. Ἐόντι δὲ ἠπίῳ τῷ Μυκε-
ρίνῳ κατὰ τοὺς πολιήτας, καὶ ταῦτα ἐπιτηδεύοντι πρῶτον
κακῶν ἄρξαι τὴν θυγατέρα ἀποθανοῦσαν αὐτοῦ, [g] τὴν μου-
4 νόν οἱ εἶναι ἐν τοῖσι [h] οἰκίοισι τέκνον. τὸν δὲ, ὑπεραλγή-
σαντά τε τῷ περιεπεπτώκεε πρήγματι, καὶ βουλόμενον
περισσότερόν [i] τι τῶν ἄλλων θάψαι τὴν θυγατέρα, ποιή-
σασθαι [k] βοῦν ξυλίνην κοίλην. καὶ ἔπειτα καταχρυσώ-
σαντά μιν ταύτην, ἔσω ἐν αὐτῇ θάψαι [l] ταύτην δὴ τὴν
130 ἀποθανοῦσαν θυγατέρα. Αὕτη ὦν ἡ βοῦς γῇ οὐκ ἐκρύφθη,
[a] ἀλλ' ἔτι καὶ ἐς ἐμὲ ἦν φανερή· ἐν Σάϊ μὲν [b] πόλι ἐοῦσα,
κειμένη δὲ ἐν τοῖσι βασιληΐοισι, ἐν οἰκήματι ἠσκημένῳ·
[c] θυμιήματα δὲ παρ' αὐτῇ παντοῖα καταγίζουσι ἀνὰ
πᾶσαν ἡμέρην· νύκτα δὲ ἑκάστην πάννυχος λύχνος [d] πα-
2 ρακαίεται. ἀγχοῦ δὲ τῆς βοὸς ταύτης ἐν ἄλλῳ οἰκήματι
εἰκόνες τῶν παλλακέων [e] τῶν Μυκερίνου ἑστᾶσι, ὡς ἔλε-
γον [f] οἱ ἐν Σάϊ πόλι ἱρέες· ἑστᾶσι μὲν γὰρ ξύλινοι [g] κο-
λοσσοὶ, ἐοῦσαι ἀριθμὸν ὡς [h] ἐείκοσι μάλιστά κῃ, γυμναὶ
[i] ἐργασμέναι· αἵ τινες μέντοι εἰσὶ, οὐκ ἔχω εἰπεῖν, πλὴν [k] ἢ

cava sepeliit.

Eam bovem et Mycerini concubinarum ligneos colossos exstare.

[f] Sic P.V.S.K.F. Paris. Vulgo γάρ μιν ἄλλα.
[g] τὸ μοῦνον εἶναι S.V. τὸ μοῦνόν οἱ εἶναι Schæfer. probante Hermanno ad Viger. Adn. 28.
[h] οἰκίοισι S.P.V.K.F. Paris. οἰκηΐοισι M. et al. cf. I. 109.
[i] τι om. d.
[k] βοῦν om. S.V.
[l] Sic M.K.P.V.S.a.b.d. ταύτην δὴ om. Ald. c. ποιήσασθαι—θυγατέρα om. F.

130.

[a] ἀλλὰ καὶ S.V.
[b] πόλι K.V. Al. πόλει cum S.
[c] θυμιάματα S.V. qui mox παρ' αὐτὴν pro παρ' αὐτῇ.
[d] παρακέεται F.a.b.c.
[e] τοῦ Μυκ. S.b.
[f] οἱ ἐν Σ. π. οἱ ἱρέες F.
[g] ἀγάλματα gl. in P.
[h] Sic Ald. M. εἴκοσι V.K.S.F. Paris.
[i] Sic M.V.S.P.K.F.a.c.d. κείμεναι edd. vett. b.
[k] ἣ om. b.

131 τὰ λεγόμενα. [a]Οἱ δέ τινες λέγουσι περὶ τῆς βοὸς
ταύτης, καὶ τῶν κολοσσῶν, τόνδε τὸν λόγον· ὡς Μυκε-
ρῖνος [b]ἐράσθη τῆς ἑωυτοῦ θυγατρὸς, καὶ ἔπειτα ἐμίγη οἱ
2 ἀεκούσῃ. μετὰ δὲ, λέγουσι ὡς ἡ παῖς ἀπήγξατο ὑπὸ
ἄχεος· ὁ δέ μιν ἔθαψε ἐν τῇ βοῒ ταύτῃ· ἡ δὲ μήτηρ αὐτῆς
τῶν ἀμφιπόλων τῶν προδουσέων τὴν θυγατέρα τῷ πατρὶ
ἀπέταμε τὰς χεῖρας· καὶ νῦν τὰς εἰκόνας αὐτέων εἶναι
3 πεπονθυίας τάπερ [c]αἱ ζωαὶ ἔπαθον. [d]ταῦτα δὲ [e]λέγουσι
φλυηρέοντες, ὡς ἐγὼ δοκέω, τά τε ἄλλα, [f]καὶ δὴ καὶ
τὰ περὶ τὰς χεῖρας τῶν κολοσσῶν· ταῦτα γὰρ ὦν καὶ
ἡμεῖς ὡρέομεν, ὅτι ὑπὸ χρόνου τὰς χεῖρας ἀποβεβλή-
κασι, αἳ ἐν ποσὶ αὐτέων [g]φαίνοντο ἐοῦσαι [h]ἔτι καὶ ἐς
132 ἐμέ. Ἡ δὲ βοῦς τὰ μὲν ἄλλα κατακέκρυπται φοινικέῳ
[a]εἵματι· τὸν αὐχένα δὲ καὶ τὴν κεφαλὴν [b]φαίνει [c]κε-
χρυσωμένα παχέϊ κάρτα χρυσῷ· μεταξὺ δὲ τῶν κερέων, ὁ
2 τοῦ ἡλίου κύκλος μεμιμημένος ἔπεστι χρύσεος. ἔστι δὲ
ἡ βοῦς οὐκ ὀρθὴ, ἀλλ' ἐν [d]γούνασι κειμένη· μέγαθος δὲ,
ὅση περ μεγάλη βοῦς [e]ζωή. ἐκφέρεται δὲ ἐκ τοῦ οἰκή-
3 ματος ἀνὰ πάντα [f]τὰ ἔτεα. ἐπεὰν τύπτωνται οἱ Αἰγύ-
πτιοι τὸν οὐκ ὀνομαζόμενον θεὸν ὑπ' ἐμεῦ ἐπὶ τοιούτῳ
πρήγματι, τότε ὦν καὶ τὴν βοῦν ἐκφέρουσι ἐς τὸ φῶς.
4 φασὶ [g]γὰρ δὴ αὐτὴν δεηθῆναι τοῦ πατρὸς Μυκερίνου ἀπο-
θνήσκουσαν, ἐν τῷ ἐνιαυτῷ ἅπαξ μιν τὸν ἥλιον κατιδεῖν.
133 Μετὰ δὲ τῆς θυγατρὸς τὸ πάθος, δευτέρα τούτῳ τῷ βα-

Fabulosa causa mortis filiæ Mycerini, et præcisarum colossis manuum.

Bovis ornatus, et anniversaria expositio.

131.

[a] εἰ δὲ S.V.

[b] Sic V. Vulgo ἠράσθη cum S.

[c] Sic P.K.V.S.F. Paris. αἱ om. edd. vett. paulo supra νῦν om. S.

[d] Sic F.a.c. ταῦτα δὴ edd. S.

[e] λέγοντες φλυηρέουσιν S.

[f] καὶ ὅτι δὴ c. Mox ὁρῶμεν S.

[g] Sic V. φαίνονται S. ἐφαίνοντο vulgo.

[h] Sic V.S.M.K.P.F. Paris. ἔτι ἐς Ald.

132.

[a] ἵματι V. ἱμάντι S.

[b] φαίνει om. S.V.

[c] ἐνικεχρυσωμένα V. ἐγκεχρυσωμένα S.

[d] γόνασι P.K.F.

[e] Gl. P. σώσα (ζῶσα.)

[f] τὰ om. P.S.F.b. Mox οἱ om. S.

[g] Sic V.S. δὴ om. F.c. Ald.

σιλέϊ τάδε γενέσθαι· ἐλθεῖν οἱ μαντήϊον ἐκ Βουτοῦς [a] πό- 167
λιος, ὡς " [b] μέλλοι ἓξ ἔτεα μοῦνον βιοὺς τῷ ἑβδόμῳ
2 " τελευτήσειν." τὸν δὲ, δεινὸν ποιησάμενον, πέμψαι ἐς
τὸ μαντήϊον τῷ θεῷ ὀνείδισμα, [c] ἀντιμεμφόμενον ὅτι " ὁ
" μὲν αὐτοῦ πατὴρ καὶ [d] πάτρως, [e] ἀποκληΐσαντες τὰ
" ἱρὰ, καὶ θεῶν οὐ μεμνημένοι, ἀλλὰ καὶ τοὺς ἀνθρώ-
" πους [f] φθείροντες, ἐβίωσαν χρόνον ἐπὶ πολλόν· αὐτὸς
" δ' [g] εὐσεβὴς ἐὼν, [h] μέλλοι ταχέως οὕτω τελευτήσειν."
3 Ἐκ δὲ τοῦ χρηστηρίου αὐτῷ δεύτερα ἐλθεῖν λέγοντα " τού-
" των εἵνεκα καὶ συνταχύνειν [i] αὐτῷ τὸν βίον. οὐ γὰρ
" ποιῆσαί μιν τὸ χρεὼν [k] ἦν ποιέειν· δεῖν γὰρ Αἴγυπτον
" κακοῦσθαι ἐπ' ἔτεα πεντήκοντά τε καὶ ἑκατόν· καὶ
" [l] τοὺς μὲν δύο τοὺς πρὸ ἐκείνου γενομένους βασιλέας
4 " μαθεῖν [m] τοῦτο, κεῖνον δὲ οὔ." [n] Ταῦτα ἀκούσαντα
τὸν Μυκερῖνον, ὡς [o] κατακεκριμένων ἤδη οἱ τούτων, λύχνα
ποιησάμενον πολλὰ, [p] ὅκως γίνοιτο νὺξ, ἀνάψαντα αὐ-
τὰ, πίνειν τε καὶ εὐπαθέειν, οὔτε ἡμέρης οὔτε νυκτὸς
ἀνιέντα, [q] ἔς τε τὰ ἕλεα καὶ τὰ ἄλσεα πλανώμενον, καὶ
ἵνα πυνθάνοιτο εἶναι [r] γῆς [s] ἐνηβητήρια [t] ἐπιτηδεώτατα.

Responsi Mycerino dati, et hujus ad id eludendum ratio absona.

133.

[a] Sic P.K.V.S.F. Paris. πόλεος edd. vett.
[b] μέλλει S. Mox μόνον S.
[c] καὶ ἀντιμεμφ. S.V.
[d] ὁ τοῦ πατρὸς ἀδελφὸς Gl. P.
[e] ἀποκλήσ. K.V. ἀποκλείσ. S.
[f] φθείραντες S.V.
[g] εὐσεβέων S.V.
[h] Sic M.P.K.V.F. Paris. Vulg. μέλλει cum S.
[i] αὐτὸν τὸν K.P.V.F.b.c.
[k] Sic M.P.S.K.V.F. Paris. εἴη edd. vett. Mox τε om. S.
[l] τοὺς μὲν πρότερον τοὺς δύο τοὺς πρὸ Ald.
[m] τοῦτον, κἀκεῖνον δὲ V.S.
[n] Sic P.K.V.M.S.F. Paris. ταῦτα δὲ edd. vett.
[o] Sic Ald. K.a.b.c.F. κατακεκριμένον S.M.V.d.
[p] ὅποτε Gl. P. Exscripsit Athenæus X. p. 438.
[q] Citat hæc Eustathius Od. ι'. p. 1624, 8=348, 3: qui cum Athenæo habet νεμόμενον pro πλανώμενον.
[r] γῆς vulgo omissum adjecit Schweighæuserus ex Gregorio Dial. Ion. 65. secundum em. Valckenærii.
[s] εὐωχητήρια Gl. P. et Suid. ἡβητήρια Athenæus.
[t] ἐπιτηδεότατα Gregorius, V. ἐπιτηδειότατα S.

5 ταῦτα δὲ ἐμηχανᾶτο, θέλων τὸ μαντήϊον ψευδόμενον
[v] ἀποδέξαι, ἵνα οἱ δυώδεκα ἔτεα ἀντὶ ἓξ ἐτέων γένηται,
αἱ νύκτες ἡμέραι ποιεύμεναι.

134 Πυραμίδα δὲ [a] καὶ οὗτος ἀπελίπετο πολλὸν ἐλάσσω
τοῦ πατρὸς, [b] ἐείκοσι ποδῶν [c] καταδέουσαν κῶλον ἕκα-
στον τριῶν πλέθρων, ἐούσης τετραγώνου, λίθου δὲ ἐς τὸ
ἥμισυ Αἰθιοπικοῦ· τὴν δὴ μετεξέτεροί φασι Ἑλλήνων
Ῥοδώπιος [d] ἑταίρης γυναικὸς εἶναι, οὐκ ὀρθῶς λέγοντες.
2 οὐ δὲ ὦν οὐδὲ εἰδότες μοι φαίνονται λέγειν οὗτοι ἥτις ἦν
ἡ Ῥοδῶπις· οὐ γὰρ [e] ἄν οἱ πυραμίδα ἀνέθεσαν ποιήσα-
σθαι τοιαύτην, ἐς τὴν [f] ταλάντων χιλιάδες ἀναρίθμητοι,
ὡς λόγῳ εἰπεῖν, ἀναισίμωνται· πρὸς δὲ, ὅτι κατὰ Ἄμα- 168
σιν βασιλεύοντα ἦν ἀκμάζουσα Ῥοδῶπις, ἀλλ' οὐ κατὰ
3 τοῦτον. ἔτεσι γὰρ κάρτα πολλοῖσι ὕστερον [g] τούτων τῶν
βασιλέων τῶν τὰς πυραμίδας ταύτας [h] ἦν λιπομένων
Ῥοδῶπις· [i] γενεὴν μὲν, ἀπὸ Θρηΐκης· δούλη δὲ ἦν Ἰάδ-
μονος τοῦ Ἡφαιστοπόλιος, ἀνδρὸς Σαμίου, σύνδουλος δὲ
4 Αἰσώπου τοῦ λογοποιοῦ. καὶ γὰρ οὗτος Ἰάδμονος ἐγένε-
το, ὡς διέδεξε τῇδε οὐκ ἥκιστα· ἐπεί τε γὰρ πολλάκις
κηρυσσόντων Δελφῶν ἐκ [k] θεοπροπίου "ὃς βούλοιτο ποι-
"νὴν τῆς Αἰσώπου ψυχῆς ἀνελέσθαι", ἄλλος μὲν οὐδεὶς
ἐφάνη, Ἰάδμονος δὲ παιδὸς παῖς, ἄλλος Ἰάδμων, ἀνεί-
λετο· οὕτω καὶ Αἴσωπος Ἰάδμονος ἐγένετο.

135 Ῥοδῶπις

Pyramis ab eo relicta: errare, qui eam Rhodopidis esse credant: hanc Amasidis ætate Sami apud Iadmonem cum Æsopo serviisse.

[v] ἀποδεῖξαι K.S.V.

134.

[a] Sic S.V.b.d.R. Ald. καὶ om. M.K.P.F.a.c.

[b] εἴκοσι K.V.S.F. Paris.

[c] καταχέουσαν F. Post h. v. distinctionem sustulit Schweighæuserus.

[d] ἑτέρης S.V. Mox μοι om. S.

[e] ἂν om. P.M.K.F. Habent Ald. a.c.V.S.R.

[f] τάλαντα V.S.

[g] τουτέων] τούτων F. et mox βασιλέων pro βασιλήων.

[h] Sic S.V.R.c. ἦν λειπομένη Ῥοδ. Eton. P.K. Ald. F.b.d. λιπόντων ἦν Ῥοδ. Stephanus et seqq. λιπομένων, ἦν Ῥοδῶπις Schæfer.

[i] Cf. Suidas et Photius in Ῥοδῶπις.

[k] νεοτροπίου S.V. qui mox πρινὴν pro ποινήν.

δὲ ἐς Αἴγυπτον ἀπίκετο, Ξάνθεω τοῦ Σαμίου κομίσαν-
τός [a] μιν· ἀπικομένη δὲ κατ᾽ ἐργασίην, ἐλύθη χρημάτων
μεγάλων ὑπὸ ἀνδρὸς Μυτιληναίου Χαράξου, τοῦ Σκα-
μανδρωνύμου παιδὸς, ἀδελφεοῦ δὲ Σαπφοῦς τῆς μουσο-
2 ποιοῦ. οὕτω δὴ ἡ Ῥοδῶπις ἐλευθερώθη, καὶ κατέμεινέ τε
ἐν Αἰγύπτῳ, καὶ κάρτα ἐπαφρόδιτος γενομένη, μεγάλα
[b] ἐκτήσατο χρήματα, ὡς ἂν εἶναι [c] Ῥοδῶπιν, ἀτὰρ [d] οὐκ
3 ὥς γε ἐς [e] πυραμίδα τοιαύτην ἐξικέσθαι. τῆς γὰρ τὴν
δεκάτην τῶν χρημάτων ἰδέσθαι ἐστὶ ἔτι καὶ ἐς τόδε
παντὶ τῷ βουλομένῳ, οὐδὲν δεῖ μεγάλα οἱ χρήματα
4 ἀναθεῖναι. ἐπεθύμησε γὰρ Ῥοδῶπις μνημήϊον [f] ἑωυτῆς ἐν
τῇ Ἑλλάδι καταλιπέσθαι, ποίημα ποιησαμένη τοῦτο, τὸ
μὴ τυγχάνει ἄλλῳ ἐξευρημένον καὶ ἀνακείμενον ἐν ἱρῷ,
5 τοῦτο ἀναθεῖναι ἐς Δελφοὺς μνημόσυνον ἑωυτῆς. τῆς ὦν 169
δεκάτης τῶν χρημάτων ποιησαμένη [g] ὀβελοὺς [h] βουπό-
ρους πολλοὺς σιδηρέους, ὅσον ἐνεχώρεε ἡ δεκάτη οἱ, ἀπέ-
πεμπε ἐς Δελφούς· οἳ καὶ νῦν ἔτι [i] συννενέαται, ὄπισθε
μὲν τοῦ βωμοῦ τὸν Χῖοι ἀνέθεσαν, [k] ἀντίον δὲ αὐτοῦ τοῦ
6 νηοῦ. [l] Φιλέουσι δέ κως ἐν τῇ Ναυκράτι ἐπαφρόδιτοι
γίνεσθαι αἱ ἑταῖραι. τοῦτο μὲν γὰρ αὕτη, τῆς πέρι λέ-
γεται ὅδε [m] ὁ λόγος, οὕτω δή τι κλεινὴ ἐγένετο, ὡς καὶ
[n] πάντες οἱ Ἕλληνες Ῥοδώπιος τὸ οὔνομα ἐξέμαθον· του-

A Xantho abductam in Ægyptum, redemtam a Charaxo Sapphus fratre, quæstu maximo facto, Delphos misisse decimam opum verua ferrea: meretricum Naucraticarum celebritas.

135.

[a] μιν om. Gronov. Wessel. cum M.P.K.F. Dedi mox Μυτιλ. pro Μιτυλ. Vide Wesseling. ad I. 160.

[b] ἐκτίσατο F. Supra ἠλευθερώθη S.

[c] Ῥοδώπιος Reizius ex em. Valcken. Ῥοδῶπι Schæfer.

[d] Sic K. Vulgo οὔκως γε. οὐκῶς γε S.

[e] τυραννίδα Ald. τοιήνδε pro τοιαύτην S.

[f] Sic S.V. Vulgo αὐτῆς.

[g] ὀβολοὺς F.

[h] βοπόρους Suid. in v. Tum πολλοὺς σιδηρέους om. S.

[i] συνέαται S.V. συνενέαται F. ἐπισυννέαται R. cf. Etymol. p. 599.

[k] ἀντίοι S.V. cf. c. 34. Mox νηός S.

[l] Respexit hæc Athenæus XIII. p. 596. Wessel. Mox ναυκράτω S. et αἱ om.

[m] ὁ om. P.K.b.

[n] Sic V.K.P.a.c.d. οἱ πάντες M.F.b.S.

το δὲ, ὕστερον ταύτης, τῇ οὔνομα ἦν [o] Ἀρχιδίκη, ἀοίδιμος ἀνὰ τὴν Ἑλλάδα ἐγένετο, [p] ἧσσον δὲ τῆς ἑτέρης [q] περιλεσχήνευτος.
7 Χάραξος δὲ ὡς λυσάμενος Ῥοδῶπιν ἀπενόστησε [r] ἐς Μυτιλήνην, ἐν μέλεϊ Σαπφὼ πολλὰ κατεκερτόμησέ μιν. Ῥοδώπιος μέν νυν πέρι πέπαυμαι.

136 Asychis, ab a. 1056. ad 1006: Vulcani templum exornat: pecuniæ sub eo inopia, et fides angusta: legem de mutuo quam dederit: pyramis ejus lateritia.

136 Μετὰ δὲ Μυκερῖνον γενέσθαι Αἰγύπτου βασιλέα ἔλεγον οἱ [a] ἱρέες Ἄσυχιν, τὸν τὰ πρὸς ἥλιον ἀνίσχοντα ποιῆσαι τῷ Ἡφαίστῳ προπύλαια, ἐόντα [b] πολλῷ τε [c] κάλλιστα καὶ πολλῷ μέγιστα.
2 ἔχει μὲν γὰρ καὶ τὰ πάντα προπύλαια τύπους τε [d] ἐγγεγλυμμένους, καὶ ἄλλην ὄψιν οἰκοδομημάτων μυρίην· ἐκεῖνα δὲ, καὶ [e] μακρῷ μάλιστα.
3 Ἐπὶ τούτου βασιλεύοντος, ἔλεγον, ἀμιξίης ἐούσης πολλῆς χρημάτων, γενέσθαι νόμον Αἰγυπτίοισι, ἀποδεικνύντα ἐνέχυρον τοῦ πατρὸς τὸν νέκυν, οὕτω λαμβάνειν τὸ χρέος· [f] προστεθῆναι δὲ ἔτι τούτῳ τῷ νόμῳ τόνδε, τὸν διδόντα τὸ χρέος καὶ ἁπάσης κρατέειν τῆς τοῦ λαμβάνοντος θήκης·
4 τῷ δὲ [g] ὑποτιθέντι τοῦτο τὸ ἐνέχυρον, τήνδε ἐπεῖναι ζημίην, [h] μὴ βουλομένῳ ἀποδοῦναι τὸ χρέος, [i] μηδὲ αὐτῷ ἐκείνῳ τελευτήσαντι εἶναι ταφῆς κυρῆσαι μήτ᾽ ἐν ἐκείνῳ τῷ [k] πατρῴῳ τάφῳ μήτ᾽ ἐν ἄλλῳ μηδενὶ, μήτε ἄλλον μηδένα [l] τῶν ἑωυτοῦ ἀπογενόμενον θάψαι.
5 Ὑπερβαλέσθαι 170
δὲ βουλόμενον τοῦτον τὸν βασιλέα τοὺς πρότερον ἑωυτοῦ

[o] Ἀρχιδίκη Steph. et edd. seqq. [p] κρέσσων S.V. ἕσσον Schæfer. [q] περὶ λέσχην οὗτος S.V. Explicat Hesychius in v. ubi περιβόητος cum Abreschio mallem. Wess. [r] Sic S.V.K. Ald. R. Paris. ὡς M.P.F. Dedi autem Μυτιλήνην pro Μιτυλ. Mox ἐν om. S.

136.

[a] ἱρέες γενέσθαι Ald. Mox ποιῆσαί μιν S. [b] πολλῶν S.V. [c] τε καὶ κάλλιστα F. [d] ἐγγεγλυμμένους S.V. *figuras insculptas* Valla. cf. II. 124. 138. 148. εὖ λελεγμένους F. εὖ γεγλ. vulgo. [e] πολλῷ Gl. P. Mox ἀμαξίης S. [f] προστεθεῖναι S. et mox τόδε pro τόνδε. [g] ὑποθέντι S. [h] Sic M.S.V.P.K.F. Paris. καὶ μὴ Ald. [i] μήτ᾽ S.V. Reiz. Schæfer. [k] πατρωΐῳ Schæfer. [l] τὸν Steph. et seqq. cum S.

βασιλέας γενομένους Αἰγύπτου, μνημόσυνον πυραμίδα λιπέσθαι, ἐκ πλίνθων ποιήσαντα· ἐν τῇ γράμματα ἐν
6 λίθῳ ἐγκεκολαμμένα [m] τάδε λέγοντά ἐστι· ΜΗ ΜΕ [n] ΚΑΤΟΝΟΣΘῌΣ ΠΡΟΣ ΤΑΣ ΛΙΘΙΝΑΣ ΠΥΡΑΜΙΔΑΣ. ΠΡΟΕΧΩ ΓΑΡ ΑΥΤΕΩΝ ΤΟΣΟΥΤΟΝ,
7 ὉΣΟΝ Ὁ ΖΕΥΣ ΤΩΝ ΑΛΛΩΝ ΘΕΩΝ. ΚΟΝΤῼ ΓΑΡ ὙΠΟΤΥΠΤΟΝΤΕΣ ΕΣ ΛΙΜΝΗΝ, Ὁ ΤΙ [o] ΠΡΟΣΧΟΙΤΟ ΤΟΥ ΠΗΛΟΥ Τῼ ΚΟΝΤῼ, ΤΟΥΤΟ ΣΥΛΛΕΓΟΝΤΕΣ, ΠΛΙΝΘΟΥΣ ΕΙΡΥΣΑΝ, ΚΑΙ ΜΕ ΤΡΟΠῼ ΤΟΙΟΥΤῼ ΕΞΕΠΟΙΗΣΑΝ. τοῦτον μὲν τοσαῦτα ἀποδέξασθαι.

137 Μετὰ δὲ τοῦτον, βασιλεῦσαι ἄνδρα τυφλὸν ἐξ Ἀνύσιος [a] πόλιος, τῷ οὔνομα Ἄνυσιν εἶναι. ἐπὶ τούτου βασιλεύοντος ἐλάσαι [b] ἐπ᾽ Αἴγυπτον χειρὶ πολλῇ [c] Αἰθίοπάς
2 τε καὶ Σαβακῶν [d] τὸν Αἰθιόπων βασιλέα. τὸν μὲν δὴ τυφλὸν τοῦτον οἴχεσθαι φεύγοντα ἐς τὰ ἕλεα· τὸν δὲ Αἰθίοπα βασιλεύειν Αἰγύπτου ἐπ᾽ ἔτεα πεντήκοντα· ἐν
3 τοῖσι αὐτὸν τάδε ἀποδέξασθαι. ὅκως τῶν τις Αἰγυπτίων [e] ἁμάρτοι τι, κτείνειν μὲν [f] αὐτῶν οὐδένα ἐθέλειν· τὸν δὲ κατὰ μέγαθος τοῦ ἀδικήματος [g] ἑκάστῳ [h] δικάζειν, ἐπιτάσσοντα [i] χώματα χοῦν πρὸς τῇ ἑωυτῶν πόλι, ὅθεν
4 ἕκαστος ἦν τῶν [k] ἀδικεόντων. καὶ οὕτω ἔτι αἱ πόλιες [l] ἐγένοντο ὑψηλότεραι· τὸ μὲν γὰρ πρῶτον, ἐχώσθησαν

Anysis, ab a. 1006 ad 1004, cæcus: [*inter Anysin et Sabaconem Herodotus non advertit suas ipsius rationes arguere intervallum ponendum esse: ortam confusionem tollas ita:*] regno pulsus Anysis ab hoste, annis L post ex insula Elbone progressus,

[m] ἐστὶ τάδε λέγοντα S.V.
[n] κατονοσθῇς M.K.P.b.d. κατονοθῇς Ald. R.a.c.F. κατονομασθῇς V.S. καταμέμφοιο Gl. in P.
[o] πρὸς σχοῖτο P. προσέχοιτο V.S. πρόσχοιτο edd. πρόσσχοιτο Schæfer.

137.
[a] Sic S.V.K.F. Paris. πόλεος Ald.
[b] Sic M.P.K.F.b.d. ἐς Αἰγ. Ald. V.R.a.c. χειρὶ πολλῇ ἐς S.
[c] Αἰθίοπά τε καὶ Σαβακὸν S.V. Αἰθίοπά Ald.
[d] Sic F. Vulgo τῶν Αἰθ. β. cum S.
[e] τι om. S.V. ἁμάρτῃ τι F.
[f] αὐτὸν S.V.
[g] ἑκάστου P.K.F.
[h] δικάζοντα ἐπιτάσσειν F. m. sec.
[i] χώματα χοῦν citat Suid. in χώματα.
[k] οἰκεόντων S.V. Vall.
[l] ἐγίνοντο c.

iterum imperat ab a. 954: Elbo insula omnibus latuit annos plus D, usque ad Amyrtæum fugientem a. 450: intervallum: Sabaco Æthiops, ab a. 765 ad 715: delicta non punit morte: aggerationibus tollit solum ad urbes altius: descriptio templi Dianæ.

ὑπὸ τῶν τὰς διώρυχας [m] ὀρυξάντων, ἐπὶ Σεσώστριος βα-
σιλέος· δεύτερα δὲ, ἐπὶ τοῦ Αἰθίοπος [n] καὶ κάρτα ὑψη-
5 λαὶ ἐγένοντο. Ὑψηλέων δὲ καὶ ἑτέρων [o] τασσομένων ἐν
τῇ Αἰγύπτῳ [p] πολίων, ὡς ἐμοὶ δοκέει, [q] μάλιστα μὲν
Βουβάστι πόλι ἐξεχώσθη, ἐν τῇ καὶ ἱρόν ἐστι Βουβάστιος
6 ἀξιαπηγητότατον. μέζω μὲν [r] γὰρ ἄλλα, καὶ πολυδα-
πανώτερά ἐστι ἱρά· ἡδονῇ δὲ ἰδέσθαι οὐδὲν τούτου μᾶλ- 171
λον. ἡ δὲ Βούβαστις, κατὰ Ἑλλάδα γλῶσσαν, ἐστὶ
138 Ἄρτεμις. Τὸ δὲ ἱρὸν αὐτῆς ὧδε ἔχει. πλὴν τῆς ἐσόδου,
τὸ ἄλλο νῆσός ἐστι· ἐκ γὰρ τοῦ Νείλου διώρυχες ἐσέ-
χουσι, οὐ [a] συμμίσγουσαι ἀλλήλῃσι, ἀλλ' ἄχρι τῆς ἐσό-
δου τοῦ ἱροῦ ἑκατέρη ἐσέχει· ἡ μὲν, τῇ περιρρέουσα, ἡ δὲ,
τῇ· εὖρος ἐοῦσα ἑκατέρη ἑκατὸν ποδῶν, δένδρεσι κατά-
2 σκιος. τὰ δὲ προπύλαια, ὕψος μὲν δέκα ὀργυιέων ἐστὶ,
τύποισι δὲ ἑξαπήχεσι ἐσκευάδαται ἀξίοισι λόγου. ἐὸν δ'
ἐν μέσῃ τῇ πόλι τὸ ἱρὸν, κατορᾶται πάντοθεν περιϊόντι·
ἅτε γὰρ τῆς [b] πόλιος μὲν [c] ἐκκεχωσμένης ὑψοῦ, τοῦ δ'
ἱροῦ οὐ κεκινημένου, ὡς ἀρχῆθεν ἐποιήθη, [d] ἔσοπτόν ἐστι.
3 περιθέει δ' αὐτὸ αἱμασιὴ ἐγγεγλυμμένη τύποισι. ἔστι
δὲ ἔσωθεν [e] ἄλσος δενδρέων μεγίστων, [f] πεφυτευμένον περὶ
νηὸν μέγαν, ἐν τῷ δὴ τὤγαλμα ἔνι. εὖρος δὲ καὶ μῆκος
4 τοῦ ἱροῦ [g] πάντῃ σταδίου ἐστί. κατὰ μὲν δὴ τὴν ἔσοδον,
ἐστρωμένη ἐστὶ ὁδὸς λίθου ἐπὶ σταδίους τρεῖς μάλιστά

[m] ὀρυξάντων om. S.V.
[n] καὶ κάρτα M.K.P.V.S.F.a.b. καὶ om. c.d. vulg.
[o] γενομένων S.V. Vall.
[p] Sic K. F. Paris. πολήων vulgo.
[q] Sic M.K.P. et F. ubi πόλει. μάλιστα ἡ ἐν Βουβάστι πόλις S.V. A.B.R. Ald. Mox ἱερὸν S.
[r] Sic M.K.P.S.V.F. Paris. γὰρ καὶ ἄλλα vulgo.

138.
[a] συμμίσγονται F.
[b] Sic V.S.K.P. πόλεος edd. vett.
[c] ἐκκεχυμένης Ald. ἐγκεχωσ. S.V.
[d] ἔσοπτον M.K.P.S. ἔσοπρον F. ἔσοπτρον Ald.
[e] μὲν ἄ. S.V.
[f] Sic F.b. πεφυτευμένων vulg.
[g] πάντα S. Mox ὁδὸς λίθου ἐστιν S.

κη, διὰ τῆς ἀγορῆς φέρουσα ἐς τὸ πρὸς ἠῶ· εὖρος δὲ, ὡς
[h] τεσσέρων πλέθρων· τῇ δὲ καὶ [i] τῇ τῆς ὁδοῦ δένδρεα
οὐρανομήκεα πέφυκε· φέρει [k] δ' ἐς Ἑρμέω ἱρόν. τὸ μὲν
139 δὴ ἱρὸν τοῦτο [l] οὕτω ἔχει. Τέλος δὲ τῆς ἀπαλλαγῆς τοῦ
2 Αἰθίοπος ὧδε ἔλεγον γενέσθαι. ὄψιν ἐν τῷ ὕπνῳ τοιήνδε
ἰδόντα αὐτὸν, οἴχεσθαι φεύγοντα· ἐδόκεέ οἱ ἄνδρα ἐπι-
στάντα συμβουλεύειν, [a] τοὺς ἱρέας τοὺς ἐν Αἰγύπτῳ συλ-
3 λέξαντα πάντας, μέσους [b] διαταμέειν· ἰδόντα δὲ τὴν
ὄψιν ταύτην λέγειν αὐτὸν, ὡς πρόφασίν οἱ [c] δοκέοι ταύτην
τοὺς θεοὺς [d] προδεικνύναι, ἵνα ἀσεβήσας περὶ τὰ ἱρὰ,
κακόν τι πρὸς θεῶν ἢ πρὸς ἀνθρώπων λάβοι· οὔκων
[e] ποιήσειν ταῦτα· ἀλλὰ γάρ οἱ ἐξεληλυθέναι τὸν χρόνον,
4 [f] ὁκόσον κεχρῆσθαι ἄρξαντα Αἰγύπτου [g] ἐκχωρήσειν. ἐν
γὰρ τῇ Αἰθιοπίῃ ἐόντι αὐτῷ τὰ μαντήϊα, τοῖσι χρέωνται
Αἰθίοπες, ἀνεῖλε, [h] ὡς δέοι αὐτὸν Αἰγύπτου βασιλεῦσαι
ἔτεα πεντήκοντα. ὡς ὦν ὁ χρόνος οὗτος ἐξήϊε, καὶ αὐτὸν
ἡ ὄψις τοῦ ἐνυπνίου ἐπετάρασσε, ἑκὼν [i] ἀπαλλάσσεται
140 ἐκ τῆς Αἰγύπτου ὁ [k] Σαβακῶς. Ὡς δ' ἄρα οἴχεσθαι
τὸν Αἰθίοπα ἐξ Αἰγύπτου, αὖτις τὸν τυφλὸν [a] ἄρχειν, ἐκ
τῶν ἑλέων ἀπικόμενον· ἔνθα πεντήκοντα ἔτεα, νῆσον χώ-
2 σας σποδῷ τε καὶ γῇ, οἴκεε. ὅκως γάρ οἱ φοιτᾶν σῖτον

Sabaconis territi somnio discessus ex Ægypto.

Elbo Insula.

[h] τεσσάρων F.
[i] τῇδε d.
[k] Sic Ald. S.V. Paris. ἐς om. M.K.P.F.
[l] οὕτως F.S.

139.

[a] Citat Gregorius Dial. Ion. 67.
[b] Sic M.K.P. διατάμνειν Gregor. διαταμεύειν F. διαταμεῖν Al. S. Valckenærius: "Ionice, ut "τάμνειν, scribebatur στράφειν et "τράπειν. Sed Dorica sunt, ut "puto, τράφειν et τράχειν: hoc "rarius, et Grammaticis tantum "observatum."
[c] δοκέειν P.K.F.b.d.
[d] παραδεικνύναι b.
[e] ποιήσει F.
[f] ὅσον S.V. qui mox ἄρχοντα pro ἄρξαντα.
[g] ἐκχωρήσειν M.K.P.S.V.F.a. b.d. ἐκχωρέειν edd. vett. c.
[h] ὁ θεὸς οἱ S.V.
[i] ἀπαλλάσσετο F.c.d.S. Ald.
[k] Σαβακὸς S.V.

140.

[a] ἄρχειν om. F.

ἄγοντας Αἰγυπτίων ὡς ἑκάστοισι προστετάχθαι [b] σιγῇ τοῦ Αἰθίοπος, ἐς [c] τὴν δωρεὴν κελεύειν σφέας καὶ [d] σποδὸν κομίζειν.
3 ταύτην [e] τὴν νῆσον οὐδεὶς πρότερον ἐδυνάσθη Ἀμυρταίου ἐξευρεῖν· ἀλλὰ ἔτεα ἐπὶ πλέω ἢ ἑπτακόσια οὐκ οἷοί τε ἦσαν αὐτὴν ἀνευρεῖν οἱ πρότεροι γενόμενοι βα- 172
σιλέες Ἀμυρταίου· οὔνομα δὲ ταύτῃ τῇ νήσῳ [f] Ἐλβώ· μέγαθος [g] δ' ἐστὶ πάντη δέκα σταδίων.

141 Sethon, Vulcani sacerdos, rex ab a. 715 ad 671: militarem ordinem secus tractat: belli a Sanacharibo illati a. 712 exitus memorabilis.

141 Μετὰ δὲ τοῦτον, βασιλεῦσαι τὸν ἱρέα τοῦ Ἡφαίστου, τῷ οὔνομα εἶναι Σεθῶν· τὸν ἐν ἀλογίῃσι ἔχειν παραχρησάμενον τῶν μαχίμων Αἰγυπτίων, ὡς οὐδὲν δεησόμενον αὐτῶν· ἄλλα τε δὴ ἄτιμα ποιεῦντα ἐς αὐτούς, καί σφεας ἀπελέσθαι τὰς ἀρούρας, τοῖσι ἐπὶ τῶν [a] προτέρων βασιλέων δεδόσθαι [b] ἐξαιρέτους ἑκάστῳ δυώδεκα ἀρούρας.
2 μετὰ δὲ, [c] ἐπ' Αἴγυπτον ἐλαύνειν στρατὸν μέγαν Σαναχάριβον βασιλέα [d] Ἀραβίων τε καὶ Ἀσσυρίων. οὔκων δὴ ἐθέλειν τοὺς μαχίμους τῶν Αἰγυπτίων βοηθέειν· τὸν δὲ ἱρέα ἐς ἀπορίην [e] ἀπειλημένον, ἐσελθόντα ἐς τὸ μέγαρον, πρὸς τὤγαλμα [f] ἀποδύρεσθαι οἷα κινδυνεύει παθέειν.
3 ὀλοφυρόμενον δ' ἄρα μιν ἐπελθεῖν ὕπνον, καί οἱ δόξαι ἐν τῇ [g] ὄψι, ἐπιστάντα τὸν θεὸν θαρσύνειν, ὡς οὐδὲν πείσεται

[b] Cf. Thomas M. in v.

[c] τὴν om. ed. Wessel.

[d] σπονδὸν S.

[e] τὴν om. d. Dedi mox βασιλέες cum S.

[f] Ἑλκὼ P. Eton. b. Ἐλκὼ d. vid. Steph. Byz. in v.

[g] Sic V.P.M.K.F.a. δὲ om. c. edd. vett. δὲ absque ἐστὶ S.

141.

[a] πρόσθεν V.S. Mox βασιλέων F.S.

[b] ἐξαιρέτως S. cum vulg. consentit Eustath. Il. β'. p. 210, 1 =159, 2.

[c] ἐπ' Αἰγύπτου P. e corr. F. Parum refert: prius significat *contra, adversus Ægyptum*; alterum *Ægyptum versus*. Schw.

[d] Vid. Joseph. Antiq. X. 1, 4. Eustath. Il. α'. p. 35, 2=26, 35. Mox οὔκων δὲ S.

[e] Ita legendum docuit Wesseling. conferens ἀπειληθέντα ἐς ἀπορίην I. 24. Addit Schweighæuser. VIII. 109. IX. 34. ἀπειλημμένον F.S. et al. cum edd.

[f] Sic S.M.K.P.F. Paris. ἀποδύρασθαι Ald. al. Mox κινδυνεύειν S.

[g] ὄψι M.P.K. ὄψει S.F. al. Tum θρασύνειν S. et τῶν Ἀραβίων.

ἄχαρι ἀντιάζων τὸν Ἀραβίων στρατόν· αὐτὸς γάρ οἱ
4 [h] πέμψειν τιμωρούς. τούτοισι [i] δή μιν πίσυνον [k] τοῖσι
ἐνυπνίοισι, παραλαβόντα Αἰγυπτίων τοὺς βουλομένους οἱ
ἕπεσθαι, στρατοπεδεύσασθαι ἐν Πηλουσίῳ· ταύτῃ γάρ
εἰσι αἱ ἐσβολαί· ἕπεσθαι δέ οἱ τῶν μαχίμων μὲν οὐδένα
ἀνδρῶν, καπήλους δὲ, καὶ [l] χειρώνακτας, καὶ ἀγοραίους
5 ἀνθρώπους. ἐνθαῦτα ἀπικομένους, τοῖσι ἐναντίοισι αὐ-
τοῖσι ἐπιχυθέντας νυκτὸς μῦς [m] ἀρουραίους, κατὰ μὲν
φαγέειν τοὺς φαρετρεῶνας [n] αὐτῶν, κατὰ δὲ τὰ τόξα·
πρὸς δὲ, τῶν ἀσπίδων τὰ ὄχανα, ὥστε τῇ ὑστεραίῃ φευ-
6 γόντων σφέων, [o] γυμνῶν ὅπλων, πεσέειν πολλούς. καὶ
νῦν οὗτος ὁ βασιλεὺς ἕστηκε [p] ἐν τῷ ἱρῷ τοῦ Ἡφαί- 173
στου λίθινος, ἔχων ἐπὶ τῆς χειρὸς μῦν, λέγων διὰ γραμ-
μάτων τάδε· ΕΣ ΕΜΕ ΤΙΣ ὉΡΕΩΝ, ΕΥΣΕΒΗΣ
ΕΣΤΩ.

142 Ἐς μὲν τοσόνδε τοῦ λόγου Αἰγύπτιοί τε καὶ [a] οἱ ἱρέες
ἔλεγον, ἀποδεικνύντες, ἀπὸ τοῦ πρώτου βασιλέος ἐς τοῦ
Ἡφαίστου τὸν ἱρέα τοῦτον τὸν τελευταῖον βασιλεύσαντα
[b] μίαν τε καὶ τεσσεράκοντα καὶ τριηκοσίας ἀνθρώπων
γενεὰς γενομένας, καὶ ἐν ταύτῃσι ἀρχιρέας καὶ βα-
2 σιλέας ἑκατέρους τοσούτους γενομένους. καί τοι τριη-
κόσιαι μὲν [c] ἀνδρῶν γενεαὶ δυνέαται μύρια ἔτεα· γενεαὶ
3 γὰρ τρεῖς ἀνδρῶν, ἑκατὸν ἔτεά ἐστι. μιῆς δὲ καὶ τεσ-

Regni Ægyptii a Mene ad Sethonem ætas, annorum 1564: intra id tempus initium vagi anni bis in æstatem, bis in hiemem incidisse.

[h] πέμψει P.K. πέμψαι F.d.
[i] Sic P.K.M.V.S.F.a.b.d. μὲν δὴ c. Ald.
[k] τοῖσι Αἰγυπτίοισι S.V. Mox Αἰγυπτίοισι F. pr. m.
[l] χειρόνακτας S.V.
[m] ἀρουριαίους S.V.
[n] αὐτέων] αὐτῶν F.S.
[o] Sic S.V. Ald. R.a.c. Eustath. γυμνῶν ἀνόπλων M.P.K.F. b.d.
[p] ἐν om. S.V. Mox τῆς om. S.

142.

[a] οἱ om. S.V.
[b] μίην] μίαν S.F. qui mox τεσσαρ. Paulo post, ἀρχιερέας S. et τοσούτους ἑκατέρους.
[c] γενεαὶ ἀνδρῶν P.K.S.V. cf. Eustath. Il. α΄. p. 97, 31=73, 22. Supra τοι om. S.

σεράκοντα [d] ἔτι τῶν ἐπιλοίπων [e] γενεέων, αἳ ἐπῆσαν τῇσι τριηκοσίῃσι, ἔστι τεσσεράκοντα καὶ τριηκόσια καὶ χίλια
4 ἔτεα. οὕτω ἐν μυρίοισί τε ἔτεσι καὶ χιλίοισι, [f] καὶ πρὸς, τριηκοσίοισί τε καὶ τεσσεράκοντα, ἔλεγον θεὸν ἀνθρωποειδέα οὐδένα γενέσθαι· οὐ [g] μέν τοι οὐδὲ πρότερον, οὐδὲ ὕστερον ἐν τοῖσι ὑπολοίποισι Αἰγύπτου βασιλεῦσι γενο-
5 μένοισι, ἔλεγον [h] τοιοῦτον οὐδέν. Ἐν τοίνυν τούτῳ τῷ χρόνῳ [i] τετράκις ἔλεγον ἐξ ἠθέων τὸν ἥλιον ἀνατεῖλαι· [k] ἔνθα τε νῦν καταδύεται, ἐνθεῦτεν δὶς [l] ἐπαντεῖλαι· καὶ ἔνθεν νῦν [m] ἀνατέλλει, ἐνθαῦτα δὶς [n] καταδῦναι· καὶ οὐδὲν τῶν κατ' Αἴγυπτον [o] ὑπὸ ταῦτα ἑτεροιωθῆναι, οὔτε τὰ [p] ἐκ τῆς γῆς, οὔτε τὰ ἐκ τοῦ ποταμοῦ σφι γινόμενα, οὔτε τὰ ἀμφὶ νούσους, οὔτε τὰ κατὰ τοὺς θανάτους.

143 Πρότερον δὲ Ἑκαταίῳ τῷ λογοποιῷ ἐν [a] Θήβῃσι [b] γενεηλογήσαντί τε ἑωυτὸν, καὶ ἀναδήσαντι τὴν πατριὴν ἐς ἑκκαιδέκατον θεὸν, ἐποίησαν οἱ ἱρέες [c] τοῦ Διὸς, οἷόν τι καὶ
2 ἐμοὶ [d] οὐ γενεηλογήσαντι ἐμεωυτόν. ἐσαγαγόντες ἐς τὸ μέγαρον ἔσω, ἐὸν μέγα, ἐξηρίθμεον δεικνύντες κολοσσοὺς ξυλίνους τοσούτους ὅσους περ εἶπον· ἀρχιρεὺς γὰρ ἕκαστος αὐτόθι [e] ἵσταται ἐπὶ τῆς ἑωυτοῦ ζόης [f] εἰκόνα ἑωυτοῦ.

Hecatæum gloriantem de origine divina, refellunt sacerdotes Ægyptii: summorum sacerdotum colossi Thebis in templo

[d] ἐπὶ τῶν P.K.F.d.
[e] γενεέων M.P.K.V.S.F. Paris. γενεῶν edd. vett. Mox οὕτως ἐν μυρίοις ἔτεσί τε S.
[f] Sic S.V.b.d. cf. Wessel. ad I. 156. πρὸς al. om.
[g] μὲν οὐδὲ S.V.
[h] οὐδὲν τοιοῦτο aut τοιοῦτον P.K. S.V.F.
[i] Citat Thomas M. v. Ἐξ.
[k] ἔνθα τε—ἐπαντεῖλαι om. S.V.
[l] ἐπανατεῖλαι b.
[m] Sic M.P.K.V.S.F. Paris. ἀντέλλει edd. vett. cum Schæfero.
[n] καταβῆναι c. Ald.
[o] ὑπὸ ταῦτα om. d.
[p] ἀπὸ γῆς S. et mox ἀπὸ τοῦ ποταμοῦ.

143.

[a] Θήκῃσι F.
[b] Sic a. τε vulgo om. post ἀναδήσαντι inseruit Ald. ἀναδήσαντά τι F. γενεηλογήσαντι τὴν πατριὴν mediis om. S.
[c] τοῦ Διὸς om. d.
[d] Sic Vall. M.P.K.R.S.F. Paris. συγγενεηλογ. edd. vett. Mox ζώης S.
[e] Sic M.P.K.F.b.d. ἱστᾷ S.V. a.c. Ald.
[f] εἰκόνας b. Mox μοι S.

3 ἀριθμέοντες ὦν, καὶ δεικνύντες οἱ ἱρέες ἐμοὶ, ἀπεδείκνυσαν CCCXLV; Piromis ex Piromide.
παῖδα πατρὸς [g] ἑωυτῶν ἕκαστον ἐόντα, ἐκ τοῦ ἄγχιστα
ἀποθανόντος τῆς εἰκόνος [h] διεξιόντες διὰ πασέων, ἕως οὗ 174
4 ἀπέδεξαν ἁπάσας αὐτάς. Ἑκαταίῳ δὲ γενεηλογήσαντι
ἑωυτὸν, καὶ [i] ἀναδήσαντι ἐς ἑκκαιδέκατον θεὸν, ἀντεγενεη-
λόγησαν ἐπὶ τῇ ἀριθμήσει, οὐ δεκόμενοι παρ' αὐτοῦ ἀπὸ
5 θεοῦ γενέσθαι ἄνθρωπον. ἀντεγενεηλόγησαν δὲ ὧδε, φά-
μενοι [k] ἕκαστον τῶν κολοσσῶν Πίρωμιν ἐκ Πιρώμιος γε-
γονέναι· [l] ἐς ὃ τοὺς πέντε καὶ τεσσεράκοντα καὶ τριηκο-
σίους [m] ἀπέδεξαν κολοσσοὺς Πίρωμιν ἐκ Πιρώμιος γε-
νόμενον, καὶ οὔτε ἐς θεὸν, οὔτε ἐς ἥρωα ἀνέδησαν αὐτούς.
6 Πίρωμις δέ ἐστι κατ' Ἑλλάδα γλῶσσαν καλὸς κἀγα-
144 θός. Ἤδη ὦν, τῶν αἱ εἰκόνες ἦσαν, τοιούτους ἀπεδείκνυ- Olim Dii reges: quorum postremi Osiris, Typhon et Orus: Osirin Bacchum esse; Orum, Apollinem.
σάν σφεας πάντας ἐόντας, θεῶν δὲ πολλὸν [a] ἀπαλ-
2 λαγμένους. τὸ δὲ πρότερον τῶν ἀνδρῶν [b] τούτων θεοὺς
εἶναι τοὺς ἐν Αἰγύπτῳ ἄρχοντας, [c] οἰκέοντας ἅμα τοῖσι
ἀνθρώποισι· καὶ τούτων αἰεὶ ἕνα τὸν [d] κρατέοντα εἶναι·
3 [e] ὕστατον δὲ αὐτῆς βασιλεῦσαι Ὧρον τὸν Ὀσίριος παῖδα,
τὸν Ἀπόλλωνα Ἕλληνες ὀνομάζουσι· τοῦτον, [f] καταπαύ-

[g] ἑωυτῶν ἕκαστον S.P.V.F. Paris. ἕκαστον ἑωϋτὸν vulgo.

[h] διεξιόντες om. V.S. διὰ—αὐτὰς om. M.P.K.F. Mox ἐς οὗ S.

[i] ἀναδήσαντι ἑωυτὸν F. Mox γενέσθαι ἀπὸ θεοῦ S.

[k] ἑκάστῳ S.V. Vall.

[l] ἐς ἑωυτοὺς S.V.

[m] ἀπηρίθμησαν αὐτοὺς S.V. Vall. Mox Πίρωμιν ἐκ Πιρώμιος γενόμενον S.V. Vall. Vulgo Πίρωμιν ἐπονομαζόμενον cum F. Paris.

144.

[a] ἀπηλλαγμένους S.V. Athenag. Legat. c. 24. Supra πάντας om. Athenag.

[b] τούτων om. d.

[c] Sic S.V. Vall. d. Vulgo οὐκ ἐόντας. cf. c. 156. "Apud Athenagoram οὐκ ἐόντας editur: sed "nescio an hoc ab editoribus "ex vulgatis Herodoti libris "illi sit obtrusum: in latina "quidem versione Gesneri legitur, *una cum hominibus habitantes*." SCHWEIGH. οὐκ ἐόντας Athenagoræ mss. Oxon.

[d] κραταίοντα S.V.

[e] ὕστερον Athenag. Steph. marg.

[f] Cf. Eustath. Il. β'. p. 346, 17=262, 8. ζ'. p. 629, 39=484, 49.

σαντα Τυφῶνα, βασιλεῦσαι ὕστατον Αἰγύπτου. Ὄσιρις δέ ἐστι Διόνυσος κατὰ Ἑλλάδα γλῶσσαν.

145 Ἐν Ἕλλησι μέν νυν νεώτατοι τῶν θεῶν νομίζονται εἶναι

Vetustissimam apud Ægyptios ætatem esse Panis: mediam, Herculis; [2, 43] minimam, Bacchi: apud Græcos Bacchus natus circiter an. 1544; Hercules, circiter a. 1384; Pan, tempore aliquo post an. 1284.

[a] Ἡρακλῆς τε καὶ Διόνυσος καὶ Πάν· παρ᾽ Αἰγυπτίοισι
δὲ Πὰν μὲν ἀρχαιότατος, καὶ τῶν ὀκτὼ [b] τῶν πρώτων
λεγομένων θεῶν· Ἡρακλῆς δὲ τῶν δευτέρων, τῶν δυώδεκα
λεγομένων εἶναι· Διόνυσος δὲ, τῶν τρίτων, οἳ ἐκ τῶν
2 δυώδεκα θεῶν ἐγένοντο. Ἡρακλέϊ μὲν δὴ ὅσα αὐτοὶ Αἰ-
γύπτιοί φασι εἶναι ἔτεα ἐς Ἄμασιν βασιλέα, δεδήλωταί
μοι πρόσθε· Πανὶ δὲ ἔτι τούτων [c] πλέονα λέγεται εἶναι,
Διονύσῳ δ᾽ ἐλάχιστα τούτων· καὶ τούτῳ πεντακισχίλια
3 καὶ μύρια λογίζονται εἶναι ἐς Ἄμασιν βασιλέα. καὶ
ταῦτα Αἰγύπτιοι ἀτρεκέως φασὶ ἐπίστασθαι, αἰεί τε
4 [d] λογιζόμενοι, καὶ αἰεὶ ἀπογραφόμενοι τὰ ἔτεα. Διο-
νύσῳ μέν νυν τῷ ἐκ Σεμέλης τῆς Κάδμου λεγομένῳ γε-
νέσθαι, κατὰ ἑξακόσια ἔτεα καὶ χίλια μάλιστά ἐστι ἐς
ἐμέ· Ἡρακλέϊ δὲ τῷ Ἀλκμήνης, κατὰ εἰνακόσια [e] ἔτεα· 175
5 Πανὶ δὲ [f] τῷ ἐκ Πηνελόπης, (ἐκ ταύτης γὰρ καὶ Ἑρμέω
λέγεται γενέσθαι ὑπὸ Ἑλλήνων ὁ Πάν·) ἐλάσσω ἔτεά
ἐστι τῶν Τρωϊκῶν, [g] κατὰ τὰ ὀκτακόσια μάλιστα ἐς
ἐμέ.

146 Τούτων ὦν ἀμφοτέρων πάρεστι χρᾶσθαι τοῖσί τις

Herodoti Ægyptiorum opinio de ortu ho-

πείσεται λεγομένοισι μᾶλλον· ἐμοὶ δ᾽ ὦν ἡ περὶ [a] αὐτῶν
2 γνώμη ἀποδέδεκται. εἰ μὲν γὰρ φανεροί τε ἐγένοντο καὶ

145.

[a] Vid. Plutarch. II. p. 857. Arrian. Anab. II. 16.

[b] τῶν πρώτων λεγομένων om. S.V. θεῶν εἶναι Ald. c. qui mox om. εἶναι ante Διόνυσος.

[c] πλείονα P.K.F. πλέονα τούτων S.

[d] ψηφιζόμενοι gl. in P.

[e] Sic M.K.P. ἔτεα om. S. al. ἐννακόσια S. Ἡρακλέϊ δὲ usque ad fin. cap. om. F.

[f] Sic plerique cum Eustath. Od. β'. p. 1435, 57=82, 18. ἐκ om. S.V.

[g] τὰ om. Ald. b.d.V.S.F. m. sec.

146.

[a] αὐτέων] αὐτῶν F.S.

κατεγήρασαν καὶ οὗτοι ἐν τῇ Ἑλλάδι, κατάπερ [b] Ἡρακλέης ὁ ἐξ Ἀμφιτρύωνος γενόμενος, καὶ δὴ καὶ Διόνυσος ὁ ἐκ Σεμέλης, καὶ Πὰν ὁ ἐκ Πηνελόπης γενόμενος, ἔφη ἄν τις, καὶ τούτους ἄλλους, [c] ἄνδρας γενομένους, ἔχειν
3 τὰ ἐκείνων οὐνόματα τῶν προγεγονότων θεῶν. νῦν δὲ Διόνυσόν τε λέγουσι οἱ Ἕλληνες, ὡς αὐτίκα γενόμενον ἐς τὸν μηρὸν [d] ἐνερράψατο Ζεὺς, καὶ ἤνεικε ἐς Νύσαν τὴν ὑπὲρ Αἰγύπτου ἐοῦσαν ἐν τῇ Αἰθιοπίῃ· καὶ Πανός γε πέρι οὐκ
4 ἔχουσι εἰπεῖν ὅκῃ ἐτράπετο γενόμενος. [e] δῆλά μοι ὦν γέγονε, ὅτι ὕστερον ἐπύθοντο οἱ Ἕλληνες τούτων τὰ οὐνόματα, ἢ τὰ τῶν ἄλλων θεῶν· ἀπ' οὗ δὲ ἐπύθοντο χρόνου, ἀπὸ τούτου γενεηλογέουσι αὐτῶν τὴν γένεσιν. Ταῦτα μέν νυν αὐτοὶ Αἰγύπτιοι λέγουσι.

rum Deorum apud Græcos.

147 Ὅσα δὲ οἵ [a] τε ἄλλοι ἄνθρωποι καὶ Αἰγύπτιοι λέγουσι, ὁμολογέοντες τοῖσι ἄλλοισι, κατὰ ταύτην τὴν χώρην γενέσθαι, ταῦτ' ἤδη φράσω· προσέσται δέ τι [b] αὐ-
2 τοῖσι καὶ τῆς ἐμῆς ὄψιος. Ἐλευθερωθέντες Αἰγύπτιοι μετὰ τὸν ἱρέα τοῦ Ἡφαίστου βασιλεύσαντα, (οὐδένα γὰρ χρόνον [c] οἷοί τε ἦσαν ἄνευ βασιλέος διαιτᾶσθαι,) ἐστήσαντο δυώδεκα βασιλέας, [d] δυώδεκα μοίρας δασά-
3 μενοι Αἴγυπτον πᾶσαν. οὗτοι ἐπιγαμίας ποιησάμενοι, ἐβασίλευον, νόμοισι [e] τοισίδε χρεώμενοι, μήτε καταιρέειν ἀλλήλους, μήτε πλέον τι δίζησθαι ἔχειν τὸν ἕτερον τοῦ
4 ἑτέρου, εἶναί τε φίλους τὰ μάλιστα. [f] τῶνδε δὲ εἵνεκα

Notitia rerum in Ægypto dehinc gestarum, jam certior: xii reges creati ab a. 671, Ægyptum in totidem partes divisam regunt: eorum inter se pacta, et metus ex oraculo.

[b] Ἡρακλῆς F.a.
[c] Sic F. Vulgo γενομένους ἄνδρας. Mox νῦν τε S.
[d] ἀνερράψατο S. Eustath. Dionys. 1153. ἐρράψατο K. ἐράψατο F. Mox Νύσαν S.V.P.K.F. Paris. Νύσσαν vulgo cum Eustath.
[e] δῆλα ὦν μοι ἐγέγονεν S.V.

147.
[a] τε om. M.K.P.F. Wessel.
[b] Sic S.M.K.P.F. Paris. αὐτοῖς vulgo.
[c] οἵω V. Mox βασιλέος cum S.
[d] Sic S.V. Vulgo ἐς δ. μ. cf. Valcken. ad VII. 121. Adde IV. 148. et Schæfer. ad Bosii Ellips. p. 683=427. Schweigh.
[e] Sic Reizius. τοῖσιδε M.S.V. P.K. Vulgo τοῖσδε.
[f] τῶν δὲ F.

τοὺς νόμους τούτους [g] ἐποιεῦντο, [h] ἰσχυρῶς περιστέλλον-
τες· ἐκέχρητό σφι κατ' ἀρχὰς αὐτίκα ἐνισταμένοισι ἐς
τὰς τυραννίδας "τὸν χαλκέῃ φιάλῃ σπείσαντα [i] αὐτῶν
"[k] ἐν τῷ ἱρῷ τοῦ Ἡφαίστου, τοῦτον ἁπάσης βασιλεύ-
"σειν Αἰγύπτου." [l] ἐς γὰρ δὴ τὰ πάντα ἱρὰ συνελέ-
148 γοντο. Καὶ δή σφι μνημόσυνα ἔδοξε λιπέσθαι κοινῇ·
δόξαν δέ σφι, ἐποιήσαντο λαβύρινθον, ὀλίγον ὑπὲρ τῆς
λίμνης τῆς [a] Μοίριος, κατὰ Κροκοδείλων καλεομένην πό- 176
λιν μάλιστά κῃ κείμενον· τὸν ἐγὼ ἤδη [b] ἴδον λόγου μέζω.
2 εἰ γάρ τις τὰ ἐξ Ἑλλήνων τείχεά τε καὶ [c] ἔργων ἀπό-
δεξιν συλλογίσαιτο, ἐλάσσονος πόνου [d] τε ἂν καὶ δαπά-
νης φανείη ἐόντα τοῦ λαβυρίνθου τούτου· καί τοι ἀξιόλο-
γός γε καὶ ὁ ἐν Ἐφέσῳ [e] ἐστὶ νηὸς, καὶ ὁ ἐν Σάμῳ·
ἦσαν μέν νυν καὶ αἱ πυραμίδες λόγου μέζονες, καὶ πολ-
λῶν ἑκάστη αὐτέων Ἑλληνικῶν ἔργων καὶ [f] μεγάλων
ἀνταξίη· ὁ δὲ δὴ λαβύρινθος καὶ τὰς πυραμίδας ὑπερ-
3 βάλλει. τοῦ γὰρ δυώδεκα μέν εἰσι αὐλαὶ κατάστεγοι,
ἀντίπυλοι ἀλλήλῃσι, ἓξ μὲν πρὸς [g] βορέω, ἓξ δὲ πρὸς
νότον τετραμμέναι συνεχέες· τοῖχος δὲ [h] ἔξωθεν ὁ αὐτός
4 σφεας περιέργει. οἰκήματα δ' ἔνεστι διπλᾶ, τὰ μὲν,
ὑπόγαια, τὰ δὲ, μετέωρα [i] ἐπ' ἐκείνοισι, τρισχίλια ἀριθ-
μὸν, [k] πεντακοσίων καὶ χιλίων ἑκάτερα. τὰ μέν νυν

Labyrinthum ædificant, opus majus quam vel pyramides: ejus et pyramidis quam adjunctam habet, descriptio.

[g] ἐποιέοντο F.
[h] ἰσχυροὺς S.V. qui mox cum F. ἐκέχρητο, probante Wessel. et conferente c. 151. III. 64. VII. 220. ἐκέχρηστο Ald.
[i] αὐτέων] αὐτῶν F. om. S.
[k] ἐν τῷ] ἂν S.V.
[l] ὡς γὰρ S. ὃς γὰρ V. ὡς γὰρ δὴ τὰ πάντα ἐς ἱρὰ σ. Schæferus.

148.

[a] Μύριος S.V. Mox κροκοδείλου S.
[b] εἶδον F.
[c] ἔργα S. cf. Eustath. Il. p. 286, 38=217, 5.
[d] τὸ ἂν V. τὰ ἂν τῆς δαπάνης S.
[e] νεώς ἐστι S.V. Supra ἀξιόλογός δε (sic) S.
[f] Sic S.K.P.V.M.F.b. μεγίστων R.a.c. Ald. Wessel. Mox αἱ αὐλαὶ S.
[g] Sic M.P.K.F. Al. βορέην cum a.c.S.
[h] ἔξωθεν om. S.V.
[i] Sic R.M.V.P.K.F. Paris. ὑπ' ἐκείνῃσι S. Ald.
[k] Videtur aut πεντακόσια καὶ

μετέωρα τῶν οἰκημάτων αὐτοί τε [l] ὁρέομεν διεξιόντες, καὶ
αὐτοὶ θεησάμενοι λέγομεν· τὰ δὲ [m] αὐτῶν ὑπόγαια λό-
5 γοισι ἐπυνθανόμεθα. οἱ γὰρ ἐπεστεῶτες τῶν Αἰγυπτίων
δεικνύναι αὐτὰ οὐδαμῶς ἤθελον, φάμενοι θήκας αὐτόθι
εἶναι τῶν τε ἀρχὴν τὸν λαβύρινθον [n] τοῦτον οἰκοδομησα-
6 μένων [o] βασιλέων, καὶ τῶν ἱρῶν κροκοδείλων. οὕτω τῶν
μὲν κάτω πέρι οἰκημάτων ἀκοῇ παραλαβόντες λέγομεν·
7 τὰ δὲ ἄνω, μέζονα ἀνθρωπηΐων ἔργων, αὐτοὶ [p] ὁρέομεν. αἵ
τε γὰρ ἔξοδοι διὰ τῶν [q] στεγέων, καὶ οἱ [r] ἑλιγμοὶ διὰ
τῶν αὐλέων ἐόντες ποικιλώτατοι, θῶυμα μυρίον παρέχοντο
ἐξ αὐλῆς τε ἐς τὰ οἰκήματα διεξιοῦσι, καὶ ἐκ τῶν οἰκη-
μάτων ἐς παστάδας, [s] ἐς στέγας τε [t] ἄλλας ἐκ τῶν
παστάδων, καὶ ἐς αὐλὰς ἄλλας ἐκ τῶν οἰκημάτων.
8 ὀροφὴ δὲ πάντων τούτων, λιθίνη, κατάπερ οἱ τοῖχοι· [v] οἱ
δὲ τοῖχοι, τύπων ἐγγεγλυμμένων πλέοι. αὐλὴ δὲ [w] ἑκά-
στη, περίστυλος, λίθου λευκοῦ ἁρμοσμένου τὰ μάλιστα.
9 τῆς δὲ γωνίης τελευτῶντος τοῦ λαβυρίνθου ἔχεται πυραμὶς 177
τεσσερακοντόργυιος, ἐν τῇ [x] ζῶα μεγάλα ἐγγέγλυπται·
ὁδὸς δ᾽ ἐς [y] αὐτὴν ὑπὸ γῆν πεποίηται.

149 Τοῦ δὲ λαβυρίνθου τούτου ἐόντος τοιούτου, θῶυμα ἔτι μέζον [a] παρέχεται ἡ Μοίριος καλεομένη λίμνη, παρ᾽ ἣν ὁ

Lacus Mœridis, ipso labyrintho

χίλια corrigendum, aut tali quodam modo, πεντακοσίων καὶ χιλίων ἑκατέρων ἐόντων. SCHWEIGH.

[l] Sic Reizius e corr. Wesselingii, citantis II. 106. V. 40. Heraclitum Clement. Al. Strom. III. p. 520. cf. Koen. ad Gregor. Dial. Ion. 23. ὁρέωμεν S.F. ὁρῶμεν P.K. ὡρέομεν edd. pleræque.

[m] αὐτέων] αὐτῶν F.S.

[n] τούτων M.P.K. Vulgatum habent F.a.c. al.

[o] βασιλήων] βασιλέων F.S.

[p] Sic Reiz. ὁρῶμεν S.V. ὡρέωμεν F. ὡρέομεν edd. pleræque.

[q] γέων V.S.

[r] εἱλιγμένοι P.K.F. Mox παρείχοντο S. et ἐς τὰς παστάδας.

[s] ἐστεγασμένας ἄλλως, ἐκ τῶν παστ. δὲ ἐς τὰς αὐλὰς S. ἐστέγασται V.

[t] ἄλλας om. V. ed. Gron.

[v] οἱ δὲ τοῖχοι om. V.S. qui mox τύπων γεγλυμμ.

[w] ἑκάστη—τῆς δὲ om. S.V.

[x] ζώϊα S.V.P.

[y] αὐτὴν—τοιούτου c: 149. om. S.V.

149.

[a] πάρεστιν ἡ Μύριος V.S.

admirabilior: ejus magnitudo, situs, altitudo: pyramides in ea duæ, utraque colossum gestans: mensuræ intervallorum: quantus ex lacu piscium proventus.

λαβύρινθος οὗτος οἰκοδόμηται. τῆς τὸ περίμετρον τῆς πε-
ριόδου εἰσὶ στάδιοι ἑξακόσιοι καὶ τρισχίλιοι, σχοίνων ἑξ-
ήκοντα ἐόντων· ἴσοι καὶ αὐτῆς Αἰγύπτου τὸ παρὰ θά-
2 λασσαν. κέεται δὲ μακρὴ ἡ λίμνη πρὸς [b] βορῆν τε καὶ
νότον, ἐοῦσα βάθος, τῇ βαθυτάτῃ [c] αὐτὴ ἑωυτῆς, πεντη-
3 κοντόργυιος. ὅτι δὲ χειροποίητός ἐστι καὶ ὀρυκτὴ, αὐτὴ
δηλοῖ. ἐν γὰρ μέσῃ τῇ λίμνῃ μάλιστά κῃ ἑστᾶσι δύο
πυραμίδες, τοῦ ὕδατος ὑπερέχουσαι πεντήκοντα ὀργυιὰς
ἑκατέρη, καὶ τὸ κατ' ὕδατος οἰκοδόμηται ἕτερον [d] τοσοῦτο·
καὶ ἐπ' ἀμφοτέρῃσι ἔπεστι κολοσσὸς λίθινος, κατήμενος
4 ἐν θρόνῳ. [e] οὕτω αἱ μὲν πυραμίδες εἰσὶ ἑκατὸν ὀργυιέων,
αἱ δ' ἑκατὸν ὀργυιαὶ [f] δίκαιαί εἰσι στάδιον ἑξάπλεθρον·
[g] ἑξαπέδου μὲν τῆς ὀργυιῆς μετρεομένης, καὶ τετραπή-
χεος· [h] τῶν ποδῶν μὲν τετραπαλαίστων ἐόντων, τοῦ δὲ
5 πήχεος, ἑξαπαλαίστου. Τὸ δὲ ὕδωρ τὸ ἐν [i] τῇ λίμνῃ,
αὐθιγενὲς μὲν οὐκ ἔστι· ἄνυδρος γὰρ δὴ δεινῶς ἐστὶ ταύ-
τῃ· ἐκ τοῦ Νείλου δὲ κατὰ διώρυχα ἐσῆκται, καὶ ἓξ
μὲν μῆνας ἔσω ῥέει ἐς τὴν λίμνην, ἓξ δὲ μῆνας ἔξω ἐς τὸν
6 Νεῖλον αὖτις. καὶ ἐπεὰν μὲν ἐκρέῃ ἔξω, ἡ δὲ τότε τοὺς
ἓξ μῆνας ἐς τὸ βασιλήϊον καταβάλλει ἐπ' ἡμέρην ἑκά-
στην τάλαντον ἀργυρίου ἐκ τῶν ἰχθύων· ἐπεὰν δὲ ἐσίῃ τὸ
ὕδωρ ἐς αὐτὴν, εἴκοσι μνέας.

150

Lacum subterraneo meatu in Syrtin exire: terram effos-

Ἔλεγον δὲ οἱ ἐπιχώριοι
καὶ ὡς ἐς τὴν Σύρτιν [a] τὴν ἐν Λιβύῃ ἐκδιδοῖ ἡ λίμνη αὕτη
ὑπὸ γῆν, [b] τετραμμένη τὸ πρὸς ἑσπέρην ἐς τὴν [c] μεσό-
2 γαιαν παρὰ τὸ ὄρος τὸ ὑπὲρ Μέμφιος. Ἐπεί τε δὲ τοῦ

[b] βορῆν V.S. Alii βορέην. Supra κεῖται S.
[c] αὐτὴ om. F.
[d] Sic a. Vulgo τοσοῦτον cum S.
[e] τούτῳ S.V.
[f] δίκαιαι om. V.S.
[g] ἑξαπέδου S.V.M.P.K. ἑξαπόδου Ald. F.a.c.
[h] τῶν ποδῶν δὲ S.
[i] τῇ om. F.

150.

[a] Sic V.S.a. Ald. τὴν ἐς Λιβύην M.P.K.F.b. Gron. Wess.
[b] τετρημένη F.
[c] μεσόγεαν S.V. Mox ὄρων pro ὤρεον S.

ὀρύγματος τούτου οὐκ ὥρεον τὸν χοῦν οὐδαμοῦ ἐόντα,
ἐπιμελὲς γάρ δή μοι ἦν, [d] εἰρόμην τοὺς ἄγχιστα οἰκέον-
3 τας τῆς λίμνης, ὅκου εἴη ὁ χοῦς ὁ ἐξορυχθείς. οἱ δὲ ἔφρα-
σάν μοι ἵνα ἐξεφορήθη, καὶ εὐπετέως ἔπειθον· [e] ᾔδεα γὰρ
λόγῳ καὶ ἐν Νίνῳ τῇ Ἀσσυρίων πόλι γενόμενον [f] ἕτερον
4 τοιοῦτο. τὰ γὰρ [g] Σαρδαναπάλλου τοῦ Νίνου [h] βασιλέος
χρήματα, [i] ἐόντα μεγάλα, καὶ φυλασσόμενα ἐν θησαυ-
5 ροῖσι [k] καταγαίοισι, ἐπενόησαν κλῶπες ἐκφορῆσαι. ἐκ
δὴ ὦν τῶν σφετέρων οἰκίων ἀρξάμενοι οἱ κλῶπες, ὑπὸ
6 γῆν [l] σταθμεόμενοι ἐς τὰ βασιλήϊα οἰκία [m] ὄρυσσον. τὸν
[n] δὲ χοῦν τὸν [o] ἐκφορεόμενον ἐκ τοῦ ὀρύγματος, ὅκως
[p] γένοιτο νὺξ, ἐς τὸν Τίγριν ποταμὸν, παραρρέοντα τὴν
Νῖνον, ἐξεφόρεον· ἐς ὃ κατεργάσαντο ὅ τι ἐβούλοντο.
7 τοιοῦτον ἕτερον ἤκουσα καὶ τὸ τῆς ἐν Αἰγύπτῳ λίμνης
ὄρυγμα γενέσθαι· πλὴν οὐ νυκτὸς, ἀλλὰ μετ' ἡμέρην
ποιεύμενον· ὀρύσσοντας γὰρ τὸν χοῦν τοὺς Αἰγυπτίους,
ἐς τὸν Νεῖλον φορέειν· ὁ δὲ, ὑπολαμβάνων, ἔμελλε δια-
χέειν. ἡ μέν νυν λίμνη αὕτη οὕτω λέγεται ὀρυχθῆναι.

sam, jactam esse in Nilum: fures qui Sardanapalli thesauros Nini compilassent, idem fecisse.

178

151 Τῶν δὲ δυώδεκα [a] βασιλέων δικαιοσύνῃ χρεωμένων,
ἀνὰ χρόνον ὡς ἔθυσαν ἐν τῷ ἱρῷ τοῦ Ἡφαίστου, τῇ
ὑστάτῃ τῆς ὁρτῆς μελλόντων κατασπείσειν, ὁ [b] ἀρχιρεὺς

Psammetichus, xii regum unus, quare a cæteris in palustria relegatus.

[d] Sic Wessel. εἰρήμην V.S. ἠρόμην vulgo.

[e] ᾔδε γὰρ λόγον F. λόγον item b.d.

[f] Sic M.K.a.c. ἕτερον τοιοῦτον P.S.V.F.b. ἕτερόν τι τοιοῦτο Ald. Schæfer.

[g] Σαρδαναπάλλου M.K.P. Paris. et sic Maximus Tyr. X. 9. Philo Jud. II. p. 536. Lucian. Dea Syr. 40. Scaliger ad Euseb. p. 63. Sic etiam Justinus et Orosius. Alii Σαρδαναπάλου cum S.

[h] βασιλῆος] βασιλέως F.S.

[i] ἐόντα μεγάλα χρήματα P.K.S. V.F.a.

[k] καταγέοισι V.S.

[l] Sic K.V.S.F.a. Al. σταθμεώμενοι.

[m] Sic S.V. Schæfer. ὤρυσσον vulgo.

[n] δὲ om. F.

[o] Sic M.K.P.F. Paris. Alii ἐκφερόμενον cum S.

[p] γίνοιτο S.V.

151.

[a] βασιλήων] βασιλέων F.S.

[b] ἀρχιερεὺς F.a.

[c] ἐξένεικέ σφι φιάλας χρυσέας, τῇσί περ ἐώθεσαν σπέν-
2 δειν, ἁμαρτὼν τοῦ ἀριθμοῦ, ἕνδεκα, δυώδεκα ἐοῦσι. ἐν-
θαῦτα ὡς οὐκ εἶχε φιάλην ὁ ἔσχατος ἑστεὼς [d] αὐτῶν
[e] Ψαμμίτιχος, περιελόμενος τὴν κυνέην, ἐοῦσαν χαλκέην,
3 ὑπέσχε τε καὶ ἔσπενδε. κυνέας [f] δὲ καὶ οἱ ἄλλοι [g] ἅ-
παντες ἐφόρεόν [h] τε βασιλέες, καὶ ἐτύγχανον τότε ἔχον-
τες. Ψαμμίτιχος [i] μέν νυν οὐδενὶ δολερῷ νόῳ χρεώμενος,
4 ὑπέσχε τὴν κυνέην. οἱ δὲ, [k] ἐν φρενὶ λαβόντες τό τε ποιη-
θὲν ἐκ Ψαμμιτίχου, καὶ τὸ χρηστήριον ὅ τι [l] ἐκέχρητό
σφι, τὸν χαλκέῃ σπείσαντα αὐτῶν φιάλῃ, τοῦτον [m] βα-
σιλέα ἔσεσθαι μοῦνον Αἰγύπτου· ἀναμνησθέντες τοῦ [n] χρη-
σμοῦ, κτεῖναι μὲν οὐκ ἐδικαίωσαν Ψαμμίτιχον, ὡς ἀνεύ-
ρισκον βασανίζοντες ἐξ οὐδεμιῆς [o] προνοίης αὐτὸν ποιή-
σαντα· ἐς δὲ τὰ ἕλεα ἔδοξέ σφι διῶξαι, ψιλώσαντας
τὰ πλεῖστα τῆς [p] δυνάμιος· ἐκ δὲ τῶν ἑλέων [q] ὁρμεώμενον
μὴ ἐπιμίσγεσθαι τῇ ἄλλῃ Αἰγύπτῳ.

152 Prior ejus fuga quando et cur acciderit: quomodo regnum recuperarit, solus reg-

Τὸν δὲ Ψαμμίτιχον τοῦτον, πρότερον [a] φεύγοντα τὸν Αἰθίοπα Σαβακῶν, ὅς οἱ τὸν πατέρα [b] Νεκῶν ἀπέκτεινε, τοῦτον φεύγοντα τότε ἐς Συρίην, ὡς ἀπαλλάχθη ἐκ τῆς [c] ὄψιος τοῦ ὀνείρου ὁ Αἰθίοψ, κατήγαγον Αἰγυπτίων οὗτοι οἱ ἐκ νομοῦ [d] τοῦ

[c] ἐξήνεικε S.V. qui mox ἐώθησαν.
[d] αὐτέων] αὐτῶν F.S.
[e] Ψαμμήτιχος S.V.P.K. Athenæus. Ψαμμίτιχος F. Paris. cf. c. 2.
[f] Sic M.S.V.P.K.F. Paris. γὰρ καὶ Ald.
[g] πάντες F.a.S. Ald.
[h] τε om. S.V. βασιλέες ex S. pro βασιλῆες.
[i] Sic M.S.V.P.K.F.a.b.d. δέ νυν c. et vulgo.
[k] ἐν om. S.V.
[l] ἐκέχρητο S.V. Schæfer. cf. c. 147. ἐκέχρηστο al.
[m] βασιλῆα] βασιλέα F.S.
[n] χρηστηρίου S.
[o] αἰτίης S.V.
[p] Sic V.S.P.K.F. Paris. δυνάμεος Ald. Alii δυνάμεως.
[q] ὁρμεώμενον Ald. R.F. Paris. ὁρμώμενον S.M. Gronov.

152.

[a] φεύγοντα om. S.V. qui mox Σαβάκον.
[b] Νέκων S.V. Vall. edd. recent. Ἑκὼν Ald. R.a.c.F. Ἐκὼν K. Ἕκων M.P. Gronov. cf. Leopardi Em. VII. 12.
[c] Sic P.S.V. Ald. ὄψεως M. ὄψεος Steph. Gron.
[d] Sic F.a.S. Ald. Σαϊτέων K.P. b. Vulg. om. artic.

2 Σαΐτεω εἰσι. μετὰ δὲ, βασιλεύοντα, τὸ δεύτερον πρὸς nans circiter ab a. 650.
τῶν ἕνδεκα βασιλέων καταλαμβάνει μιν διὰ τὴν κυνέην
3 [e] φεύγειν ἐς τὰ ἕλεα. Ἐπιστάμενος ὦν ὡς περιυβρι-
σμένος εἴη πρὸς αὐτῶν, [f] ἐπενόεε τίσασθαι τοὺς διώξαν-
4 τας. πέμψαντι δέ [g] οἱ ἐς Βουτοῦν πόλιν ἐς τὸ χρηστήριον 179
τῆς Λητοῦς, ἔνθα δὴ Αἰγυπτίοισί ἐστι [h] μαντήϊον ἀψευ-
δέστατον, ἦλθε χρησμὸς, ὡς τίσις [i] ἥξει ἀπὸ θαλάσσης
5 χαλκέων ἀνδρῶν ἐπιφανέντων. καὶ τῷ μὲν δὴ ἀπιστίη
μεγάλη ὑπεκέχυτο, [k] χαλκέους οἱ ἄνδρας ἥξειν ἐπικού-
6 ρους. χρόνου δὲ οὐ πολλοῦ διελθόντος, ἀναγκαίη κατ-
έλαβε Ἴωνάς τε καὶ Κᾶρας ἄνδρας, [l] κατὰ ληΐην ἐκ-
πλώσαντας, ἀπενειχθῆναι ἐς Αἴγυπτον· ἐκβάντας δὲ ἐς
γῆν, καὶ [m] ὁπλισθέντας χαλκῷ, ἀγγέλλει τῶν τις Αἰ-
γυπτίων ἐς τὰ ἕλεα ἀπικόμενος τῷ Ψαμμιτίχῳ, ([n] ὡς
οὐκ ἰδὼν πρότερον χαλκῷ ἄνδρας ὁπλισθέντας,) ὡς χάλ-
κεοι ἄνδρες ἀπιγμένοι ἀπὸ θαλάσσης λεηλατεῦσι τὸ
7 πεδίον. ὁ δὲ, μαθὼν τὸ χρηστήριον ἐπιτελεύμενον, φίλα
τε τοῖσι Ἴωσι καὶ Καρσὶ ποιέεται, καί σφεας, μεγάλα
8 ὑπισχνεύμενος, πείθει μετ' ἑωυτοῦ γενέσθαι. ὡς δὲ ἔπεισε,
οὕτω ἅμα τοῖσι μετ' ἑωυτοῦ βουλομένοισι Αἰγυπτίοισι,
καὶ τοῖσι ἐπικούροισι, καταιρέει τοὺς βασιλέας.

153 Κρατήσας δὲ Αἰγύπτου πάσης ὁ Ψαμμίτιχος, ἐποίη- Ornat Vulcani templum: aulam exstruit Apidi,
σε τῷ Ἡφαίστῳ προπύλαια ἐν Μέμφι, τὰ πρὸς νότον
ἄνεμον τετραμμένα· αὐλήν τε τῷ Ἄπι, ἐν τῇ τρέφεται

[e] Sic P.M.K.R.V.F. Paris. φεύγοντα Ald. φεύγοντα διὰ τὴν κυνέην S.

[f] Sic V. Paris. R. Ald. ἐπενόησε S. ἐπενόει M.P.K.F.

[g] οἱ om. S.V. qui mox ἐν ᾗ τὸ χρηστήριον.

[h] μαντήϊον V.K.F.a.b.d. Al. μαντεῖον voc. om. Ald. c. ἀψευδέστατον χρηστήριον S.

[i] ἥξει οἱ Schæferus.

[k] χαλκέους ἄνδρας hinc Eustath. p. 1031, 16=1037, 31. Libanius T. II. p. 120. Wessel.

[l] Citat Gregorius Dial. Ion. 69. ληῒν S. qui mox ἀπενεῖχθαι.

[m] ὁπλισμένους R.

[n] ὃς b.

qui Græcis Epaphus, nixam suppositis colossis.

ἐπεὰν φανῇ ὁ Ἆπις, οἰκοδόμησε, [a] ἐναντίον τῶν προπυλαίων, πᾶσάν τε περίστυλον ἐοῦσαν, καὶ τύπων πλέην· ἀντὶ δὲ κιόνων, ὑπεστᾶσι κολοσσοὶ δυωδεκαπήχεες τῇ αὐλῇ. ὁ δὲ Ἆπις, κατὰ τὴν Ἑλλήνων γλῶσσάν ἐστι Ἔπαφος.

154 Agrum dat Ionibus et Caribus, quos Amasis postea Memphin traductos, ad custodiam corporis habuit: origo interpretum in Ægypto: res Ægypti jam certius cognitæ.

154 Τοῖσι δὲ Ἴωσι καὶ τοῖσι [a] συγκατεργασαμένοισι αὐτῷ ὁ Ψαμμίτιχος δίδωσι χώρους ἐνοικῆσαι ἀντίους ἀλλήλων, τοῦ Νείλου τὸ μέσον ἔχοντος· τοῖσι
2 οὐνόματα ἐτέθη [b] Στρατόπεδα. τούτους τε δή σφι τοὺς χώρους δίδωσι, καὶ τἄλλα τὰ ὑπέσχετο πάντα ἀπέδωκε· [c] καὶ δὴ καὶ παῖδας [d] παρέβαλε αὐτοῖσι Αἰγυ-
3 πτίους, τὴν Ἑλλάδα γλῶσσαν ἐκδιδάσκεσθαι. ἀπὸ δὲ τούτων ἐκμαθόντων [e] τὴν γλῶσσαν οἱ νῦν ἑρμηνέες ἐν Αἰ-
4 γύπτῳ γεγόνασι. οἱ δὲ Ἴωνές τε καὶ οἱ Κᾶρες τούτους τοὺς [f] χώρους οἴκησαν χρόνον ἐπὶ πολλόν· εἰσὶ δὲ οὗτοι οἱ χῶροι [g] πρὸς θαλάσσης, ὀλίγον ἔνερθε Βουβάστιος [h] πόλιος, ἐπὶ τῷ Πηλουσίῳ [i] καλευμένῳ στόματι τοῦ Νεί-
5 λου. τούτους μὲν δὴ χρόνῳ ὕστερον βασιλεὺς Ἄμασις ἐξαναστήσας, ἐνθεῦτεν κατοίκισε ἐς Μέμφιν, φυλακὴν
6 ἑωυτοῦ ποιεύμενος πρὸς Αἰγυπτίων. Τούτων δὲ οἰκισθέντων ἐν Αἰγύπτῳ, οἱ Ἕλληνες οὕτω ἐπιμισγόμενοι τούτοισι τὰ περὶ Αἴγυπτον γινόμενα ἀπὸ Ψαμμιτίχου βασιλέος ἀρξάμενοι πάντα καὶ τὰ [k] ὕστερον [l] ἐπιστά-

153.

[a] ἀντίον P.

154.

[a] συγκατεργασμένοι P. καὶ τοῖσι Καρσὶ τοῖσι συγ. S. Ald. Mox ἔχοντας S.

[b] τὰ Στρατόπεδα S.V.

[c] Sic S.V. Ald. R. Paris. καὶ sec. om. M.K.P.F. cf. VII. 10. VIII. 79. 130.

[d] παρέλαβεν S.V.b. Mox διδάσκεσθαι S.

[e] τὴν γλῶσσαν M.P.K.S.V.F. Paris. τὴν Ἑλλάδα γ. edd. vett. Mox τε om. S.

[f] χρόνους οἴκ. χῶρον S.

[g] Sic P.S.V.F. Paris. cf. Diodor. I. 67. πρὸς ὀλίγον θαλάσσης alii.

[h] πόλιος K.V.S.P.F.a. πόλεος alii.

[i] Sic S.V. καλεομένῳ M.P.F.a. edd. vett. Mox κατοίκησεν S. edd. vett. Receptam tuetur F.

[k] ὕστερα S.V.

[l] ἐπιστάμενοι b.d.

7 μεθα ἀτρεκέως. πρῶτοι γὰρ οὗτοι ἐν Αἰγύπτῳ ἀλλό-
γλωσσοι κατοικίσθησαν. [m] ἐξ ὧν δὲ [n] ἐξανέστησαν χώ-
ρων, ἐν τούτοισι δὴ οἵ τε ὁλκοὶ τῶν νεῶν καὶ τὰ ἐρείπια 180
τῶν οἰκημάτων τὸ μέχρι ἐμεῦ ἦσαν. Ψαμμίτιχος μέν
νυν οὕτω ἔσχε [o] τὴν Αἴγυπτον.

Latonæ oraculum in urbe Buto.

155 Τοῦ δὲ χρηστηρίου τοῦ ἐν Αἰγύπτῳ πολλὰ ἐπεμνή-
σθην ἤδη, καὶ [a] δὴ λόγον περὶ αὐτοῦ ὡς ἀξίου ἐόντος
2 ποιήσομαι. τὸ γὰρ χρηστήριον τοῦτο [b] τὸ ἐν Αἰγύπτῳ,
ἔστι μὲν Λητοῦς ἱρὸν, ἐν [c] πόλι δὲ μεγάλῃ ἱδρυμένον,
κατὰ τὸ Σεβεννυτικὸν καλεόμενον στόμα τοῦ Νείλου,
3 ἀναπλέοντι ἀπὸ θαλάσσης ἄνω. οὔνομα δὲ τῇ πόλι
ταύτῃ [d] ὅκου τὸ χρηστήριόν ἐστι, Βουτὼ, ὡς καὶ πρότερον
4 [e] οὐνόμασταί μοι. ἱρὸν δέ ἐστι ἐν τῇ Βουτοῖ ταύτῃ Ἀπόλ-
λωνος καὶ Ἀρτέμιδος. καὶ ὅ γε νηὸς τῆς Λητοῦς, ἐν τῷ
δὴ τὸ χρηστήριον ἔνι, αὐτός τε τυγχάνει ἐὼν μέγας, καὶ
τὰ προπύλαια ἔχει ἐς ὕψος δέκα ὀργυιέων. τὸ δέ μοι
τῶν φανερῶν [f] θῶυμα μέγιστον παρεχόμενον, φράσω.
5 ἔστι ἐν τῷ τεμένεϊ τούτῳ Λητοῦς νηὸς ἐξ ἑνὸς λίθου πε-
ποιημένος, ἔς τε ὕψος, καὶ [g] ἐς μῆκος· καὶ τοῖχος ἕκα-
στος τούτοισι ἴσος· [h] τεσσεράκοντα πηχέων [i] τούτων ἕκα-
6 στόν ἐστι. τὸ δὲ [k] καταστέγασμα τῆς ὀροφῆς, ἄλλος
[l] ἐπικέεται λίθος, ἔχων τὴν [m] παρωροφίδα τετράπηχυν.

Lacus propter id templum, et in

156 Οὕτω μέν νυν ὁ νηὸς τῶν φανερῶν μοι τῶν περὶ τοῦτο τὸ
ἱρόν ἐστι [a] θωυμαστότατον· τῶν δὲ δευτέρων, νῆσος ἡ

[m] ἐξ ὧν δὴ c.
[n] Sic M.P.K.S.V.R.F. Paris. Vulgo ἀνέστησαν. Mox ἐρίπια S.
[o] Sic S. τὴν al. om.

155.

[a] δὴ om. S.
[b] τὸ om. M.P.K.
[c] πόλει F.
[d] ὅπου S.V.
[e] ὠνόμασται S.V.P.
[f] Sic F. θῶμα M.P.K. θώϋμα al. ἦν θώϋμα S. Ald.
[g] ἐς om. V.S.
[h] Sic P. Alii τεσσαράκοντα.
[i] τουτέων] τούτων F.S.
[k] Hinc Pollux VII. 123. καταστέγασμά ἐστι F.
[l] Sic Ald. R. Paris. F. ἐπικεῖται al.
[m] παροροφ. S.

156.

[a] Sic S. θωμαστότατον K.M.P.

eo Chemmis insula, natans, ex quo tempore ibi occultatus latuit Orus.

[b] Χέμμις [c] καλευμένη, ἔστι μὲν ἐν λίμνῃ βαθέῃ καὶ πλα-
τέῃ κειμένη παρὰ τὸ ἐν Βουτοῖ ἱρόν. λέγεται δὲ ὑπ' Αἰ-
2 γυπτίων [d] εἶναι αὕτη ἡ νῆσος πλωτή. αὐτὸς μὲν ἔγωγε
οὔτε πλέουσαν, οὔτε κινηθεῖσαν [e] ἴδον· τέθηπα δὲ ἀκούων,
3 εἰ νῆσος ἀληθέως ἐστὶ πλωτή. ἐν δὴ ὧν ταύτῃ νηός τε
Ἀπόλλωνος μέγας ἔνι, καὶ βωμοὶ τριφάσιοι ἐνιδρύαται.
[f] ἐμπεφύκασι δ' ἐν αὐτῇ [g] φοίνικες συχνοὶ, καὶ ἄλλα
4 δένδρεα, καὶ καρποφόρα καὶ ἄφορα, πολλά. λόγον δὲ
[h] τόνδε ἐπιλέγοντες οἱ Αἰγύπτιοι, φασὶ εἶναι [i] αὐτὴν
5 πλωτήν· ὡς ἐν τῇ νήσῳ ταύτῃ οὐκ ἐούσῃ πρότερον πλωτῇ,
Λητὼ, ἐοῦσα τῶν ὀκτὼ θεῶν τῶν πρώτων γενομένων, οἰ-
κέουσα δὲ ἐν Βουτοῖ πόλι, ἵνα δή οἱ τὸ χρηστήριον τοῦτό
ἐστι, Ἀπόλλωνα παρὰ Ἴσιος παρακαταθήκην δεξαμένη,
διέσωσε κατακρύψασα ἐν τῇ νῦν πλωτῇ λεγομένῃ νήσῳ·
[k] ὅτε δὴ τὸ πᾶν διζήμενος ὁ Τυφὼν ἐπῆλθε, θέλων [l] ἐξευ-
6 ρεῖν τοῦ [m] Ὀσίριος τὸν παῖδα. (Ἀπόλλωνα δὲ, καὶ
Ἄρτεμιν, Διονύσου καὶ Ἴσιος λέγουσι εἶναι παῖδας·
[n] Λητοῦν δὲ, τροφὸν αὐτοῖσι καὶ [o] σώτειραν γενέσθαι.
7 Αἰγυπτιστὶ δὲ Ἀπόλλων μὲν, [p] Ὧρος· Δημήτηρ δὲ,
Ἶσις· Ἄρτεμις δὲ, Βούβαστις. ἐκ τούτου δὲ τοῦ λόγου

θαυμαστότατον F. θαυμαστότερον c. θωϋμαστότερον edd.

[b] Sic vulg. et Steph. Byz. in voc. Mela I. 9. Ἔχεμις S. Eustath. Od. κ'. p. 1644, fin=378, 9.

[c] Sic S.M.P.K. καλεομένη al. F.

[d] Sic P.K.V.S.F. αὕτη ἡ νῆσος εἶναι πλ. Wessel. et al.

[e] εἶδον] ἴδον S.V.F. probante Schweighæusero.

[f] ἐμπεφύασι V.S. probante Galeo, et Homeri περὶ δ' αἴγειροι πεφύασιν conferente. ἐμπεφύκεσαν F. Vulg. ex I. 193. II. 91. defendit Wesseling.

[g] φοίνικές τε V.S. συχναὶ S. ubi om. καὶ post δένδρεα.

[h] Sic M.P.K.V.S.F. Paris. τοιόνδε al.

[i] ταύτην S. et mox οἰκεούσῃ pro οὐκ ἐούσῃ. cf. c. 144. Tum λητῶ πλωτῇ S.

[k] Sic S.F. δὴ al. om. Supra λεγομένῃ πλωτῇ S.

[l] ἐξελθεῖν F.

[m] Sic M.K.P.V.S.F.a.b.c. Ὀσίριδος al. Seqq. exscripsit Athenagoras Leg. c. 24.

[n] Sic Ald. S.V.R.a. Λητὼ M. P.K.F.b.c.d. Athenag.

[o] σώτηραν F.

[p] ὥρας S.V.

καὶ οὐδενὸς ἄλλου, Αἰσχύλος ὁ [q] Εὐφορίωνος ἥρπασε τὸ
ἐγὼ φράσω, μοῦνος δὴ [r] ποιητέων τῶν προγενομένων. 181
8 ἐποίησε γὰρ Ἄρτεμιν εἶναι θυγατέρα Δήμητρος.) τὴν 11
δὲ νῆσον διὰ τοῦτο γενέσθαι πλωτήν. ταῦτα μὲν οὕτω
λέγουσι.

157 Ψαμμίτιχος δὲ ἐβασίλευσε Αἰγύπτου [a] τέσσερα καὶ
πεντήκοντα ἔτεα· τῶν τὰ ἑνὸς δέοντα τριήκοντα, [b] Ἄζω-
τον, τῆς Συρίης μεγάλην πόλιν, προσκατήμενος ἐπολιόρ-
2 κεε, [c] ἐς τὸ ἐξεῖλε. αὕτη δὲ ἡ Ἄζωτος ἁπασέων πολίων
ἐπὶ πλεῖστον χρόνον [d] πολιορκευμένη ἀντέσχε, τῶν ἡμεῖς
158 ἴδμεν. [a] Ψαμμιτίχου δὲ Νεκὼς παῖς ἐγένετο, καὶ ἐβα-
σίλευσε Αἰγύπτου· ὃς τῇ διώρυχι ἐπεχείρησε πρῶτος τῇ
ἐς τὴν Ἐρυθρὴν θάλασσαν φερούσῃ, τὴν Δαρεῖος ὁ Πέρσης
δεύτερα διώρυξε· τῆς [b] μῆκος μέν ἐστι πλόος ἡμέραι
[c] τέσσερες, [d] εὖρος δὲ ὠρύχθη ὥστε τριήρεας δύο πλέειν
2 ὁμοῦ ἐλαστρευμένας. ἧκται δὲ ἀπὸ τοῦ Νείλου τὸ ὕδωρ
ἐς αὐτήν· ἧκται δὲ κατύπερθε ὀλίγον Βουβάστιος πό-
λιος, παρὰ Πάτουμον τὴν Ἀραβίην πόλιν· ἐσέχει δὲ ἐς
3 τὴν Ἐρυθρὴν θάλασσαν. ὤρυκται δὲ πρῶτον μὲν τοῦ πε-
δίου τοῦ Αἰγυπτίου τὰ πρὸς Ἀραβίην ἔχοντα· [e] ἔχεται
δὲ κατύπερθε τοῦ πεδίου τὸ κατὰ Μέμφιν τεῖνον ὄρος,
4 [f] ἐν τῷ αἱ λιθοτομίαι ἔνεισι. τοῦ ὦν δὴ οὔρεος τούτου
παρὰ τὴν [g] ὑπωρέην ἧκται ἡ διώρυξ ἀπ' ἑσπέρης μακρὴ

Psammetichi regnum totum ab a. 671 ad 617: Azotus urbs annos xxix obsessa, et capta.

Neco ab a. 617 ad 601: fossam e Nilo in sinum Arabicum inchoat.

[q] Εὐφορίονος S.V. Αἰσχύλος—δὴ om. F. pr. m.
[r] ποιητέων λεγομένων S.V. Vall.

157.

[a] τέσσαρα F.S. Ald.
[b] Ἔζωτον S.
[c] ἐς ὃ S.V.M.d. Suid. in voc. ἐς τὸ F.a.b.c.
[d] Sic V.S. al. πολιορκεομένη F.a. vulg.

158.

[a] Sic F. edd. vett. Ψαμμήτιχος S.V. Suid. in v. cf. 151.
[b] Sic V.S. Vulgo om. μέν.
[c] τέσσαρες F.S.
[d] εὖρος—ἐλαστρευμένας om. S.V. ἐλαστρευμένας Ald. R. Eustath. p. 1161=1219, 24. F. Paris. ἐλαστρεομένας M.K.P. Mox ταύτην S. pro αὐτήν.
[e] ἔχετε F. Supra Αἰγύπτου S.
[f] ἐν ᾧ V.S. et mox μὲν ἔνεισι. Vulgo om. ἐν. Mox ὄρεος S.
[g] ὑπωρείην V.S.

πρὸς τὴν ἠῶ· καὶ ἔπειτα τείνει ἐς διασφάγας, [h] φέρουσα ἀπὸ τοῦ οὔρεος πρὸς μεσαμβρίην τε καὶ νότον
5 ἄνεμον, ἐς τὸν κόλπον τὸν Ἀράβιον. [i] τῇ δὲ ἐλάχιστόν 182
ἐστι καὶ συντομώτατον, ἐκ τῆς Βορηΐης θαλάσσης ὑπερβῆναι ἐν τὴν νοτίην καὶ Ἐρυθρὴν [k] τὴν αὐτὴν ταύτην καλεομένην, ἀπὸ [l] τοῦ Κασίου οὔρεος, τοῦ [m] οὐρίζοντος Αἴγυπτόν τε καὶ Συρίην, ἀπὸ τούτου εἰσὶ στάδιοι χίλιοι
6 [n] ἀπαρτὶ ἐς τὸν Ἀράβιον κόλπον. τοῦτο μὲν [o] τὸ συντομώτατον· ἡ δὲ διῶρυξ πολλῷ μακροτέρη, ὅσῳ σκολιωτέρη
7 ἐστὶ, τὴν ἐπὶ Νεκῶ [p] βασιλέος [q] ὀρύσσοντες Αἰγυπτίων ἀπώλοντο δυώδεκα [r] μυριάδες. Νεκῶς μέν νυν μεταξὺ ὀρύσσων ἐπαύσατο, μαντηΐου ἐμποδίου γενομένου τοιοῦδε,
8 "τῷ βαρβάρῳ αὐτὸν [s] προεργάζεσθαι." βαρβάρους δὲ πάντας οἱ Αἰγύπτιοι καλέουσι τοὺς [t] μὴ σφίσι ὁμογλώσσους.

159 Παυσάμενος δὲ τῆς διώρυχος ὁ Νεκῶς, ἐτράπετο πρὸς στρατηΐας· καὶ τριήρεες, αἱ μὲν, ἐπὶ τῇ Βορηΐῃ θαλάσσῃ ἐποιήθησαν, αἱ δ' ἐν τῷ Ἀραβίῳ κόλπῳ ἐπὶ
2 τῇ Ἐρυθρῇ θαλάσσῃ· [a] τῶν ἔτι οἱ ὁλκοὶ [b] ἐπίδηλοι. καὶ ταύτῃσί τε ἐχρᾶτο ἐν τῷ δέοντι· καὶ [c] Σύροισι πεζῇ ὁ Νεκῶς συμβαλὼν ἐν [d] Μαγδόλῳ ἐνίκησε· μετὰ δὲ τὴν

Struit classem ad utrumque mare: Judæos prælio terrestri vincit a. 608.

[h] Sic P.K.a.b.F. φερούσας M. S. et vulgo. Mox ὄρεος S.

[i] Sic F. τῇ δὴ vulgo cum S.

[k] τὴν αὐτὴν om. S. ταύτην om. F.

[l] τοῦ om. Ald. ὄρεος S.

[m] ὁρίζοντος S.V. Eustath. Dion. 260.

[n] ἀπαρτὶ e Schol. Aristoph. Plut. 388. Lex. Seguier. p. 418. et Suid. inseruit post Schæferum Schweighæuserus. Monuerat Wesselingius in Addendis.

[o] τὸ om. d.

[p] βασιλῆος] βασιλέως F. βασιλέος a.S.

[q] Sic M.P.K.S.V.b.d. ὀρύσσοντος F.a.c. Ald.

[r] μυριάδας F.

[s] Sic M.K.P.V. Vall. F. Paris. Vulgo προσεργ. cum S. qui mox om. οἱ.

[t] μή σφι] μή σφισι M.K.P.V. F.S.

159.

[a] Sic M.K.P.F. ὧν vulgo cum S.

[b] εἰσὶ δῆλοι S.V. non improbante Wesselingio.

[c] Συρίοισι S.V.

[d] Μαγδώλῳ F.a. Μαγδάλῳ b.

μάχην, [e] Κάδυτιν πόλιν τῆς Συρίης ἐοῦσαν μεγάλην εἷλε.
3 ἐν τῇ δὲ ἐσθῆτι ἔτυχε ταῦτα κατεργασάμενος, [f] ἀνέθηκε
τῷ Ἀπόλλωνι, πέμψας ἐς Βραγχίδας τὰς Μιλησίων.
4 μετὰ δὲ, [g] ἑκκαίδεκα ἔτεα [h] τὰ πάντα ἄρξας, τελευτᾷ,
τῷ παιδὶ Ψάμμι παραδοὺς τὴν ἀρχήν.

160 Ἐπὶ τοῦτον [a] δὴ τὸν Ψάμμιν βασιλεύοντα Αἰγύπτου
ἀπίκοντο Ἠλείων [b] ἄνδρες ἄγγελοι, αὐχέοντες δικαιό-
τατα καὶ [c] κάλλιστα τιθέναι τὸν ἐν Ὀλυμπίῃ ἀγῶνα
πάντων ἀνθρώπων, καὶ δοκέοντες παρὰ ταῦτα οὐδ' ἂν
τοὺς σοφωτάτους ἀνθρώπων Αἰγυπτίους οὐδὲν ἐπεξευρεῖν.
2 ὡς δὲ ἀπικόμενοι ἐς τὴν Αἴγυπτον οἱ Ἠλεῖοι ἔλεγον τῶν
εἵνεκα ἀπίκοντο, ἐνθαῦτα ὁ βασιλεὺς οὗτος συγκαλέεται
3 Αἰγυπτίων τοὺς λεγομένους εἶναι σοφωτάτους. συνελ-
θόντες δὲ οἱ Αἰγύπτιοι, ἐπυνθάνοντο τῶν Ἠλείων λεγόν-
των ἅπαντα τὰ [d] κατήκει σφέας ποιέειν περὶ τὸν ἀγῶνα·
ἀπηγησάμενοι δὲ τὰ πάντα, ἔφασαν ἥκειν ἐπιμαθησό- 183
μενοι " εἴ τι ἔχοιεν Αἰγύπτιοι [e] τούτων δικαιότερον ἐπ-
4 " εξευρεῖν." οἱ δὲ, βουλευσάμενοι, [f] ἐπειρώτων τοὺς Ἠλεί-
ους εἴ σφι οἱ πολιῆται ἐναγωνίζονται. οἱ δὲ ἔφασαν,
καὶ σφέων [g] καὶ τῶν ἄλλων Ἑλλήνων [h] ὁμοίως τῷ βου-
5 λομένῳ ἐξεῖναι ἀγωνίζεσθαι. οἱ δὲ Αἰγύπτιοι ἔφασαν
" σφέας, [i] οὕτω τιθέντας, παντὸς τοῦ δικαίου ἡμαρτη-
" κέναι· οὐδεμίαν γὰρ εἶναι μηχανὴν, ὅκως οὐ τῷ ἀστῷ

Psammis ab a. 601 ad 595: Eleorum ad eum legatio.

[e] Κάλυτις Steph. Byz.
[f] H. l. citat Porphyrius Quæst. Homer. 8. τὰς Μιλ. defendens. τοὺς Μιλησίων S. Vide I. 92.
[g] *Decem ac septem* vertit Valla.
[h] τὰ om. S.

160.

[a] δὴ om. S.V.
[b] ἄνδρες om. M.K.P.V.S.F.d. sed Herodotum amare hunc pleonasmum notat Wesseling. cf. I. 90. 141.
[c] μάλιστα S.V.
[d] ἥκει S.V.
[e] τούτων om. d.
[f] ἐπειρώτων M.P.K. ἐπηρώτων F.S. al.
[g] Sic M.P.K.F.c. καὶ om. S. τῶν al. om.
[h] ὁμοίης S.V.
[i] τοῦτο S. Mox οὐδεμίην S. cum vulg. Paullo post S. βούλωνται.

6 “ ἀγωνιζομένῳ προσθήσονται, ἀδικέοντες τὸν ξεῖνον. ἀλλ’
“ εἰ δὴ βούλονται δικαίως τιθέναι, καὶ τούτου εἵνεκα
“ ἀπικοίατο ἐς Αἴγυπτον, ξείνοισι [k] ἀγωνιστῆσι [l] ἐκέ-
“ λευον τὸν ἀγῶνα τιθέναι, Ἠλείων δὲ μηδενὶ [m] εἶναι
“ [n] ἀγωνίζεσθαι.” Ταῦτα μὲν Αἰγύπτιοι Ἠλείοισι ὑπε-
θήκαντο.

161 Ψάμμιος δὲ ἓξ ἔτεα μοῦνον βασιλεύσαντος Αἰγύπτου,
[a] καὶ στρατευσαμένου ἐς Αἰθιοπίην, καὶ μεταυτίκα τε-
2 λευτήσαντος, [b] ἐξεδέξατο [c] Ἀπρίης ὁ Ψάμμιος. ὃς μετὰ
Ψαμμίτιχον τὸν ἑωυτοῦ προπάτορα ἐγένετο εὐδαιμονέστα-
τος τῶν [d] πρότερον βασιλέων, ἐπ’ ἔτεα πέντε καὶ εἴκοσι
ἄρξας· ἐν τοῖσι ἐπί τε Σιδῶνα στρατὸν ἤλασε, καὶ ἐναυ-
3 μάχησε τῷ Τυρίῳ. Ἐπεὶ δέ οἱ ἔδεε κακῶς γενέσθαι,
[e] ἐγένετο ἀπὸ προφάσιος τὴν ἐγὼ μεζόνως μὲν ἐν τοῖσι
Λιβυκοῖσι λόγοισι ἀπηγήσομαι, μετρίως δ’ ἐν τῷ παρ-
4 εόντι. ἀποπέμψας [f] γὰρ [g] στράτευμα ὁ Ἀπρίης ἐπὶ
5 Κυρηναίους, [h] μεγαλωστὶ προσέπταισε. Αἰγύπτιοι δὲ
ταῦτα ἐπιμεμφόμενοι, ἀπέστησαν ἀπ’ αὐτοῦ, δοκέοντες
τὸν Ἀπρίην ἐκ προνοίης αὐτοὺς ἀποπέμψαι ἐς φαινό-
μενον κακὸν, ἵνα δὴ σφέων φθορὴ γένηται, αὐτὸς δὲ τῶν
6 λοιπῶν Αἰγυπτίων ἀσφαλέστερον [i] ἄρχῃ. ταῦτα δὲ δεινὰ
ποιεύμενοι οὗτοί τε οἱ ἀπονοστήσαντες, καὶ οἱ τῶν ἀπο-
162 λομένων φίλοι, ἀπέστησαν ἐκ τῆς ἰθείης. Πυθόμενος δὲ

Bellum ejus cum Æthiopibus. Apries ab a. 595 ad 570: felicissimus regum, excepto Psammeticho: gerit bellum cum Phœniciis terra et mari: ob cladem a Cyrenæis acceptam, exercitus ab eo deficit.

[k] ἀγωνισθεῖσι S.V.
[l] ἐβούλευον S.
[m] Sic V.S.M.K.P.F. Paris. ἐξεῖναι Ald.
[n] ἀγωνίσασθαι S.V.

161.

[a] καὶ στ. ἐς Αἰθ. om. S.
[b] Sic M.V.P.K.S.F. Paris. ἐξ. τὴν βασιληΐην. Ald. cf. I. 16.
[c] Πρίης Ald.
[d] προτέρων a. Mox βασιλέων F.S.
[e] Sic S.V. ut IV. 79. ἐγίνετο F.a. et vulgo.
[f] γὰρ om. V.S.
[g] στράτευμα ὁ Ἀπρίης μέγα Ald. Sed μέγα om. mss. plerique. στράτευμα μέγα ἀπρίης S.
[h] μεγάλως S.V. μεγάλως τι K.
[i] ἄρχοι M.P.K.F.b.d. ἄρχῃ a.c. S.V. Ald. Schæfer.

Rebelles Amasin re- 184 gem constituunt, et Ægyptii cæteri ob factum Apriis in Patarbemin, ad Amasin transeunt.

[a] Ἀπρίης ταῦτα, πέμπει ἐπ᾽ αὐτοὺς Ἄμασιν, [b] καταπαύσοντα λόγοισι. ὁ δὲ ἐπεί τε ἀπικόμενος κατελάμβανε τοὺς Αἰγυπτίους, ταῦτα μὴ ποιέειν λέγοντος αὐτοῦ, 1 τῶν τις Αἰγυπτίων ὄπισθε στὰς, περιέθηκέ [c] οἱ κυνέην·
2 καὶ περιτιθεὶς, ἔφη "ἐπὶ βασιληΐῃ περιτιθέναι." [d] καὶ τῷ οὔ κως ἀεκούσιον [e] ἐγίνετο τὸ ποιεύμενον, ὡς διεδείκνυε. ἐπεί τε γὰρ ἐστήσαντό μιν βασιλέα τῶν Αἰγυπτίων οἱ ἀπεστεῶτες, παρεσκευάζετο ὡς ἐλῶν ἐπὶ τὸν Ἀπρίην.
3 Πυθόμενος δὲ ταῦτα ὁ Ἀπρίης, ἔπεμπε ἐπ᾽ Ἄμασιν ἄνδρα δόκιμον τῶν [f] περὶ ἑωυτὸν Αἰγυπτίων, τῷ οὔνομα ἦν Πατάρβημις· ἐντειλάμενος αὐτῷ, ζῶντα Ἄμασιν [g] ἀγα-
4 γεῖν παρ᾽ ἑωυτόν. ὡς δὲ ἀπικόμενος [h] τὸν Ἄμασιν ἐκάλεε ὁ Πατάρβημις, [i] ὁ Ἄμασις (ἔτυχε γὰρ ἐπ᾽ ἵππου κατήμενος) [k] ἐπάρας, [l] ἀπεματάϊσε· καὶ τοῦτό μιν [m] ἐκέλευε
5 Ἀπρίῃ ἀπάγειν. ὅμως δὲ αὐτὸν ἀξιοῦν τὸν Πατάρβημιν, [n] βασιλέος μεταπεμπομένου, ἰέναι πρὸς αὐτόν· τὸν δὲ αὐτῷ [o] ὑποκρίνεσθαι, ὡς "ταῦτα πάλαι [p] παρεσκευ-" άζετο ποιέειν, καὶ αὐτῷ οὐ [q] μέμψασθαι Ἀπρίην·
6 "παρέσεσθαι γὰρ [r] καὶ αὐτὸς, καὶ ἄλλους ἄξειν." τὸν δὲ Πατάρβημιν [s] ἔκ τε τῶν λεγομένων οὐκ ἀγνοεῖν τὴν διάνοιαν, καὶ παρασκευαζόμενον [t] ὁρέοντα, σπουδῇ ἀπι-

162.
[a] ὁ Ἀπρίης Wessel. cum S.
[b] καταπαύσαντα S.
[c] οἱ om. S.V.
[d] Gl. in P. Ἀμάσιδι. Mox ἀκούσιον S.
[e] Sic P.K.F.a. ἐγένετο Wessel.
[f] παρ᾽ αὐτῶν S.V.
[g] ἄγειν S.V.
[h] Sic P.K.V.S.a. Vulgo ὁ Πατάρβ. ἐκάλ. τὸν Ἄμ. Ὁ Πατ. usque ad κατήμενος om. F.
[i] Sic M.P.K.V.S. Paris. Vulgo ὁ δὲ Ἄ.
[k] ἐπᾴρας Ald. Steph. Gron.
[l] Schol. P. ἐματαιολόγησε, ἐμώρανεν. Perperam. cf. Plutarch. II. p. 866. c.
[m] Sic V.S.F.a. Vulgo ἐκέλευσε.
[n] Sic S.V.K. Paris. βασιλέως vulgo cum M.F.
[o] ὑποκρίνεσθαι M.K.P.F. Paris. ὑποκρίνασθαι S.V. Ald.
[p] παρασκευάζεται V.S.
[q] μέμψεσθαι Schæfer.
[r] καὶ αὐτὸν S.
[s] ἐκ τῶν τε λόγων S.V. Vall.
[t] ὀρέωντα F. ὁρῶντα S.

έναι, βουλόμενον τὴν ταχίστην βασιλέϊ δηλῶσαι [v] τὰ
7 πρησσόμενα. ὡς δὲ ἀπικέσθαι αὐτὸν πρὸς τὸν Ἀπρίην,
οὐκ [w] ἄγοντα τὸν Ἄμασιν, οὐδένα [x] λόγον αὐτῷ δόντα,
ἀλλὰ [y] περιθύμως ἔχοντα, περιταμεῖν προστάξαι αὐτοῦ
8 τά τε ὦτα καὶ τὴν ῥῖνα. [z] ἰδόμενοι δ᾽ οἱ λοιποὶ τῶν Αἰ-
γυπτίων, οἳ ἔτι τὰ ἐκείνου ἐφρόνεον, ἄνδρα τὸν δοκιμώ-
τατον ἑωυτῶν οὕτω αἰσχρῶς λύμῃ διακείμενον, οὐδένα δὴ
χρόνον ἐπισχόντες, ἀπιστέατο πρὸς τοὺς ἑτέρους, καὶ
163 ἐδίδοσαν σφέας αὐτοὺς [a] Ἀμάσι. Πυθόμενος δὲ καὶ
ταῦτα ὁ Ἀπρίης, ὥπλιζε τοὺς ἐπικούρους, καὶ ἤλαυνε
[a] ἐπὶ τοὺς Αἰγυπτίους· εἶχε δὲ περὶ ἑωυτὸν Κᾶράς τε
καὶ Ἴωνας, ἄνδρας ἐπικούρους [b] τρισμυρίους· ἦν δέ οἱ τὰ
βασιλήϊα ἐν Σάϊ πόλι, μεγάλα ἐόντα καὶ ἀξιοθέητα.
2 καὶ οἵ τε περὶ τὸν Ἀπρίην ἐπὶ τοὺς Αἰγυπτίους ἤϊσαν,
3 καὶ οἱ περὶ τὸν Ἄμασιν, ἐπὶ τοὺς ξείνους. ἔν τε [c] δὴ
Μωμέμφι πόλι ἐγένοντο ἀμφότεροι, καὶ πειρήσεσθαι
ἔμελλον ἀλλήλων.

Armat Apries Ionas et Caras: utrinque ad Momemphin urbem consistitur.

164 Ἔστι δὲ Αἰγυπτίων ἑπτὰ γένεα· καὶ τούτων οἱ μὲν, 185
ἱρέες, οἱ δὲ, μάχιμοι κεκλέαται· οἱ δὲ, βουκόλοι· οἱ δὲ,
συβῶται· οἱ δὲ, κάπηλοι· οἱ δὲ, ἑρμηνέες· οἱ δὲ, κυ-
βερνῆται. γένεα μὲν Αἰγυπτίων τοσαῦτά ἐστι· οὐνόματα
2 δέ σφι κέεται ἀπὸ τῶν τεχνέων. οἱ δὲ μάχιμοι [a] αὐτῶν
καλέονται μὲν Καλασίριές τε καὶ Ἑρμοτύβιες· ἐκ νο-

Ægyptiorum vii genera: Calasiries et Hermotybies, generis militaris.

[v] τὰ πρησσόμενα P.V.S.M.K.F. Paris. τὸ πρησσόμενον Ald.
[w] Sic P.M.K.S.V.F. Paris. ἔχοντα vulgo.
[x] Sic K.P.S.F. Paris. αὐτῷ λόγον edd. vett. λόγον ἑωϋτῷ Reiz. e Wesselingii emend. Idem fere αὐτῷ valere contendit Schweighæuserus.
[y] Gl. in P. πάνυ ὀργίλως. Mox περιταμεῖν αὐτοῦ τὰ ὦτα προστάξαι S.
[z] ἠδόμενοι F.
[a] Ἀμάσιϊ P.

163.

[a] ἐπὶ om. b.
[b] τρισμυρίους om. M. Retinent ceteri cum Diodoro I. 68. Mox ὄντα Ald.
[c] δήμῳ Μέμφι S. cf. Steph. Byz. in Μώμεμφις. M. et al. δὴ Μέμφι. cf. c. 169. Mox ἐγίνοντο S.

164.

[a] αὐτέων] αὐτῶν F.S. Mox μὲν om. S.

μῶν δὲ τῶνδε εἰσί. (κατὰ γὰρ [b] δὴ νομοὺς Αἴγυπτος
165 ἅπασα [c] διαραίρηται.) Ἑρμοτυβίων μὲν οἵδε εἰσὶ νομοί·
Βουσιρίτης, Σαΐτης, Χεμμίτης, [a] Παπρημίτης, νῆσος ἡ
Προσωπῖτις καλεομένη, Ναθὼ τὸ ἥμισυ. ἐκ μὲν [b] τούτων
τῶν νομῶν Ἑρμοτύβιες εἰσί· γενόμενοι, ὅτε ἐπὶ πλεί-
στους [c] γενοίατο, ἑκκαίδεκα μυριάδες. καὶ τούτων βα-
ναυσίης οὐδεὶς δεδάηκε οὐδὲν, ἀλλ' [d] ἀνέονται ἐς τὸ μά-
166 χιμον. [a] Καλασιρίων δὲ οἵδε ἄλλοι νομοί εἰσι· Θηβαῖος,
Βουβαστίτης, Ἀφθίτης, [b] Τανίτης, Μενδήσιος, [c] Σεβεν-
νύτης, Ἀθριβίτης, Φαρβαιθίτης, [d] Θμουΐτης, Ὀνουφίτης,
[e] Ἀνύσιος, [f] Μυεκφορίτης· οὗτος ὁ νομὸς ἐν νήσῳ οἰκέει,
2 [g] ἀντίον Βουβάστιος πόλιος. οὗτοι δὲ οἱ νομοὶ Καλα-
σιρίων εἰσί· γενόμενοι, ὅτε ἐπὶ πλείστους ἐγενέατο, πέντε
καὶ εἴκοσι μυριάδες ἀνδρῶν. οὐδὲ τούτοισι ἔξεστι τέχνην
ἐπασκῆσαι [h] οὐδεμίαν, [i] ἀλλὰ τὰ ἐς πόλεμον ἐπασκέουσι
167 μοῦνα, παῖς παρὰ πατρὸς [k] ἐκδεκόμενος. Εἰ μέν νυν
καὶ τοῦτο παρ' Αἰγυπτίων μεμαθήκασι οἱ Ἕλληνες, οὐκ
ἔχω ἀτρεκέως [a] κρῖναι· ὁρέων καὶ Θρήϊκας καὶ Σκύθας
καὶ Πέρσας καὶ Λυδούς, καὶ σχεδὸν πάντας [b] τοὺς

Utrorumque nomi et numerus.

Dignitas militum præ opificibus apud omnes gentes, et in Græcia maxime

[b] δὴ om. c.

[c] διήρηται S.V.

165.

[a] Πατρημ. S. Πατρηβίτης K. Παπριμίτης b. cf. c. 71. Mox προσωπῆτις S.

[b] τουτέων] τούτων F.S. τῶν om. S.

[c] Sic Ald. S.V.P.a.c.R. ἐγένοντο M.P.K.F.b.d. Mallet ἐγενέατο Wessel. Vulg. defendit Schweigh. Supra πλείστου d.

[d] Gl. in P. ἀνίενται. ἀνέωνται F. quod conjecit H. Steph. probante Wesselingio. Vulgatum ex ἀνέομαι deducit Portus.

166.

[a] Καλασυρίων S. et mox. cf. Steph. Byz. in v.

[b] Τονίτης b.

[c] Sic S.V.F. Paris. Ald. Vulgo Σεβεννίτης.

[d] Θουΐτης, Κουφίτης V.S.

[e] Ἀνύσσιος S.V. *Anysia plaga* Valla. Vulgo Ἀνύτιος cum F.

[f] Μιεκφορ. S. Vall.

[g] ἀντίον οἱ Βουβ. S.

[h] οὐδεμίην] οὐδεμίαν F. οὐδεμίην ἐπασκῆσαι S.

[i] ἀλλά τε ἐς π. S.

[k] Sic M.K.P.V.S. cf. I. 7. Diodor. II. 21. Arrian. Ind. 8. p. 321. ἐκδεκόμενοι Ald.

167.

[a] εἰπεῖν d.

[b] τοὺς om. S.V.

apud Lacedæmonios: Corinthii minime contemnunt opifices.

βαρβάρους, [c] ἀποτιμοτέρους τῶν ἄλλων [d] ἡγημένους πο-
λιητέων τοὺς τὰς τέχνας μανθάνοντας, καὶ τοὺς [e] ἐκγό-
2 νους τούτων· τοὺς δὲ [f] ἀπαλλαγμένους τῶν [g] χειρωνα-
ξιέων, γενναίους [h] νομιζομένους εἶναι, καὶ μάλιστα τοὺς
ἐς τὸν πόλεμον ἀνειμένους. μεμαθήκασι δ' ὦν τοῦτο
πάντες οἱ Ἕλληνες, καὶ μάλιστα Λακεδαιμόνιοι. ἥκι-
168 στα δὲ Κορίνθιοι ὄνονται τοὺς χειροτέχνας. Γέρεα δέ σφι

Singulis militibus apud Ægyptios duodenæ aruræ immunes: quantus numerus ex utroque genere militum in singulos annos regi apparuerit, et quantum eorum quisque panis, carnis et vini quotidie acceperit.

[a] ἦν τάδε ἐξαραιρημένα μούνοισι Αἰγυπτίων, πάρεξ τῶν
2 ἱρέων· [b] ἄρουραι ἐξαίρετοι δυώδεκα ἑκάστῳ ἀτελέες. ἡ
δὲ ἄρουρα ἑκατὸν πηχέων ἐστὶ Αἰγυπτίων πάντη. ὁ δὲ
3 Αἰγύπτιος [c] πῆχυς τυγχάνει ἴσος ἐὼν τῷ Σαμίῳ. ταῦτα
μὲν δὴ τοῖσι ἅπασι ἦν ἐξαραιρημένα. [d] τάδε δὲ ἐν περι- 186
4 τροπῇ ἐκαρποῦντο, καὶ οὐδαμὰ ὡυτοί. Καλασιρίων χί-
λιοι, καὶ [e] Ἑρμοτυβίων ἄλλοι, ἐδορυφόρεον ἐνιαυτὸν [f] ἕκα-
στοι τὸν βασιλέα· τούτοισι [g] δ' ὦν τάδε πάρεξ τῶν
ἀρουρέων ἄλλα ἐδίδοτο ἐπ' ἡμέρῃ [h] ἑκάστῃ, ὀπτοῦ σίτου
σταθμὸς [i] πέντε μνέαι ἑκάστῳ, κρεῶν βοέων δύο μνέαι,
οἴνου [k] τέσσερες ἀρυστῆρες. ταῦτα [l] τοῖσι αἰεὶ δορυφο-
ρέουσι ἐδίδοτο.

[c] Vid. Hesych. in voc. ἀποτιμωτέρους S.

[d] Sic S.V.M.K.P.b.d. ἡγευμένους Schæfer. ἡγεομένους a.c. Ald. F.m. sec. ubi pr. ἡγεμόνους. ἡγημένους τῶν ἄλλων S.

[e] ἐγγόνους F.

[f] ἀπαλλαττομένους d.

[g] Citat Pollux II. 151. χειρωναξίων V.S. χειραξιέων F. pr.

[h] Sic M.S.V.P.K.b.d. νομίζοντας Ald. a.c. νομίζοντες F. Mox οἱ ante Ἕλληνες om. S.

168.

[a] ἦν om. S.V. Mox ἐξαιρημένα S.

[b] Hinc Eustath. Hom. Il. γ'. p. 411, 38=312, 11.

[c] πῆχυς om. S. male. Vide I. 178. Wessel.

[d] τάδε δὴ S. Mox ἑωυτῶν S. pro ὡυτοί. et Καλασυρίων δὲ cum Ald.

[e] Sic S.V. Ald. Valla; ἄλλοι om. M.P.K.F. Paris. edd. recentt. Schweigh. suspicatur numerum χίλιοι justo minorem esse, collatum cum militum numero capp. 165. 166. edito.

[f] Sic M.P.K.F. Paris. ἕκαστον V.S. Ald.

[g] δ' om. F.a.b.

[h] ἑκάστῳ S.

[i] πέντε μνέων d. Schol. in P. ἑκατὸν δραχμαὶ ποιοῦσι μνᾶν μίαν.

[k] τέσσαρες F.S.

[l] αἰεὶ τοῖσι d.

169 Ἐπεί τε [a] δὲ [b] συνιόντες, ὅ τε Ἀπρίης ἄγων τοὺς ἐπι-
κούρους, καὶ ὁ Ἄμασις πάντας [c] τοὺς Αἰγυπτίους, ἀπί-
κοντο ἐς [d] Μώμεμφιν πόλιν, συνέβαλον· καὶ ἐμαχέ-
σαντο μὲν εὖ οἱ ξεῖνοι, πλήθεϊ δὲ πολλῷ ἐλάσσονες ἐόν-
2 τες, κατὰ τοῦτο ἑσσώθησαν. Ἀπρίεω δὲ λέγεται εἶναι
ἥδε [e] ἡ διάνοια, μηδ᾽ ἂν θεόν μιν [f] μηδένα δύνασθαι παῦ-
σαι τῆς βασιληΐης· οὕτω ἀσφαλέως ἑωυτῷ ἱδρῦσθαι ἐδό-
3 κεε. καὶ δὴ τότε συμβαλὼν ἑσσώθη· καὶ ζωγρηθεὶς,
ἀπήχθη ἐς Σάϊν πόλιν, ἐς τὰ ἑωυτοῦ [g] οἰκία πρότερον
4 ἐόντα, τότε δὲ Ἀμάσιος ἤδη βασιλήϊα. ἐνθαῦτα δὲ [h] τέως
μὲν ἐτρέφετο ἐν τοῖσι βασιληΐοισι, καί μιν Ἄμασις εὖ
5 περιεῖπε. τέλος δὲ, μεμφομένων Αἰγυπτίων [i] ὡς οὐ ποιοῖ
δίκαια, τρέφων τὸν σφίσι τε καὶ ἑωυτῷ ἔχθιστον, οὕτω
6 δὴ παραδιδοῖ τὸν Ἀπρίην τοῖσι Αἰγυπτίοισι. [k] οἱ δέ μιν
ἀπέπνιξαν, καὶ ἔπειτα ἔθαψαν ἐν τῇσι πατρῴῃσι τα-
7 φῇσι. αἱ δέ εἰσι ἐν τῷ ἱρῷ τῆς Ἀθηναίης, ἀγχοτάτω
8 τοῦ μεγάρου, ἐσιόντι ἀριστερῆς [l] χειρός. ἔθαψαν δὲ Σαΐται
πάντας τοὺς ἐκ νομοῦ τούτου γενομένους βασιλέας ἔσω
9 ἐν τῷ ἱρῷ. καὶ γὰρ [m] τὸ τοῦ Ἀμάσιος σῆμα [n] ἑκαστέρω
μέν ἐστι τοῦ μεγάρου [o] ἢ τὸ τοῦ Ἀπρίεω καὶ τῶν τούτου
προπατόρων· ἔστι μέντοι καὶ τοῦτο ἐν τῇ αὐλῇ τοῦ ἱροῦ,
παστὰς λιθίνη μεγάλη, καὶ ἠσκημένη στύλοισί τε φοίνι-
κας τὰ δένδρεα μεμιμημένοισι, καὶ τῇ ἄλλῃ δαπάνῃ.
10 ἔσω δὲ [p] ἐν τῇ παστάδι διξὰ θυρώματα ἕστηκε· ἐν δὲ

Victus prælio Apries et captus, aliquandiu benigne habitus, denique strangulatur: sepulcra regum ex præfectura Saitica, in templo Minervæ.

169.

[a] δὲ om. F.

[b] συνιέντες S.V.

[c] τοὺς om. F.a.c.S.

[d] Sic M.P.K.V. Vall. b. Μόμεμφιν F. Μέμφιν S. Ald. et al. Mox ἐσώθησαν, et infra ἐσώθη S.

[e] ἡ om. F.a.

[f] μηδένα om. R.F.a.b.c. *nullus deorum neque hominum* Valla.

[g] οἰκεῖα S.

[h] ἕως S.V. cf. ad I. 86.

[i] Sic M.K.P.a.c. ποιεῖ S.V. Ald. F.d. ὡς om. F.

[k] οὐδεμίαν F.

[l] χειρὸς P.K.S.V.F. χερός al.

[m] τὸ et σῆμα om. V.S.

[n] ἑκατέρω S.V. Ald. ἑκατέρου F.

[o] ᾗ P. cum gl. ὅπου. ἡ τούτου Ἀπρίεω S.

[p] ἐν τῇ δαπάνῃ S.

170 τοῖσι θυρώμασι ἡ θήκη ἐστί. [a] Εἰσὶ δὲ καὶ αἱ ταφαὶ
In eodem templo aliud sepulcrum Dei cujusdam.
τοῦ οὐκ ὅσιον ποιεῦμαι ἐπὶ τοιούτῳ πρήγματι ἐξαγορεύειν
τοὔνομα ἐν Σάϊ, ἐν τῷ ἱρῷ τῆς Ἀθηναίης, ὄπισθε [b] τοῦ
2 νηοῦ, παντὸς τοῦ τῆς Ἀθηναίης [c] ἐχόμεναι τοίχου. καὶ ἐν
τῷ τεμένεϊ ὀβελοὶ ἑστᾶσι μεγάλοι λίθινοι· λίμνη [d] τέ
ἐστι ἐχομένη, λιθίνῃ κρηπῖδι κεκοσμημένη, καὶ [e] ἐργασμένη
εὖ κύκλῳ, καὶ μέγαθος, ὡς ἐμοὶ ἐδόκεε, ὅση περ
171 ἡ ἐν Δήλῳ, [f] ἡ τροχοειδὴς καλεομένη. Ἐν δὲ τῇ λίμνῃ
Quæ ibi mysteria fiant: Danai filiæ Thesmophoria ex Ægypto in Peloponnesum attulerunt a. 1570.
ταύτῃ τὰ [a] δείκηλα τῶν παθέων αὐτοῦ νυκτὸς ποιεῦσι,
2 τὰ καλέουσι μυστήρια Αἰγύπτιοι. περὶ μέν [b] νυν τούτων,
εἰδότι μοι ἐπὶ πλέον ὡς ἕκαστα [c] αὐτῶν ἔχει, [d] εὔστομα
κείσθω. καὶ τῆς Δήμητρος τελετῆς πέρι, τὴν οἱ Ἕλληνες 187
θεσμοφόρια καλέουσι, καὶ ταύτης [e] εἰδότι μοι πέρι εὔ- 17
3 στομα κείσθω, [f] πλὴν ὅσον αὐτῆς ὁσίη ἐστὶ λέγειν. αἱ
Δαναοῦ θυγατέρες ἦσαν αἱ τὴν τελετὴν ταύτην ἐξ Αἰγύπτου
ἐξαγαγοῦσαι, καὶ διδάξασαι τὰς [g] Πελασγιώτιδας
4 γυναῖκας. μετὰ δὲ, ἐξαναστάσης πάσης Πελοποννήσου
ὑπὸ Δωριέων, ἐξαπώλετο ἡ τελετή· οἱ δὲ ὑπολειφθέντες
Πελοποννησίων καὶ οὐκ ἐξαναστάντες Ἀρκάδες, διέσωζον
αὐτὴν μοῦνοι.

172 Ἀπρίεω δὲ [a] ὧδε καταραιρημένου, ἐβασίλευσε Ἄμασις,
Amasis ab a. 570:
νομοῦ μὲν Σαΐτεω ἐών· ἐκ τῆς δὲ ἦν [b] πόλιος, οὔ-

170.
[a] Exscripsit Athenag. Leg. c. 25.
[b] τοῦ νηὸς S.F.
[c] Sic S.V. ἐχόμενον τοίχου Ald. Athenag. a.c. ἐχόμενον τοῖχον F.
[d] δέ ἐστι Athenag.
[e] ἁρμοσμένη S. cf. c. 148. καὶ ἐργ. om. Athenag. ubi ἐν κύκλῳ.
[f] ἡ om. S.V. ὅσηπερ ἐν Δήλῳ, ἡ τροχ. καλ. Athenagoras.

171.
[a] εἴδωλα, ὁμοιώματα gl. in P.
[b] νυν om. S.V.
[c] αὐτέων] αὐτῶν F.S.
[d] Citant Plutarch. II. p. 857. et al. Thomas M. et Suid. in Εὐστομεῖν.
[e] Sic S. Omittunt alii omnes.
[f] πλὴν ὅσον α. ὁ. ἐ. om. S. qui pro λέγειν dat λέγεται ὡς αἱ.
[g] γιώτιδας S.

172.
[a] ὧδε om. S.V.
[b] Sic S.V.K.P.F. Paris. Vulgo πόλεος.

2 νομά οἱ ἐστὶ Σιούφ. τὰ μὲν δὴ πρῶτα [c] κατόνοντο τὸν
Ἄμασιν Αἰγύπτιοι, καὶ ἐν [d] οὐδεμιῇ μοίρῃ μεγάλῃ ἦγον,
ἅτε δὴ δημότην [e] τὸ πρὶν ἐόντα, καὶ οἰκίης οὐκ ἐπιφανέος·
μετὰ δὲ, σοφίῃ αὐτοὺς ὁ Ἄμασις, οὐκ [f] ἀγνωμοσύνῃ
3 προσηγάγετο. [g] ἦν οἱ ἄλλα τε ἀγαθὰ μυρία, ἐν δὲ καὶ
[h] ποδανιπτὴρ χρύσεος, ἐν τῷ αὐτός τε ὁ Ἄμασις καὶ [i] οἱ
δαιτυμόνες οἱ πάντες τοὺς πόδας ἑκάστοτε [k] ἐναπενιζέατο.
4 τοῦτον κατ' ὦν κόψας, ἄγαλμα δαίμονος ἐξ αὐτοῦ ἐποι-
ήσατο, καὶ ἵδρυσε τῆς [l] πόλιος ὅκου ἦν ἐπιτηδεώτατον·
οἱ δὲ Αἰγύπτιοι [m] φοιτέοντες πρὸς τὤγαλμα, ἐσέβοντο
5 μεγάλως. μαθὼν δὲ ὁ Ἄμασις τὸ ἐκ τῶν ἀστῶν ποιεύ-
μενον, συγκαλέσας Αἰγυπτίους, ἐξέφηνε φὰς "ἐκ τοῦ
"ποδανιπτῆρος τὤγαλμα γεγονέναι, ἐς τὸν [n] πρότερον
"μὲν τοὺς Αἰγυπτίους ἐνεμεῖν τε καὶ ἐνουρέειν, καὶ πόδας
6 "ἐναπονίζεσθαι, τότε δὲ μεγάλως σέβεσθαι. ἤδη ὦν,
"ἔφη λέγων, ὁμοίως αὐτὸς τῷ ποδανιπτῆρι πεπρηγέναι.
"εἰ γὰρ πρότερον [o] εἶναι δημότης, ἀλλ' ἐν τῷ παρεόντι
7 "εἶναι [p] αὐτῶν βασιλεύς." καὶ τιμᾶν τε καὶ προμη-
θέεσθαι [q] ἑωυτοῦ [r] ἐκέλευε. τοιούτῳ μὲν τρόπῳ προσηγά-
173 γετο τοὺς Αἰγυπτίους, ὥστε δικαιοῦν δουλεύειν. [a] Ἐχρᾶ-
το δὲ καταστάσει πρηγμάτων τοιῇδε. τὸ μὲν ὄρθριον,

quam callide ignobilitatem suam a contemtu vindicarit.

Quid mane, quid reliquo die

[c] Sic V.S.f. cf. Koen. Gregor. Dial. Ion. 23. Vulgo κατώνοντο. Exscripsit hæc Plutarch. de Nobil. cap. 3.

[d] οὐδενὶ f.

[e] Sic (vel τοπρὶν) M.P.K.V.S. F. Paris. τὸ πρότερον c. Ald.

[f] Sic M.P.K.V.S.F. Paris. Vulgo εὐγνωμοσύνῃ.

[g] ἦν ἄλλα τέ οἱ S.V. ἦν οἱ ἄλλα f.

[h] ποδανιπτὴρ hinc Pollux X. 78. ποδανιστὴρ F. qui infra tamen ποδανιπτῆρι.

[i] οἱ om. f.

[k] ἐναπονιζέατο Schæferus tanquam ex S. Is autem codex perspicue, ut ceteri, ἀπενιζέατο.

[l] Sic S.V.F. Paris. Al. πόλεος. Mox ἐπιτηδεότατον S.

[m] φοιτέωντες F. φοιτῶντες f.

[n] μὲν om. S.V.f. Mox ἀπονίζεσθαι S. qui retinet ἐνουρέειν cum vulg.

[o] Sic M.P.K.V.S.F. Paris. Vulgo ἦεν.

[p] αὐτέων] αὐτῶν F.f.S.

[q] ἑωυτὸν S.

[r] ἐκέλευσε V.

173.

[a] Sic M.P.K.F. ἐχρῆτο V. Ald.

agere solitus: reprehensus ob eam vitam, quid responderit.

μέχρι ὅτου [b] πληθώρης ἀγορῆς, προθύμως ἔπρησσε τὰ
προσφερόμενα πρήγματα· τὸ δὲ ἀπὸ τούτου ἔπινέ τε 188
καὶ [c] κατέσκωπτε τοὺς συμπότας, καὶ ἦν μάταιός τε
2 καὶ [d] παιγνιήμων. ἀχθεσθέντες δὲ τούτοισι οἱ φίλοι αὐ-
τοῦ, ἐνουθέτεον αὐτὸν, τοιάδε λέγοντες· "Ὦ βασιλεῦ,
" οὐκ ὀρθῶς σεωυτοῦ προέστηκας, ἐς [e] τὸ ἄγαν φαῦλον
3 " [f] προάγων σεωυτόν. σὲ γὰρ [g] χρῆν ἐν θρόνῳ [h] σεμνῷ
" σεμνὸν θωκέοντα, δι' ἡμέρης πρήσσειν τὰ [i] πρήγματα·
" καὶ οὕτω Αἰγύπτιοί τ' ἂν [k] ἐπιστέατο ὡς ὑπ' ἀνδρὸς
4 " μεγάλου ἄρχονται, [l] καὶ ἄμεινον σὺ ἂν ἤκουες. νῦν δὲ
" ποιέεις [m] οὐδαμῶς βασιλικά." [n] Ὁ δ' ἀμείβετο [o] τοι-
σίδε αὐτούς· " Τὰ τόξα οἱ κεκτημένοι, ἐπεὰν μὲν δέων-
" ται χρᾶσθαι, ἐντανύουσι· [p] ἐπεὰν δὲ χρήσωνται, ἐκ-
5 " λύουσι. εἰ γὰρ δὴ τὸν [q] πάντα χρόνον ἐντεταμένα εἴη,
" ἐκραγείη ἄν· ὥστε ἐς τὸ δέον οὐκ ἂν ἔχοιεν αὐτοῖσι
6 " [r] χρῆσθαι. οὕτω δὴ καὶ ἀνθρώπου κατάστασις· [s] εἰ
" ἐθέλοι κατεσπουδάσθαι αἰεὶ, μηδὲ ἐς παιγνίην τὸ μέ-
" ρος ἑωυτὸν ἀνιέναι, λάθοι ἂν ἤτοι μανεὶς, ἢ [t] ὅγε ἀπό-
7 " πληκτος γενόμενος. τὰ ἐγὼ ἐπιστάμενος, μέρος [v] ἑκα-

S.R. cf. Valcken. ad Eurip. Phœn. 961. Priorem formam ab Herodoto frequentari notat Schweighæuserus ex I. 102. 172. II. 123. 181.

[b] Sic S.V. πληθούσης F. Paris. et vulg. Sequentia, docente Wesselingio, respexit Ælian. Var. II. 41. Supra μέχρις S. qui mox τὰ προσφερόμενα ἔπρησσε πρήγματα.

[c] κατέκοπτε F.

[d] Vide Athenæum VI. p. 261. C. παιγνήμων ἀχθεθεῦντες S.

[e] τὸν ἄγαν S.

[f] ἀπάγων V.S.

[g] Sic F.a.b. edd. vett. ut II. 179. III. 65. VII. 39. ἐχρῆν M. V.S.P.K.

[h] Sic S.P.K. Vall. F. Paris. σεμνῷ σεμνῶς f. σεμνὸν σεμνῷ vulg.

[i] πράγματα F.

[k] ἠπιστέατο S.f. ὡς om. S.

[l] καὶ σὺ ἄμεινον ἤκουες S. et sic credo V.

[m] οὐδαμὰ f.

[n] οὐδ' F.

[o] Quidam τοίσιδε, alii τοῖσδε. In his S.

[p] ἐπ. δὲ χρ. ἐκλ. om. M.P.K. Vall. F.a.c. μὲν om. S.

[q] ἅπαντα f. qui mox ἐκραγεῖεν. Tum ἐκτεταμένα S.

[r] χρᾶσθαι V.S.F.

[s] εἰ ἐθέλει V.S.F.a.d. εἰ θέλοι f.

[t] ὅτε S.

[v] ἑκάτερον f.

174 “τέρῳ νέμω.” Ταῦτα μὲν τοὺς φίλους ἀμείψατο. Λέ-
γεται δὲ ὁ Ἄμασις, [a] καὶ ὅτε ἦν ἰδιώτης, ὡς φιλοπότης
[b] ἐὼν καὶ φιλοσκώμμων, καὶ οὐδαμῶς κατεσπουδασμένος
ἀνήρ· ὅκως δέ μιν [c] ἐπιλείποι πίνοντά τε καὶ εὐπαθέοντα
2 τὰ [d] ἐπιτήδεα, κλέπτεσκε ἂν περιϊών. οἱ δ' ἄν μιν φά-
μενοι ἔχειν τὰ σφέτερα χρήματα ἀρνεύμενον ἄγεσκον
ἐπὶ μαντήϊον ὅκου [e] ἑκάστοισι εἴη· πολλὰ μὲν δὴ [f] καὶ
ἁλίσκετο ὑπὸ τῶν μαντηΐων, πολλὰ δὲ καὶ [g] ἀποφεύ- 189
3 γεσκε. ἐπεί τε δὲ καὶ ἐβασίλευσε, [h] ἐποίεε [i] τοιάδε· ὅσοι
μὲν αὐτὸν τῶν θεῶν ἀπέλυσαν μὴ φῶρα εἶναι, τούτων μὲν
τῶν ἱρῶν οὔτε ἐπεμέλετο, οὔτε ἐς ἐπισκευὴν ἐδίδου οὐδέν·
οὐδὲ φοιτέων ἔθυε, ὡς οὐδενὸς ἐοῦσι ἀξίοισι, ψευδέα τε
4 μαντήϊα κεκτημένοισι. ὅσοι δέ μιν κατέδησαν φῶρα εἶναι,
τούτων δὲ, ὡς [k] ἀληθέως θεῶν ἐόντων καὶ ἀψευδέα μαντήϊα
παρεχομένων, τὰ μάλιστα ἐπεμέλετο.

Privatus adhuc, luxuriosus et furax: imperium adeptus, quos Deos neglexerit, quos coluerit.

175 Καὶ τοῦτο μὲν, ἐν Σάϊ τῇ Ἀθηναίῃ προπύλαια θωυμάσιά οἱ ἐξεποίησε, πολλὸν πάντας [a] ὑπερβαλλόμενος τῷ τε ὕψεϊ καὶ τῷ [b] μεγάθεϊ, ὅσων τε τὸ μέγαθος λίθων ἐστὶ, καὶ ὁκοίων τέων· τοῦτο δὲ, κολοσσοὺς μεγάλους καὶ ἀνδρόσφιγγας περιμήκεας ἀνέθηκε, λίθους τε ἄλλους ἐς ἐπισκευὴν ὑπερφυέας τὸ μέγαθος ἐκόμισε.

Minervæ templum ornat: domus ex lapide solido ad ingressum templi, ex Elephantina usque advecta.

174.

[a] Sic M.V.S.K.F. Paris. καὶ om. edd. vett.

[b] Sic K.P.F.a.b.d. ἦν S.c. edd. vett.

[c] ἐπιλίποι V.S.b. Schæfer.

[d] Sic F. cf. Koen. Gregor. dial. Ion. 45. Vulgo ἐπιτήδεια.

[e] ἑκάστοτε V.S.

[f] Ita Schweighæuserus, monens imperfecta in σκον augmentum non accipere. καταλίσκετο S.V. κατηλίσκετο vulgo, καὶ ἡλίσκετο Valckenærius, probante Wesselingio.

[g] Ita Wessel. et forte b.c. ἀπέφευγε M.P.K.F.a.d. ὑποφεύγεσκε S.V. ὑπόφευγε Ald. Mox καὶ om. S.

[h] Sic f. Vulgo ἐποίησε cum S.

[i] Sic V.S.M.P.K.F.b.d.f. τάδε Ald. a.c. Mox φοιτῶν S.

[k] Sic S.V. (ἀληθῶς S.) Vall. ἀληθέων θεῶν ἐόντων F. Ald. ἀληθέων vel ἀληθέως ἐόντων sine θεῶν alii.

175.

[a] ὑπερβαλόμ. F.

[b] μεγέθεϊ F.

2 ἠγάγετο δὲ [c] τούτων τοὺς μὲν, ἐκ τῶν κατὰ Μέμφιν ἐουσέων λιθοτομιέων· τοὺς δὲ ὑπερμεγάθεας, ἐξ Ἐλεφαντίνης πόλιος, πλόον [d] καὶ εείκοσι ἡμερέων ἀπεχούσης
3 ἀπὸ Σάϊος. τὸ δὲ οὐκ ἥκιστα [e] αὐτῶν, ἀλλὰ μάλιστα [f] θωυμάζω, ἔστι τόδε· οἴκημα μουνόλιθον ἐκόμισε ἐξ Ἐλεφαντίνης πόλιος· καὶ τοῦτο [g] ἐκόμιζον μὲν ἐπ' ἔτεα τρία, δισχίλιοι δέ οἱ προσετετάχατο ἄνδρες ἀγωγέες, καὶ οὗ-
4 τοι [h] ἅπαντες ἦσαν κυβερνῆται. τῆς δὲ στέγης ταύτης τὸ μὲν μῆκος ἔξωθεν, ἔστι εἷς τε καὶ εἴκοσι πήχεες· εὖρος δὲ, τεσσερεσκαίδεκα· ὕψος δὲ, ὀκτώ. ταῦτα μὲν τὰ
5 μέτρα ἔξωθεν τῆς στέγης τῆς [i] μουνολίθου ἐστί. ἀτὰρ ἔσωθεν τὸ μῆκος, ὀκτωκαίδεκα πηχέων καὶ πυγόνος· [k] τὸ δὲ εὖρος, δυώδεκα πηχέων· τὸ δὲ ὕψος, πέντε πη-
6 χέων ἐστί. αὕτη τοῦ ἱροῦ κέεται παρὰ τὴν ἔσοδον. ἔσω γάρ μιν ἐς τὸ ἱρόν φασι τῶνδ' εἵνεκα οὐκ ἐσελκύσαι· τὸν ἀρχιτέκτονα αὐτῆς, ἑλκομένης τῆς στέγης, ἀναστενάξαι, οἷά τε χρόνου [l] ἐκγεγονότος πολλοῦ, [m] καταχθόμενον τῷ ἔργῳ· τὸν δὲ Ἄμασιν [n] ἐνθυμιστὸν ποιησάμενον, οὐκ ἐᾶν 190
7 ἔτι προσωτέρω ἑλκύσαι. [o] ἤδη δέ τινες λέγουσι, ὡς ἄνθρωπος διεφθάρη [p] ὑπ' αὐτῆς τῶν τις αὐτὴν μοχλευόντων, καὶ [q] ἀπὸ τούτου οὐκ ἐσελκυσθῆναι.

176 Ornat et alia tem-

Ἀνέθηκε δὲ καὶ ἐν τοῖσι ἄλλοισι ἱροῖσι [a] ὁ Ἄμασις πᾶσι τοῖσι ἐλλογίμοισι

[c] τουτέων] τούτων F.S.
[d] Sic V.S.K.M.P.F.a. καὶ al. om. εἴκοσι S.K.V.F. Paris.
[e] αὐτέων] αὐτῶν F.S.
[f] θαυμάζω F.
[g] Sic R.M.K.P.F. Paris. ἐκόμιζε Ald. V.S.
[h] πάντες S. qui mox ἕς τε καί.
[i] τοῦ μουνολ. R.B. μονολ. Ald. Mox ἃ γὰρ S. pro ἀτὰρ, et μῆκος ἐστίν.
[k] τὸ δὲ εὖρ. δυώδ. πηχ. om. F.a. M.K.P. Vall.
[l] ἐγγενονότος conj. Schweighæuserus. Supra post τὸν excidisse μὲν existimat Wesselingius, nolente Schweighæusero.
[m] Sic F.a.c. edd. vett. καὶ ἀχθόμενον S. Wessel. καταχθόμενος Ald. Mox τὸ ἔργον F.
[n] ἐσθυμιστ. S.
[o] οἱ δέ τινες S.
[p] ὑπ' αὐτῇ S.
[q] διὰ τοῦτο S.

176.

[a] ὁ Ἄμασις π. τ. ἐλ. om. S.

ἔργα τὸ μέγαθος ἀξιοθέητα· [b] ἐν δὲ, καὶ ἐν Μέμφι, τὸν
ὕπτιον κείμενον κολοσσὸν, τοῦ [c] Ἡφαιστείου ἔμπροσθε·
2 τοῦ πόδες πέντε καὶ ἑβδομήκοντά εἰσι τὸ μῆκος. ἐπὶ δὲ
τῷ αὐτῷ βάθρῳ ἑστᾶσι, [d] Αἰθιοπικοῦ ἐόντος λίθου, δύο
κολοσσοὶ, [e] ἐείκοσι ποδῶν τὸ μέγαθος ἐὼν ἑκάτερος· ὁ
3 μὲν ἔνθεν, ὁ δ' ἔνθεν [f] τοῦ μεγάρου. ἔστι δὲ λίθινος ἕτερος
τοσοῦτος καὶ ἐν Σάϊ, κείμενος κατὰ τὸν [g] αὐτὸν τρόπον τῷ
ἐν Μέμφι. [h] τῇ Ἴσι τε τὸ ἐν Μέμφι ἱρὸν Ἄμασίς ἐστι ὁ
ἐξοικοδομήσας, ἐὸν μέγα τε καὶ ἀξιοθεητότατον.

pla, maximeque templum Vulcani, et novum Isidi ædificat.

177 Ἐπ' Ἀμάσιος δὲ [a] βασιλέος λέγεται Αἴγυπτος μά-
λιστα δὴ τότε εὐδαιμονῆσαι, καὶ τὰ ἀπὸ τοῦ ποταμοῦ
τῇ χώρῃ γινόμενα, καὶ τὰ ἀπὸ τῆς χώρης τοῖσι ἀνθρώ-
2 ποισι. καὶ πόλις [b] ἐν αὐτῇ γενέσθαι τὰς ἁπάσας τότε
δισμυρίας τὰς οἰκεομένας. [c] νόμον δὲ Αἰγυπτίοισι τόνδε
Ἄμασίς ἐστι ὁ καταστήσας· ἀποδεικνύναι ἔτεος ἑκάστου
τῷ [d] νομάρχῃ πάντα τινὰ [e] Αἰγυπτίων, ὅθεν [f] βιοῦται·
μὴ δὲ ποιεῦντα ταῦτα, μηδὲ ἀποφαίνοντα δικαίην [g] ζόην,
3 ἰθύνεσθαι θανάτῳ. Σόλων δὲ ὁ Ἀθηναῖος λαβὼν ἐξ Αἰ-
γύπτου τοῦτον [h] τὸν νόμον, Ἀθηναίοισι ἔθετο· τῷ ἐκεῖνοι
ἐς αἰεὶ χρέωνται, ἐόντι ἀμώμῳ νόμῳ.

Nili et agrorum Amaside regnante ubertas: xx M urbium: lex jubens quemque singulis annis indicare, unde vivat.

178 Φιλέλλην δὲ γενό-
μενος [a] ὁ Ἄμασις, ἄλλα τε ἐς Ἑλλήνων μετεξετέρους

Græcis data Naucratis: Helle-

[b] ἓν δὲ καὶ F.S.
[c] Ἡφαιστίου F.
[d] Sic S.V. Vall. b.d. τοῦ αὐτοῦ ἐόντος F.c.d. edd. ἐόντες conj. Schweighæuserus.
[e] εἴκοσι K.V.S.F. Paris. Wessel.
[f] τοῦ μεγάλου ed. Schæfer. Vallam secutus, qui vertit, *magno illi assistentes*, probante Schweighæusero.
[g] αὐτὸν om. S.V. Mox τοῦ S. pro τῷ.
[h] λέγουσί τε τὸ S.V.

177.

[a] βασιλῆος] βασιλέως F. βασιλέος S.
[b] ἐν αὐτῇ γενέσθαι S. post οἰκεομένας. H. l. citat Eustath. Il. β'. p. 314, 38=238, 17.
[c] Sic F.d. Vulg. νόμον τε cum S.
[d] νομάρχῳ S.
[e] Αἰγύπτιον V.S.
[f] Sic Ald. V.S.R. Suid. in voc. βιοῦνται c. βεβαιοῦται M.P.K. βεβαιοῦτε F.
[g] ζωὴν S.V.
[h] τὸν om. F.

178.

[a] ὁ om. F.

nium et alia templa in Ægypto a Græcis exstructa: præfecti mercatorum.

ἀπεδέξατο, καὶ δὴ καὶ τοῖσι [b] ἀπικνευμένοισι ἐς Αἴγυπτον ἔδωκε Ναύκρατιν πόλιν ἐνοικῆσαι· τοῖσι δὲ μὴ βουλομένοισι [c] αὐτῶν [d] οἰκέειν, αὐτοῦ δὲ ναυτιλλομένοισι, ἔδωκε [e] χώρους ἐνιδρύσασθαι βωμοὺς καὶ τεμένεα θεοῖσι.
2 τὸ μέν νυν μέγιστον [f] αὐτῶν τέμενος, καὶ οὐνομαστότατον ἐὸν καὶ χρησιμώτατον, [g] καλεύμενον δὲ Ἑλλήνιον, αἵδε 191
[h] πόλις εἰσὶ [i] αἱ ἱδρυμέναι κοινῇ, Ἰώνων μὲν, Χίος, [k] καὶ Τέως, καὶ Φώκαια, καὶ [l] Κλαζομεναί· Δωριέων δὲ, Ῥόδος, καὶ [m] Κνίδος, καὶ [n] Ἁλικαρνησσὸς, καὶ Φάσηλις· Αἰ-
3 ολέων δὲ, ἡ Μυτιληναίων μούνη. τούτων μέν ἐστι [o] τοῦτο τὸ τέμενος, καὶ προστάτας τοῦ ἐμπορίου αὗται αἱ πόλις
4 εἰσὶ [p] αἱ παρέχουσαι. [q] ὅσαι δὲ ἄλλαι πόλις μεταποιεῦνται, [r] οὐδέν σφι μετεὸν μεταποιεῦνται. χωρὶς δὲ, Αἰγινῆται ἐπ᾽ ἑωυτῶν ἱδρύσαντο τέμενος Διός· καὶ ἄλλο Σάμιοι, Ἥρης· καὶ Μιλήσιοι, Ἀπόλλωνος.

179 Sola Naucratis emporium antiquitus in Ægypto.

179 Ἦν δὲ τὸ παλαιὸν μούνη [a] ἡ Ναύκρατις ἐμπόριον, καὶ ἄλλο οὐδὲν Αἰγύπτου. εἰ δέ τις ἐς τῶν τι ἄλλο [b] στομάτων τοῦ Νείλου ἀπίκοιτο, χρῆν ὀμόσαι "μὴ μὲν ἑκόντα ἐλθεῖν·"
2 ἀπομόσαντα δὲ, τῇ νηῒ αὐτῇ πλέειν ἐς τὸ Κανωβικόν· ἢ εἰ μή γε οἷά τε εἴη πρὸς ἀνέμους ἀντίους πλέειν, τὰ

[b] ἀπικευμ. S.
[c] αὐτέων] αὐτῶν F.S.
[d] ἐνοικέειν S.V. Schæfer. ἐσοικέειν P. αὐτοῦ οἰκέειν R.
[e] Sic Ald. S.V.a.c.R. Schæfer. χωρίοις M.P.K.F. Wess.
[f] αὐτέων] αὐτῶν F.S. Mox ὀνομαστότατον S.
[g] καλεόμενον F.
[h] πόλις M.K.P. πόλιες Ald. F. a.S.
[i] αἱ om. F.
[k] καὶ Τέως—καὶ Κνίδος om. F.
[l] Κληζομ. S. Κλιζ. V. cf. Eustath. Il. β'. p. 314, 38=238. Berkel. ad Steph. Byz. in Ἔφεσος.
[m] Χῖος P.K. Κνίσος S.V.
[n] Ἁλικαρνησὸς S.V. Vall. cf. I. 1.
[o] Sic P.K.S.V.F. Paris. τὸ τέμενος τοῦτο edd. vett. Supra dedi Μυτιλην. pro Μιτυλ. ut alibi. Infra τούτων S. pro τουτέων.
[p] αἱ om. F. Supra πόλιες S. Ald.
[q] αἳ δὲ ἄλλαι πόλιες οὐδὲν σφι μετεὸν μεταποιεῦνται V.S.
[r] οὐδέν σφι μ. μ. om. P.K.F. Mox Ἥρας F.

179.

[a] ἡ om. V.S.K. Mox εἰ δέ τι ἐτῶντι S.
[b] στόμα K. στόμα τῶν P. στόματε S. Mox ἐν ταῖς βάρισι S.

φορτία ἔδεε περιάγειν ἐν βάρισι περὶ τὸ Δέλτα, [c] μέχρι οὗ ἀπίκοιτο ἐς Ναύκρατιν. οὕτω μὲν δὴ Ναύκρατις [d] ἐτετίμητο.

180 Ἀμφικτυόνων δὲ μισθωσάντων τὸν ἐν Δελφοῖσι νῦν ἐόντα νηὸν τριηκοσίων ταλάντων [a] ἐξεργάσασθαι· (ὁ γὰρ πρότερον ἐὼν αὐτόθι [b] αὐτομάτως κατεκάη· τοὺς Δελφοὺς δὲ [c] ἐπέβαλλε τεταρτημόριον τοῦ μισθώματος παρασχεῖν·) πλανώμενοι δὲ οἱ Δελφοὶ περὶ τὰς πόλις, ἐδωτίναζον· ποιεῦντες δὲ τοῦτο, οὐκ [d] ἐλάχιστον ἐξ Αἰ-
2 γύπτου [e] ἐνείκαντο. Ἄμασις μὲν γάρ σφι ἔδωκε χίλια [f] στυπτηρίης τάλαντα· οἱ δὲ ἐν Αἰγύπτῳ οἰκέοντες Ἕλληνες, εἴκοσι μνέας.

Delphicum templum deflagratum a. 548: Amasidis in Delphos liberalitas.

181 [a] Κυρηναίοισι δὲ Ἄμασις φιλότητά τε καὶ συμμαχίην συνεθήκατο. ἐδικαίωσε δὲ καὶ γῆμαι [b] αὐτόθεν, εἴτ' ἐπιθυμήσας Ἑλληνίδος γυναικὸς, εἴτε καὶ ἄλλως φιλό-
2 τητος Κυρηναίων εἵνεκα. γαμέει δ' ὦν, οἱ μὲν λέγουσι Βάττεω, οἱ δ' Ἀρκεσίλεω θυγατέρα, οἱ δὲ, Κριτοβούλου,
3 ἀνδρὸς τῶν ἀστῶν δοκίμου· τῇ οὔνομα ἦν [c] Λαδίκη. τῇ ἐπεί τε συγκλίνοιτο [d] ὁ Ἄμασις, μίσγεσθαι οὐκ οἷός τε [e] ἐγένετο· τῇσι δὲ ἄλλῃσι γυναιξὶ ἐχρᾶτο. ἐπεί τε δὲ πολλὸν τοῦτο ἐγίνετο, [f] εἶπε ὁ Ἄμασις πρὸς τὴν Λαδίκην
4 ταύτην καλεομένην· "Ὦ γύναι, κατά με ἐφάρμαξας,

Amicitia et fœdus cum Cyrenæis: uxor Cyrenaica Ladice: hujus votum Veneri factum et exsolutum: eadem postea Cambyse victore in patriam remissa.

[c] μέχρις F.S.
[d] ἐτέτμητο K.P.F.b.d.

180.
[a] Sic Ald. S.V.a.b.c.d.R. ἐξεργᾶσθαι M.K.P. ἐξεργάσθαι F.
[b] αὐτόματος S.V. Schæfer.
[c] Sic F. Vulgo ἐπέβαλε cum S. Mox πόλιας S.
[d] ἐλάχιστ' ἂν S.
[e] Sic F. Vulgo ἠνείκαντο cum S.
[f] στυρίης solus M. vid. Wesseling. ad Diodor. V. 10.

181.
[a] Sic S.V.c. Κυρην. δ' ἐς ἀλλήλους Ἄμασις φ. Ald. Κυρ. δ' ἐς ἀλλήλους φ. M.F. al.
[b] Sic M.K.P.S.V.R.F. Paris. αὐτόθι edd. vett. Mox Βάττου τοῦ Ἀρκεσ. S.V. Vall.
[c] Δαδίκη S. et sic semper.
[d] Sic S.V.b.d. ὁ om. F. et al.
[e] ἐγίνετο a.c.
[f] Sic M.K.F.a. εἶπε δὴ ὁ S. Ald. εἶπε δὲ ὁ V.

“ καὶ [g] ἔστι τοι [h] οὐδεμία μηχανὴ μὴ οὐκ [i] ἀπολωλέναι 192
5 “ κάκιστα [k] γυναικέων πασέων.” Ἡ δὲ Λαδίκη, ἐπεί τέ οἱ ἀρνευμένῃ οὐδὲν [l] ἐγίνετο πρηΰτερος [m] ὁ Ἄμασις, εὔχεται ἐν τῷ [n] νόῳ τῇ Ἀφροδίτῃ, ἤν οἱ [o] ὑπ' ἐκείνην τὴν νύκτα μιχθῇ ὁ Ἄμασις, τοῦτο γάρ οἱ κακοῦ εἶναι μῆχος,
6 ἄγαλμά οἱ ἀποπέμψειν ἐς Κυρήνην. μετὰ δὲ τὴν εὐχὴν αὐτίκα οἱ ἐμίχθη ὁ Ἄμασις· καὶ τὸ ἐνθεῦτεν [p] ἤδη ὁκότε [q] ἔλθοι πρὸς αὐτὴν, ἐμίσγετο· καὶ κάρτα μιν ἔστερξε
7 μετὰ τοῦτο. ἡ δὲ Λαδίκη ἀπέδωκε τὴν εὐχὴν τῇ θεῷ. ποιησαμένη γὰρ ἄγαλμα [r] ἀπέπεμψε ἐς Κυρήνην, τὸ ἔτι καὶ ἐς ἐμὲ ἦν [s] σόον, ἔξω [t] τετραμμένον τοῦ Κυρηναίων
8 ἄστεος. ταύτην τὴν Λαδίκην, ὡς ἐπεκράτησε Καμβύσης Αἰγύπτου, καὶ ἐπύθετο αὐτῆς [v] ἥ τις εἴη, ἀπέπεμψε ἀσινέα ἐς Κυρήνην.

182 Quæ donaria quibus templis Græciæ dederit Amasis: templum quod Lindi est Minervæ, a Danai filiabus exstructum: Cy-

182 Ἀνέθηκε δὲ καὶ ἀναθήματα ὁ [a] Ἄμασις ἐς τὴν Ἑλλάδα· τοῦτο μὲν, ἐς Κυρήνην ἄγαλμα ἐπίχρυσον Ἀθηναίης, [b] καὶ εἰκόνα ἑωυτοῦ γραφῇ εἰκασμένην· τοῦτο δὲ, τῇ ἐν Λίνδῳ Ἀθηναίῃ δύο τε ἀγάλ-
2 ματα λίθινα, καὶ θώρηκα [c] λίνεον ἀξιοθέητον· τοῦτο δ', ἐς Σάμον τῇ Ἥρῃ εἰκόνας ἑωυτοῦ διφασίας ξυλίνας, αἳ ἐν τῷ νηῷ τῷ μεγάλῳ ἱδρύατο ἔτι καὶ τὸ [d] μέχρις ἐμεῦ,

[g] Sic S.P.V.b.c.d.F. ἔστι τι M.K. ἔστι οὐδ. a. et vulg.
[h] οὐδεμίη] οὐδεμία S.M.F.a. Wessel.
[i] Sic Ald. Paris. F.V.R.S. ὑπολωλέναι M.P.K.
[k] Sic Wessel. ex S. vulgo γυναικῶν. Schweighæuserus conj. κάκιστα κακίστη γυναικέων.
[l] Sic S.P.V.F.a.c. Vulg. ἐγένετο.
[m] Sic V.S. ὁ vulgo om.
[n] Sic a.c.S.V. Ald. νῷ P.F.b.d. νηῷ M.K. Wessel.
[o] Sic Schæfer. Vulgo ἐπ' ἐκ.
[p] δὴ S.V.
[q] Sic S.V. Vall. ἔλθοι Ἄμασις πρὸς F.a. edd. vett.
[r] ἀπέπεμπε F.
[s] Sic K.V.P. σῶον S.F.d. vulg. cf. I. 66. V. 96. VI. 86. VIII. 39.
[t] ἱδρυμένον S.V. Vall. Schæfer.
[v] εἴ τι S.V.

182.

[a] Sic M.K.P.F. Paris. ὁ Ἀ. πέμψας ἐς τ. Ἑ. Ald. et alii. πέμψας ὁ Ἄμ. S.
[b] καὶ εἰκόνα—Ἀθηναίῃ om. F.
[c] λίνεον om. S.V. cf. III. 47.
[d] Sic S.F. et al. non μέχρι.

3 ὄπισθε τῶν θυρέων. ἐς μέν νυν Σάμον ἀνέθηκε κατὰ
ξεινίην τὴν ἑωυτοῦ τε καὶ Πολυκράτεος τοῦ [e] Αἰάκεος· ἐς
δὲ Λίνδον, ξεινίης μὲν οὐδεμιῆς εἵνεκεν, ὅτι δὲ τὸ ἱρὸν τὸ
ἐν Λίνδῳ τὸ τῆς Ἀθηναίης λέγεται τὰς [f] τοῦ Δαναοῦ θυ- 1
γατέρας [g] ἱδρύσασθαι [h] προσχούσας, ὅτε ἀπεδίδρησκον
4 τοὺς Αἰγύπτου παῖδας. ταῦτα μὲν ἀνέθηκε ὁ Ἄμασις.
Εἷλε δὲ [i] Κύπρον πρῶτος ἀνθρώπων, καὶ κατεστρέψατο ἐς
φόρου ἀπαγωγήν.

prus ab Amaside primum occupata.

[e] Cf. III. 139.

[f] τοῦ om. S.V.F.

[g] Sic V.S.a.b.c.d. Ald. ἱδρῦσθαι M.P.K. Wessel. ἱδρύσθαι F.

[h] προσσχούσας Schæfer.

[i] Exscripsit Eustath. Il. λ′. p. 827, 27=759, 7.

ʽΙΣΤΟΡΙΩΝ ʽΗΡΟΔΟΤΟΥ Β′.

ἩΡΟΔΟΤΟΥ

ἹΣΤΟΡΙΩΝ ΤΡΙΤΗ.

ΘΑΛΕΙΑ.

1 Ἐπὶ τοῦτον δὴ τὸν Ἄμασιν Καμβύσης ὁ Κύρου ἐστρα- 193
τεύετο, ἄγων [a] καὶ ἄλλους τῶν ἦρχε, καὶ Ἑλλήνων Ἴω-
2 νάς τε καὶ Αἰολέας, δι' αἰτίην τοιήνδε. Πέμψας Καμ-
βύσης ἐς Αἴγυπτον κήρυκα, αἴτεε Ἄμασιν θυγατέρα·
αἴτεε δὲ [b] ἐκ βουλῆς ἀνδρὸς Αἰγυπτίου, ὃς μεμφόμενος
Ἄμασιν, ἔπρηξε ταῦτα, ὅτι μιν ἐξ ἁπάντων τῶν ἐν Αἰ-
γύπτῳ ἰητρῶν ἀποσπάσας ἀπὸ γυναικός τε καὶ τέκνων,
ἔκδοτον ἐποίησε ἐς Πέρσας, ὅτε Κῦρος πέμψας παρὰ
Ἄμασιν αἴτεε ἰητρὸν ὀφθαλμῶν, ὃς εἴη ἄριστος τῶν ἐν
3 Αἰγύπτῳ. ταῦτα δὴ ἐπιμεμφόμενος ὁ Αἰγύπτιος, ἐνῆγε
τῇ [c] συμβουλίῃ κελεύων αἰτέειν τὸν Καμβύσεα Ἄμασιν
θυγατέρα· ἵνα ἢ δοὺς ἀνιῷτο, ἢ μὴ δοὺς, Καμβύσῃ ἀπέ-
4 χθοιτο. ὁ δὲ Ἄμασις, τῇ δυνάμει τῶν Περσέων ἀχθό-
μενος, καὶ ἀρρωδέων, οὐκ εἶχε οὔτε δοῦναι οὔτε ἀρνήσα-
σθαι· [d] εὖ γὰρ ἠπίστατο, ὅτι οὐκ ὡς γυναῖκά μιν ἔμελλε
5 Καμβύσης ἕξειν, ἀλλ' ὡς παλλακήν. ταῦτα δὴ ἐκλο- 194
γιζόμενος, ἐποίησε [e] τάδε. ἦν Ἀπρίεω τοῦ προτέρου [f] βα-
σιλέος θυγάτηρ κάρτα μεγάλη τε καὶ εὐειδὴς, μούνη τοῦ
6 οἴκου λελειμμένη· οὔνομα δέ οἱ ἦν Νίτητις. ταύτην δὴ

Mittitur ab Amaside Cyro petenti medicus ocularius, et Cambysi filiam ipsius petenti, Nitetis Apriæ filia pro sua.

LIB. III. 1.
[a] ἄλλους τε S.V.
[b] ἐκ συμβουλίης S.V. Wessel. βουλίης Ald. συμβουλῆς Theo Progymn. p. 56. Vulgo βουλῆς.
[c] Sic Ald. R.F. Paris. συμβουλῇ M.K.V.S. Mox ἀπέχθητο Ald.
[d] ἐπίστατο γὰρ V.S. Mox παλακὴν P.
[e] τάδε M.P.K.S.V. ταῦτα Ald. F.a.
[f] βασιλέως F. Mox ταύτην δὲ S.

τὴν παῖδα ὁ Ἄμασις κοσμήσας [g] ἐσθῆτί τε καὶ χρυσῷ,
7 ἀποπέμπει ἐς Πέρσας ὡς ἑωυτοῦ θυγατέρα. μετὰ δὲ
χρόνον ὥς μιν ἠσπάζετο, πατρόθεν οὐνομάζων, λέγει πρὸς
8 αὐτὸν ἡ παῖς· [h] "Ὦ βασιλεῦ, διαβεβλημένος ὑπὸ Ἀμά-
"σιος οὐ μανθάνεις, ὃς ἐμέ σοι κόσμῳ ἀσκήσας ἀπέ-
"πεμψε, ὡς ἑωυτοῦ θυγατέρα διδοὺς, ἐοῦσαν τῇ [i] ἀλη-
"θηίῃ Ἀπρίεω· τὸν ἐκεῖνος, ἐόντα ἑωυτοῦ [k] δεσπότεα,
9 "μετ' Αἰγυπτίων ἐπαναστὰς, ἐφόνευσε." Τοῦτο δὴ τὸ
ἔπος καὶ αὕτη ἡ αἰτίη [l] ἐγγενομένη ἤγαγε Καμβύσεα τὸν
Κύρου, μεγάλως θυμωθέντα, ἐπ' Αἴγυπτον. οὕτω μέν
2 νυν λέγουσι Πέρσαι. Αἰγύπτιοι δὲ [a] οἰκηϊεῦνται Καμβύ-
σεα, φάμενοί μιν ἐκ ταύτης [b] δὴ τῆς Ἀπρίεω θυγατρὸς
γενέσθαι· [c] Κῦρον γὰρ εἶναι τὸν πέμψαντα παρὰ Ἄμα-
σιν ἐπὶ τὴν θυγατέρα, ἀλλ' οὐ Καμβύσεα. λέγοντες δὲ
2 ταῦτα, οὐκ ὀρθῶς λέγουσι. οὐ μὴν οὐδὲ λέληθε αὐτοὺς,
(εἰ γάρ τινες καὶ ἄλλοι, τὰ Περσέων νόμιμα [d] ὀρθῶς ἐπι-
στέαται καὶ Αἰγύπτιοι,) ὅτι πρῶτα μὲν νόθον οὔ σφι νό-
μος ἐστὶ βασιλεῦσαι, γνησίου παρεόντος· [e] αὖτις δὲ, ὅτι
[f] Κασσανδάνης τῆς Φαρνάσπεω θυγατρὸς ἦν παῖς Καμ-
βύσης, ἀνδρὸς Ἀχαιμενίδεω, ἀλλ' οὐκ ἐκ τῆς Αἰγυπτίης.
ἀλλὰ παρατρέπουσι τὸν λόγον, προσποιεύμενοι τῇ Κύρου
3 οἰκίῃ συγγενέες εἶναι. καὶ ταῦτα μὲν ὧδε ἔχει. Λέγεται
δὲ καὶ [a] ὅδε ὁ λόγος, ἐμοὶ μὲν οὐ πιθανός· ὡς τῶν [b] Περ-

Cambyses non, ut Ægyptii fingunt, Nitetide, sed Cassandane matre natus.

Memorari et aliam causam

[g] Sic M.P.K.S.V.F. Paris. τε la. om. Mox ὀνομάζων S.
[h] Citat Gregorius Dial. Ion. 143. et 144.
[i] ἀληθείῃ F.a.
[k] δεσπότην S.
[l] Sic S.K. Paris. F. γενομενη V. ἐγγινομ. M.P. Ald.

2.
[a] Sic S. cf. I. 4. et 94. οἰκειεῦνται M.P. Ald. οἰκειοῦνται K.F.a.
[b] δὴ om. V.S.
[c] καὶ γὰρ Κῦρον S.
[d] ὀρθῶς om. P.K.F.b.d.
[e] Sic S. F. Paris. Al. αὖθις.
[f] Κασσανδάνης M.K.P.S.V.F. Paris. Κασανδάνης Ald. et sic infra.

3.
[a] Sic S.V.f. ὅδε λ. a.F. Al. ὧδε λ. Ad I. 52. remittit Wesseling.
[b] Περσέων f.

σίδων γυναικῶν [c] ἐσελθοῦσά τις παρὰ τὰς Κύρου γυναῖ-
κας, ὡς εἶδε τῇ Κασσανδάνῃ παρεστεῶτα τέκνα εὐειδέα
τε καὶ μεγάλα, πολλῷ ἐχρᾶτο τῷ ἐπαίνῳ, [d] ὑπερθωυμά-
2 ζουσα. ἡ δὲ Κασσανδάνη, ἐοῦσα [e] τοῦ Κύρου γυνὴ, εἶπε
3 [f] τάδε· "Τοιῶνδε μέντοι ἐμὲ παίδων μητέρα ἐοῦσαν Κῦ-
"ρος ἐν ἀτιμίῃ ἔχει· τὴν δ' [g] ἀπ' Αἰγύπτου ἐπίκτητον
4 "ἐν τιμῇ τίθεται." Τὴν μὲν, ἀχθομένην τῇ [h] Νιτήτι, εἰ-
πεῖν ταῦτα· τῶν δέ οἱ παίδων τὸν [i] πρεσβύτερον εἰπεῖν
5 Καμβύσεα· "[k] Τοιγάρ τοι, ὦ μῆτερ, ἐπεὰν ἐγὼ γένω-
"μαι ἀνὴρ, Αἰγύπτου τὰ μὲν ἄνω, κάτω θήσω· τὰ δὲ 195
6 "κάτω, ἄνω." Ταῦτα εἰπεῖν αὐτὸν ἔτεα ὡς δέκα κου
γεγονότα, καὶ τὰς γυναῖκας ἐν θωύματι γενέσθαι· τὸν
δὲ, διαμνημονεύοντα, οὕτω δὴ, ἐπεί τε ἀνδρώθη, καὶ ἔσχε
τὴν βασιληΐην, ποιήσασθαι τὴν ἐπ' Αἴγυπτον [l] στρατηΐην.

belli a Cambyse in Ægyptum suscepti, minus verisimilem illam.

4 Συνήνεικε δὲ καὶ ἄλλο τι τοιόνδε πρῆγμα γενέσθαι ἐς
2 τὴν [a] ἐπιστράτευσιν ταύτην. ἦν τῶν ἐπικούρων [b] τῶν Ἀμά-
σιος ἀνὴρ [c] γένος μὲν [d] Ἁλικαρνησσεὺς, οὔνομα [e] δέ οἱ
Φάνης, καὶ γνώμην ἱκανὸς, καὶ τὰ [f] πολέμια ἄλκιμος.
3 οὗτος ὁ Φάνης, μεμφόμενός κού τι [g] Ἀμάσι, [h] ἐκδιδρήσκει
πλοίῳ ἐξ Αἰγύπτου, βουλόμενος Καμβύσῃ ἐλθεῖν ἐς λό-
4 γους. [i] οἷα δὲ ἐόντα αὐτὸν ἐν τοῖσι ἐπικούροισι λόγου οὐ

Phanes Græcus transfugit ab Amaside ad Cambysem.

[c] Sic Ald. R.V.S. Paris. F. εἰσελθ. M.P.K.
[d] ἀποθωυμάζ. S.
[e] τοῦ om. f.
[f] τοιαῦτα S. τοιάδε V.
[g] ἐπ. Αἰγ. F.
[h] Νικήτι S.
[i] πρεσβύτατον S.V. Vall.
[k] τοιγάρ τοι M.P.K. Al. cum S. om. τοι. Seqq. habet Thomas M. in γέγονα, ubi olim lectum δώδεκα pro δέκα.
[l] Sic S.V. στρατειὴν f. στρατιὴν F.a. vulg.

4.
[a] Sic M S.V.K. P.F.a.b.d. Lexic. Seguier. p. 94, 20. στράτευσιν c. Ald. Supra τοιοῦτον S. pro τοιόνδε.
[b] Sic S.V.b.d. τῶν al. om.
[c] γενόμενος F.
[d] Ἁλικαρνησεὺς S.V.
[e] δέ οἱ ἦν Φ. S.V.
[f] Sic S.V.R. Ald. Wesselingius citat V. 78. 111. VII. 9, 3. 238. IX. 57. not. ad Diodor. I. 54. Abresch. Dil. Thuc. p. 196. πολεμικὰ M.K.P.F.a.c.
[g] Ἄμασιν S.F. Ἀμάσιδι b.
[h] διαδιδρήσκει S.
[i] ὁ δὲ V.S.

[k] σμικροῦ, ἐπιστάμενόν τε τὰ περὶ Αἴγυπτον ἀτρεκέστατα,
5 μεταδιώκει ὁ Ἄμασις, σπουδὴν ποιεύμενος [l] ἑλεῖν. με-
ταδιώκει δὲ, τῶν εὐνούχων τὸν πιστότατον ἀποστείλας
[m] τριήρεϊ [n] κατ' αὐτόν· ὃς αἱρέει μιν ἐν Λυκίῃ, ἑλὼν δὲ,
οὐκ ἀνήγαγε ἐς Αἴγυπτον· σοφίῃ γάρ μιν περιῆλθε ὁ Φά-
νης. [o] καταμεθύσας γὰρ τοὺς φυλάκους, ἀπαλλάσσετο
6 ἐς Πέρσας. ὡρμημένῳ δὲ [p] στρατεύεσθαι Καμβύσῃ ἐπ'
Αἴγυπτον, καὶ ἀπορέοντι τὴν ἔλασιν, ὅκως τὴν ἄνυδρον
διεκπερᾷ, ἐπελθὼν φράζει [q] μὲν καὶ τἄλλα τὰ Ἀμάσιος
πρήγματα, ἐξηγέεται δὲ καὶ τὴν ἔλασιν, ὧδε παραινέων·
πέμψαντα παρὰ τὸν [r] Ἀραβίων βασιλέα δέεσθαι, τὴν
διέξοδόν οἱ ἀσφαλέα παρασχεῖν.

5 (Ora maritima inde a Phœnice usque ad Ægyptum, quorum ditionis: urbes Cadytis et Ienysus: Typho in palude Serbonide occultatus.)

Μούνῃ δὲ ταύτῃ εἰσὶ
φανεραὶ ἐσβολαὶ ἐς Αἴγυπτον. ἀπὸ γὰρ Φοινίκης [a] μέ-
χρι οὔρων τῶν [b] Καδύτιος πόλιος, [c] ἥ ἐστι [d] Σύρων τῶν
Παλαιστινῶν καλεομένων· ἀπὸ δὲ Καδύτιος, ἐούσης πό-
λιος (ὡς ἐμοὶ δοκέει) Σαρδίων οὐ πολλῷ ἐλάσσονος, ἀπὸ 196
ταύτης τὰ ἐμπόρια τὰ [e] ἐπὶ θαλάσσης μέχρι [f] Ἰηνύσου
2 πόλιός ἐστι [g] τοῦ Ἀραβίου· ἀπὸ δὲ Ἰηνύσου, [h] αὖτις Σύ-
ρων μέχρι Σερβωνίδος λίμνης, παρ' ἣν [i] δὴ τὸ Κάσιον ὄρος
τείνει [k] ἐς θάλασσαν· ἀπὸ δὲ Σερβωνίδος λίμνης, ἐν τῇ

[k] σμικροῦ S.V.F. Paris. Alii μικροῦ.
[l] ἐλθεῖν S.
[m] Sic (vel τριήρει) Ald. Paris. V.R.S. Wesselingius attulit VI. 39. V. 85. III. 44. τριήρη M.P. K.F.
[n] εἰς ταυτὸν S.
[o] θύσας S. Valla. Mox ἀπηλλάσσετο S.
[p] Sic F. Vulgo Καμβύσῃ στρατ. Supra ὁρμημένῳ S.
[q] μιν V.S.
[r] Ἀράβιον b. cf. 5. et 7.

5.

[a] μέχρις F.S. et sic mox.
[b] Κανδύτιος bis S. Καταδύτιος h.l.F.
[c] Vulgo ἥ ἐστι. γῆ ἐστι cum Gronovio Reizius et Schæfer.
[d] Sic M.K.P.F. Συρίων S. Ald. ut et F. infra. Mox πόλιος ἐούσης S.
[e] Sic Ald. S.R.a.c.d. ἀπὸ θαλ. V.M.P.F.b. τὰ ἐμπόρια om. S.
[f] Ἰκνύσου S. Vall. et mox ubi sic V. Ἰηνυσσὸς Steph. Byz. ex h. l.
[g] Sic S.V. τῆς Ἀραβίου F.a.b. c. et vulgo.
[h] πόλιος S.V. qui Συρίων.
[i] δὲ V.
[k] ἐπὶ θάλ. S.

[l] δὴ λόγος τὸν Τυφῶ κεκρύφθαι, ἀπὸ ταύτης [m] ἤδη Αἴ-
3 γυπτος. τὸ δὴ μεταξὺ Ἰηνύσου πόλιος καὶ Κασίου τε οὔρεος καὶ τῆς [n] Σερβωνίδος λίμνης, ἐὸν τοῦτο οὐκ ὀλίγον χωρίον ἀλλ' ὅσον τε ἐπὶ τρεῖς ἡμέρας ὁδὸν, ἄνυδρόν ἐστι δεινῶς.

6 [a] Τὸ δὲ [b] ὀλίγοι τῶν ἐς Αἴγυπτον ναυτιλλομένων [c] ἐννενώκασι, τοῦτο ἔρχομαι [d] φράσων. ἐς Αἴγυπτον ἐκ τῆς Ἑλλάδος πάσης, [e] καὶ πρὸς, ἐκ [f] Φοινίκης, κέραμος ἐσάγεται πλήρης οἴνου [g] δὶς τοῦ ἔτεος ἑκάστου· καὶ ἓν [h] κεράμιον οἰνηρὸν ἀριθμῷ [i] κείμενον οὐκ ἔστι (ὡς λόγῳ εἰ-
2 πεῖν) [k] ἰδέσθαι. κοῦ δῆτα, εἴποι [l] τις ἂν, ταῦτα [m] ἀναισιμοῦνται; ἐγὼ καὶ τοῦτο φράσω. δεῖ [n] τὸν μὲν δήμαρχον ἕκαστον [o] ἐκ τῆς ἑωυτοῦ πόλιος συλλέξαντα πάντα τὸν κέραμον, ἄγειν ἐς Μέμφιν· τοὺς δὲ ἐκ Μέμφιος ἐς ταῦτα δὴ τὰ ἄνυδρα τῆς Συρίης κομίζειν, πλήσαντας ὕδα-
3 τος. οὕτω ὁ ἐπιφοιτέων κέραμος, καὶ ἐξαιρεόμενος ἐν Αἰγύπτῳ, [p] ἐπὶ τὸν παλαιὸν κομίζεται ἐς Συρίην.

Vasa testacea, quibus vinum importatur in Ægyptum, collecta et aqua impleta quo deferantur.

7 Οὕτω μέν νυν Πέρσαι εἰσὶ οἱ τὴν ἐσβολὴν ταύτην παρασκευάσαντες [a] ἐπ' Αἴγυπτον κατὰ δὴ τὰ εἰρημένα [b] σάξαντες
2 ὕδατι, [c] ἐπεί τε τάχιστα παρέλαβον Αἴγυπτον. Τότε δὲ

Ejus instituti auctores Persæ: Cambysis fœdus cum rege Arabum.

[l] δὴ om. V.S.
[m] Sic Ald. V.S.a.c. δὴ Αἴγ. M.P.K.F. Mox τὸ δὲ μετ. S. et infra ὄρεος.
[n] Σερβωνίτιδος V. Spectavit hæc Plinius H. Nat. V. 13. Mox ἔστιν ἄνυδρον S.

6.

[a] τὸν δὲ F.
[b] ὀλίγον S.
[c] ἐννενοήκασι V.
[d] φράσσων P.
[e] νῦν καὶ πρὸς S.V.
[f] Sic M.K.P.V.S.F. Paris. Φοινίκων al.
[g] δι' ἔτεος S.
[h] κεράμιον οἰνηρὸν hinc Pollux VII. 161. et Lex. Seguier. p. 110, 32.
[i] κεινὸν S.V. Vall. Schæfer.
[k] εἰδέσθαι edd. recentt. post Steph. ἐδέσθαι S. qui λόγος pro λόγῳ.
[l] ἂν om. d.
[m] Sic F.a. Ald. ἀναισιμοῦται M.P.K.
[n] τῶν μὲν δημάρχων conj. Reisk.
[o] Sic P.K.V.S.F. Paris. Vulgo συλλέξ. ἐκ τῆς.
[p] Sic M.K.P.S.V.F.a.b.c. ἐπὶ τῶν παλαιῶν d. et vulgo.

7.

[a] Sic M.K.P.a.b.d. ἐς Αἴγ. F. c. edd. vett.
[b] Sic S. Vulgo ἕλξαντες.
[c] ἐπὶ τὸ χαστὰ S.

οὐκ ἐόντος [d] κω ὕδατος ἑτοίμου, Καμβύσης πυθόμενος τοῦ [e] Ἁλικαρνησσῆος ξείνου, πέμψας παρὰ τὸν [f] Ἀράβιον ἀγγέλους, καὶ δεηθεὶς τῆς ἀσφαλείης ἔτυχε, πίστις δούς τε καὶ δεξάμενος παρ' αὐτοῦ.

Arabum quanta fides, qui ritus in fœdere faciendo, qui Dii, quæ capillorum tonsura.

8 Σέβονται δὲ Ἀράβιοι πίστις ἀνθρώπων ὁμοῖα [a] τοῖσι
μάλιστα. ποιεῦνται δὲ αὐτὰς τρόπῳ τοιῷδε· τῶν βουλομένων τὰ πιστὰ ποιέεσθαι, ἄλλος ἀνὴρ ἀμφοτέρων αὐτῶν ἐν μέσῳ ἑστεὼς, λίθῳ ὀξέϊ τὸ [b] ἔσω τῶν χειρῶν παρὰ τοὺς δακτύλους τοὺς μεγάλους ἐπιτάμνει τῶν ποιευμένων τὰς
2 πίστις· καὶ ἔπειτα λαβὼν ἐκ τοῦ ἱματίου [c] ἑκατέρου 197
[d] κροκύδα, ἀλείφει τῷ αἵματι ἐν μέσῳ κειμένους λίθους ἑπτά· τοῦτο δὲ ποιέων, ἐπικαλέει [e] τόν τε Διόνυσον καὶ
3 τὴν Οὐρανίην. [f] ἐπιτελέσαντος δὲ τούτου ταῦτα, ὁ τὰς πίστις ποιησάμενος τοῖσι φίλοισι παρεγγυᾷ τὸν ξεῖνον, ἢ καὶ τὸν ἀστὸν, ἢν πρὸς [g] ἀστὸν ποιέηται· οἱ δὲ φίλοι καὶ
4 αὐτοὶ τὰς πίστις δικαιεῦσι σέβεσθαι. Διόνυσον δὲ [h] θεὸν μοῦνον καὶ τὴν Οὐρανίην [i] ἡγεῦνται εἶναι· καὶ τῶν τριχῶν τὴν κουρὴν κείρεσθαί φασι, κατάπερ αὐτὸν τὸν Διόνυσον κεκάρθαι· κείρονται δὲ [k] περιτρόχαλα, περιξυροῦντες τοὺς
5 κροτάφους. οὐνομάζουσι δὲ τὸν μὲν Διόνυσον, [l] Ὀροτάλ·
9 τὴν δὲ Οὐρανίην, [m] Ἀλιλάτ. Ἐπεὶ ὦν τὴν πίστιν τοῖσι

[d] κω S.P.K.V.R.F. Paris. κου M. et al. Mox ἑτοίμου ὕδατος S.

[e] Ἀλικαρνασσῆος S. Ἁλικαρνησσέος K.P.F. Ἁλικαρνασσῆος vulgo.

[f] Ἀράβιον βασιλέα S.V.

8.

[a] τίσι S.

[b] Sic P.S.V.F. Paris. Vulgo εἴσω.

[c] ἑκάστου S.V.

[d] Sic R.M.P.K.F.a.c. Pollux VII. 63. κροκίδα S.V. κροκύην b. edd. vett.

[e] τε τὸν F. τε om. S.

[f] Sic S.M.V.P.K.F. Paris. ἐπικαλέσαντος Ald.

[g] αὐτὸν S.V. Mox ποιῆται S. et mox σέβεσθαι τὰς π. δ.

[h] θεῶν F.

[i] Sic S.V.F.a. ἡγέονται al. Mox κείρασθαι S.

[k] Sic V. Photius Lex. περὶ τρόχαλα S. ὑποτρόχαλα F.a.c.d. et vulg. Mox ὑποξυροῦντες S.

[l] Ὀροτάλ V. Vall. F. e corr. οὐροτάλτ a. edd. vett. Ὀροτάλτ K. P.F. pr. c.b.d. Ὀρατάλ S.

[m] Ἀλιὰτ b.d. Ἀλίττα est apud Nostrum I. 131. Schweigh.

ἀγγέλοισι τοῖσι παρὰ Καμβύσεω ἀπιγμένοισι ἐποι-
2 ήσατο ὁ Ἀράβιος, ἐμηχανᾶτο τοιάδε. ἀσκοὺς καμή-
λων πλήσας ὕδατος, [a] ἐπέσαξε ἐπὶ τὰς ζωὰς τῶν κα-
μήλων πάσας· τοῦτο δὲ ποιήσας, ἤλασε ἐς τὴν ἄνυ-
δρον, καὶ [b] ὑπέμενε ἐνθαῦτα τὸν Καμβύσεω στρατόν.
3 Οὗτος μὲν ὁ πιθανώτερος τῶν λόγων εἴρηται· δεῖ δὲ καὶ
4 τὸν ἧσσον πιθανὸν, ἐπεί γε δὴ λέγεται, ῥηθῆναι. Ποτα-
μός ἐστι μέγας ἐν τῇ Ἀραβίῃ, τῷ οὔνομα [c] Κόρυς· ἐκδι-
5 δοῖ δὲ οὗτος ἐς τὴν Ἐρυθρὴν καλεομένην θάλασσαν. ἀπὸ
τούτου δὴ ὦν τοῦ ποταμοῦ λέγεται τὸν βασιλέα τῶν Ἀρα-
βίων, [d] ῥαψάμενον [e] τῶν ὠμοβοέων καὶ τῶν ἄλλων δερμά-
των ὀχετὸν μήκει ἐπικνεύμενον ἐς τὴν ἄνυδρον, ἀγαγεῖν
διὰ δὴ [f] τούτου τὸ ὕδωρ· ἐν δὲ τῇ ἀνύδρῳ μεγάλας δεξα-
6 μενὰς ὀρύξασθαι, ἵνα δεκόμεναι τὸ ὕδωρ [g] σώζωσι. ὁδὸς
δ' ἔστι δυώδεκα ἡμερέων ἀπὸ τοῦ ποταμοῦ ἐς ταύτην τὴν
ἄνυδρον. ἄγειν δέ μιν διὰ ὀχετῶν [h] τριῶν ἐς τριξὰ χωρία.

Quomodo Arabs Cambysi aquæ copiam in desertis providerit, narrari diverse.

10 Ἐν δὲ τῷ Πηλουσίῳ καλεομένῳ στόματι τοῦ Νείλου
[a] ἐστρατοπεδεύετο [b] Ψαμμήνιτος ὁ Ἀμάσιος παῖς, [c] ὑπο-
2 μένων Καμβύσεα. Ἄμασιν γὰρ οὐ κατέλαβε ζῶντα
Καμβύσης, ἐλάσας [d] ἐπ' Αἴγυπτον· ἀλλὰ βασιλεύσας
ὁ Ἄμασις [e] τέσσερα καὶ τεσσεράκοντα ἔτεα, ἀπέθανε·

198 Psammenitus a. 525 et patri succedit, et Cambysem ad Pelusium ostium castris

9.

[a] ἐπέλαξεν d. Vulg. citat Lex. Seg. p. 94, 23.

[b] Sic P.F. Vulgo ὑπέμεινε.

[c] Κόρους F. Κόρος d.

[d] Sic Ald. S.V.R. Paris. ἁψάμενον M.P.K.F.

[e] τῶν om. a. Ald. Mox καὶ ἄλλων sine τῶν S.V. τῶν ὠμ.—ἐπικνεύμενον om. F. ubi tamen adscripta sunt margini a m. rec. ἐξικνεύμενον a.b.d.F. marg. Ald.

[f] Sic S.V.b.c. τούτων F.a. vulg. διὰ δὲ τούτων d. δὲ pro δὴ S. Mox ὀρύσασθαι S.

[g] ποτίζωσιν S.V. Vall. Mox ἀγαγεῖν pro ἄγειν S.

[h] τριῶν om. M.P.K.F.d.

10.

[a] Sic Ald. V.S.a.c.R. ἐστρατεύετο M.P.K.F.b.d.

[b] Ψαμίνητος S. et mox. Ψαμμίνιτος F.f. hic et 14. Alias ut vulgo.

[c] ἐκδεκόμενος d.

[d] ἐς Αἴγ. S.V.

[e] τέσσερα καὶ om. S.V. τέσσαρα καὶ τεσσαρ. F. Mox ἐν δὲ τοῖσιν S.

factis opperitur: prodigium, pluvia guttatim labens in Ægypto superiore.

ἐν τοῖσι οὐδέν οἱ [f] μέγα ἀνάρσιον πρῆγμα συνενείχθη.
ἀποθανὼν δὲ, καὶ ταριχευθεὶς, ἐτάφη ἐν τῇσι ταφῇσι τῇσι
3 ἐν τῷ ἱρῷ, τὰς αὐτὸς [g] οἰκοδομήσατο. Ἐπὶ Ψαμμηνίτου
δὲ τοῦ Ἀμάσιος [h] βασιλεύοντος Αἰγύπτου, φάσμα Αἰ-
γυπτίοισι μέγιστον [i] δὴ ἐγένετο· [k] ὕσθησαν γὰρ Θῆβαι αἱ
Αἰγύπτιαι, οὔτε πρότερον [l] οὐδαμᾶ ὑσθεῖσαι, οὔτε ὕστερον
4 τὸ [m] μέχρι ἐμεῦ, ὡς λέγουσι αὐτοὶ Θηβαῖοι. οὐ γὰρ
δὴ ὕεται τὰ ἄνω τῆς Αἰγύπτου τὸ παράπαν· [n] ἀλλὰ
καὶ τότε ὕσθησαν αἱ Θῆβαι [o] ψακάδι.

II

Phanis liberorum jugulatorum sanguis ab Ægyptiorum auxiliariis potus: victi Ægyptii.

Οἱ δὲ Πέρσαι,
ἐπεί τε διεξελάσαντες τὴν ἄνυδρον ἵζοντο πέλας τῶν Αἰ-
γυπτίων ὡς [a] συμβαλέοντες, ἐνθαῦτα οἱ ἐπίκουροι οἱ τοῦ
Αἰγυπτίου, ἐόντες ἄνδρες Ἕλληνές τε καὶ Κᾶρες, μεμφό-
μενοι [b] τῷ Φάνῃ, ὅτι στρατὸν ἤγαγε [c] ἐπ' Αἴγυπτον ἀλ-
2 λόθροον, μηχανῶνται πρῆγμα ἐς αὐτὸν τοιόνδε. ἦσαν τῷ
Φάνῃ παῖδες ἐν Αἰγύπτῳ καταλελειμμένοι· [d] τοὺς ἀγα-
γόντες ἐς τὸ στρατόπεδον καὶ ἐς ὄψιν τοῦ πατρὸς, κρη-
τῆρα ἐν μέσῳ ἔστησαν ἀμφοτέρων τῶν στρατοπέδων· μετὰ
δὲ, ἀγινέοντες [e] κατὰ ἕνα ἕκαστον τῶν παίδων, [f] ἔσφαζον
3 ἐς τὸν κρητῆρα. διὰ πάντων δὲ διεξελθόντες τῶν παίδων,
οἶνόν τε καὶ ὕδωρ [g] ἐσεφόρεον ἐς αὐτόν· ἐμπιόντες δὲ τοῦ
4 αἵματος πάντες οἱ ἐπίκουροι, οὕτω δὴ [h] συνέβαλον. μά-

[f] Sic M.P.K.V.S.F.a.b.d. μέγα om. c. edd. vett. Mox συνηνείχθη S.

[g] οἰκονομ. S.

[h] βασιλεύοντος S.V.b.c. βασιλεύσαντος Ald. F.a.d.

[i] δὴ om. S.V.

[k] Cf. Suidas in βουλήσεται et ὕσθης.

[l] οὐδαμὰ F. οὐδαμῇ Suid. in βουλ. οὐδαμῶς in ὕσθ.

[m] μέχρις F.S. Mox οὔτε γὰρ δὴ S. et credo V.

[n] ἀλλὰ γὰρ leg. suspicatur Schweighæuser.

[o] Sic M.K.P.F.c.d. ψεκάδι S. a.b. Eustath. Dionys. 248. ψεκάσι Ald. R.V.A.

II.

[a] συγκαλ. Ald.

[b] τὸν Φάνεα S.

[c] ἐπ' Αἰγύπτου S.

[d] τούτους ἀγ. S.V.

[e] κατὰ om. b.d.

[f] ἔσφαζον—παίδων om. S.

[g] ἐφόρεον S.V.

[h] συνέβαλλον F.

χης δὲ γενομένης καρτερῆς, καὶ πεσόντων [i] ἐξ ἀμφοτέρων
τῶν στρατοπέδων πλήθεϊ πολλῶν, ἐτράποντο οἱ Αἰγύπτιοι.

12 [a] Θῶυμα δὲ μέγα [b] ἴδον, πυθόμενος παρὰ τῶν ἐπιχωρίων.
τῶν γὰρ ὀστέων περικεχυμένων χωρὶς ἑκατέρων τῶν ἐν τῇ
μάχῃ ταύτῃ πεσόντων· (χωρὶς μὲν γὰρ τῶν Περσέων
[c] ἐκέετο τὰ ὀστέα, ὡς ἐχωρίσθη κατ' ἀρχάς· ἑτέρωθι δὲ,
2 τῶν Αἰγυπτίων·) αἱ μὲν τῶν Περσέων κεφαλαί εἰσι ἀσθε-
νέες οὕτω, ὥστε εἰ [d] θέλεις ψήφῳ μούνῃ βαλέειν, διατε-
τρανέεις· αἱ δὲ τῶν Αἰγυπτίων οὕτω δή τι ἰσχυραὶ, [e] μό-
3 γις ἂν λίθῳ παίσας [f] διαρρήξειας. αἴτιον δὲ τούτου τόδε
ἔλεγον, καὶ ἐμέ γ' εὐπετέως ἔπειθον, ὅτι Αἰγύπτιοι μὲν,
αὐτίκα ἀπὸ παιδίων ἀρξάμενοι, [g] ξυρεῦνται τὰς κεφαλὰς, 199
4 καὶ πρὸς τὸν ἥλιον παχύνεται τὸ ὀστέον. τὠυτὸ δὲ τοῦτο 91
καὶ τοῦ μὴ φαλακροῦσθαι αἴτιόν ἐστι· Αἰγυπτίων γὰρ
ἄν τις ἐλαχίστους ἴδοιτο φαλακροὺς πάντων ἀνθρώπων.
5 τούτοισι μὲν δὴ τοῦτό ἐστι αἴτιον ἰσχυρὰς φορέειν τὰς κε-
φαλάς. τοῖσι δὲ Πέρσῃσι, ὅτι ἀσθενέας φορέουσι τὰς κε-
φαλὰς, αἴτιον τόδε· σκιητροφέουσι ἐξ ἀρχῆς, πίλους
6 [h] τιάρας φορέοντες. ταῦτα μέν νυν τοιαῦτα [i] ἐόντα ἴδον·
ἴδον δὲ καὶ ἄλλα ὁμοῖα τούτοισι ἐν [k] Παπρήμι, τῶν ἅμα
Ἀχαιμένεϊ [l] τῷ Δαρείου διαφθαρέντων ὑπὸ [m] Ἰνάρω τοῦ
Λίβυος.

Ægyptiorum crania robusta, Persarum fragilia, quam ob causam: paucissimi Ægyptii calvi. Achæmenes Darii F. ab Inaro victus et cæsus a. 463.

[i] ἐξ om. V.S. cf. ad I. 76.

12.

[a] θωυματι sic F. sine accentu.
[b] εἶδον] ἴδον S. V. Schæfer. Mox γὰρ om. S. ubi κεχυμένων.
[c] κέεται S.V.
[d] θέλοις S. Spectavit hæc Synesius Encom. Calv. p. 77. Wess. μόνῃ Ald.
[e] Sic M.P.K.S.V.F. Paris. Tale asyndeton amare Herodotum coll. III. 108. IV. 52. notat Schweigh. ὡς μόγις edd. vett.
[f] Sic S.a.c.R. Ald. διαρρήξεις M.P.K.F. Wessel. διαράξειας V. Schæfer.
[g] ξυρῶνται P.K.S. Mox καὶ τὸ μὴ φ. S. Tum αἴτιον om. S.
[h] τιάρας τε Ald. R.c.d. Schæfer. Supra σκιητροφέουσί τε S. Paulo ante τὰς κεφαλὰς om. Ald.
[i] ἐόντα εἶδον] Sic vel ἴδον V.S. Vall. Hæc duo verba om. F.a. c.d. et al. ἴδον bis Schæfer. cf. VI. 109. IX. 54.
[k] Πατρήμι S.
[l] τοῦ Δαρ. V.S.
[m] Ἰνάρου S.V. Tum τῷ Λ. Ald.

13

Ægyptiorum in urbe Memphi obsessorum deditio: Afri, Cyrenæi, Barcæi ultro se dedunt.

Οἱ δὲ Αἰγύπτιοι ἐκ τῆς μάχης, ὡς ἐτράποντο, ἔφευ-
γον οὐδενὶ κόσμῳ. κατειληθέντων δὲ ἐς Μέμφιν, ἔπεμπε
ἀνὰ ποταμὸν Καμβύσης νέα Μυτιληναίην, κήρυκα ἄγου-
σαν ἄνδρα Πέρσην, ἐς ὁμολογίην [a] προκαλεόμενος Αἰγυ-
2 πτίους. οἱ δὲ, ἐπεί τε τὴν νέα [b] ἴδον ἐσελθοῦσαν ἐς τὴν
Μέμφιν, ἐκχυθέντες ἁλέες ἐκ τοῦ τείχεος, τήν τε νέα διέ-
φθειραν, καὶ τοὺς ἄνδρας κρεουργηδὸν διασπάσαντες,
3 ἐφόρεον ἐς τὸ τεῖχος. καὶ Αἰγύπτιοι μὲν μετὰ τοῦτο [c] πο-
λιορκεύμενοι, χρόνῳ παρέστησαν. Οἱ δὲ προσεχέες Λί-
βυες, δείσαντες τὰ περὶ τὴν Αἴγυπτον γεγονότα, παρέδο-
σαν σφέας αὐτοὺς ἀμαχητί· καὶ φόρον τε ἐτάξαντο, καὶ
4 δῶρα ἔπεμπον. ὡς δὲ Κυρηναῖοι καὶ [d] Βαρκαῖοι, δείσαν-
τες ὁμοίως [e] ἃ καὶ οἱ Λίβυες, [f] ἕτερα τοιαῦτα ἐποίησαν.
5 Καμβύσης δὲ τὰ μὲν παρὰ Λιβύων ἐλθόντα δῶρα [g] φι-
λοφρόνως ἐδέξατο· τὰ δὲ παρὰ Κυρηναίων ἀπικόμενα
μεμφθεὶς, ὡς ἐμοὶ δοκέει, ὅτι ἦν ὀλίγα· ἔπεμψαν γὰρ
δὴ [h] πεντηκοσίας μνέας [i] ἀργυρίου οἱ Κυρηναῖοι· ταύτας
δρασσόμενος, αὐτοχειρίῃ διέσπειρε τῇ [k] στρατιῇ. Ἡμέρῃ

14

Psammenitus, amisso regno quod sex menses tenuerat, dolorem in sua et liberorum calamitate premit: in

δὲ δεκάτῃ ἀπ' ἧς παρέλαβε τὸ τεῖχος τὸ ἐν Μέμφι
Καμβύσης, κατίσας ἐς τὸ προάστειον ἐπὶ λύμῃ τὸν βα-
σιλέα τῶν Αἰγυπτίων Ψαμμηνίτον, βασιλεύσαντα μῆνας
ἓξ, τοῦτον κατίσας σὺν ἄλλοισι Αἰγυπτίοισι, [a] διεπειρᾶτο
2 αὐτοῦ τῆς ψυχῆς, ποιέων [b] τοιάδε. στείλας αὐτοῦ τὴν

13.

[a] παρακαλ. F. Supra vulgo Μιτυληναίην.

[b] εἶδον] ἴδον V.S. Schæf. Tum ἐλθοῦσαν S. et mox νέαν.

[c] Citat Thomas M. in Παρέστησαν. Supra καὶ om. S. πολιορκεόμενοι S.

[d] Ἀβαρκαῖοι F. οἱ βαρκαῖοι δείσαντές τε S.

[e] ὡς καὶ S.V. ὁμοίως καὶ Schæfer.

[f] Sic S.V. Schæfer. ἕτερα al. om. Mox πεποίησαν S.

[g] φιλοτίμως R. c.

[h] πεντηκοσίας P.F. Paris. Vulgo πεντακ. cum S.

[i] ἀργυρίου om. S.

[k] στρατηΐῃ S.

14.

[a] διεπειρεᾶτο S. διεπειρέετο Koen. Gregor. Dial. Ion. 15.

[b] Sic S.M.P.K.V.F.a.b.c.d. Vulgo τάδε.

θυγατέρα ἐσθῆτι [c] δουληΐῃ, ἐξέπεμπε ἐπ' ὕδωρ ἔχουσαν
ὑδρήϊον· συνέπεμπε δὲ καὶ [d] ἄλλας παρθένους, ἀπολέξας
ἀνδρῶν τῶν πρώτων, ὁμοίως ἐσταλμένας τῇ τοῦ βασιλέος.
3 ὡς δὲ βοῇ τε καὶ κλαυθμῷ [e] παρῆσαν αἱ παρθένοι [f] κατὰ
τοὺς πατέρας, οἱ μὲν ἄλλοι [g] πατέρες ἀνεβόων τε καὶ
[h] ἀντέκλαιον, ὁρέοντες τὰ τέκνα κεκακωμένα· ὁ δὲ [i] Ψαμ-
4 μήνιτος, [k] προϊδὼν καὶ μαθὼν, ἔκυψε ἐς τὴν γῆν. [l] παρ-
εξελθουσέων δὲ τῶν ὑδροφόρων, δευτερά οἱ τὸν παῖδα
[m] ἔπεμπε μετ' ἄλλων Αἰγυπτίων δισχιλίων τὴν αὐτὴν
ἡλικίην ἐχόντων, [n] τούς τε αὐχένας κάλῳ δεδεμένους, καὶ
5 τὰ στόματα ἐγκεχαλινωμένους. [o] ἄγοντο δὲ ποινὴν [p] τί-
σοντες Μυτιληναίων τοῖσι ἐν Μέμφι ἀπολομένοισι σὺν τῇ
νηΐ· ταῦτα γὰρ ἐδίκασαν οἱ βασιλήϊοι δικασταὶ, ὑπὲρ
ἀνδρὸς ἑκάστου δέκα Αἰγυπτίων τῶν πρώτων ἀνταπόλ-
6 λυσθαι. ὁ δὲ, ἰδὼν παρεξιόντας, καὶ μαθὼν τὸν παῖδα
[q] ἀγεόμενον ἐπὶ θάνατον, τῶν ἄλλων Αἰγυπτίων τῶν πε-
ρικατημένων [r] αὐτὸν κλαιόντων [s] καὶ δεινὰ ποιεύντων, τῶυ-

amici fortuna misera, in gemitum e- 200 rumpit: movet Crœso et Persis lacrimas; Cambysi, misericordiam.

[c] δουλίῃ S. ubi om. ἐπ' ὕδωρ. ἐς ὕδωρ f. Mox συνέπεμψε S.

[d] Citat Thomas M. in Ἀναλέγομαι.

[e] Sic Ald. F.a.c.f. et al. παρήεσαν V.S. Wessel. παρήϊσαν Reiz. et Schæfer.

[f] παρὰ τοὺς M.P.K.F.b.f.S.

[g] Sic vel πρες S.V. Vall. b.d.f. πάντες F.a.c. vulg.

[h] Sic V.M.P.K.S.b.d.f. ἀνέκλαιον Ald. F.c. et al. ἐνέκλαιον a. Mox ὁρῶντες S.

[i] Ψαμίνητος S. et sic infra.

[k] προσιδὼν S.V. Schæfer.

[l] Sic S.V.b.d. Nostrum VI. 117. Sophocl. Antig. 933. citat Wesselingius. παρελθουσέων F.a.c.f. edd.

[m] ἔπεμπε M.P.K.V.F. Paris. ἐξέπεμπε S. Ald.

[n] Sic F.b.f. Vulgo τοὺς δέ. Mox δεδεμένους ἦγον Ald. S.V.a.c. Schæfer. ἦγον om. M.P.K.F.b.f. Wessel.

[o] Sic Ald. F.a. Alii cum S. ἤγοντο.

[p] πείσοντες f. et mox τῶν ἐν Μέμφι ἀπολομένων. Tum Μιτυληναίων vulgo. Infra τῶν πρώτων om. S.

[q] Sic Ald. R.c. ἡγεόμενον M.V. S.P.K.F.a.b.d.f. Wessel. Monet Schweighæuserus ἀγεόμενον valere ἀγόμενον, non ἡγέομενον. Conf. Aristot. Rhetor. II. 8.

[r] αὐτῷ f.

[s] καὶ δεινὰ ποιεύντων] Sic M.P. K.V.S.F.a.b.d. Desunt c. edd. vett.

7 τὸ ἐποίησε τὸ [t] καὶ ἐπὶ τῇ θυγατρί. παρελθόντων δὲ καὶ τούτων, συνήνεικε ὥς τε τῶν συμποτέων οἱ ἄνδρα ἀπηλικέστερον, ἐκπεπτωκότα ἐκ τῶν ἐόντων, ἔχοντά τε οὐδὲν, εἰ μὴ ὅσα πτωχὸς, καὶ προσαιτέοντα τὴν στρατιὴν, παριέναι Ψαμμήνιτόν τε τὸν Ἀμάσιος, καὶ τοὺς ἐν τῷ προα-
8 στείῳ κατημένους [u] τῶν Αἰγυπτίων. ὁ δὲ Ψαμμήνιτος ὡς [w] ἴδε, ἀνακλαύσας μέγα, καὶ καλέσας [x] οὐνόματι τὸν
9 ἑταῖρον, ἐπλήξατο τὴν κεφαλήν. Ἦσαν δ' ἄρα αὐτοῦ [y] φύλακοι, οἳ τὸ ποιεύμενον [z] πᾶν ἐξ ἐκείνου ἐπ' ἑκάστῃ
10 ἐξόδῳ Καμβύσῃ ἐσήμαινον. θωυμάσας δὲ ὁ Καμβύσης [a] τὰ ποιεύμενα, πέμψας ἄγγελον, [b] εἰρώτα αὐτὸν, λέγων
11 τάδε· "Δεσπότης σε Καμβύσης, Ψαμμήνιτε, εἰρωτᾷ, "[c] διότι δὴ τὴν μὲν θυγατέρα ὁρέων κεκακωμένην, καὶ τὸν "παῖδα ἐπὶ θάνατον [d] στείχοντα, οὔτε ἀνέβωσας, οὔτε "[e] ἀπέκλαυσας· τὸν δὲ πτωχὸν, οὐδέν σοι προσήκοντα, "ὡς ἄλλων [f] πυνθάνεται, [g] ἐτίμησας;" Ὁ μὲν δὴ ταῦτα
12 ἐπειρώτα, ὁ δ' ἀμείβετο τοῖσδε· "Ὦ παῖ Κύρου, τὰ "μὲν οἰκήϊα ἦν μέζω κακὰ [h] ἢ ὥστε ἀνακλαίειν· τὸ δὲ "τοῦ [i] ἑταίρου [k] πένθος, ἄξιον ἦν δακρύων· ὃς ἐκ πολλῶν 201

[t] καὶ om. M.P.K.F.f. τῷ pro τὸ F. τῇ om. S. Mox ἔχοντα δὲ S.

[u] Sic f. τῶν om. F.a. et al.

[w] ὡς εἶδε] ὡς ἴδεν S. ὡς ἴδε Schæfer.

[x] Sic S. οὐνομαστὶ F. ὀνομαστὶ a.b.f. al.

[y] Sic V.S.M.P.K.F. Paris. αὐτοῦ τρεῖς φ. vulgo.

[z] ἅπαν V.S. probante Wassio ad Thucyd. I. 143. Tum ἐπ' ἐκείνου ἐξ ἑκάστης ἐξόδου S. et forte V.

[a] Sic S.V.M.K.P.F. Paris. τὸ ποιεύμενον Ald. et al.

[b] Sic P. et al. Vulgo ἠρώτα et ἐρωτᾷ.

[c] διὰ τὶ f. δὴ om. S. qui mox ὁρῶν κεκαμένην καὶ τὸν παῖδα δέ.

[d] στίχοντα S.F.a.

[e] ἀπέκλαυσας V.S.K.P.R.F. Paris. ἀνέκλαυσας M. Ald.

[f] πυνθάνεται M.P.K.V.S. Vall. πυνθάνομαι Ald. R.F.c.d. probante Schweighæusero; "nam "regis," inquit, "verbis loqui-"tur homo: quare dein etiam "ita respondet Psammenitus, "quasi cum ipso rege coram lo-"queretur."

[g] ἐτίμησας τούτοισιν V.S. Tum ἐπηρώτα Ald.

[h] ἢ om. F.d.f.

[i] ἑτέρου V.S.F.

[k] Sic M.P.S.V.R.K.F.a.b.c.d. πάθος f. et vulgo.

“ τε καὶ εὐδαιμόνων ἐκπεσὼν, ἐς [l] πτωχηΐην ἀπῖκται ἐπὶ
“ γήραος οὐδῷ.” Καὶ ταῦτα [m] ὡς ἀπενειχθέντα ὑπὸ τού-
13 του, εὖ δοκέειν [n] οἱ εἰρῆσθαι. ὡς δὲ λέγεται ὑπ᾽ Αἰγυ-
πτίων, δακρύειν μὲν Κροῖσον, [o] ἐτετεύχεε γὰρ καὶ οὗτος
[p] ἐπισπόμενος Καμβύσῃ ἐπ᾽ Αἴγυπτον, δακρύειν δὲ Περ-
σέων τοὺς παρεόντας· αὐτῷ τε Καμβύσῃ [q] ἐσελθεῖν οἶκτόν
τινα, καὶ αὐτίκα κελεύειν τόν τέ οἱ παῖδα ἐκ τῶν ἀπολ-
λυμένων [r] σώζειν, καὶ αὐτὸν ἐκ τοῦ προαστείου ἀναστή-
15 σαντας, ἄγειν παρ᾽ ἑωυτόν. Τὸν μὲν δὴ παῖδα [a] εὗρον οἱ
μετιόντες οὐκέτι περιεόντα, ἀλλὰ πρῶτον κατακοπέντα·
αὐτὸν δὲ Ψαμμήνιτον ἀναστήσαντες, ἦγον παρὰ Καμβύ-
2 σεα· ἔνθα τοῦ λοιποῦ διαιτᾶτο, ἔχων οὐδὲν βίαιον. εἰ δὲ
καὶ [b] ἠπιστήθη μὴ [c] πολυπρηγμονεῖν, ἀπέλαβε ἂν Αἴγυ-
πτον, ὥστε ἐπιτροπεύειν [d] αὐτῆς. ἐπεὶ τιμᾶν ἐώθασι Πέρ-
σαι τῶν βασιλέων τοὺς παῖδας· τῶν, [e] ἢν καί σφεων [f] ἀπο-
στέωσι, ὅμως τοῖσί γε παισὶ αὐτῶν ἀποδιδοῦσι τὴν ἀρ-
3 χήν. πολλοῖσι μέν νυν καὶ ἄλλοισί ἐστι σταθμώσασθαι,
ὅτι τοῦτο οὕτω νενομίκασι ποιέειν· [g] ἐν δὲ δὴ καὶ τῷδε,
[h] τῷ Λίβυος Ἰνάρω παιδὶ Θαννύρᾳ, ὃς ἀπέλαβε τήν οἱ ὁ
πατὴρ εἶχε ἀρχήν· καὶ τῷ Ἀμυρταίου Παυσίρι· καὶ γὰρ

Ductus ad Cambysem, et cum eo vivens, nova moliri convictus, moritur poto sanguine taurino: Persarum humanitas in regum etiam defectorum liberos: Thannyras Inari F. et Pausiris Amyrtæi F. reges beneficiarii, alter Li-

[l] Sic M.P.S.V.F. Paris. πτωχίην Ald.
[m] ὧς Schæfer.
[n] Sic Ald. M. σφι εἰρ. P.K.S. V.f.F.a.c.d. εὐδοκέει σφιν R.
[o] ἐτέτευχε F.
[p] Sic F.b.d.f. ἐπισπώμενος Ald. vulg. S. cf. I. 91.
[q] ἐπελθεῖν R. cf. Hemsterhus. ad Lucian. Prom. T. I. p. 26.
[r] σώιζειν F.

15.

[a] Sic M.P.K.f. εὗρον μετ. F. εὗρον αὐτοῦ οἱ μ. Ald. V.S.R.A.B.
[b] ἐπιστήθη S. Schæfer.
[c] Sic K.F. Paris. πολυπραγμονῶν S.V. πολυπραγμονεῖν vulgo.
[d] αὐτὴν S.V. Tum εἰώθασι S.
[e] Sic R.S.V.a.c. Ald. εἰ καὶ M. F. Supra βασιλήων S. vulg.
[f] ἀποστέασιν d.
[g] Sic Ald. R. cf. II. 43. δὴ om. M.F.a.c.S.
[h] τῷ Λίβυος] Sic V.R.a.b. Ald. Vall. Wesselingius citat Nostrum supra 12. VII. 7. Thucyd. I. 103. Ctesiæ Excerpt. c. 32. Liban. I. p. 420. C. Desunt duo verba K.P.M.F.c.d. Ἰναρῷ τῷ Λίβυος παιδὶ ἰθαννύρα ὡς S.

byæ, alter Ægypti, ab a. 458.

4 οὗτος ἀπέλαβε τὴν τοῦ πατρὸς ἀρχήν. καίτοι [i]Ἰνάρω τε καὶ Ἀμυρταίου [k]οὐδαμοί κω Πέρσας κακὰ [l]πλέω ἐργάσαντο. 202 νῦν δὲ μηχανώμενος κακὰ ὁ Ψαμμήνιτος, ἔλαβε
5 τὸν μισθόν· ἀπιστὰς γὰρ Αἰγυπτίους ἥλω. ἐπεί τε δὲ ἐπάϊστος ἐγένετο, ὑπὸ Καμβύσεω αἷμα ταύρου πιὼν, ἀπέθανε παραχρῆμα. οὕτω δὴ οὗτος ἐτελεύτησε.

16

Cambyses lacerat Amasidis cadaver, et eo cremando violat religionem tum Persarum, tum Ægyptiorum: an cadaver Amasidis fuerit.

Καμβύσης δὲ ἐκ Μέμφιος ἀπίκετο ἐς Σάϊν πόλιν, βουλόμενος ποιῆσαι τὰ [a]δὴ καὶ ἐποίησε. ἐπεί [b]τε γὰρ ἐσῆλθε ἐς τὰ τοῦ Ἀμάσιος [c]οἰκία, αὐτίκα ἐκέλευε ἐκ τῆς
2 ταφῆς τὸν Ἀμάσιος νέκυν ἐκφέρειν ἔξω. ὡς δὲ [d]ταῦτά οἱ ἐπιτελέα ἐγένετο, [e]μαστιγοῦν ἐκέλευε, καὶ τὰς τρίχας ἀποτίλλειν, καὶ [f]κεντοῦν τε, καὶ τἄλλα πάντα λυμαίνεσθαι.
3 ἐπεί τε δὲ καὶ ταῦτα ἔκαμον ποιεῦντες, (ὁ γὰρ δὴ νεκρὸς, ἅτε τεταριχευμένος, ἀντεῖχέ τε καὶ οὐδὲν διεχέετο,) ἐκέλευσέ μιν ὁ Καμβύσης κατακαῦσαι, ἐντελ-
4 λόμενος οὐκ ὅσια. Πέρσαι γὰρ θεὸν νομίζουσι εἶναι [g]πῦρ. τὸ ὦν [h]κατακαίειν γε τοὺς νεκροὺς οὐδαμῶς ἐν νόμῳ οὐδετέροισί ἐστι· Πέρσῃσι μὲν, [i]δι' ὅπερ εἴρηται, θεῷ οὐ δίκαιον εἶναι [k]λέγοντες νέμειν νεκρὸν ἀνθρώπου· Αἰγυπτίοισι δὲ νενόμισται [l]πῦρ θηρίον εἶναι ἔμψυχον, πάντα δὲ αὐτὸ

[i] Ἰνάρῳ γε P.F. Ἴναρω γε K. Ἰναρῶ τε S.
[k] οὐδαμοί κω om. S.
[l] πλέω M.K.P.F. Paris. πλέα Ald. S.V. Mox ἐργάσατο S.

16.

[a] δὴ om. S.
[b] τε om. d.
[c] οἰκήϊα S.
[d] Sic S.V. cf. infra 141. οἱ al. om.
[e] Sic K.P.F. Paris. Alii cum S. μ. τὸν νέκυν.
[f] Sic P.K.F. Paris. τε om. vulg. κεντροῦν S. Dio Chrysost. XXXVII. p. 467.
[g] τὸ πῦρ Stobæus 123, 13. et al. τὸ om. V.S.P.K.F.
[h] Ita Schweighæuser. κατακαίειν τε M.P.K.F. particulam alii om. cum S.
[i] διότι περ S. δι' ὅτι περ V.
[k] λέγοντες M.S.P.K.V.F. Paris. probantibus Gronovio et Wesselingio, quorum hic citat e VI. 13. VII. 144. similis structuræ exempla. λέγουσι Ald. R. Stob.
[l] τὸ πῦρ Stobæus, probantibus Valckenærio et Wesselingio.

κατεσθίειν [m] τά περ ἂν λάβῃ, [n] πλησθὲν δὲ αὐτὸ τῆς βο-
5 ρῆς συναποθνήσκειν τῷ κατεσθιομένῳ. οὔκων θηρίοισι νό-
μος [o] οὐδαμῶς σφί ἐστι τὸν νεκὺν διδόναι· [p] καὶ διὰ
ταῦτα ταριχεύουσι, ἵνα μὴ κείμενος ὑπὸ εὐλέων κατα-
βρωθῇ. [q] οὕτω δὴ οὐδετέροισι νομιζόμενα ἐνετέλλετο ποιέ-
6 ειν ὁ Καμβύσης. Ὡς μέντοι Αἰγύπτιοι λέγουσι, οὐκ
Ἄμασις ἦν ὁ ταῦτα παθὼν, ἀλλὰ ἄλλος [r] τῶν τις Αἰ-
γυπτίων, [s] ἔχων τὴν αὐτὴν ἡλικίην Ἀμάσι· ᾧ λυμαινό-
7 μενοι Πέρσαι, ἐδόκεον [t] Ἄμασιν λυμαίνεσθαι. λέγουσι
γὰρ, ὡς πυθόμενος ἐκ μαντηΐου ὁ Ἄμασις τὰ περὶ ἑωυ-
τὸν [u] μέλλοι ἀποθανόντα γίνεσθαι, οὕτω δὴ ἀκεόμενος τὰ 203
ἐπιφερόμενα, τὸν [w] μὲν ἄνθρωπον τοῦτον, τὸν μαστιγωθέντα,
ἀποθανόντα ἔθαψε [x] ἐπὶ τῇσι θύρῃσι [y] ἐντὸς τῆς ἑωυτοῦ θή-
κης, ἑωυτὸν δὲ ἐνετείλατο τῷ παιδὶ ἐν μυχῷ τῆς θήκης ὡς
8 μάλιστα θεῖναι. αἱ μέν νυν ἐκ τοῦ Ἀμάσιος ἐντολαὶ αὗ-
ται, [z] αἱ ἐς τὴν ταφήν τε καὶ τὸν ἄνθρωπον ἔχουσαι, οὔ
μοι δοκέουσι ἀρχὴν γενέσθαι, [a] ἄλλως δ' αὐτὰ Αἰγύπτιοι
σεμνοῦν.

17 Μετὰ δὲ ταῦτα ὁ Καμβύσης ἐβουλεύσατο τριφασίας

[m] τὰ ἂν περ S.V.

[n] πλησθέντα δὲ αὐτὸν Stobæus Trincavelli, et mox θηρίῳ.

[o] οὐδαμῶς σφί ἐστι Ald. V.S. Paris. οὐδαμῶς φησίν ἐστι M. οὐδαμῶς φισιν K. οὐδαμῶς φ̆ ἐστι F. οὐδαμῶς σφιν νόμος ἐστὶ Stob. Mox ἀνθρώπου νέκυν sine urgente causa repositum vult Valckenærius.

[p] καὶ om. F.

[q] Sic S.V. δὴ om. F.a.c. edd. vett.

[r] Sic S.V. τις τῶν F.a. vulg.

[s] ἔχων τε S.V. Mox τὴν ἡλικίην Ἄμασιν S.

[t] Sic M.K.P.F. Paris. Ἀμάσι Ald. V.S.R. Schæfer. Utralibet structura uti Herodotum notat Schweighæuserus.

[u] Sic V. Schæfer. μέλλει ἀποθανόντα γίγνεσθαι S. ἀποθανόντα μέλλοντα vulgo.

[w] μὲν om. S.V.

[x] Sic M.P.K.V.F.S. ἐν τῇσι, Ald. d.

[y] ἐκτὸς S.V. Vall. cf. II. 170. Wess.

[z] αἱ om. S. Mox τὴν ante ταφὴν om. Ald.

[a] Sic F.a.b.c.d. ἀλλ' ἄλλως αὐτὰ S.V. ἀλλ' ἄλλως δ' αὐτὰ Wessel.

Bellum Cambyses facere statuit et Carthaginiensibus, et Ammoniis, et Æthiopibus.

στρατηΐας, ἐπί τε Καρχηδονίους, καὶ ἐπὶ Ἀμμωνίους,
καὶ ἐπὶ τοὺς Μακροβίους Αἰθίοπας, οἰκημένους δὲ Λιβύης
2 ἐπὶ τῇ νοτίῃ θαλάσσῃ. βουλευομένῳ δέ οἱ ἔδοξε, ἐπὶ μὲν
Καρχηδονίους τὸν ναυτικὸν στρατὸν ἀποστέλλειν· ἐπὶ δὲ
Ἀμμωνίους, [a]τοῦ πεζοῦ ἀποκρίναντα· ἐπὶ δὲ τοὺς Αἰθίο-
πας, κατόπτας [b]πρῶτον, ὀψομένους τε τὴν ἐν τούτοισι
τοῖσι Αἰθίοψι λεγομένην εἶναι ἡλίου τράπεζαν, εἰ ἔστι
ἀληθέως, καὶ πρὸς ταύτῃ τὰ ἄλλα κατοψομένους· δῶρα
18 δὲ τῷ λόγῳ φέροντας τῷ βασιλέϊ αὐτῶν. Ἡ δὲ τράπεζα
τοῦ ἡλίου τοιήδε τις λέγεται εἶναι· λειμών ἐστι ἐν τῷ
προαστείῳ [a]ἐπίπλεος κρεῶν ἑφθῶν πάντων τῶν τετραπό-
δων· [b]ἐς τὸν τὰς μὲν νύκτας ἐπιτηδεύοντας τιθέναι τὰ
[c]κρέα τοὺς ἐν τέλεϊ ἑκάστους ἐόντας τῶν ἀστῶν, τὰς δὲ
ἡμέρας δαίνυσθαι προσιόντα τὸν βουλόμενον· φάναι δὲ
τοὺς ἐπιχωρίους ταῦτα τὴν γῆν [d]αὐτὴν ἀναδιδόναι ἑκά-
2 στοτε. ἡ μὲν δὴ τράπεζα τοῦ ἡλίου καλεομένη, λέγεται
εἶναι τοιήδε. [a]Καμβύσῃ δὲ ὡς ἔδοξε πέμπειν τοὺς κατα-
σκόπους, αὐτίκα μετεπέμπετο ἐξ Ἐλεφαντίνης πόλιος
τῶν Ἰχθυοφάγων ἀνδρῶν τοὺς ἐπισταμένους τὴν Αἰθιοπίδα
γλῶσσαν· ἐν ᾧ δὲ τούτους [b]μετήϊσαν, ἐν τούτῳ ἐκέλευε
3 [c]ἐπὶ τὴν Καρχηδόνα πλέειν τὸν ναυτικὸν στρατόν. Φοίνι-
κες δὲ οὐκ ἔφασαν ποιήσειν ταῦτα· ὁρκίοισί [d]τε γὰρ με-
γάλοισι ἐνδεδέσθαι, καὶ οὐκ ἂν ποιέειν [e]ὅσια, ἐπὶ τοὺς
4 παῖδας τοὺς ἑωυτῶν στρατευόμενοι. Φοινίκων δὲ οὐ βου-

Describitur Solis mensa, quæ apud Æthiopes.

17.

[a] τὸ πεζὸν d. In pr. ἐβουλεύσατο ὁ Καμβύσης S.

[b] πρώτους V.S. om. c. Mox τε om. S. Infra consentit S. cum vulg. in αὐτέων.

18.

[a] ἐπίπλεως F.a.d.

[b] ἐς ὃν V.S.

[c] κρέατα V.S.

[d] αὐτὴν om. c.

19.

[a] Καμβύσης S.V.

[b] Sic Reiz. e Valckenærii emend. μετῇσαν Wessel. μετῆσαν edd. vett. ἐν ᾧ δὲ τ. μ. om. S.V.

[c] ἐπὶ om. Ald.

[d] τε om. F.

[e] ὦσιν S. Mox ἐγένοντο S.

λομενων, οἱ λοιποὶ οὐκ ἀξιόμαχοι ἐγίνοντο. Καρχηδόνιοι
5 μέν νυν οὕτω δουλοσύνην διέφυγον πρὸς Περσέων. Καμβύσης γὰρ βίην οὐκ ἐδικαίου προσφέρειν Φοίνιξι, ὅτι σφέας τε αὐτοὺς [f]ἐδεδώκεσαν Πέρσῃσι, καὶ πᾶς ἐκ Φοινίκων ἤρ-
6 τητο ὁ ναυτικὸς στρατός. δόντες δὲ καὶ Κύπριοι σφέας
20 αὐτοὺς Πέρσῃσι, ἐστρατεύοντο ἐπ' Αἴγυπτον. Ἐπεί τε δὲ τῷ Καμβύσῃ ἐκ τῆς Ἐλεφαντίνης ἀπίκοντο οἱ Ἰχθυοφάγοι, ἔπεμπε αὐτοὺς ἐς τοὺς Αἰθίοπας, [a]ἐντειλάμενος τὰ λέγειν [b]χρῆν, καὶ δῶρα φέροντας, πορφύρεόν τε εἷμα, καὶ χρύσεον στρεπτὸν περιαυχένιον, καὶ [c]ψέλια, καὶ μύρου
2 ἀλάβαστρον, καὶ [d]φοινικηΐου οἴνου κάδον. Οἱ δὲ Αἰθίοπες οὗτοι, ἐς τοὺς [e]ἀπέπεμπε ὁ Καμβύσης, λέγονται εἶναι μέγιστοι καὶ κάλλιστοι ἀνθρώπων πάντων· νόμοισι δὲ καὶ ἄλλοισι χρᾶσθαι [f]αὐτούς φασι κεχωρισμένοισι τῶν ἄλλων ἀνθρώπων, καὶ δὴ [g]καὶ κατὰ τὴν βασιληΐην τοιῷδε· τὸν ἂν τῶν ἀστῶν [h]κρίνωσι μέγιστόν τε εἶναι, καὶ κατὰ τὸ μέγαθος ἔχειν τὴν ἰσχὺν, τοῦτον ἀξιοῦσι βασιλεύειν.

Æthiopicæ linguæ periti ex Ichthyophagis ab Elephantina urbe arcessiti, missi ad Æthiopes cum donis: Æthiopum horum corpora et leges.

204

21 Ἐς τούτους δὴ ὦν τοὺς ἄνδρας ὡς ἀπίκοντο οἱ Ἰχθυοφάγοι, διδόντες [a]τὰ δῶρα τῷ βασιλέϊ [b]αὐτῶν, ἔλεγον
2 τάδε· "Βασιλεὺς ὁ Περσέων Καμβύσης, βουλόμενος [c]φί-

Ichthyophagi quid locuti, quod responsum

[f] Sic P.S.V.R.F. Paris. ἐκδεδώκεσαν M.K. Ald.

20.

[a] ἐντειλάμενός τε S.V. ἐντ. τά τε λ. Wessel.

[b] Sic Ald. R.A.B. χρῆναι δ. S. V. χρὴ καὶ δ. M.K.P.F.

[c] Sic M.P.K.V.S.a.F. cf. 22. IV. 168. IX. 79. ψέλλια c. Ald.

[d] Cf. Athenæus XI. p. 473. B. Pollux X. 75. in quo φοινικίου. Vide I. 194. II. 86. Wess.

[e] Sic S.V.M.P.K.R.F. Paris. ἀπέπεμψε Ald. Seqq. citat Eustath. Dion. 218. Supra ἐς οὓς S.

[f] Sic S.V. αὐτοὺς καὶ M.P.K. F. Wessel. αὐτοὺς κεχω. Ald. a.c. Schæfer.

[g] καὶ om. S.V.

[h] κρίνωσι h. l. om. S.V. qui mox ἰσχὺν κρίνωσι, τοῦτον βασιλεύειν. sine ἀξιοῦσι, probante post Wesselingium Schæfero. Supra τὸ ante μέγαθος om. F.

21.

[a] δὲ δ. V.S. Supra ὡς om. S.

[b] αὐτέων] αὐτῶν F.S.

[c] τοι ante βουλόμενος S.V. φίλος καὶ ξεῖνός τοι P.K.F.

acceperint ab Æthiopum rege.

“ λος τοι καὶ ξεῖνος γενέσθαι, ἡμέας τε [d] ἀπέπεμψε, ἐς
“ λόγους τοι ἐλθεῖν κελεύων, καὶ δῶρα ταῦτά τοι διδοῖ,
3 “ τοῖσι καὶ αὐτὸς μάλιστα ἥδεται χρεώμενος.” Ὁ δὲ
Αἰθίοψ, μαθὼν ὅτι [e] κατόπται ἥκοιεν, λέγει πρὸς αὐτοὺς
τοιάδε· “ Οὔτε ὁ Περσέων βασιλεὺς δῶρα ὑμέας ἔπεμψε
“ φέροντας, προτιμῶν πολλοῦ ἐμοὶ ξεῖνος γενέσθαι· οὔτε
“ ὑμεῖς λέγετε ἀληθέα, ἥκετε γὰρ κατόπται τῆς ἐμῆς
4 “ ἀρχῆς. οὔτε ἐκεῖνος ἀνήρ ἐστι δίκαιος· εἰ γὰρ ἦν δί-
“ καιος, οὔτ᾽ ἂν [f] ἐπεθύμησε χώρης ἄλλης ἢ τῆς ἑωυτοῦ,
“ οὔτ᾽ ἂν ἐς δουλοσύνην ἀνθρώπους ἦγε ὑπ᾽ ὧν μηδὲν ἠδί-
5 “ κηται. νῦν δὲ αὐτῷ τόξον τόδε διδόντες, τάδε ἔπεα λέ-
“ γετε· Βασιλεὺς [g] ὁ Αἰθιόπων συμβουλεύει τῷ Περσέων
“ βασιλέϊ, [h] ἐπεὰν οὕτω εὐπετέως ἕλκωσι τὰ τόξα Πέρ-
“ σαι ἐόντα μεγάθεϊ τοσαῦτα, τότε ἐπ᾽ Αἰθίοπας τοὺς
6 “ Μακροβίους πλήθεϊ ὑπερβαλλόμενον στρατεύεσθαι. μέ-
“ χρι δὲ [i] τούτου, θεοῖσι εἰδέναι χάριν, [k] οἳ οὐκ ἐπὶ νόον τρέ-
“ πουσι Αἰθιόπων παισὶ γῆν ἄλλην [l] προσκτᾶσθαι τῇ
22 “ ἑωυτῶν.” Ταῦτα δὲ εἴπας, καὶ ἀνεὶς τὸ τόξον, παρ-
ἔδωκε τοῖσι ἥκουσι. λαβὼν δὲ τὸ εἷμα τὸ πορφύρεον, [a] εἰ-
2 ρώτα ὅ τι εἴη, καὶ ὅκως πεποιημένον. [b] εἰπάντων δὲ τῶν
Ἰχθυοφάγων τὴν ἀληθηΐην περὶ τῆς πορφύρης καὶ τῆς βα-
φῆς, δολεροὺς μὲν τοὺς ἀνθρώπους ἔφη εἶναι, δολερὰ δὲ
3 [c] αὐτῶν τὰ εἵματα. δεύτερα δὲ, τὸν [d] χρυσοῦν εἰρώτα 205

De singulis donis quid rex judicarit.

[d] Sic M.P.K.V.S. ἀπέπεμπε F. a. Ald.

[e] Hinc Pollux II. 59.

[f] ἐπεθύμεε S.V. Schæfer. Supra ἐστὶν ἀνὴρ S.

[g] ὁ om. S.V.f.

[h] ἐπεὰν M.K.P.S.V.f. ἐπειδὰν Ald. A.B.F. Mox τὰ om. S. qui tum μεγάθη.

[i] Sic S.V.M.P.K.f.F. τούτων a.c. vulg. μέχρις F.

[k] Citat Gregor. Dial. Ion. 71.

[l] κτᾶσθαι πρὸς S.V.

22.

[a] Sic S.P.V. ἠρώτα Ald. al.

[b] Sic V.S. cf. Gregor. Dial. Ion. 72. εἰπόντων vulgo.

[c] αὐτέων] αὐτῶν F.S.

[d] χρυσοῦν M.P.K.F. Paris. χρυσὸν S.V. Ald. χρύσεον Schæfer.

στρεπτὸν τὸν περιαυχένιον, καὶ τὰ ψέλια. ἐξηγεομένων
δὲ τῶν Ἰχθυοφάγων τὸν [e] κόσμον αὐτῶν, γελάσας ὁ βα-
σιλεὺς, καὶ νομίσας [f] εἶναί σφεα πέδας, εἶπε ὡς παρ'
4 ἑωυτοῖσί εἰσι ῥωμαλεώτεραι τούτων πέδαι. [g] τρίτον δὲ,
5 εἰρώτα τὸ μύρον. εἰπάντων δὲ τῆς ποιήσιος πέρι καὶ
ἀλείψιος, τὸν αὐτὸν λόγον [h] τὸν καὶ περὶ τοῦ εἵματος
6 εἶπε. [i] ὡς δὲ ἐς τὸν οἶνον ἀπίκετο, καὶ ἐπύθετο αὐτοῦ τὴν
ποίησιν, ὑπερησθεὶς τῷ πόματι, [k] ἐπείρετο ὅ τι τε σιτέε-
ται ὁ βασιλεὺς, καὶ χρόνον ὁκόσον μακρότατον ἀνὴρ Πέρ-
7 σης ζώει. οἱ δὲ σιτέεσθαι μὲν [l] τὸν ἄρτον [m] εἶπαν, ἐξηγη-
σάμενοι τῶν πυρῶν τὴν φύσιν· ὀγδώκοντα δ' ἔτεα ζόης
8 πλήρωμα ἀνδρὶ μακρότατον προκέεσθαι. πρὸς ταῦτα ὁ
Αἰθίοψ ἔφη, οὐδὲν θωυμάζειν, εἰ σιτεόμενοι κόπρον, ἔτεα
ὀλίγα ζώουσι· οὐδὲ γὰρ ἂν τοσαῦτα δύνασθαι ζώειν
σφέας, εἰ μὴ τῷ πόματι [n] ἀνέφερον, φράζων τοῖσι Ἰχθυο-
φάγοισι τὸν οἶνον· [o] τοῦτο γὰρ ἑωυτοὺς ὑπὸ Περσέων ἑσ-
23 σοῦσθαι. Ἀντειρομένων δὲ [a] τὸν βασιλέα τῶν Ἰχθυοφά-
γων τῆς [b] ζόης [c] καὶ διαίτης πέρι, ἔτεα μὲν [d] ἐς ἐείκοσί
καὶ ἑκατὸν τοὺς πολλοὺς [e] αὐτῶν ἀπικνέεσθαι, [f] ὑπερβαλ-

Æthiopes quam diu vivant, et quo victu: aquæ fons

[e] κόσμον αὐτέων] κ. αὐτοῦ K.F. a.c. κ. αὐτῶν S.

[f] εἶναί σφεας S.V. Mox τούτων S. pro τουτέων.

[g] τρίτα ms. Bodl. apud Wass. ind. Thucyd. v. ἔλεγχος. cf. I. 204. II. 22. 137. Sed falli videtur Wassius. Omnes Bodleiani τρίτον diserte, ut vulgo. Mox ἠρώτα et εἰπόντων Ald.

[h] τὸν ἐπὶ V.S.

[i] ὡς δὲ καὶ ἐς f.

[k] ἐπήρετο F. ἐπανείρετο Koen. Gregor. D. I. 73.

[l] τὸν om. f.

[m] Sic S.V. Wessel. εἶπον alii. Mox ζωῆς S. et οὐδὲν ἔφη—ζώειν δύνασθαι.

[n] Sic P.F.a.b.c.d.f. ἀναφέρων S. ἀνάφερον V. ἀνέφυρον edd. τῷδε ἀνέφυρον Wessel. assumpto τῷδε ex f.

[o] τούτῳ F.a.f. non improbante Wesselingio, vulg. tamen defendente ex c. 106.

23.

[a] τὸν βασιλέα om. S.V.

[b] ζωῆς S.V. ζώης F.

[c] καὶ τῆς διαίτης V.S.

[d] Ita Schæfer. ἐς εἴκοσί τε καὶ V.S. Wessel. ἐς εἴκοσι καὶ Ald. A.B.R. ἐείκοσι καὶ M.P.K.F.

[e] αὐτέων] αὐτῶν F.S.

[f] ὑπερβάλλειν P.K.S.F. cf. Eustath. Dionys. 218.

apud eos, virtute singulari: vincula in carcere omnia ex auro: æs rarissimum et carissimum.

λέειν δέ τινας καὶ ταῦτα· σίτησιν δὲ εἶναι [g] κρέα ἑφθά·
2 καὶ πόμα, γάλα. θῶυμα δὲ ποιευμένων τῶν κατασκό-
πων περὶ τῶν ἐτέων, ἐπὶ [h] κρήνην σφι ἡγήσασθαι, ἀπ' ἧς
λουόμενοι, λιπαρώτεροι [i] ἐγίνοντο, κατάπερ εἰ ἐλαίου εἴη·
3 ὄζειν δὲ ἀπ' αὐτῆς ὡσεὶ ἴων. ἀσθενὲς δὲ τὸ ὕδωρ τῆς κρή-
νης ταύτης οὕτω δή τι ἔλεγον εἶναι οἱ κατάσκοποι, ὥστε
μηδὲν οἷόν τε εἶναι [k] ἐπ' αὐτοῦ ἐπιπλέειν, μήτε ξύλον,
μήτε τῶν ὅσα [l] ξύλου ἐστὶ ἐλαφρότερα· ἀλλὰ πάντα
4 σφέα χωρέειν ἐς [m] βυσσόν. τὸ δὲ ὕδωρ τοῦτο εἴ σφί ἐστι
ἀληθέως οἷόν τι [n] λέγεται, διὰ τοῦτο ἂν εἶεν, τούτῳ τὰ
5 πάντα χρεώμενοι, μακρόβιοι. ἀπὸ τῆς κρήνης δὲ ἀπαλ-
λασσομένων, [o] ἀγαγεῖν σφέας ἐς δεσμωτήριον ἀνδρῶν, ἔνθα
6 τοὺς πάντας ἐν πέδῃσι χρυσέῃσι δεδέσθαι. ἔστι δὲ ἐν τού- 206
τοισι τοῖσι Αἰθίοψι πάντων ὁ χαλκὸς σπανιώτατον καὶ
τιμιώτατον. θεησάμενοι δὲ καὶ τὸ δεσμωτήριον, [p] ἐθηή-
σαντο καὶ τὴν τοῦ Ἡλίου λεγομένην τράπεζαν.

24

Quomodo sepeliant mortuos.

Μετὰ δὲ ταύτην, τελευταίας ἐθηήσαντο τὰς θήκας [a] αὐτῶν, αἳ λέ-
2 γονται σκευάζεσθαι ἐξ [b] ὑέλου, τρόπῳ τοιῷδε. ἐπεὰν τὸν
νεκρὸν ἰσχνήνωσι, εἴτε δὴ κατάπερ Αἰγύπτιοι, εἴτε ἄλλως
κως, γυψώσαντες ἅπαντα αὐτὸν, γραφῇ [c] κοσμέουσι,

[g] κρέα τε] Sic libri omnes. Videndum an exciderit aliquid ex c. 97. fortasse supplendum: aut κρέα τε ὀπτὰ καὶ ἑφθά. κρέατα edidit Schæfer: sed κρέατα, si recte memini, nusquam alibi ista forma dixit Herodotus. SCHWEIGHÆUSER. Equidem τε delevi cum S. et ms. Bodleiano 2935.

[h] κρήνην τινα V.S. Vall. Habet hinc Sotio in Collect. p.157. ed. Boëssii. WESSEL. Tum σφισιν S.

[i] γίνονται S. γίγνονται V.

[k] ἐπ' αὐτοῦ M.S.V.P.K.F.a.b. Vall. ἀπ' αὐτοῦ Ald. R.c.d. πλέειν d.

[l] ξύλων S.

[m] βυθὸν S.V. Schol. Aristoph. Ran. 183. Ἴωνες τὸν βυθὸν βυσσὸν λέγουσι. WESS.

[n] λέγεταί ἐστι P.K.F.

[o] ἄγειν S.V.

[p] ἐθεήσαντο S.K. et sic infra.

24.

[a] αὐτέων] αὐτῶν F.S. Mox κατασκευάζεσθαι S.

[b] Sic M.a.c. Ald. ξύλου K.P.F. cum ὑέλου pro v. l. ὑάλου S.V. Wessel. et sic mox S. conf. Hemsterhus. ad Thomam Mag. voc. Ὕαλος.

[c] κοσμοῦσι F.

[d] ἐξομοιεῦντες τὸ εἶδος ἐς τὸ δυνατόν· ἔπειτα δέ οἱ περι-
ϊστᾶσι στήλην ἐξ ὑέλου πεποιημένην κοίλην· ἡ δέ σφι
3 πολλὴ καὶ [e] εὔεργος ὀρύσσεται. ἐν μέσῃ δὲ τῇ στήλῃ
ἐνεὼν διαφαίνεται ὁ νέκυς, οὔτε ὀδμὴν οὐδεμίαν ἄχαριν
παρεχόμενος, οὔτε ἄλλο ἀεικὲς οὐδέν· καὶ ἔχει πάντα
4 φανερὰ ὁμοίως αὐτῷ τῷ νέκυϊ. ἐνιαυτὸν μὲν δὴ ἔχουσι
τὴν στήλην ἐν [f] τοῖσι οἰκίοισι οἱ [g] μάλιστα προσήκοντες,
[h] πάντων τε [i] ἀπαρχόμενοι, καὶ θυσίας οἱ προσάγον-
τες· μετὰ δὲ ταῦτα ἐκκομίσαντες, [k] ἱστᾶσι περὶ τὴν
πόλιν.

25 Θεησάμενοι δὲ τὰ πάντα οἱ κατάσκοποι, [a] ἀπαλλάσ-
σοντο ὀπίσω. ἀπαγγειλάντων δὲ ταῦτα τούτων, αὐτίκα
ὁ Καμβύσης, [b] ὀργὴν ποιησάμενος, ἐστρατεύετο ἐπὶ τοὺς
Αἰθίοπας· οὔτε παρασκευὴν σίτου [c] οὐδεμίαν παραγγεί-
λας, οὔτε λόγον ἑωυτῷ [d] δοὺς, ὅτι ἐς τὰ ἔσχατα [e] τῆς
2 γῆς ἔμελλε στρατεύεσθαι. [f] οἷα δὲ ἐμμανής τε [g] ἐὼν καὶ
οὐ φρενήρης, ὡς ἤκουε τῶν Ἰχθυοφάγων, ἐστρατεύετο,
Ἑλλήνων μὲν τοὺς παρεόντας [h] αὐτοῦ ταύτῃ τάξας ὑπο-
3 μένειν, τὸν δὲ πεζὸν πάντα ἅμα ἀγόμενος. Ἐπεί τε δὲ 207
[i] στρατευόμενος ἐγένετο ἐν Θήβῃσι, ἀπέκρινε τοῦ στρατοῦ
ὡς πέντε μυριάδας· καὶ τούτοισι μὲν ἐνετέλλετο, Ἀμ-

Cambyses nullo rei frumentariæ provisu in Æthiopes movens, cogitur fame reverti ex itinere: Græci milites ab eo dimittuntur.

[d] ἐξομοιούμενοι S.
[e] εὐεργετῶς S.V. Mox οὐδεμίην S. cum vulg.
[f] ταῖσι οἰκίῃσι b.
[g] μάλιστα αὐτῷ τῷ νέκυϊ προσήκ. R. probante Wesselingio, qui αὐτῷ τῷ ν. in superioribus delet; dubitanter tamen.
[h] Sic V.S. τε vulgo om.
[i] ἀρχόμ. F.
[k] ἱστᾶσι M.V.K.P.S.F. ἱστῶσι c. Ald.

25.

[a] ἀπαλλάσσονται S.V.
[b] ἀρχὴν S.V.
[c] οὐδεμίην] οὐδεμίαν F. Vulg. retinet S.
[d] διδοὺς F.
[e] Sic S.V. τῆς om. F. et al.
[f] οἷά τε P.K.
[g] Sic M.S.V.F. Paris. ὢν Ald. Mox ἤκουσε S.
[h] αὐτοῦ ταύτῃ S. Wessel. qui confert I. 214. IV. 135. αὐτῷ absque ταύτῃ M.V. Ald. αὐτοῦ P. K.F. Paris. Mox ἅμα om. S.
[i] πορευόμενος S.V. Vall.

μωνίους ἐξανδραποδισαμένους τὸ χρηστήριον [k] τὸ τοῦ Διὸς
ἐμπρῆσαι· αὐτὸς δὲ τὸν λοιπὸν ἄγων στρατὸν, ἤϊε ἐπὶ
4 τοὺς Αἰθίοπας. Πρὶν δὲ τῆς ὁδοῦ τὸ πέμπτον μέρος δι-
εληλυθέναι τὴν στρατιὴν, αὐτίκα πάντα αὐτοὺς τὰ εἶχον
σιτίων ἐχόμενα ἐπελελοίπεε· μετὰ δὲ τὰ σιτία, καὶ τὰ
5 ὑποζύγια ἐπέλιπε κατεσθιόμενα. εἰ μέν νυν μαθὼν ταῦτα
ὁ Καμβύσης ἐγνωσιμάχεε, καὶ ἀπῆγε ὀπίσω τὸν στρα-
τὸν, ἐπὶ τῇ ἀρχῆθεν γενομένῃ ἁμαρτάδι [l] ἦν ἂν σοφὸς
ἀνήρ· νῦν δὲ οὐδένα λόγον ποιεύμενος, ἤϊε αἰεὶ ἐς τὸ
6 πρόσω. οἱ δὲ στρατιῶται, ἕως [m] μέν τι εἶχον ἐκ τῆς γῆς
λαμβάνειν, ποιηφαγέοντες [n] διέζωον· ἐπεὶ δὲ ἐς τὴν
ψάμμον ἀπίκοντο, δεινὸν ἔργον [o] αὐτῶν τινὲς ἐργάσαντο·
ἐκ δεκάδος γὰρ ἕνα σφέων αὐτῶν [p] ἀποκληρώσαντες,
7 κατέφαγον. πυθόμενος δὲ ταῦτα ὁ Καμβύσης, δείσας
τὴν ἀλληλοφαγίην, ἀπεὶς τὸν ἐπ᾽ Αἰθίοπας [q] στόλον,
ὀπίσω ἐπορεύετο, καὶ ἀπικνέεται ἐς Θήβας, πολλοὺς
8 ἀπολέσας τοῦ στρατοῦ. ἐκ [r] Θηβέων δὲ καταβὰς ἐς
Μέμφιν, τοὺς Ἕλληνας ἀπῆκε ἀποπλέειν. ὁ μὲν ἐπ᾽
Αἰθίοπας στόλος οὕτω ἔπρηξε.

26 Οἱ δ᾽ αὐτῶν ἐπ᾽ Ἀμμωνίους ἀποσταλέντες στρατεύεσθαι, ἐπεί τε ὁρμηθέντες ἐκ τῶν [a] Θηβέων ἐπορεύοντο ἔχοντες ἀγωγοὺς, ἀπικόμενοι μὲν φανεροί εἰσι ἐς Ὄασιν πόλιν, τὴν ἔχουσι μὲν Σάμιοι, τῆς Αἰσχριωνίης [b] φυλῆς λεγόμενοι εἶναι· ἀπέχουσι δὲ ἑπτὰ ἡμερέων ὁδὸν ἀπὸ Θηβέων διὰ ψάμμου·

Persæ missi adversus Ammonios, quum pranderent medio loco inter hos et Oasin, coloniam Samiorum,

[k] τὸ om. S. Mox ἐπιλελοίπεε S.

[l] ἦν ἂν ἀ. σ. P.K.F. ἦν ἀνὴρ σ. S. absque ἄν.

[m] μέντοι S.V. Mox ποηφαγέοντες S.

[n] διέζων S.V.

[o] αὐτέων] αὐτῶν F.S. et mox.

[p] ἀποκληρωθέντες S.

[q] Citat Thomas M. in v.

[r] Θηβέων P.K. Paris. R. Θηβαίων S.V. Ald. F. Θηβῶν M. Addunt edd. vett. δὲ. ἐπορεύοντο ἔχοντες ἀγωγοὺς καὶ καταβ. quæ mss. om.

26.

[a] Θηβαίων Ald. V.S.F. Θηβέων K.P. Θηβῶν M.

[b] φυγῆς S.

οὐνομάζεται δὲ ὁ χῶρος οὗτος κατὰ Ἑλλήνων γλῶσσαν,
2 Μακάρων [c] νῆσος. ἐς μὲν δὴ τοῦτον τὸν χῶρον λέγεται ἀπικέσθαι τὸν στρατόν· τὸ ἐνθεῦτεν δὲ, ὅτι μὴ αὐτοὶ Ἀμμώνιοι καὶ οἱ τούτων [d] ἀκούσαντες, ἄλλοι οὐδένες οὐδὲν ἔχουσι εἰπεῖν περὶ αὐτῶν· οὔτε γὰρ ἐς τοὺς Ἀμμωνίους
3 ἀπίκοντο, οὔτε ὀπίσω ἐνόστησαν. λέγεται δὲ [e] καὶ τάδε ὑπ᾽ αὐτῶν Ἀμμωνίων· ἐπειδὴ ἐκ τῆς Ὀάσιος ταύτης ἰέναι διὰ τῆς ψάμμου ἐπὶ σφέας, γενέσθαι τε αὐτοὺς μεταξύ κου μάλιστα αὐτῶν τε καὶ τῆς Ὀάσιος, [f] ἄριστον αἱρεομένοισι αὐτέοισι ἐπιπνεῦσαι νότον μέγαν τε καὶ ἐξαίσιον, φορέοντα δὲ θῖνας τῆς ψάμμου, καταχῶσαί
4 σφεας, καὶ τρόπῳ τοιούτῳ ἀφανισθῆναι. Ἀμμώνιοι μὲν οὕτω λέγουσι γενέσθαι περὶ τῆς στρατιῆς ταύτης.

itinere septem dierum Thebis distantem, coorto austro arena 208 obruti, perierunt.

27 Ἀπιγμένου δὲ Καμβύσεω ἐς Μέμφιν, ἐφάνη Αἰγυπτίοισι [a] ὁ Ἆπις, τὸν Ἕλληνες Ἔπαφον καλέουσι. ἐπιφανέος δὲ τούτου γενομένου, αὐτίκα οἱ Αἰγύπτιοι [b] εἵματά τε [c] ἐφόρεον τὰ κάλλιστα, καὶ ἦσαν ἐν θαλίῃσι.
2 ἰδὼν δὲ ταῦτα τοὺς Αἰγυπτίους ποιεῦντας ὁ Καμβύσης, πάγχυ σφέας καταδόξας, ἑωυτοῦ κακῶς πρήξαντος, χαρμόσυνα ταῦτα ποιέειν, [d] ἐκάλεε τοὺς ἐπιτρόπους τῆς Μέμφιος· [e] ἀπικομένους δὲ ἐς ὄψιν, εἴρετο " ὅ τι πρότερον μὲν, ἐόντος αὐτοῦ ἐν Μέμφι, ἐποίευν τοιοῦτον οὐδὲν " Αἰγύπτιοι· τότε δὲ, [f] ἐπεὶ αὐτὸς παρείη τῆς στρατιῆς

Cambyses Ægyptios, festum Apidi conspicuo facto celebrantes, de rebus a se male gestis lætari ratus, præfectos urbis Memphis occidit.

[c] Sic vulgo cum Steph. Byz. voc. Αὔασις. νῆσοι S.V. Vall. Olympiodorus apud Photium Bibl. p. 191=111. Eustath. Od. δ'. p. 1509, 30=186, 51. probante Wesseling.

[d] ἀκούοντες V.S.

[e] καὶ cum S. Vall. om. Wessel.

[f] Sic M.P.K.F. Paris. V.S. ἄριστον δὲ ἁ. vulgo. Mox αὐτέοισι M.P.F. Paris. Vulgo cum S. αὐτοῖσι. Deest voc. K.

27.

[a] ὁ om. S. qui mox καλέουσιν Ἔπαφον.

[b] Sic S.V. τε om. F.a. et al.

[c] ἔφερον S.V. Mox ἰδὼν δὲ ταῦτα τότε τοὺς S.

[d] Sic S.V. Vulgo ἐκάλεσε.

[e] ἀπικομένων V.S. Mox αὐτοῦ ἐόντος S. et infra ἐποιεῦντο.

[f] ἐπειδὴ S.V.

3 “πλῆθός τι ἀποβαλών;” οἱ δὲ ἔφραζον, ὥς σφι θεὸς
[g] εἴη φανεὶς, διὰ χρόνου πολλοῦ [h] ἐωθὼς ἐπιφαίνεσθαι·
καὶ [i] ὡς ἐπεὰν φανῇ, τότε πάντες οἱ Αἰγύπτιοι κεχαρη-
4 κότες ὁρτάζοιεν. ταῦτα ἀκούσας ὁ Καμβύσης, ἔφη ψεύ-
δεσθαί σφεας· καὶ ὡς ψευδομένους, θανάτῳ ἐζημίου.

28 Sacerdotes jubet adducere sibi Apidem: hujus descriptio.

Ἀποκτείνας δὲ τούτους, δεύτερα τοὺς ἱρέας ἐκάλεε ἐς
ὄψιν. λεγόντων δὲ κατὰ τὰ αὐτὰ τῶν ἱρέων, οὐ λήσειν
ἔφη αὐτὸν, εἰ θεός τις χειροήθης ἀπιγμένος εἴη Αἰγυ-
2 πτίοισι. τοσαῦτα δὲ εἴπας, [a] ἐπάγειν ἐκέλευε τὸν Ἆπιν
τοὺς ἱρέας· οἱ μὲν δὴ [b] μετήϊσαν ἄξοντες. Ὁ δὲ Ἆπις
[c] οὗτος, ὁ Ἔπαφος, γίνεται μόσχος ἐκ βοὸς ἥτις οὐκέτι
οἵη τε γίνεται ἐς γαστέρα ἄλλον [d] βάλλεσθαι γόνον.
3 Αἰγύπτιοι δὲ λέγουσι [e] σέλας ἐπὶ τὴν βοῦν ἐκ τοῦ οὐ-
ρανοῦ κατίσχειν, καί μιν ἐκ τούτου τίκτειν τὸν Ἆπιν.
4 Ἔχει δὲ ὁ μόσχος οὗτος, ὁ Ἆπις καλεόμενος, σημήϊα
τοιάδε· ἐὼν [ee] μέλας, ἐπὶ μὲν τῷ μετώπῳ λευκὸν τετρά-
γωνον [f] φορέει· ἐπὶ δὲ τοῦ νώτου, αἰετὸν εἰκασμένον· ἐν
δὲ τῇ οὐρῇ, τὰς τρίχας διπλᾶς· ἐπὶ δὲ τῇ γλώσσῃ, 209
κάνθαρον.

29 Vulnerat Cambyses femur Apidis: flagellantur sacerdotes: festum solutum:

Ὡς δὲ ἤγαγον τὸν Ἆπιν οἱ ἱρέες, ὁ Καμ-
βύσης, οἷα ἐὼν ὑπομαργότερος, σπασάμενος τὸ ἐγχει-
ρίδιον, θέλων τύψαι τὴν γαστέρα τοῦ Ἄπιος, παίει τὸν
2 μηρόν· γελάσας δὲ, εἶπε πρὸς τοὺς ἱρέας· “Ὦ κακαὶ
“κεφαλαὶ, [a] τοιοῦτοι θεοὶ γίνονται, ἔναιμοί τε καὶ σαρ-

[g] Sic M.S.V.P.K.F.a.b.d. παρείη R.c. Ald.

[h] εἰωθὼς S.

[i] ὃς S.

[a] ἀπάγειν B.R.P.K.F. ἄγειν S.V.

28.

[b] μετῆσαν F.S. Ald.

[c] οὗτος om. S.V.

[d] βαλέσθαι S.V. λαβέσθαι Schæfer. ex Pauwii conj. quam non approbavit Wesselingius, similem dictionem conferens βάλλεσθαι ἐς θυμόν.

[e] Citat Eustath. Il. α΄. p. 133, 24=100, 41. ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν βοῦν S.

[ee] μέλας M.S.V.P.K. Vall. μέγας Ald. c.R.F. pr.

[f] φορέει agnoscunt F.b.c.d. om. M.S.P.K.

29.

[a] Sic Ald. S.V. Paris. R. οὗτοι οἱ M.P.K.F. Supra ὑπομαργότερος ἐὼν S.

" κώδεες, καὶ [b] ἐπαΐοντες σιδηρίων; ἄξιος [c] μὲν Αἰγυ-
" πτίων οὗτός γε ὁ θεός. [d] ἀτάρ τοι ὑμεῖς γε οὐ χαίρον-
3 " τες γέλωτα ἐμὲ θήσεσθε." Ταῦτα εἴπας, ἐνετείλατο
τοῖσι ταῦτα πρήσσουσι, τοὺς μὲν ἱρέας [e] ἀπομαστιγῶσαι,
Αἰγυπτίων δὲ τῶν ἄλλων τὸν ἂν λάβωσι ὁρτάζοντα,
κτείνειν. [f] ὁρτὴ μὲν δὴ διελέλυτο Αἰγυπτίοισι· οἱ δὲ
4 ἱρέες [g] ἐδικαιεῦντο. ὁ δὲ Ἆπις πεπληγμένος τὸν μηρὸν,
ἔφθινε ἐν τῷ ἱρῷ κατακείμενος. καὶ τὸν μὲν, τελευτή-
σαντα ἐκ τοῦ τρώματος, ἔθαψαν οἱ ἱρέες λάθρῃ Καμ-
βύσεω.

Apis exstinctus, clam sepelitur.

30 Καμβύσης δὲ, ὡς λέγουσι Αἰγύπτιοι, [a] αὐτίκα διὰ
τοῦτο τὸ ἀδίκημα ἐμάνη, ἐὼν οὐδὲ πρότερον φρενήρης.
2 Καὶ πρῶτα μὲν τῶν κακῶν ἐξεργάσατο τὸν ἀδελφεὸν
Σμέρδιν, ἐόντα πατρὸς καὶ μητρὸς τῆς αὐτῆς· τὸν ἀπέ-
πεμψε [b] ἐς Πέρσας φθόνῳ ἐξ Αἰγύπτου, ὅτι [c] τὸ τόξον
μοῦνος Περσέων ὅσον τε ἐπὶ δύο δακτύλους εἴρυσε, [d] τὸ
παρὰ τοῦ Αἰθίοπος ἤνεικαν οἱ Ἰχθυοφάγοι· τῶν δὲ ἄλ-
3 λων Περσέων οὐδεὶς οἷός τε ἐγένετο. Ἀποιχομένου ὦν
ἐς Πέρσας τοῦ Σμέρδιος, [e] ὄψιν εἶδε ὁ Καμβύσης ἐν τῷ
4 ὕπνῳ τοιήνδε. ἔδοξέ οἱ ἄγγελον ἐλθόντα ἐκ Περσέων ἀγ-
γέλλειν, ὡς ἐν τῷ θρόνῳ τῷ βασιληΐῳ ἱζόμενος Σμέρδις,
5 τῇ κεφαλῇ τοῦ οὐρανοῦ ψαύσειε. Πρὸς ὦν ταῦτα, δείσας
περὶ ἑωυτοῦ μή μιν ἀποκτείνας ὁ ἀδελφεὸς [f] ἄρχῃ, πέμ-
πει Πρηξάσπεα ἐς Πέρσας, [g] ὃς ἦν οἱ ἀνὴρ Περσέων πι-

Occidit Smerdin, fratrem germanum, opera Prexaspis.

[b] ἐσαΐοντες S.
[c] Sic S.V. μέν γε A. Ald. οὗτός γε M.P.K.F. γε sec. om. Ald.
[d] αὐτὰρ F.
[e] ἀπομαστιγνώσειν S.
[f] ἡ ὁρτὴ Schæfer.
[g] ἐδικεῦντο S.V.

30.

[a] Sic P.K.V.S.F. Paris. Vulg. διὰ τ. τ. ἀδ. αὐτίκα.
[b] ἐς Πέρσας om. S.
[c] τὸ om. Ald.
[d] Sic Ald. S. Paris. τὸν π. F. ὅ π. M. Mox ὃ ἤνεικαν S.
[e] εἶδεν ὄψιν S. Mox ἐν τῷ ὕπνῳ om. V.S.
[f] ἄρχῃ S.V.P.K.F. Paris. ἄρξῃ M. Ald. Mox ἐς Πέρσας om. S.V. non nolente Wesselingio.
[g] Sic F. Vulgo ὅς οἱ ἦν.

6 στότατος, [h] ἀποκτενέοντά μιν. ὁ δὲ, ἀναβὰς ἐς Σοῦσα,
ἀπέκτεινε Σμέρδιν· οἱ μὲν λέγουσι, ἐπ᾽ ἄγρην ἐξαγα-
γόντα· οἱ δὲ, ἐς τὴν Ἐρυθρὴν θάλασσαν προσαγαγόντα
καταποντῶσαι.

31 Πρῶτον μὲν δὴ λέγουσι Καμβύσῃ τῶν
κακῶν ἄρξαι τοῦτο. δεύτερα δὲ ἐξεργάσατο τὴν ἀδελ-
φεὴν, [a] ἐπισπομένην οἱ ἐς Αἴγυπτον, τῇ καὶ συνοίκεε, καὶ 210
2 ἦν οἱ ἀπ᾽ ἀμφοτέρων ἀδελφεή. ἔγημε δὲ αὐτὴν ὧδε· οὐ-
δαμῶς γὰρ ἐώθεσαν πρότερον τῇσι ἀδελφεῇσι συνοικέειν
[b] Πέρσαι. ἠράσθη μιῆς τῶν ἀδελφεῶν Καμβύσης, καὶ
ἔπειτα βουλόμενος αὐτὴν γῆμαι, ὅτι οὐκ ἐωθότα ἐπενόεε
ποιήσειν, εἴρετο καλέσας τοὺς [c] βασιληΐους δικαστὰς,
εἴ τίς ἐστι κελεύων νόμος τὸν βουλόμενον ἀδελφεῇ συνοι-
3 κέειν. Οἱ δὲ βασιλήϊοι δικασταὶ κεκριμένοι ἄνδρες γί-
νονται Περσέων, ἐς οὗ ἀποθάνωσι, [d] ἥ σφι παρευρεθῇ τι
4 ἄδικον, μέχρι [e] τούτου. οὗτοι δὲ [f] τοῖσι Πέρσῃσι δίκας
δικάζουσι, καὶ ἐξηγηταὶ τῶν πατρίων θεσμῶν γίνονται,
5 καὶ πάντα ἐς τούτους [g] ἀνακέαται. Εἰρομένου ὦν τοῦ
Καμβύσεω, [h] ὑπεκρίνοντο αὐτῷ οὗτοι καὶ δίκαια καὶ
ἀσφαλέα· φάμενοι, νόμον οὐδένα ἐξευρίσκειν, ὃς κελεύει
ἀδελφεῇ συνοικέειν ἀδελφεόν· ἄλλον μέν τοι ἐξευρηκέναι
νόμον, τῷ βασιλεύοντι Περσέων ἐξεῖναι ποιέειν [i] τὸ ἂν

Occidit sororem germanam, eandemque uxorem: duæ sorores Cambysis, cædemque uxores ejus: judices regii qui dicantur, quod munus gerant: consulti de regis matrimonio cum sorore, quam justum et cautum responsum dederint.

[h] ἀποκτενέοντα—Σοῦσα om. K.

31.

[a] ἑπομένην K.P.F.a. ἐπισπωμένην S.V. Ald.

[b] Sic K.S.P.F.a. οἱ Πέρσαι vulgo.

[c] βασιληΐους καλεομένους δικαστὰς S.V. Vall. Hesychius in Βασιλεῖς. cf. c. 14. et VII. 194. Mox Περσέων γίνονται S.

[d] Sic M.S.P.K.F.b.d. ἥν σφι π. a. ἥν σφι μὴ παρ. c. Ald. probante Toupio Em. Suid. T. II. p. 28.

[e] Sic V.S. τούτων Ald. M.F. et al.

[f] Sic V.S. Vall. Πέρσῃσι om. alii. Mox δίκας om. S.

[g] Sic Ald. b.c.d. ἀνακέεται Steph. F.a. et forte M. ἀνάκειται S.

[h] Sic M.P.K.F. Paris. ὑπεκρίναντο V.S. Ald. Citat hæc Schol. Luciani de Sacrif. T. I. p. 530. αὐτῷ om. S.

[i] Sic P.K.S.V.F. Paris. τὰ ἂν M. Ald.

6 βούληται. οὕτω οὔτε τὸν νόμον ἔλυσαν [k] δείσαντες Καμ-
βύσεα· ἵνα τε μὴ αὐτοὶ ἀπόλωνται τὸν νόμον περιστέλ-
λοντες, παρεξεῦρον ἄλλον νόμον σύμμαχον τῷ θέλοντι
7 γαμέειν ἀδελφεάς. Τότε μὲν δὴ ὁ Καμβύσης ἔγημε
τὴν [l] ἐρωμένην· μετὰ μέν τοι οὐ πολλὸν χρόνον ἔσχε
ἄλλην ἀδελφεήν. τουτέων [m] δῆτα τὴν νεωτέρην, ἐπισπο-
32 μένην οἱ ἐπ' Αἴγυπτον, κτείνει. Ἀμφὶ δὲ τῷ θανάτῳ
αὐτῆς διξὸς, ὥσπερ περὶ Σμέρδιος, [a] λέγεται λόγος.
Ἕλληνες [b] μὲν λέγουσι, Καμβύσεα [c] συμβαλέειν σκύ-
μνον λέοντος σκύλακι κυνός· θεωρέειν δὲ καὶ τὴν γυναῖ-
2 κα ταύτην. νικωμένου δὲ τοῦ σκύλακος, ἀδελφεὸν αὐ-
τοῦ ἄλλον σκύλακα, ἀπορρήξαντα τὸν δεσμὸν, παραγε-
νέσθαι οἱ· δύο δὲ γενομένους οὕτω δὴ τοὺς σκύλακας ἐπι-
3 κρατῆσαι τοῦ σκύμνου. καὶ τὸν μὲν Καμβύσεα ἥδεσθαι
θεώμενον· τὴν δὲ, παρημένην δακρύειν. Καμβύσεα δὲ
μαθόντα τοῦτο, ἐπείρεσθαι διότι [d] δακρύοι· τὴν δὲ εἰπεῖν,
ὡς ἰδοῦσα τὸν σκύλακα τῷ ἀδελφεῷ τιμωρήσαντα, δακ-
ρύσειε, μνησθεῖσά τε Σμέρδιος, καὶ [e] μαθοῦσα ὡς [f] κείνῳ
4 οὐκ εἴη ὁ τιμωρήσων. Ἕλληνες [g] μὲν δὴ διὰ τοῦτο τὸ
ἔπος φασὶ αὐτὴν ἀπολέσθαι ὑπὸ Καμβύσεω. Αἰγύ- 211
πτιοι δὲ, ὡς τραπέζῃ [h] περικατημένων, λαβοῦσαν [i] θρί-
δακα τὴν γυναῖκα [k] περιτῖλαι, καὶ ἐπανείρεσθαι τὸν ἄν-

Duplex narratio de occasione mortis illatæ uxori.

[k] δείσαντες om. F. qui mox αὐτοὶ μή. Mox παρεξεῦρόν τε S.

[l] εἰρημένην V.S. Vall. qui mox μετὰ δὲ χρόνον ἔσχε καὶ ἄλλην ἀ.

[m] δὲ S.V. qui mox ἐπισπωμένην cum Ald.

32.

[a] Sic S.V.K.P.R.F. Paris. ἐκφέρεται Ald. et M. si Gronovio fidendum.

[b] μὲν γὰρ] γὰρ om. M.P.K.F.a.S.

[c] συμβαλέειν om. S. qui mox κυνὸς βαλέειν μάχεσθαι. Mox ἄλλον αὐτοῦ S.

[d] δακρύει S.V.F.a.f.

[e] καταμαθοῦσα S.V.

[f] ἐκείνῳ S.V.P.K.F.f.

[g] μὲν γὰρ διὰ F. μὲν διὰ f.

[h] περικατημένον F. et mox λαβοῦσαν.

[i] Cf. Lexic. Seguier. p. 99, 18. et Phrynichus cum nota Lobeckii p. 130.

[k] περιτίλαι Ald. S.V.R.A.B. περιτεῖλαι M.P.K. περιστεῖλαι F.

δρα, [l] κότερον περιτετιλμένη [m] ἡ θρίδαξ ἢ δασεῖα [n] εἴη
5 [o] καλλίων. καὶ τὸν φάναι, [p] δασεῖαν. τὴν δ' εἰπεῖν· "Ταύτην [q] μέν τοί κοτε σὺ τὴν θρίδακα [r] ἐμιμήσαο, τὸν
6 "Κύρου οἶκον ἀποψιλώσας." Τὸν δὲ, θυμωθέντα ἐμπηδῆσαι αὐτῇ, ἐχούσῃ ἐν γαστρί· καί μιν ἐκτρώσασαν ἀποθανεῖν.

33 Cambyses a puero epilepticus.

Ταῦτα μὲν ἐς τοὺς [a] οἰκηΐους ὁ Καμβύσης ἐξεμάνη, εἴτε [b] δὴ διὰ τὸν Ἆπιν, εἴτε καὶ ἄλλως, οἷα πολλὰ
2 [c] ἐώθεε ἀνθρώπους [d] κακὰ καταλαμβάνειν. καὶ γάρ τινα [e] καὶ ἐκ γενεῆς νοῦσον μεγάλην λέγεται ἔχειν ὁ Καμβύσης, τὴν ἱρὴν [f] οὐνομάζουσί τινες. οὔ νύν τοι ἀεικὲς οὐδὲν ἦν, τοῦ σώματος νοῦσον μεγάλην νοσέοντος, μηδὲ τὰς φρένας ὑγιαίνειν.

34 Prexaspes interrogatus, verum Cambysi dicit: Cambyses Cyro patri a consiliariis prælatus, a Crœso postpositus.

[a] Τάδε δ' ἐς τοὺς ἄλλους Πέρσας ἐξεμάνη. λέγεται γὰρ εἰπεῖν αὐτὸν πρὸς Πρηξάσπεα, τὸν ἐτίμα τε μάλιστα, καί οἱ τὰς ἀγγελίας ἐφόρεε οὗτος, τούτου τε ὁ παῖς οἰνοχόος ἦν τῷ Καμβύσῃ, τιμὴ δὲ
2 [b] καὶ αὕτη οὐ σμικρή· εἰπεῖν δὲ λέγεται τάδε· "Πρήξασπες, κοῖόν μέ τινα νομίζουσι Πέρσαι εἶναι ἄνδρα;
3 "τίνας τε λόγους περὶ [c] ἐμέο ποιεῦνται;" Τὸν δὲ εἰπεῖν·

[l] Sic S.M.P.K.V.F. Paris. κότερα Ald.

[m] Sic Ald. M.F.a.f. ἡ δασεῖα ἡ θρίδαξ ἐοῦσα S.V. δασέη ἐοῦσα non displiceret Wesselingio.

[n] ἢ F. in textu.

[o] Sic omnes mss. ἀμείνων edd. vett.

[p] Sic S.V.P.K.F. Paris. δασεῖα M. et al.

[q] Sic M.V.K.F.f. μὲν δή κοτε Ald. c.R. μὲν σύ κοτε S.

[r] διεμιμήσαο f. ἐμιμήσω S.V.

33.

[a] οἰκειοτάτους V.S. Vall. ἐξεμάνη ὁ Καμβ. S.

[b] Sic K.S.V.A.B. Ald. Alii δέ.

[c] Sic M.P.K.F. Paris. ἔωθε Ald. S.V.

[d] κακὰ om. P.F. et glossæ suspectum habet Schweigh.

[e] Sic S.V. Vulgo om. καί.

[f] Sic F. ὀνομάζουσι vulgo cum S. qui mox ἦν οὐδέν.

34.

[a] τὰ δὲ ἐς F. Infra τε post τούτου om. S.

[b] Sic M.K.P.V.S.F. καὶ om. c. et al. Mox κοῖόν τινά με S.

[c] ἐμεῦ ποιοῦνται S.V. ἔμεο I. 126. VI. 86. σέο cap. 9. et alibi. Neutram formam, consentientibus mss, improbat Wesseling.

" Ὦ δέσποτα, τὰ μὲν ἄλλα πάντα μεγάλως [d] ἐπαι-
" νέαι· τῇ δὲ [e] φιλοινίῃ σέ φασι [f] πλεόνως προσκέεσθαι."
4 Τὸν μὲν δὴ λέγειν ταῦτα περὶ Περσέων. τὸν δὲ, θυμω-
θέντα, [g] τοιάδε ἀμείβεσθαι· " Νῦν ἄρα μέ φασι [h] Πέρσαι
" οἴνῳ προσκείμενον παραφρονέειν, καὶ οὐκ εἶναι νοήμονα;
" [i] οὐδ' ἄρα σφέων οἱ πρότεροι λόγοι ἦσαν ἀληθέες."
5 Πρότερον γὰρ δὴ ἄρα, Περσέων οἱ συνέδρων ἐόντων καὶ
Κροίσου, εἴρετο Καμβύσης, κοῖός τις [k] δοκέοι ἀνὴρ εἶναι 212
πρὸς τὸν πατέρα [l] τελέσαι Κῦρον· οἱ δὲ ἀμείβοντο, ὡς
εἴη ἀμείνων τοῦ πατρός· τά τε γὰρ ἐκείνου πάντα ἔχειν
αὐτὸν, καὶ [m] προσεκτῆσθαι Αἴγυπτόν τε καὶ τὴν θάλασ-
6 σαν. Πέρσαι [n] μὲν δὴ ταῦτα ἔλεγον· Κροῖσος δὲ παρεὼν
τε καὶ οὐκ ἀρεσκόμενος [o] τῇ κρίσει, εἶπε πρὸς τὸν Καμ-
7 βύσεα [p] τάδε· " Ἐμοὶ μέν νυν, ὦ παῖ Κύρου, οὐ δοκέεις
" ὅμοιος εἶναι τῷ πατέρι· οὐ γάρ κω τοί ἐστι υἱὸς οἷόν σε
8 " ἐκεῖνος κατελίπετο." ἥσθη τε ταῦτα [q] ἀκούσας ὁ Καμ-
35 βύσης, καὶ ἐπαίνεε τὴν Κροίσου κρίσιν. Τούτων δὴ ὦν
ἐπιμνησθέντα, ὀργῇ λέγειν πρὸς τὸν Πρηξάσπεα· " Σὺ
" νῦν μάθε [a] αὐτὸς, εἰ λέγουσι Πέρσαι ἀληθέα, εἴτε αὐ-
2 " τοὶ [b] λέγοντες ταῦτα παραφρονέουσι. [c] εἰ μὲν γὰρ τοῦ
" παιδὸς τοῦ σοῦ τοῦδε, ἑστεῶτος ἐν τοῖσι προθύροισι,

Cædes filii Prexaspis, et supplicium xii Persarum.

[d] Sic F.f.S. cf. I. 180. Vulgo ἐπαινέεαι.

[e] Sic M.P.K.S.V. Vall. F. Paris. φιλονεικίῃ edd. vett.

[f] μεγάλως f. Tum προσκεῖσθαι S.

[g] Sic f.M.K.P.F. τοῖσδε a.c.S. al.

[h] Sic P.K. Vall. F.f.a.b.c.d. οἴνῳ om. S.V. ubi προσκεισάμενον. Πέρσαι om. Ald.

[i] εἰ δ' ἄρα f. qui mox interserit αὐτίκα δὲ εἴσῃ post ἀληθέες, et om. δὴ ante ἄρα.

[k] Sic M.S.V.K.P.F. Paris. δοκέει edd. vett. Supra ὁ Καμβύσης S.

[l] καλέσαι R.F.a.c. voc. om. f.

[m] προσκτήσασθαι S.V.

[n] Sic S. δὴ om. F. et al. cum edd. vett.

[o] τῇ γινομένῃ κρίσει V.S. κρίσι Schæfer.

[p] τάδε om. V.S.

[q] Sic Ald. S.V.R.a.b.c.d. om. M.P.K.F.f.

35.

[a] Sic V.S. Vall. αὐτὸς om. F. a.f. edd. vett. Mox εἴτε λ. S.

[b] λέγουσι τ. παραφρονέοντες S.

[c] ἢν μὲν S.V. qui mox τύχω pro τύχοιμι.

" βαλὼν τύχοιμι [d] μέσης τῆς καρδίης, Πέρσαι φανέονται
" λέγοντες οὐδέν· ἢν δὲ ἁμάρτω, φάναι Πέρσας τε λέγειν
3 " ἀληθέα, καὶ μὲ μὴ σωφρονέειν." Ταῦτα [e] δὲ εἰπόντα,
καὶ διατείναντα τὸ τόξον, βαλέειν [f] τὸν παῖδα· πεσόντος
δὲ τοῦ παιδὸς, ἀνασχίζειν αὐτὸν κελεύειν, καὶ σκέψα-
σθαι τὸ βλῆμα· ὡς δὲ ἐν τῇ [g] καρδίῃ εὑρεθῆναι ἐνεόντα τὸν
[h] ὀϊστὸν, εἰπεῖν πρὸς τὸν πατέρα τοῦ παιδὸς, γελάσαντα,
4 καὶ περιχαρέα γενόμενον· " Πρήξασπες, ὡς μὲν ἔγωγε
" οὐ μαίνομαι, Πέρσαι τε [i] παραφρονέουσι, δῆλά τοι γέ-
" γονε. νῦν δέ μοι εἰπὲ, τίνα εἶδες ἤδη πάντων ἀνθρώπων
5 " οὕτως ἐπίσκοπα τοξεύοντα;" Πρηξάσπεα δὲ [k] ὁρέοντα
ἄνδρα οὐ φρενήρεα, καὶ περὶ ἑωυτῷ δειμαίνοντα, εἰπεῖν·
" Δέσποτα, οὐδ' ἂν [l] αὐτὸν ἔγωγε δοκέω τὸν θεὸν οὕτω
6 " ἂν καλῶς βαλέειν." Τότε μὲν ταῦτα ἐξεργάσατο· ἑτέ-
ρωθι δὲ Περσέων, [m] ὁμοῖα τοῖσι πρώτοισι, δυώδεκα ἐπ' οὐ-
δεμιῇ αἰτίῃ ἀξιόχρεῳ ἑλὼν, [n] ζώοντας ἐπὶ κεφαλὴν κατ-
ώρυξε.

36

Crœsum bene monentem imperat interfici: servatum a ministris

Ταῦτα δέ μιν ποιεῦντα ἐδικαίωσε Κροῖσος ὁ Λυδὸς νου-
θετῆσαι [a] τοισίδε τοῖσι ἔπεσι· " Ὦ βασιλεῦ, μὴ πάντα
" ἡλικίῃ καὶ θυμῷ ἐπίτρεπε· ἀλλ' ἴσχε καὶ καταλάμ-
2 " βανε σεωυτόν. [b] ἀγαθόν τι, πρόνοον εἶναι· σοφὸν δὲ ἡ [c] προ- 213

[d] τῆς om. S.V. καρδίας F. Ald. Mox φαίνονται S.

[e] δὲ εἰπόντα om. S.V. Supra καὶ ἐμὲ S. qui mox διατείνοντα.

[f] αὐτὸν c.

[g] κραδίῃ f.

[h] ὄϊστὸν S.V.K.f. ἴστον P.R. ἱστὸν F.a.c. Vulgo ἰόν. Mox ὡς μὲν ἔγωγε Πρήξασπες οὐ μαίνομαί τε Πέρσαι τε S.

[i] ταῦτα παραφρονέουσι f.

[k] ὁρέωντα F. ὁρῶντα f. S. Mox οὐ om. S.

[l] αὐτὸς F. Mox τότε μετὰ ταῦτα S.

[m] ὅμοια Ald. Wess. cf. ad II. 57. ὁμοίους S.V.P.K.b.d. ὁμοίως F. a. edd. post Steph. 2.

[n] ζῶντας S.

36.

[a] τοίσιδε τοῖσι Wess. τοῖσιδε τοῖσι Ald. τοῖσι δὲ τοῖσι F. τοῖσδε τοῖς vulg. cum. S.

[b] Sic S.V. ἀγαθόν τε M.K.P.c. ἀγαθῶν τε Ald. F.a.b.d.

[c] Sic K.S.V. Paris. cf. I. 88. II. 18. Eurip. Hec. 795. Soph. Phil. 558. Valck. ad Ph. p. 496. citante Wesseling. προμηθείῃ F. vulgo.

"μηθίῃ. σὺ δὲ κτείνεις μὲν ἄνδρας, [d]σεωυτοῦ πολι-
"ήτας, ἐπ' οὐδεμιῇ αἰτίῃ ἀξιόχρεῳ ἑλών· κτείνεις δὲ
3 "παῖδας. ἢν δὲ πολλὰ τοιαῦτα ποιέῃς, ὅρα ὅκως μή
"σευ [e]ἀποστήσονται Πέρσαι. ἐμοὶ δὲ πατὴρ σὸς Κῦρος
"[f]ἐνετέλλετο πολλὰ κελεύων σὲ νουθετέειν, καὶ ὑποτί-
"θεσθαι ὅ τι ἂν εὑρίσκω ἀγαθόν." Ὁ μὲν δὴ εὔνοιαν
4 [g]φαίνων συνεβούλευέ οἱ ταῦτα. ὁ δ' ἀμείβετο τοῖσδε·
"Σὺ καὶ ἐμοὶ τολμᾷς συμβουλεύειν, [h]ὃς χρηστῶς μὲν
"τὴν σεωυτοῦ πατρίδα ἐπετρόπευσας, εὖ δὲ τῷ πατρὶ τῷ
"ἐμῷ συνεβούλευσας, κελεύων αὐτὸν [i]Ἀράξεα ποταμὸν
"διαβάντα ἰέναι ἐπὶ Μασσαγέτας, βουλομένων ἐκεί-
"νων διαβαίνειν ἐς τὴν ἡμετέρην; καὶ ἀπὸ μὲν σεωυτὸν
"ὤλεσας, τῆς σεωυτοῦ πατρίδος κακῶς προστάς· ἀπὸ
5 "δὲ ὤλεσας Κῦρον, πειθόμενόν σοι. ἀλλ' [k]οὔ τι χαίρων·
"ἐπεί τοι καὶ πάλαι ἐς σὲ προφάσιός τευ ἐδεόμην [l]ἐπι-
6 "λαβέσθαι." Ταῦτα δὲ εἴπας, [m]ἐλάμβανε τὸ τόξον ὡς
κατατοξεύσων αὐτόν. Κροῖσος δὲ ἀναδραμὼν ἔθεε ἔξω· ὁ
δὲ, [n]ἐπεί τε τοξεῦσαι οὐκ εἶχε, ἐνετείλατο τοῖσι θερά-
7 πουσι, [o]λαβόντας μιν ἀποκτεῖναι. οἱ δὲ θεράποντες, ἐπι-
στάμενοι τὸν τρόπον αὐτοῦ, κατακρύπτουσι τὸν Κροῖσον·
ἐπὶ τῷδε τῷ λόγῳ, ὥστε εἰ μὲν [p]μεταμελήσει τῷ Καμ-
βύσῃ, καὶ [q]ἐπιζητήσει τὸν Κροῖσον, οἱ δὲ, ἐκφήναντες

gaudens, hos morte punit.

[d] ἑωυτοῦ S.V. Similiter mox τὴν ἑωυτοῦ πατρίδα F. et τῆς ἑωυτοῦ πατρίδος. cf. I. 108. Tum ποιῇς S.

[e] Sic F.c. Schæfer. e monitu Wesselingii. Alii ἀποστήσωνται cum S.

[f] ἐνετείλατο S.V. et νουθετεῖν σε S.

[g] φέρων d. αι scil. in ε abiit, et ν in ρ, frequenti permutatione. Tum συνεβούλευσε S.

[h] Sic Ald. M.F.c. al. ὡς χ. S. V. Vall. Wessel.

[i] Sic Ald. S.R. Ἀράξην M.P. K.F.a. Mox ἐπὶ τὴν S.

[k] Sic M.K.P.F. Paris. οὔ τι χαίρω S.V. οὔ τοι χαίρων Ald.

[l] ἐπιλαβέσθαι. Ταῦτα δὲ om. M.P.K.F. non improbantibus Gronovio et Wesselingio. Supra προφάσιός τε S.

[m] ἐπελάμβανε τὰ τόξα S.V.

[n] ἐπείπερ b.

[o] λαμβάνοντας R.F.a.

[p] μεταμελήσῃ F. μὲν om. S.

[q] Sic V.S. ἐπιζητῇ M.K.P.F. ἐπιζητοίη Ald. c.

[r] αὐτὸν, δῶρα [s] λάμψονται ζωάγρια Κροίσου· [t] ἢν δὲ μὴ
8 μεταμελῆται, [u] μηδὲ ποθῇ μιν, τότε καταχρῆσθαι. Ἐπό-
θησέ τε δὴ ὁ Καμβύσης τὸν Κροῖσον οὐ πολλῷ μετέπειτα
χρόνῳ ὕστερον· καὶ οἱ θεράποντες μαθόντες τοῦτο, [w] ἐπήγ-
9 γελλον αὐτῷ ὡς περιείη. Καμβύσης δὲ "Κροίσῳ μὲν
"συνήδεσθαι, ἔφη, περιεόντι· ἐκείνους μέντοι τοὺς περι-
"ποιήσαντας οὐ [x] καταπροΐξεσθαι, ἀλλ' ἀποκτενέειν."
καὶ ἐποίησε ταῦτα.

Alia genera Cambysis insaniæ: Vulcani templum et simulacrum: Pataici Phœnicii: templum et simulacra Cabirorum.

37 Ὁ μὲν δὴ τοιαῦτα πολλὰ ἐς Πέρσας τε καὶ τοὺς ξυμ-
μάχους ἐξεμαίνετο, μένων ἐν Μέμφι, καὶ θήκας τε πα-
2 λαιὰς ἀνοίγων, καὶ σκεπτόμενος τοὺς νεκρούς. [a] ἐς δὲ δὴ 214
καὶ τοῦ Ἡφαίστου τὸ ἱρὸν ἦλθε, καὶ πολλὰ τῷ ἀγάλ-
ματι κατεγέλασε. ἔστι γὰρ τοῦ Ἡφαίστου τὤγαλμα
τοῖσι [b] Φοινικηΐοισι Παταΐκοισι ἐμφερέστατον, τοὺς [c] οἱ
3 Φοίνικες ἐν τῇσι [d] πρῴρῃσι τῶν τριήρεων περιάγουσι. ὃς δὲ
τούτους μὴ [e] ὀπώπεε, [f] ἐγὼ δέ οἱ σημανέω· [g] πυγμαίου
ἀνδρὸς μίμησίς ἐστι. Ἐσῆλθε [h] δὲ καὶ ἐς τῶν Καβείρων
τὸ ἱρὸν, ἐς τὸ οὐ θεμιτόν ἐστι ἐσιέναι ἄλλον γε ἢ τὸν ἱρέα·
ταῦτα δὲ τὰ ἀγάλματα καὶ ἐνέπρησε, πολλὰ κατασκώ-
4 ψας. [i] ἔστι δὲ καὶ ταῦτα [k] ὁμοῖα τοῦ Ἡφαίστου· τού-

[r] αὐτὸν om. S.V.
[s] λήψονται S.V.
[t] Sic M.F.S.V. ἢν μὲν δὴ μὴ Ald. A.
[u] μηδέποτε, τότε S.V. Mox καταχρήσασθαι S. Infra δὴ om. S.
[w] Ita Schweigh. ἐπήγγελον S. V. ἐπηγγέλλοντο vulgo. ἀπηγγέλλοντο Schæfer. αὐτῷ om. S. qui mox περιόντι.
[x] καταπροΐζεσθαι S.

37.

[a] Sic S.V. Wess. τοῦ om. Ald. A. ὡς δὲ δὴ καὶ ἐς τὸ Ἡ. M.P.K.F. τοῦ tamen pro τὸ P.K.F. Supra τε post θήκας om. S.
[b] Φοινικοῖσι S.V.
[c] οἱ om. a.
[d] πρώτῃσι P.
[e] ὄπωπε Schæfer. ἀπώπεεν S.
[f] Sic Ald. R. ὧδε σ. M.K.P. F.b. ἐγὼ σ. S.V.
[g] πυγμαίῳ Ald. S.
[h] δὲ om. S.V. Citat hæc Strabo X. p. 725=473.
[i] ἔστι γὰρ S.
[k] ὁ. τοῖσι τοῦ Ἡ. Ald. A.B.S. V. τοῦ Ἡφ. absque τοῖσι M.K.P. F. Thomas M. in Ὅμοια.

38 του δέ σφεας παῖδας λέγουσι εἶναι. [a]Πανταχῇ ὦν μοι
δῆλά ἐστι, ὅτι ἐμάνη μεγάλως ὁ Καμβύσης· οὐ γὰρ ἂν
2 ἱροῖσί τε καὶ [b]νομαίοισι ἐπεχείρησε καταγελᾶν. εἰ γάρ
τις [c]προθείη πᾶσι ἀνθρώποισι ἐκλέξασθαι κελεύων νόμους
τοὺς καλλίστους ἐκ τῶν πάντων νόμων, διασκεψάμενοι
[d]ἂν ἑλοίατο ἕκαστοι τοὺς ἑωυτῶν· οὕτω νομίζουσι [e]πολύ
3 τι καλλίστους τοὺς ἑωυτῶν νόμους ἕκαστοι εἶναι. οὔκων
[f]οἰκός ἐστι [g]ἄλλον γε δὴ ἢ μαινόμενον ἄνδρα γέλωτα
4 [h]τὰ τοιαῦτα τίθεσθαι. Ὡς δὲ οὕτω νενομίκασι τὰ περὶ
τοὺς νόμους [i]οἱ πάντες ἄνθρωποι, πολλοῖσί τε καὶ ἄλ-
λοισι τεκμηρίοισι πάρεστι σταθμώσασθαι, ἐν δὲ δὴ καὶ
5 τῷδε. Δαρεῖος ἐπὶ τῆς ἑωυτοῦ ἀρχῆς καλέσας Ἑλλήνων
τοὺς παρεόντας, εἴρετο " ἐπὶ [k]κόσῳ ἂν χρήματι βουλοίατο
" τοὺς [l]πατέρας ἀποθνήσκοντας κατασιτέεσθαι." οἱ δὲ
6 ἐπ' οὐδενὶ ἔφασαν ἔρδειν ἂν [m]τοῦτο. Δαρεῖος δὲ μετὰ
ταῦτα καλέσας Ἰνδῶν τοὺς καλεομένους [n]Καλλατίας, οἳ
τοὺς γονέας κατεσθίουσι, εἴρετο, παρεόντων τῶν Ἑλλήνων
7 καὶ δι' ἑρμηνέος μανθανόντων τὰ λεγόμενα, " ἐπὶ τίνι
" χρήματι δεξαίατ' ἂν τελευτέοντας τοὺς πατέρας κα-

Suis quamque gentem consuetudinibus hærere: Darii experimentum in Græcis et Calatiis, Indica natione.

38.
[a] πολλαχοῦ S. πολλαχῇ Eton. Mox ἂν om. S.
[b] νομίμοισι S.V.
[c] Sic Ald. Stobæus 23, 11. Wesselingius citat Diodor. I. 2., Lysiam p. 12. c.n. Taylori, Dionysium Hal. Ant. p. 662. A. c. n. Sylburgii. προσθείη P.S.V.F. Stobæi ed. Trinc. Origen. c. Cels. V. p. 603.
[d] Omnes Stobæi edd. ἀνελοίατο, etiam princeps Trincavelliana, licet aliter statuat Wesselingius.
[e] πολύ τι F.S. Vulg. πουλύ τι. cf. Koen. Gregor. Dial. Ion. 12.
[f] Sic M.K.P.F. Paris. εἰκὸς Origen. Ald. S.
[g] Sic S. ἄλλον γε ἢ Origen. ἄλλο γε ἢ Ald. F.c.
[h] Sic Paris. V.S. Orig. τὰ om. M.K.P.F.
[i] Sic S.V. Orig. οἱ om. F.a. et al.
[k] Sic M.P.V.K. Orig. F. Vulgo πόσῳ.
[l] πατέρας om. S.V.
[m] ταῦτα V.S.
[n] Sic F.a.b. Orig. Καλατίας V. S. cf. 97. Steph. Byz. in v. et Fabric. ad Sextum Emp. p. 184. Wesselingio citati.

“ τακαίειν πυρί.” οἱ δὲ, ἀμβώσαντες μέγα, [o]εὐφημέειν
8 μιν ἐκέλευον. [p]Οὕτω μέν νυν ταῦτα νενόμισται· καὶ ὀρ-
θῶς μοι δοκέει Πίνδαρος ποιῆσαι, νόμον πάντων βασιλέα
φήσας εἶναι.

39 Polycrates, Sami tyrannus, cum fratribus quomodo egerit: hospitium contrahit cum Amaside: vicinis infestus, bello felix: capti Lesbii, vincti fossam fodiunt.

Καμβύσεω δὲ ἐπ' Αἴγυπτον στρατευομένου, ἐποιή-
σαντο καὶ Λακεδαιμόνιοι στρατηίην ἐπὶ Σάμον τε καὶ
Πολυκράτεα τὸν Αἰάκεος, ὃς ἔσχε Σάμον ἐπαναστάς·
2 καὶ τὰ μὲν πρῶτα τριχῇ δασάμενος τὴν πόλιν, τοῖσι
ἀδελφεοῖσι [a]Πανταγνώτῳ καὶ Συλοσῶντι [b]ἔνειμε· μετὰ
δὲ, τὸν μὲν αὐτῶν ἀποκτείνας, τὸν δὲ νεώτερον Συλοσῶντα
ἐξελάσας, ἔσχε πᾶσαν [c]τὴν Σάμον· [d]ἴσχων δὲ, [e]ξεινηΐην
Ἀμάσι τῷ [f]Αἰγύπτου βασιλέϊ [g]συνεθήκατο, πέμπων τε
3 δῶρα, καὶ [h]δεκόμενος ἄλλα παρ' ἐκείνου. Ἐν χρόνῳ δὲ
ὀλίγῳ αὐτίκα τοῦ Πολυκράτεος τὰ πρήγματα αὔξετο,
καὶ ἦν βεβωμένα ἀνά τε τὴν Ἰωνίην, καὶ τὴν ἄλλην Ἑλ-
4 λάδα. ὅκου γὰρ ἰθύσειε στρατεύεσθαι, πάντα οἱ ἐχώρεε
εὐτυχέως. [i]ἔκτητο δὲ πεντηκοντέρους τε ἑκατὸν, καὶ χι-
λίους τοξότας· [k]ἔφερε δὲ καὶ ἦγε πάντας, διακρίνων οὐ-
5 δένα. τῷ γὰρ φίλῳ ἔφη χαριεῖσθαι μᾶλλον ἀποδιδοὺς
6 τὰ ἔλαβε, ἢ ἀρχὴν μηδὲ λαβών. συχνὰς μὲν δὴ τῶν νή-
σων αἱρήκεε, πολλὰ δὲ καὶ τῆς ἠπείρου ἄστεα· ἐν δὲ δὴ
καὶ Λεσβίους, πανστρατιῇ βοηθέοντας Μιλησίοισι, ναυ-

[o] Sic Orig. εὐφημεῖν al. Supra τελευτῶντας S.

[p] Sic a.c.S.V. Orig. Ald. μὲν om. M.P.K.F.b.

39.

[a] Πανταγνώστῳ F. Supra εἶχε S.

[b] διένειμε S.V. Mox vulgo αὐτέων.

[c] τὴν om. S.V.K.P.F.a.

[d] ἔχων S.

[e] Sic M.K.F.P. ξεινίην S. Ald. al. cf. I. 27. φιλίην Steph. marg.

[f] Sic R.S.V.M.P.K.F. Paris. Αἰγυπτίων edd. vett.

[g] φιλίην συνεθ. K.M.P. sed φιλίην om. F. Paris. S. et al. Mox δῶρά τε S.

[h] δεχόμενος F. Mox ηὔξετο S.

[i] Sic A.B. Ald. R.F. cf. II. 108. Eustath. Hom. Il. p. 759, 41=662, 39. ἐκέκτητο M.P.V. S.d.

[k] Citat Eustathius p. 573, 18=435, 35.

μαχίῃ κρατήσας εἷλε, οἳ τὴν τάφρον περὶ τὸ τεῖχος τὸ ἐν
40 Σάμῳ πᾶσαν [1]δεδεμένοι ὤρυξαν. Καί κως τὸν Ἄμασιν
εὐτυχέων [a]μεγάλως ὁ Πολυκράτης οὐκ ἐλάνθανε, ἀλλά
2 οἱ τοῦτ' ἦν ἐπιμελές. πολλῷ [b]δὲ ἔτι πλεῦνός οἱ εὐτυχίης
γινομένης, γράψας ἐς βιβλίον τάδε, ἐπέστειλε ἐς Σάμον· 216
3 " [c]Ἄμασις Πολυκράτει ὧδε λέγει. Ἡδὺ μὲν πυνθάνε-
" σθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα· ἐμοὶ δὲ αἱ
" σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσι, [d]τὸ θεῖον ἐπι-
4 " σταμένῳ ὡς ἔστι φθονερόν. καί κως βούλομαι, καὶ
" αὐτὸς, καὶ τῶν ἂν κήδωμαι, τὸ [e]μέν τι εὐτυχέειν τῶν
" πρηγμάτων, τὸ δὲ προσπταίειν· καὶ οὕτω διαφέρειν
" τὸν αἰῶνα ἐναλλὰξ πρήσσων, [f]ἢ εὐτυχέειν τὰ πάντα.
5 " οὐδένα γάρ κω λόγῳ οἶδα ἀκούσας, [g]ὅστις ἐς τέλος οὐ
6 " κακῶς ἐτελεύτησε πρόρριζος, εὐτυχέων τὰ πάντα. [h]Σὺ
" ὦν νῦν ἐμοὶ [i]πειθόμενος, [k]ποίησον πρὸς τὰς εὐτυχίας
" τοιάδε· φροντίσας τὸ ἂν [l]εὕρῃς ἐόν τοι πλείστου ἄξιον,
" καὶ ἐπ' ᾧ σὺ ἀπολομένῳ μάλιστα τὴν ψυχὴν ἀλγή-
" σεις, τοῦτο ἀπόβαλε οὕτω, ὅκως μηκέτι [m]ἥξει ἐς ἀν-
7 " θρώπους. ἤν τε μὴ ἐναλλὰξ [n]ἤδη τὸ ἀπὸ τούτου αἱ εὐ-

Amasidis ad Polycratem epistola.

[1] δεδεσμένοι b.

40.

[a] ὁ Πολυκρ. μεγάλως b.

[b] Sic M.K.P.S.V. δέ τοι Ald. οὐκ ἐλάνθ.—πλεῦνος om. F. Mox γινόμενος S.

[c] Ἄμασις εὐτυχέων τὰ πάντα citat Stobæus 112, 15.

[d] Sic F. Ald. al. ἐπιστ. τὸ θ. S.V. Stob. ut I. 32.

[e] μέν τοι F.d. et Stobæi ms.

[f] Sic Stob. V.S.F. al. ἢ εὐτυχέων Ald. M.K.P.c. οὐδένα—τὰ πάντα non vertit Valla. οὐδὲν pro οὐδένα S.

[g] Sic Stob. Paris. V.S. Ald. ὅστις ἕτερος M.P.K.F.

[h] Sic S.V. Paris. Stob. Ald. ὦν om. M.K.P.F.

[i] πυθόμενος V.S.

[k] ποίησον M. in marg.

[l] Sic M.K.S.V.P.F. Paris. Alii εὕροις.

[m] Sic P.S.F. al. cf. 36. 135. Dawes. Misc. p. 293. ἥξῃ Ald. M. al.

[n] Vulgo ἤδη αἱ εὐτυχίαι τοι τὠπὸ τοῦδε αὐτοῖσι πάθεσι. S.V. τὸ ἀπὸ τούτου αἱ εὐτυχίαι τοι ταῖς πάθαις. F., et ut credibile est M.P.K. ἤδη τὠπὸ τούτου αἱ εὐτυχίαι τοι αὐταῖσι πάθαισι. Wesselingius cum Gronovio αἱ εὐ. τοιαυταῖσι.

“ τυχίαι τοι ταῖσι πάθαισι προσπίπτωσι, τρόπῳ τῷ ἐξ

41 “ ἐμεῦ ὑποκειμένῳ ἀκέο.” Ταῦτα ἐπιλεξάμενος ὁ Πολυκράτης, καὶ [a] νόῳ λαβὼν ὥς οἱ εὖ [b] ὑπετίθετο Ἄμασις, 217
[c] ἐδίζητο ἐπ᾽ ᾧ ἂν μάλιστα τὴν ψυχὴν [d] ἀσηθείη ἀπολο- 76
2 μένῳ τῶν κειμηλίων· διζήμενος δ᾽ εὕρισκε τόδε. [e] ἦν οἱ σφρηγὶς τὴν ἐφόρεε χρυσόδετος, σμαράγδου μὲν λίθου ἐοῦσα, [f] ἔργον δὲ ἦν Θεοδώρου τοῦ [g] Τηλεκλέος Σαμίου· ἐπεὶ ὦν ταύτην οἱ ἐδόκεε ἀποβαλέειν, ἐποίεε [h] τοιάδε.
3 [i] πεντηκόντερον [k] πληρώσας ἀνδρῶν, ἐσέβη ἐς αὐτήν· μετὰ δὲ, ἀναγαγεῖν [l] ἐκέλευε ἐς τὸ πέλαγος· ὡς δὲ ἀπὸ τῆς νήσου ἑκὰς ἐγένετο, περιελόμενος τὴν σφρηγῖδα, πάντων [m] ὁρεόντων τῶν συμπλόων, ῥίπτει ἐς τὸ πέλαγος· τοῦτο δὲ ποιήσας, [n] ἀπέπλεε. ἀπικόμενος δὲ ἐς τὰ οἰκία, συμ-

Polycrates annulum a Theodoro Samio scalptum, detractum de digito in mare abjicit.

42 φορῇ ἐχρῆτο. Πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπὸ τούτων, τάδε οἱ συνήνεικε γενέσθαι. ἀνὴρ ἁλιεὺς, λαβὼν ἰχθὺν μέγαν τε καὶ καλὸν, ἠξίου μιν Πολυκράτεϊ δῶρον δοθῆναι· [a] φέρων δὴ ἐπὶ τὰς θύρας, Πολυκράτεϊ ἔφη [b] ἐθέλειν ἐλθεῖν ἐς
2 ὄψιν. χωρήσαντος δέ οἱ τούτου, ἔλεγε, διδοὺς τὸν ἰχθῦν, “ Ὦ βασιλεῦ, ἐγὼ τόνδε ἑλὼν, οὐκ ἐδικαίωσα φέρειν ἐς “ ἀγορὴν, [c] καίπερ γε ἐὼν ἀποχειροβίωτος, ἀλλά μοι

In alvo piscis, Polycrati dono dati, annulus inventus.

41.

[a] ἐν νόῳ S.V. Vulg. defendit Wesselingius conferens c. 143.
[b] Sic M.K.P.F. ὑποτιθεῖτο ὁ Ἄμασις S. ὑποτίθοιτο Ald.
[c] Sic S.K.F. Paris. ἐδίζετο Ald.
[d] Sic Ald. V.S.A.B.R. ἀσθείη M.P.K.F.b.d. Mox τόδε εὕρισκεν S.
[e] ἦν ἡ σφ. S.V. et mox χρυσόδετος ἀπολεσθῇ S.
[f] Sic F.a.S. ἔργον ἦν δὲ V.P.K. ἦν δὲ ἔργον edd. vett.
[g] Τιμεκλέος S. Τημακλέος V. Mox ἐδόκεέν οἱ S.
[h] Sic M.S.V.P.K.F. Paris. τάδε vulgo.
[i] πεντηκόντορον b.
[k] πλήσας d.
[l] Sic M.S.V.P.K.F. Paris. ἐκέλευσε Ald.
[m] ὀρεώντων F. ὁρώντων S.
[n] ἐπέπλεεν S.

42.

[a] Sic V.F. Paris. Alii φ. δὲ cum S.
[b] θέλειν S.V.
[c] Sic V.S. γε om. F.c.b. al. Mox ἀποχειροβίοτος S.

" ἐδόκεε σεῦ τε εἶναι ἄξιος καὶ τῆς σῆς ἀρχῆς· σοὶ δή
3 " μιν φέρων δίδωμι." Ὁ δὲ, ἡσθεὶς τοῖσι ἔπεσι, ἀμείβεται [d]τοῖσδε· " Κάρτα τε εὖ ἐποίησας, καὶ χάρις διπλέη " τῶν τε λόγων καὶ τοῦ δώρου· καί σε ἐπὶ δεῖπνον κα-
4 " λέομεν." Ὁ μὲν δὴ ἁλιεὺς, [e]μέγα ποιεύμενος ταῦτα, ἤιε ἐς τὰ οἰκία· τὸν δὲ ἰχθῦν τάμνοντες οἱ θεράποντες, εὑρίσκουσι ἐν τῇ νηδύϊ αὐτοῦ ἐνεοῦσαν τὴν Πολυκράτεος σφρη-
5 γῖδα. ὡς δὲ εἶδόν τε καὶ ἔλαβον τάχιστα, ἔφερον [f]κεχαρηκότες παρὰ τὸν Πολυκράτεα· διδόντες δέ οἱ τὴν
6 σφρηγῖδα, ἔλεγον ὅτεῳ τρόπῳ [g]εὑρέθη. Τὸν δὲ ὡς ἐσῆλθε θεῖον [h]εἶναι τὸ πρῆγμα, γράφει ἐς βιβλίον πάντα, τὰ ποιήσαντά μιν οἷα [i]καταλελαβήκεε· γράψας δὲ, ἐς Αἴ-
43 γυπτον ἐπέθηκε. Ἐπιλεξάμενος δὲ ὁ Ἄμασις τὸ βιβλίον τὸ παρὰ τοῦ Πολυκράτεος ἧκον, ἔμαθε ὅτι [a]ἐκκομίσαι τε ἀδύνατον εἴη ἀνθρώπῳ ἄνθρωπον ἐκ τοῦ μέλλοντος γίνεσθαι πρήγματος, καὶ [b]ὅτι οὐκ εὖ τελευτήσειν [c]μέλλει Πολυκράτης, εὐτυχέων τὰ πάντα· ὃς καὶ τὰ ἀποβάλλει, εὑ-
2 ρίσκει. πέμψας δέ οἱ κήρυκα ἐς Σάμον, διαλύεσθαι ἔφη τὴν ξεινίην. [d]τοῦ δὲ [e]εἵνεκα ταῦτα ἐποίεε, ἵνα μὴ, συντυχίης δεινῆς τε καὶ μεγάλης Πολυκράτεα καταλαβούσης, αὐτὸς ἀλγήσειε τὴν ψυχὴν ὡς περὶ [f]ξείνου ἀνδρός.

Amasis renuntiat 218 hospitio cum Polycrate.

44 Ἐπὶ τοῦτον δὴ ὦν τὸν Πολυκράτεα, εὐτυχέοντα τὰ πάντα, ἐστρατεύοντο Λακεδαιμόνιοι, ἐπικαλεσαμένων τῶν μετὰ ταῦτα Κυδωνίην τὴν ἐν Κρήτῃ κτισάντων Σαμίων.

Polycrates quos e Samiis habebat suspectos, Cam-

[d] τοιάδε V. Mox ἐπὶ δειπνόν σε S.
[e] μεγάλα V.S.
[f] κεχαρηκότες c.b.S.V. Ald. κεχαρικότες a. κεχαρηότες M.K. P.F.
[g] Sic S.V.R.K.P.F. Paris. εὑρεθείη M. Ald.
[h] εἶναι om. V.S.
[i] Sic K.P.F. Paris. καταλελάβηκε S. edd. vett.

43.
[a] ἐκκομίσειν τε S. ἐκκομίσειαι F.
[b] Sic M.P.K.V.S.F. Paris. ὅτι ὡς οὐκ εὖ vulgo.
[c] μέλλοι V.S.
[d] Sic F. Schæfer. cf. VIII. 85. Vulgo τοῦδε.
[e] εἵνεκεν F.S. Mox ἀλγήσει S.
[f] Sic V.S.M.P.K.F. ἀνδρὸς om. Ald. c.

bysi a. 526 Ægyptum invadenti auxilio mittit.

2 [a]Πολυκράτης δὲ πέμψας παρὰ Καμβύσεα τὸν Κύρου, συλλέγοντα στρατὸν ἐπ' Αἴγυπτον, ἐδεήθη ὅκως ἂν καὶ
3 [b]παρ' ἑωυτὸν πέμψας ἐς Σάμον, δέοιτο στρατοῦ. Καμβύσης δὲ ἀκούσας τούτων, προθύμως [c]ἔπεμψε ἐς Σάμον, [d]δεόμενος Πολυκράτεος στρατὸν ναυτικὸν ἅμα πέμψαι
4 ἑωυτῷ ἐπ' Αἴγυπτον. ὁ δὲ, ἐπιλέξας τῶν ἀστῶν τοὺς ὑπώπτευε μάλιστα ἐς ἐπανάστασιν, ἀπέπεμπε τεσσεράκοντα τριήρεσι, ἐντειλάμενος Καμβύσῃ ὀπίσω τούτους μὴ ἀποπέμπειν.

Samii redeuntes Polycratem prælio navali vincunt: egressi, et in terra victi, Lacedæmonem classe abeunt: errare, qui Samiis etiam terrestrem victoriam tribuant.

45 Οἱ μὲν δὴ λέγουσι τοὺς ἀποπεμφθέντας Σαμίων [a]ὑπὸ Πολυκράτεος οὐκ ἀπικέσθαι ἐς Αἴγυπτον· ἀλλ' ἐπεί τε [b]ἐγένοντο ἐν Καρπάθῳ πλέοντες, δοῦναί σφι λόγον, καί σφι ἁδεῖν τὸ προσωτέρω μηκέτι πλέειν· οἱ δὲ λέγουσι, ἀπικομένους τε ἐς Αἴγυπτον καὶ φυ-
2 λασσομένους, ἐνθεῦτεν αὐτοὺς ἀποδρῆναι· καταπλέουσι δὲ ἐς τὴν Σάμον Πολυκράτης νηυσὶ ἀντιάσας, ἐς μάχην κατέστη· νικήσαντες δὲ οἱ κατιόντες, ἀπέβησαν ἐς τὴν νῆσον· πεζομαχήσαντες δὲ ἐν αὐτῇ, [c]ἑσσώθησαν· καὶ
3 οὕτω δὴ ἔπλεον ἐς Λακεδαίμονα. Εἰσὶ δὲ, οἳ λέγουσι τοὺς ἀπ' Αἰγύπτου νικῆσαι Πολυκράτεα· λέγοντες, ἐμοὶ δοκέειν, οὐκ ὀρθῶς. οὐδὲν γὰρ [d]ἔδεε σφέας Λακεδαιμονίους [e]ἐπικαλέεσθαι, εἴπερ αὐτοὶ [f]ἱκανοὶ ἦσαν Πολυκράτεα
4 παραστήσασθαι. πρὸς δὲ [g]τούτοισι, οὐδὲ λόγος αἱρέει, τῷ [h]ἐπίκουροί τε μισθωτοὶ καὶ τοξόται οἰκήϊοι ἦσαν πλή- 219

44.

[a] Sic M.K.P.F. πέμψας δὲ κήρυκα λάθρη Σαμίων Πολυκράτης π. Καμ. a.c.S.V.R. Ald.

[b] παρ' αὐτὸν S.V.

[c] Sic P.K.F. ἔπεμπε vulgo cum S.

[d] Sic P.K.F. δεησόμενος S. al.

45.

[a] ὑπὸ Πολυκράτεος om. M. P. K.F.

[b] ἐγίνοντο F. Mox σφισι S. et τῷ προσωτ. Infra αὐτοὺς ἐνθεῦτεν.

[c] ἐσώθησαν S. qui mox οὕτω δέ.

[d] Sic Schweighæuser. ἔδε F. ἔδει S. vulgo.

[e] ἐπικαλέσασθαι S.V.

[f] ἦσαν ἱκανοὶ F.

[g] τούτῳ S.V.

[h] Sic Ald. S.V.A.B. τε om. M.P.K.F.

θεῖ πολλοὶ, [i]τοῦτον ὑπὸ τῶν κατιόντων Σαμίων, ἐόντων ὀλί-
5 γων, ἐσσωθῆναι. τῶν δὲ ὑπ' [k]ἑωυτῷ ἐόντων πολιητέων τὰ τέκνα καὶ τὰς γυναῖκας ὁ Πολυκράτης ἐς τοὺς νεωσοίκους συνειλήσας, εἶχε ἑτοίμους, ἢν ἄρα προδιδῶσι οὗτοι πρὸς τοὺς
46 κατιόντας, ὑποπρῆσαι αὐτοῖσι τοῖσι νεωσοίκοισι. Ἐπεί τε δὲ οἱ [a]ἐξελασθέντες Σαμίων ὑπὸ Πολυκράτεος ἀπίκοντο ἐς τὴν Σπάρτην, καταστάντες ἐπὶ τοὺς ἄρχοντας, ἔλεγον
2 πολλὰ, οἷα κάρτα δεόμενοι. οἱ δέ σφι τῇ πρώτῃ καταστάσει ὑπεκρίναντο, τὰ μὲν πρῶτα λεχθέντα [b]ἐπιλεληθέναι, τὰ δὲ ὕστερα οὐ συνιέναι. μετὰ δὲ ταῦτα, δεύτερα καταστάντες, ἄλλο μὲν εἶπον οὐδὲν, θύλακον δὲ φέροντες,
3 ἔφασαν "[c]τὸν θύλακον ἀλφίτων δέεσθαι." οἱ δέ σφι ὑπεκρίναντο, τῷ θυλάκῳ [d]περιεργάσθαι· βοηθέειν δ' ὦν
47 ἔδοξε αὐτοῖσι. Καὶ ἔπειτα παρασκευασάμενοι ἐστρατεύοντο Λακεδαιμόνιοι ἐπὶ Σάμον· ὡς μὲν Σάμιοι λέγουσι, εὐεργεσίας [a]ἐκτίνοντες, ὅτι σφι πρότεροι αὐτοὶ νηυσὶ ἐβοή-
2 θησαν ἐπὶ Μεσσηνίους· ὡς δὲ Λακεδαιμόνιοι λέγουσι, [b]οὐκ οὕτω τιμωρῆσαι δεομένοισι [c]Σαμίοισι ἐστρατεύοντο, ὡς τίσασθαι βουλόμενοι τοῦ κρητῆρος τῆς ἁρπαγῆς, τὸν ἦγον Κροίσῳ, καὶ τοῦ θώρηκος τὸν αὐτοῖσι Ἄμασις ὁ Αἰ-

Samii a Lacedæmoniis opem frustra multis verbis petitam, ostenso farinæ sacco vacuo impetrant.

Quo animo Lacedæmonii susceperint expeditionem in Samum: Lacedæmoniis in bello adversus Messenios ab a. 685 ad 671 Samii navibus

[i] τούτων S.

[k] ἑωυτὸν S. Citat hæc Suidas in Νεώσοικοι, cujus edd. præbent infra ἑτοίμως, et mox αὐτοῖσι νεωσ. absque τοῖσι. Frustra Suidæ auctoritate in ejiciendo articulo usus est Wesselingius, quippe cujus mss. cum omnibus Herodoti exemplaribus concordant.

46.

[a] ἐξελαθέντες Ald. V. ἐξελασθέντες M.P.K.F.S. Schweigh. confert I. 168. 173. III. 51.

[b] Sic S.V. ἐπιλελῆσθαι—ὕστατα F. Paris. et vulg. Quatuor voces habet M. in marg.

[c] Sic M.P.K.V.S.R. Paris. τὸν, ἀλφίτων Ald. absque θύλακον. τὸν θύλακα ἀλφίτων F. θύλακον delevit Schæferus, Valckenærii sc. judicium secutus. Monet autem Schweigh. Lacedæmoniorum responsum indicare vocabulo θύλακον hic usos esse Samios.

[d] Sic F.a. περιειργάσθαι vulgo. περιεργάσασθαι V.S. et P. pro v. l. Tum βοηθεῖν S.

47.

[a] ἐκτείνοντες S. Ald.

[b] Sic M.S.V.K.P.F. Paris. οὔκω τι vulgo. Mox δεόμενοι S. Vid. Plutarch. II. p. 859. B.

[c] Σαμίων d.

auxilio: Samii craterem a Lacedæmoniis Crœso missum a. 546, [1, 70] et singularis operis thoracem ab Amaside Lacedæmoniis missum a. 547 intercipiunt.

3 γύπτου βασιλεὺς ἔπεμψε δῶρον. καὶ γὰρ θώρηκα ἐληΐ-
σαντο τῷ προτέρῳ ἔτεϊ ἢ τὸν κρητῆρα οἱ Σάμιοι· ἐόντα
μὲν λίνεον, καὶ ζώων ἐνυφασμένων [d] συχνῶν, κεκοσμημένον
4 δὲ χρυσῷ καὶ [e] εἰρίοισι ἀπὸ ξύλου. τῶν δὲ εἵνεκα θωυμά-
σαι ἄξιον, [f] ἁρπεδόνη ἑκάστη [g] τοῦ θώρηκος ποιέει· ἐοῦσα
γὰρ λεπτὴ, ἔχει ἁρπεδόνας ἐν ἑωυτῇ [h] τριηκοσίας καὶ ἑξή-
κοντα, πάσας φανεράς. τοιοῦτος ἕτερός ἐστι καὶ τὸν ἐν
Λίνδῳ ἀνέθηκε τῇ Ἀθηναίῃ Ἄμασις.

48

Adjuvant expeditionem Corinthii: pueros Corcyræos a Periandro ad Alyattem ut castrarentur missos c. a. 586, Samii ad se appulsos, quomodo servarint.

[a] Συνεπελάβοντο δὲ τοῦ στρατεύματος τοῦ ἐπὶ Σάμον,
2 ὥστε γενέσθαι, καὶ Κορίνθιοι προθύμως. ὕβρισμα γὰρ
καὶ ἐς τούτους εἶχε ἐκ τῶν Σαμίων γενόμενον γενεῇ πρό-
τερον τοῦ στρατεύματος τούτου, [b] κατὰ δὲ τὸν αὐτὸν χρόνον
3 τοῦ κρητῆρος τῇ ἁρπαγῇ γεγονός. [c] Κερκυραίων γὰρ παῖ-
δας [d] τριηκοσίους ἀνδρῶν τῶν πρώτων Περίανδρος ὁ Κυψέ-
λου ἐς Σάρδις ἀπέπεμψε παρὰ Ἀλυάττεα ἐπ' ἐκτομῇ.
4 [e] προσχόντων δὲ ἐς τὴν Σάμον τῶν ἀγόντων τοὺς παῖδας
Κορινθίων, πυθόμενοι οἱ Σάμιοι τὸν λόγον, [f] ἐπ' οἷσι ἀγοί-
ατο ἐς Σάρδις, πρῶτα μὲν τοὺς παῖδας ἐδίδαξαν ἱροῦ
ἅψασθαι Ἀρτέμιδος· μετὰ δὲ, οὐ [g] περιορέοντες ἀπέλ-
κειν τοὺς ἱκέτας ἐκ τοῦ ἱροῦ, σιτίων δὲ τοὺς παῖδας ἐρ-
γόντων Κορινθίων, ἐποιήσαντο οἱ Σάμιοι ὁρτὴν, τῇ καὶ νῦν
5 ἔτι [h] χρέωνται κατὰ [i] ταὐτά. νυκτὸς γὰρ ἐπιγενομένης,

[d] συχνῶν κ. δὲ om. S.V.
[e] ἐρίοισιν S.V.
[f] Hinc Pollux VII. 31. qui ἁρπεδόνας interpretatur τὰ νήματα.
[g] τοῦ θώρηκος om. S.
[h] τριηκοσίους M.

48.

[a] συνεπιλάβοντο V. Schæfer. Citat h. l. Plutarch. II. p. 859. E. Mox τοῦ τούτου στρατεύματος S.
[b] Sic F.S. κατὰ δὴ vulgo.
[c] Κερκυρέων S.V. et sic mox.
[d] Sic P.K. Paris. F.S.V. Plutarch. τριηκοσίων vulgo.
[e] προσσχόντων F. Vulgo προσχόντων cum S. Mox πρὸς V.S. pro ἐς.
[f] ἐπεὶ συνάγοιντο S.V. Post ἀγοίατο addit Ald. οἱ παῖδες, sed om. mss.
[g] περιορέωντες F. περιορῶντες S. Mox τῶν Κορινθίων malit Schweighæuser.
[h] Sic F.S. et al. χρέονται a.c. Schæfer.
[i] τοῦτο S.V. πάντα d.

ὅσον χρόνον [k]ἱκέτευον οἱ παῖδες, ἵστασαν χοροὺς [l]παρθέ-
νων τε καὶ ἠϊθέων· ἱστάντες δὲ τοὺς χορούς, τρωκτὰ ση-
σάμου τε καὶ μέλιτος ἐποιήσαντο νόμον φέρεσθαι, ἵνα ἁρ-
6 πάζοντες οἱ τῶν Κερκυραίων παῖδες ἔχοιεν τροφήν. ἐς
τοῦτο [m]δὲ τόδε [n]ἐγίνετο, ἐς ὃ οἱ Κορίνθιοι, τῶν παίδων οἱ
φύλακοι, [o]οἴχοντο ἀπολιπόντες· τοὺς δὲ παῖδας ἀπήγα-
γον ἐς Κέρκυραν οἱ Σάμιοι.

Corinthiis perpetuæ inimicitiæ cum Corcyræis a prima horum origine.

49 Εἰ μέν νυν Περιάνδρου τελευ-
τήσαντος [a]τοῖσι Κορινθίοισι φίλα ἦν πρὸς τοὺς Κερκυραί-
ους, οἱ δὲ οὐκ ἂν συνελάβοντο τοῦ στρατεύματος τοῦ ἐπὶ
2 Σάμον ταύτης [b]εἵνεκεν τῆς αἰτίης. νῦν δὲ αἰεί, ἐπεί τε
ἔκτισαν τὴν νῆσον, εἰσὶ [c]διάφοροι ἐόντες ἑωυτοῖσι. τούτων
ὧν εἵνεκεν ἀπεμνησικάκεον τοῖσι Σαμίοισι οἱ Κορίνθιοι. 221
3 [d]Ἀπέπεμπε δὲ ἐς Σάρδις ἐπ᾽ ἐκτομῇ Περίανδρος, τῶν
πρώτων Κερκυραίων ἐπιλέξας τοὺς παῖδας, τιμωρεύμενος·
[e]πρότεροι γὰρ οἱ Κερκυραῖοι ἦρξαν ἐς αὐτὸν πρῆγμα ἀτά-
σθαλον ποιήσαντες.

Periandri uxor, filii, socer: filius minor a patre domo ejectus.

50 Ἐπεί τε γὰρ τὴν ἑωυτοῦ γυναῖκα
Μέλισσαν Περίανδρος ἀπέκτεινε, συμφορὴν τοιήνδε οἱ ἄλ-
λην συνέβη πρὸς τῇ γεγονυίῃ γενέσθαι. ἦσάν οἱ ἐκ Με-
λίσσης δύο παῖδες, ἡλικίην ὁ μέν, ἑπτακαίδεκα, ὁ δέ,
2 ὀκτωκαίδεκα [a]ἔτεα γεγονώς. τούτους ὁ μητροπάτωρ
[b]Προκλῆς, ἐὼν Ἐπιδαύρου τύραννος, μεταπεμψάμενος

[k] ἱκετεύοντο S.V.

[l] παρθένων—χοροὺς om. S.

[m] Sic S.V. Vulgo δέ οἱ. Valcken. τόδε σφι.

[n] ἐγίνετο S.P.K.F.a. Schæfer. ἐγίγνετο d. ἐγένετο vulg. ἔτι ἐς τωυτὸν addunt S.V.

[o] Sic K.M.P.F. Paris. ᾤχοντο S.V. οἴχοιντο Ald. Valcken.

49.

[a] φιλία ἦν τοῖσι Κορινθίοισι V.S.

[b] Sic V.S.M.K.P.F. Paris. ἕνεκα vulg.

[c] ἀλλήλοισι διάφοροι ἐόντες ἑωυτοῖσι. Sic plerique libri. ἀλλήλοισι cum Schæfero abjecit Schweighæuserus, utpote natum ex interpretatione alterius ἑωυτοῖσι. Sed ne sic quidem locus perpurgatus videtur. Pro ἑωυτοῖσι S. habet ἑωυτοί.

[d] Sic P.K.F. ἀπέπεμπεν M. ἔπεμπε Ald. V.S. ἔπεμψε Steph. marg. Mox τιμωρεόμενος S.

[e] πρότερον V.S. Mox οἱ Κερκ.—ἐπεί τε γὰρ om. S.

50.

[a] ἔτεα om. S. qui supra μελίττης.

[b] Πατροκλῆς b.

παρ᾽ ἑωυτὸν, [c]ἐφιλοφρονέετο, ὡς εἰκὸς ἦν, θυγατρὸς ἐόν-
3 τας τῆς ἑωυτοῦ παῖδας. ἐπεί [d]τε δέ σφεας ἀπεπέμπετο,
εἶπε προπέμπων αὐτούς· "Ἆρα ἴστε, ὦ παῖδες, ὃς ὑμέ-
4 "ων τὴν μητέρα ἀπέκτεινε;" Τοῦτο τὸ ἔπος ὁ μὲν πρεσ-
βύτερος αὐτῶν ἐν οὐδενὶ λόγῳ ἐποιήσατο· ὁ δὲ νεώτερος,
τῷ οὔνομα ἦν Λυκόφρων, ἤλγησε ἀκούσας οὕτω, ὥστε
ἀπικόμενος ἐς τὴν Κόρινθον, ἅτε φονέα τῆς μητρὸς τὸν
πατέρα οὔτε [e]προσεῖπε, διαλεγομένῳ τε [f]οὔτε προσδιελέ-
5 γετο, ἱστορέοντί τε λόγον οὐδένα ἐδίδου. τέλος δέ μιν,
[g]πέρι θυμῷ ἐχόμενος, ὁ Περίανδρος [h]ἐξελαύνει ἐκ τῶν οἰ-
κίων. Ἐξελάσας δὲ τοῦτον, ἱστόρεε τὸν [a]πρεσβύτερον τά

51 Patris ad sæviendum, et filii ad patiendum obstinatio.

σφι ὁ μητροπάτωρ διελέχθη. ὁ δέ οἱ [b]ἀπηγέετο, ὥς
σφεας φιλοφρόνως ἐδέξατο· ἐκείνου δὲ τοῦ ἔπεος τό σφι
ὁ Προκλῆς ἀποστέλλων εἶπε, ἅτε οὐ νόῳ λαβὼν, οὐκ ἐμέ-
2 μνητο. Περίανδρος δὲ [c]οὐδεμίαν μηχανὴν ἔφη εἶναι μὴ
οὔ σφι ἐκεῖνον ὑποθέσθαι τι· ἐλιπάρεέ τε ἱστορέων. ὁ δὲ,
3 ἀναμνησθεὶς, εἶπε καὶ τοῦτο. Περίανδρος δὲ νόῳ λαβὼν
καὶ τοῦτο, καὶ μαλακὸν ἐνδιδόναι βουλόμενος οὐδὲν, ᾗ ὁ
[d]ἐξελασθεὶς [e]ὑπ᾽ αὐτοῦ παῖς δίαιταν ἐποιέετο, ἐς τούτους
4 πέμπων ἄγγελον, ἀπηγόρευε μή μιν δέκεσθαι οἰκίοισι. ὁ
δὲ, ὅκως ἀπελαυνόμενος ἔλθοι ἐς ἄλλην οἰκίην, [f]ἀπελαύ-
νετ᾽ ἂν καὶ ἀπὸ ταύτης, [g]ἀπειλέοντός τε τοῦ Περιάνδρου
5 τοῖσι δεξαμένοισι, καὶ [h]ἐξέργειν κελεύοντος. ἀπελαυνό-

[c] Sic R.M.K.P.F. Paris. ἐφιλοφρόνεέ τε Ald. S.V.
[d] τε om. V.S. ἀπέπεμπε, τὸ, S.
[e] προεῖπε S. Vall. Mox διαλεγομένου S.
[f] οὐ Schweigh. cum edd. vett. οὔτε V.S.F. Paris. Wessel. οὔ τι Reiz. προδιελέγετο S.
[g] περιθύμως Wessel. ex S.
[h] ἐξελαύνει οἱ ἐκ S.

51.

[a] πρεσβύτατον P.K.F.
[b] ἀπηγήσατο F.
[c] οὐδεμίην] οὐδεμίαν F.S. Mox ἐλιπάρει S.
[d] Sic M.K.S.F.c.b. vulgo ἐξελαθείς. cf. ad I. 168. 173. III. 46.
[e] ὑπὸ ἑωυτοῦ S.V.
[f] ἀπηλαύνετ᾽ F.
[g] ἐπιλέγοντος S.
[h] Sic F. a. ἐξείργειν S. edd. ante Reiz.

μενος [i]δ' ἂν ἤϊε ἐπ' ἑτέρην τῶν ἑταίρων· οἱ δὲ, ἅτε Περι-
άνδρου ἐόντα παῖδα, καίπερ δειμαίνοντες, ὅμως [k]ἐδέκοντο.
52 Τέλος δὲ ὁ Περίανδρος [a]κήρυγμα ἐποιήσατο, ὃς ἂν [b]ἢ οἰ-
κίοισι ὑποδέξηταί μιν, ἢ προσδιαλεχθῇ, ἱρὴν ζημίην τοῦτον
τῷ Ἀπόλλωνι ὀφείλειν, ὅσην δὴ εἴπας. πρὸς ὦν δὴ τοῦτο
τὸ κήρυγμα, οὔτε τίς οἱ διαλέγεσθαι, οὔτε οἰκίοισι δέκε-
σθαι ἤθελε· πρὸς δὲ, οὐδὲ αὐτὸς ἐκεῖνος ἐδικαίευ πειρᾶ- 222
σθαι ἀπειρημένου, ἀλλὰ διακαρτερέων ἐν τῇσι [c]στοῇσι
2 ἐκαλινδέετο. τετάρτῃ δ' ἡμέρῃ ἰδών μιν ὁ Περίανδρος
ἀλουσίῃσί τε καὶ ἀσιτίῃσι συμπεπτωκότα, οἴκτειρε· ὑπεὶς
3 δὲ τῆς ὀργῆς, ἤϊε ἆσσον, καὶ ἔλεγε· "Ὦ παῖ, κότερα
" τούτων αἱρετώτερά ἐστι, ταῦτα τὰ νῦν ἔχων πρήσσεις,
" ἢ τὴν τυραννίδα καὶ [d]ἀγαθὰ τὰ νῦν ἐγὼ ἔχω, ταῦτα,
" ἐόντα τῷ πατρὶ ἐπιτήδεον, παραλαμβάνειν; ὃς ἐὼν
" ἐμός τε παῖς, καὶ Κορίνθου τῆς εὐδαίμονος βασιλεὺς,
" ἀλήτην βίον εἵλευ, ἀντιστατέων [e]τε καὶ ὀργῇ χρεώμενος
4 " ἐς τόν σε ἥκιστα ἐχρῆν. εἰ γάρ τις συμφορὴ ἐν [f]αὐ-
" τοῖσι ἐγεγόνεε, ἐξ ἧς ὑποψίην ἐς ἐμὲ ἔχεις· [g]ἐμοί τε
" αὕτη γέγονε, καὶ ἐγὼ αὐτῆς τὸ πλεῦν μέτοχός εἰμι,
5 " [h]ὅσῳ αὐτός [i]σφε [k]ἐξεργασάμην. σὺ δὲ μαθὼν [l]ὅσῳ
" φθονέεσθαι κρέσσον ἐστὶ ἢ οἰκτείρεσθαι, ἅμα τε ὁκοῖόν
" τι ἐς τοὺς [m]τοκέας καὶ ἐς τοὺς κρέσσονας τεθυμῶσθαι,

[i] Sic Ald. δ' om. M.K.P.F. δ' ἀνήϊε Reiz. ὦν ἤϊε Reiskius. Sed vulgatum tenendum videtur. ἂν eo sensu adhibetur, quem illustravit Hermannus ad Viger. n. 286.

[k] ἐκδέκοντο F.

52.

[a] κήρυκα F.

[b] ἢ om. Ald. c. Infra ἐδικαίου S.

[c] στοιῇσιν S.V. στολῇσι F.

[d] Sic P.S.V.F.a. Vulgo τὰ ἀγαθά.

[e] ἐμοὶ καὶ ὁ. S.

[f] Idem valet αὐτοῖσι ac ἑαυτοῖσι, quod in prima pers. h. l. intelligendum, sicut IV.97. Schweigh.

[g] ἐμή τε S.

[h] ὅσον S. ὅσῳ ἂν R.

[i] τε d.

[k] Sic Ald. V.S.R.A.B.F. ἐξειργασάμην M.P. ἐξειργάσμην d.

[l] ὅσον Stobæus 3, 69. qui mox om. τι. ὁκοῖόν τι ἐστιν S.

[m] τοκῆας] τοκέας S.K.F. Supra κρεῖσσον F. Mox ὁ μὲν Περίανδρος S. et infra εἴη τὸ κακόν.

6 "ἄπιθι ἐς τὰ οἰκία." Περίανδρος μὲν τούτοισι αὐτὸν
κατελάμβανε· ὁ δὲ ἄλλο μὲν οὐδὲν ἀμείβεται τὸν πα-
τέρα, ἔφη δέ μιν ἱρὴν ζημίην ὀφείλειν τῷ θεῷ, ἑωυτῷ ἐς
7 λόγους ἀπικόμενον. Μαθὼν δὲ ὁ Περίανδρος ὡς ἄπορόν
τι τὸ κακὸν εἴη τοῦ παιδὸς καὶ ἀνίκητον, ἐξ ὀφθαλμῶν
μιν ἀποπέμπεται, στείλας [n] πλοῖον, ἐς Κέρκυραν· ἐπε-
8 κράτεε γὰρ καὶ ταύτης. ἀποστείλας δὲ τοῦτον ὁ Περίαν-
δρος, ἐστρατεύετο ἐπὶ τὸν πενθερὸν [o] Προκλέα, [p] ὡς τῶν
παρεόντων οἱ πρηγμάτων ἐόντα αἰτιώτατον· καὶ εἷλε μὲν
τὴν Ἐπίδαυρον, εἷλε δὲ αὐτὸν Προκλέα, καὶ ἐζώγρησε.

Ablegat pater filium in Corcyram: Epidaurus a Periandro expugnata, et socer Procles vivus captus.

53 Ἐπεὶ δὲ, τοῦ χρόνου [a] προβαίνοντος, ὅ τε Περίανδρος παρ-
ηβήκεε, καὶ συνεγινώσκετο ἑωυτῷ οὐκέτι εἶναι δυνατὸς τὰ
πρήγματα ἐπορᾶν τε καὶ διέπειν, [b] πέμψας ἐς τὴν Κέρ-
κυραν, [c] ἀπεκάλεε τὸν Λυκόφρονα ἐπὶ τὴν τυραννίδα· ἐν
γὰρ δὴ τῷ πρεσβυτέρῳ τῶν παίδων [e] οὐκ ἐνεώρα, ἀλλά
2 οἱ κατεφαίνετο εἶναι νωθέστερος. ὁ δὲ Λυκόφρων οὐδὲ
[f] ἀνακρίσιος ἠξίωσε τὸν φέροντα τὴν ἀγγελίην. Περίαν-
δρος δὲ, περιεχόμενος τοῦ νεηνίεω, δεύτερα [g] ἀπέστειλε ἐπ'
αὐτὸν τὴν [h] ἀδελφεὴν, ἑωυτοῦ δὲ θυγατέρα, δοκέων μιν μά-
3 λιστα [i] ταύτῃ ἂν πείθεσθαι. ἀπικομένης [k] δὲ ταύτης, καὶ

Legationes Periandri tres in Corcyram ad filium: filius a Corcyræis interficitur.

[n] Sic M.K.P.F.a.c. πλοίῳ Ald. R.S. Unice verum erat πλοῖον. Στέλλειν πλοῖον est *instruere navem:* et structura orationis clara sic intelligenda, ἀποπέμπεταί μιν ἐς Κέρκυραν, στείλας πλοῖον. Schweigh.

[o] Προκαλέα K. Πατροκλέα b. d. cf. 50.

[p] Sic Ald. F.S. Schæfer. ὡς τὸν edd. recent. Mox οἱ om. S.V.

53.

[a] παραβαίν. F. Mox δυνατὸς εἶναι S.

[b] πέμπων V.S.

[c] Sic M.P.K.S.F. Paris. ἐπεκάλεε edd.

[e] Sic Ald. S.V.R.A.B. οὔκων ἑώρα M.K.P.F.b.

[f] Sic F. Paris. al. ἀποκρίσιος S.V. Vall. ut I. 49. et forte verius: nisi ὑποκρίσιος ex Ionum consuetudine malueris. Wess. ἀποκρίσιος librario nescio cui tribuit Schweighæuser. ἀνακρίσεως Ald.

[g] ἐπέστειλε b. Tum ἐπ' αὐτῷ b.d.

[h] Sic M.P.K.S.V.F. Paris. ἀδελφὴν Ald.

[i] ταύτης S.

[k] δὲ αὐτῆς S. Mox τε om. S.

λεγούσης· “Ὦ παῖ, βούλεαι τήν τε τυραννίδα ἐς ἄλλους
“ [l]πεσέειν, καὶ τὸν οἶκον τοῦ πατρὸς διαφορηθέντα μᾶλ-
“ λον, ἢ αὐτός σφε ἀπελθὼν ἔχειν; [m]ἄπιθι ἐς τὰ οἰκία, 223
4 “ παῦσαι σεωυτὸν ζημιῶν. φιλοτιμίη, κτῆμα σκαιόν·
“ μὴ [n]τῷ κακῷ τὸ κακὸν ἰῶ. πολλοὶ τῶν δικαίων τὰ
“ ἐπιεικέστερα [o]προτιθέασι· πολλοὶ δὲ ἤδη τὰ μητρῷα
5 “ διζήμενοι, τὰ πατρῷα [p]ἀπέβαλον. τυραννὶς, χρῆμα
“ σφαλερόν· πολλοὶ δὲ αὐτῆς ἐρασταί εἰσι· ὁ δὲ, γέρων
“ τε [q]ἤδη καὶ παρηβηκώς. μὴ δῷς τὰ [r]σεωυτοῦ ἀγαθὰ
6 “ ἄλλοισι.” Ἡ μὲν δὴ τὰ ἐπαγωγότατα, διδαχθεῖσα
ὑπὸ τοῦ πατρὸς, ἔλεγε πρὸς αὐτόν. ὁ δὲ, [s]ὑποκρινάμενος,
ἔφη οὐδαμᾶ ἥξειν ἐς Κόρινθον, ἔστ' ἂν πυνθάνηται περιε-
7 όντα τὸν πατέρα. Ἀπαγγειλάσης δὲ [t]ταύτης ταῦτα, τὸ
τρίτον [u]Περίανδρος κήρυκα πέμπει, βουλόμενος αὐτὸς
μὲν ἐς Κέρκυραν ἥκειν· ἐκεῖνον δὲ ἐκέλευε ἐς Κόρινθον ἀπι-
8 κόμενον, διάδοχον [w]γίνεσθαι τῆς τυραννίδος. Καταινέ-
σαντος [x]δ' ἐπὶ τούτοισι τοῦ παιδὸς, ὁ μὲν Περίανδρος
ἐστέλλετο ἐς τὴν Κέρκυραν, ὁ δὲ παῖς [y]οἱ ἐς τὴν Κόρινθον.
9 μαθόντες δὲ οἱ Κερκυραῖοι τούτων [z]ἕκαστα, ἵνα μή σφι
Περίανδρος ἐς τὴν χώρην ἀπίκηται, κτείνουσι τὸν νεηνί-
σκον. [a]Ἀντὶ τούτων μὲν Περίανδρος Κερκυραίους ἐτι-
μωρέετο.

54 Λακεδαιμόνιοι δὲ στόλῳ μεγάλῳ ὡς ἀπίκοντο, ἐπο-

[l] πεσέειν ἔχειν c.
[m] ἄπελθε V.S. qui mox ἡ φιλοτ. cum Stobæo 23, 12.
[n] Sic Stob. V.S.K.P.F. Paris. τὸ κακὸν τῷ κακῷ vulgo.
[o] Sic Stob. vulgo προτιθεῖσι.
[p] Sic Stob. c. R. Ald. V.S. μετέβαλον M.K.P.F.a.b.d.
[q] om. S. qui mox δοῖς pro δῷς.
[r] ἑωυτοῦ S. Mox ἐπαγωγότα S.
[s] Sic M.V.S.P.F. ὑποκρινόμενος c. edd. vett.
[t] αὐτῆς d. ταῦτα ταύτης S.
[u] Sic S.P.K.F.a. Vulgo ὁ Π. Tum πέμπει κήρυκα S.
[w] Sic V.P.K.F. γενέσθαι S.c. et vulgo.
[x] δὲ καὶ ἐπὶ S.V. καταρέσαντος pro καταιν. S.
[y] οἱ om. V.S.
[z] ἕκαστον S.
[a] αὐτίκα d.

Lacedæmonii Samum obsident.

λιόρκεον Σάμον. προσβαλόντες δὲ πρὸς τὸ τεῖχος, τοῦ
μὲν πρὸς θαλάσσῃ ἑστεῶτος πύργου κατὰ τὸ προάστειον
τῆς πόλιος [a] ὑπερέβησαν· μετὰ δὲ, αὐτοῦ βοηθήσαντος
2 Πολυκράτεος χειρὶ πολλῇ, [b] ἀπηλάσθησαν. κατὰ δὲ τὸν
ἐπάνω πύργον, τὸν ἐπὶ τῆς ῥάχιος τοῦ οὔρεος [c] ἐπεόντα,
ἐπεξῆλθον οἵ τε ἐπίκουροι καὶ αὐτῶν Σαμίων συχνοί· δε-
ξάμενοι δὲ τοὺς Λακεδαιμονίους ἐπ' ὀλίγον χρόνον, ἔφευ-
55 γον ὀπίσω· οἱ δὲ, [d] ἐπισπόμενοι [e] ἔκτεινον. Εἰ μέν νυν
οἱ παρεόντες Λακεδαιμονίων ὅμοιοι [a] ἐγίνοντο ταύτην τὴν
2 ἡμέρην Ἀρχίῃ τε καὶ Λυκώπῃ, [b] αἱρέθη ἂν Σάμος. Ἀρ-
χίης γὰρ καὶ Λυκώπης μοῦνοι [c] συνεσπεσόντες φεύγουσι
ἐς τὸ τεῖχος τοῖσι Σαμίοισι, καὶ ἀποκληϊσθέντες τῆς
3 ὀπίσω ὁδοῦ, ἀπέθανον ἐν τῇ [d] πόλι τῇ Σαμίων. τρίτῳ δὲ 224
ἀπ' Ἀρχίεω τούτου γεγονότι ἄλλῳ Ἀρχίῃ, τῷ Σαμίου
τοῦ Ἀρχίεω, αὐτὸς ἐν Πιτάνῃ συνεγενόμην· [e] δήμου γὰρ
τούτου ἦν· ὃς ξείνων πάντων μάλιστα [f] ἐτίμα τε Σαμί-
ους, καί οἱ τῷ πατρὶ ἔφη Σάμιον [g] τοὔνομα τεθῆναι, ὅτι
[h] οἱ ὁ πατὴρ Ἀρχίης ἐν Σάμῳ ἀριστεύσας ἐτελεύτησε·
τιμᾶν δὲ Σαμίους, ἔφη, διότι ταφῆναί οἱ τὸν πάππον
56 δημοσίῃ [i] ὑπὸ Σαμίων. Λακεδαιμόνιοι δὲ, ὥς σφι τεσ-

Archiæ, cujus nepotem Herodotus vidit, et Lycopæ Lacedæmoniorum virtus et mors.

54.

[a] ἐπέβησαν S.V. probante Wesseling. et citante IX. 69. Et sic edidit Schæfer. Supra πόλεος S.

[b] Sic M.S.P.F.a. cf. 51. ἀπηλάθησαν Ald. c. R.V. Mox ὄρεος S.

[c] ἑστεῶτα b.

[d] Sic F. Paris. ἐπισπώμενοι S. edd. vett.

[e] ἐκτείνοντες Λακεδαιμονίων S. omissis mediis.

55.

[a] ἐγίνοντο F.a. Vulgo ἐγένοντο cum S.

[b] αἱρέθησαν Σαμίοις S.

[c] συμπεσόντες S.V. Gregor. Dial. Ion. 1. ubi vid. Koen.

[d] πόλει F.S.

[e] δήμου τ' αὐτοῦ ἦν V.S. δήμου ταύτου τοῦ ἦν Gregor. Dial. Ion. 7.

[f] ἐτιμᾶτο K. P. F. b. d. Vid. Plutarch. II. p. 860. C.

[g] οὔνομα S.V.

[h] Sic S.V.K.P.F. Paris. ὁ om. al.

[i] Sic M.P.K.F.b. ὑπὸ Σαμίων εὖ Ald. V.A. Wessel. εὖ ὑπὸ Σαμίων S. Supra Herodotum scripsisse ταφθῆναι censet Wesseling. citans Eustath. p. 519, 41.

σεράκοντα ἐγεγόνεσαν ἡμέραι πολιορκέουσι Σάμον, ἐς τὸ πρόσω τε οὐδὲν προεκόπτετο τῶν πρηγμάτων, ἀπαλλάσ-
2 σοντο [a] ἐς Πελοπόννησον. ὡς δὲ ὁ ματαιότερος λόγος ὥρμηται, λέγεται Πολυκράτεα ἐπιχώριον νόμισμα κόψαντα πολλὸν [b] μολύβδου, καταχρυσώσαντα δοῦναί σφι· τοὺς δὲ δεξαμένους, [c] οὕτω δὴ ἀπαλλάσσεσθαι. [d] Ταύτην πρώτην [e] στρατηΐην ἐς τὴν Ἀσίην [f] Λακεδαιμόνιοι Δωριέες ἐποιήσαντο.

Lacedæmonii post XL dies ob rei difficultatem abeunt: vano rumore tradi aliam abitus eorum causam.

57 Οἱ δ' ἐπὶ τὸν Πολυκράτεα στρατευσάμενοι Σαμίων, ἐπεὶ οἱ Λακεδαιμόνιοι αὐτοὺς [a] ἀπολείπειν ἔμελλον, καὶ
2 αὐτοὶ ἀπέπλεον ἐς Σίφνον· χρημάτων γὰρ ἐδέοντο· τὰ δὲ τῶν Σιφνίων πρήγματα ἤκμαζε τοῦτον τὸν χρόνον, καὶ [b] νησιωτέων μάλιστα ἐπλούτεον, ἅτε ἐόντων αὐτοῖσι ἐν τῇ νήσῳ χρυσέων καὶ ἀργυρέων μετάλλων, οὕτω ὥστε ἀπὸ τῆς δεκάτης τῶν γινομένων [c] αὐτόθεν χρημάτων θησαυρὸς ἐν Δελφοῖσι ἀνακέεται, [d] ὁμοῖα τοῖσι πλουσιωτάτοισι· αὐτοὶ δὲ τὰ γινόμενα [e] τῷ ἐνιαυτῷ ἑκάστῳ
3 χρήματα διενέμοντο. Ὅτε [f] ὦν ἐποιεῦντο τὸν θησαυρὸν, [g] ἐχρέωντο τῷ χρηστηρίῳ, εἰ αὐτοῖσι τὰ παρεόντα ἀγαθὰ οἷά τέ ἐστι [h] πολὺν χρόνον παραμένειν. ἡ δὲ Πυθίη ἔχρησέ [i] σφι τάδε·

Samii auxilio destituti, navigant Siphnum: Siphniorum auri et argenti metalla: repositus Delphis 225 thesaurus: oraculum: forum et curia Siphniis ornatu marmoreo.

56.

[a] Sic M.K.P.S.V.F. Paris. ἐς τὴν Πελοπ. Ald.

[b] μολύβδου P.S.F. Vide Eustath. p. 1340, 30=1469, 20. Wesseling. Diodor. II. 10. μολίβδου M.K. Ald.

[c] δὴ om. S.V. οὕτω σφᾶς c. absque δή.

[d] Sic Ald. S.V.A.B. Vall. R. ταύτην τὴν M.K.P.F.d.

[e] Sic Wessel. et Valcken. στρατιὴν vulgo. στρατείαν ed. Genev. 1618.

[f] Sic M.K.P.F. Λακεδαιμονίοισι S.a.c. Ald.

57.

[a] ἀπολιπεῖν F.

[b] Citat Gregor. Dial. Ion. 14.

[c] αὐτόθι S.

[d] ὅμοιος S.

[e] ἐν τῷ ἐν. S.V.

[f] οὖν F. Mox ἐποιέοντο S.

[g] ἐχρέοντο a.

[h] Sic libri cum Gregor. Dial. Ion. 17. πολλὸν reponit Koen. ad Gregor. 12. Utrumque Herodoteum esse monet Schweighæuser.

[i] σφι om. S.V.

4 Ἀλλ᾽ ὅταν ἐν Σίφνῳ πρυτανήϊα λευκὰ γένηται,
λεύκοφρύς τ᾽ ἀγορὴ, τότε [k] δὴ δεῖ φράδμονος ἀνδρὸς
[l] φράσσασθαι ξύλινόν τε λόχον κήρυκά τ᾽ ἐρυθρόν.

[m] Τοῖσι δὲ Σιφνίοισι [n] ἦν τότε ἡ ἀγορὴ καὶ τὸ πρυτανήϊον Παρίῳ λίθῳ ἠσκημένα.

58 Naves antiquitus rubricatæ: Samii a Siphniis pecuniam exigunt.

[a] Τοῦτον τὸν χρησμὸν οὐκ οἷοί τε ἦσαν γνῶναι, οὔτε τότε [b] ἰθὺς, οὔτε τῶν Σαμίων ἀπιγμένων. ἐπεί τε γὰρ τάχιστα πρὸς τὴν Σίφνον [c] προσίσχον οἱ Σάμιοι, ἔπεμπον τῶν νεῶν μίαν, πρέσβεας 2 ἄγουσαν ἐς τὴν πόλιν. τὸ δὲ παλαιὸν ἅπασαι αἱ [d] νῆες ἦσαν [e] μιλτηλιφέες· καὶ ἦν τοῦτο τὸ ἡ Πυθίη προηγόρευε τοῖσι Σιφνίοισι, [f] φυλάξασθαι τὸν ξύλινον λόχον κελεύ-3 ουσα, καὶ κήρυκα ἐρυθρόν. [g] Ἀπικόμενοι ὦν [h] οἱ ἄγγελοι ἐδέοντο τῶν Σιφνίων δέκα τάλαντά σφι χρῆσαι· οὐ φασκόντων δὲ χρήσειν τῶν Σιφνίων αὐτοῖσι, οἱ Σάμιοι 4 τοὺς χώρους αὐτῶν ἐπόρθεον. πυθόμενοι δ᾽ ἰθὺς ἧκον οἱ Σίφνιοι βοηθέοντες, καὶ συμβαλόντες αὐτοῖσι, ἑσσώθησαν· καὶ αὐτῶν πολλοὶ [i] ἀπεκληΐσθησαν τοῦ ἄστεος [k] ὑπὸ τῶν Σαμίων. καὶ αὐτοὺς μετὰ ταῦτα ἑκατὸν τάλαντα ἔπρηξαν.

59 Ab Hermionensibus emunt Hydream in-

Παρὰ δὲ Ἑρμιονέων νῆσον ἀντὶ χρημάτων παρέλαβον, [a] Ὑδρέην τὴν [b] ἐπὶ Πελοποννήσῳ, καὶ αὐτὴν Τροιζηνίοισι παρακατέθεντο· αὐτοὶ δὲ Κυδωνίην τὴν

[k] δὴ om. c.
[l] φράσασθαι S.V.F.
[m] τοῖσί τε F.
[n] Sic F. τότε ἦν vulgo cum S.

58.

[a] τοῦτον γὰρ τὸν S.V.
[b] Sic S.V. εὐθὺς Ald. F. et al. hic et infra. Mox ἐπεὶ γὰρ S.
[c] Sic P.K.F.b.d. cf. VI. 99. Alii προσέσχον. προσεῖχον S.
[d] νέες V.S. ἦσαν om. S.
[e] μιλτηλοιφέες S. teste et probante Wesselingio. Attamen is codex præbet μιλτηλοιηφέες. μιλτηλιφέες a. probante Lobeck. ad Phryn. p. 572. et huc alludere videtur F. qui μιλτηληφέες. Duas lectiones ab S. confundi apertum est. Vulg. μιλτηλεφέες.
[f] φυλάσσεσθαι S.V.
[g] Sic P.K.F.a.c. ἀπ. δ᾽ ὦν edd.
[h] οἱ om. P.K.F.a. Mox σφισι S. et τῶν Σιφνίων χρήσειν. Infra ἐσώθησαν.
[i] ἀπεκλείσθησαν F.
[k] ἀπὸ τῶν S.V.

59.

[a] Ὑδρέαν S.V. Θυρέην Ald. M.a. b.d. edd. vett. Θυρέαν K.P.F.
[b] Sic S.V. ἐν Πελ. F.M.c. al.

ἐν Κρήτῃ ἔκτισαν· οὐκ [c] ἐπὶ τούτῳ πλέοντες, ἀλλὰ Ζα-
2 κυνθίους [d] ἐξελοῦντες ἐκ τῆς νήσου. ἔμειναν δ' ἐν ταύτῃ,
καὶ εὐδαιμόνησαν ἐπ' ἔτεα πέντε· ὥστε τὰ ἱρὰ τὰ ἐν
Κυδωνίῃ ἐόντα νῦν οὗτοί εἰσι οἱ ποιήσαντες, [e] καὶ τὸν τῆς
3 Δικτύνης νηόν. ἕκτῳ δὲ ἔτεϊ Αἰγινῆται αὐτοὺς [f] ναυ-
μαχίῃ νικήσαντες ἠνδραποδίσαντο μετὰ [g] Κρητῶν· καὶ
τῶν νηῶν καπρίους ἐχουσέων τὰς πρώρας [h] ἠκρωτηρίασαν,
4 καὶ ἀνέθεσαν ἐς τὸ ἱρὸν τῆς Ἀθηναίης ἐν Αἰγίνῃ. Ταῦτα
δὲ ἐποίησαν ἔγκοτον ἔχοντες Σαμίοισι Αἰγινῆται. [i] πρό-
τεροι γὰρ Σάμιοι, ἐπ' Ἀμφικράτεος βασιλεύοντος ἐν
Σάμῳ, στρατευσάμενοι ἐπ' [k] Αἴγιναν, μεγάλα κακὰ
ἐποίησαν Αἰγινήτας, καὶ ἔπαθον ὑπ' ἐκείνων. ἡ μὲν αἰτίη
αὕτη.

sulam, eaque Trœzeniis commissa, in 226 Cretam navigant, Zacynthios pellunt, Cydoniam urbem et Dictynnæ templum condunt: subiguntur circa a. 518 ab Æginetis: Minervæ templum in Ægina: bellum antiquius a Sami rege Amphicrate illatum Æginetis.

60 Ἐμήκυνα δὲ περὶ Σαμίων μᾶλλον, ὅτι σφι τρία ἐστὶ
μέγιστα ἁπάντων Ἑλλήνων ἐξεργασμένα. οὔρεός τε [a] ὑψη-
λοῦ ἐς πεντήκοντα καὶ ἑκατὸν ὀργυιάς, [b] τούτου ὄρυγμα,
2 κάτωθεν ἀρξάμενον, ἀμφίστομον. τὸ μὲν μῆκος τοῦ ὀρύγ-
ματος, ἑπτὰ [c] στάδιοί εἰσι· τὸ δὲ ὕψος καὶ εὖρος, ὀκτὼ
3 [d] ἑκάτερον πόδες. διὰ παντὸς δὲ αὐτοῦ ἄλλο ὄρυγμα εἰ-
κοσίπηχυ βάθος [e] ὀρώρυκται, [f] τρίπουν δὲ τὸ εὖρος, δι' οὗ

Opera tria maxima in Samo, aquæductus, agger, templum: Eupalinus Megarensis, et Rhœcus Samius, architecti.

[c] Sic S.V. ἐπὶ τοῦτο ed. Wessel. et al. cf. V. 45.
[d] Cf. I. 159. II. 30. Schweigh.
[e] καὶ—νηὸν om. S.
[f] ναυμαχίῃσι R. ναυμαχίῃ αὐτοὺς S.
[g] Κρητῶν νεῶν Κυπρίους ἐχουσέων πρώρας S.V.
[h] καὶ ἠκρωτ. S.
[i] Sic M.K.P.F. Paris. πρότερον γὰρ V.S. πρότερον μὲν γὰρ Ald. Vid. Wasse ind. Thucyd. voc. πρότερος.
[k] Αἰγίνην S.V.

60.

[a] Sic S.V.M.K.F.a.b.c. Eustath. Dion. 533. ὑψηλοῦ ὄρυγμα ἐς d. et vulgo. Supra ὄρεος S. Mox ἀμφιστόμιον S. et deinde μὲν om.
[b] Sic S.V. τοῦτο τὸ ὄρ. F.d. al. cum edd. οὗ κάτωθεν ὄρυγμα Eustath.
[c] σταδιόισι F.S. πολυστάδιον pro ἑ. σ. Eustath.
[d] ἑκάτερος K.P. ἑκάτεροι F.a.
[e] Sic Ald. R.F.b.d. cf. I. 186. al. ὤρυκται M. S. P. V. cf. II. 158.
[f] τριπλοῦν Vall. S.V.

[g] τὸ ὕδωρ, [h] ὀχετευόμενον [i] διὰ σωλήνων, παραγίνεται ἐς
4 τὴν πόλιν, ἀγόμενον ἀπὸ μεγάλης πηγῆς. ἀρχιτέκτων δὲ [k] τοῦ ὀρύγματος τούτου ἐγένετο Μεγαρεὺς Εὐπαλῖνος
5 Ναυστρόφου. τοῦτο μὲν δὴ ἓν τῶν τριῶν ἐστί. Δεύτερον δὲ, περὶ λιμένα χῶμα ἐν θαλάσσῃ, βάθος κατὰ εἴκοσι ὀργυιέων· μῆκος δὲ τοῦ χώματος, μέζον δύο σταδίων.
6 Τρίτον δέ σφι [l] ἐξέργασται, νηὸς μέγιστος πάντων νηῶν τῶν ἡμεῖς ἴδμεν· τοῦ ἀρχιτέκτων πρῶτος ἐγένετο Ῥοῖκος Φίλεω ἐπιχώριος. Τούτων εἵνεκεν μᾶλλόν [m] τι περὶ Σαμίων ἐμήκυνα.

61 Magi duo, Patizithes et Smerdis, fratres, insurgunt contra Cambysem a. 523.

Καμβύσῃ δὲ τῷ Κύρου, χρονίζοντι περὶ Αἴγυπτον καὶ παραφρονήσαντι, ἐπανιστέαται ἄνδρες Μάγοι, δύο ἀδελφεοί· τῶν τὸν ἕτερον καταλελοίπεε τῶν [a] οἰκίων μελεδω-
2 νὸν ὁ Καμβύσης. οὗτος δὴ ὦν οἱ ἐπανέστη, μαθών τε τὸν Σμέρδιος θάνατον, ὡς κρύπτοιτο γενόμενος, καὶ ὡς [b] ὀλίγοι ἦσαν οἱ ἐπιστάμενοι [c] αὐτὸν Περσέων, οἱ δὲ πολλοὶ
3 περιεόντα μιν εἰδείησαν. πρὸς ταῦτα βουλεύσας τάδε, ἐπεχείρησε τοῖσι βασιληΐοισι. Ἦν οἱ ἀδελφεὸς, τὸν εἶπά [d] οἱ συνεπαναστῆναι, οἰκὼς μάλιστα τὸ εἶδος Σμέρδι τῷ Κύρου, τὸν ὁ Καμβύσης, ἐόντα ἑωυτοῦ ἀδελφεὸν, ἀπέκτεινε· ἦν τε δὴ ὁμοῖος [e] εἶδος τῷ Σμέρδι, καὶ δὴ καὶ
4 οὔνομα [f] τὠυτὸ εἶχε [g] Σμέρδιν. τοῦτον τὸν ἄνδρα ἀναγνώ- 227
σας ὁ Μάγος [h] Πατιζείθης, ὥς οἱ αὐτὸς πάντα δια-

[g] τὸ om. S.V. Eustath.
[h] Sic S.V. Eustath. K.P.F. Paris. μετοχετευόμενον edd. vett.
[i] Sic S.V. Eustath. διὰ τῶν σ. F.a. edd. vett.
[k] τούτου τοῦ ὀρ. S.
[l] ἐξείργ. S.
[m] τι om. S.

61.

[a] Sic P.S.F. Paris. cf. 63. et 65. Vulgo οἰκηΐων. Supra ἀδελφοὶ et καταλέλοιπε S. Mox οὗτος δὲ S. et τε om. post μαθών.
[b] Sic S.V. ὀλίγοι τε alii.
[c] αὐτῶν b. Mox εἰδοίησαν et βασιληΐσι Ald.
[d] οἱ om. V.S. Mox οἰκότα Ald.
[e] εἶδος om. S.
[f] τὠυτὸν S.V.
[g] Sic M.K.P.F. Σμέρδι S.V.a. c. Σμέρδις Ald.
[h] Schol. P. Διονύσιος ὁ Μιλήσιος

5 πρήξει, [i] εἶσε ἄγων [k] ἐς τὸν βασιλήϊον θρόνον. ποιήσας δὲ
τοῦτο, κήρυκας [l] τῇ τε ἄλλῃ διέπεμπε, καὶ δὴ καὶ ἐς
Αἴγυπτον, [m] προερέοντα τῷ στρατῷ, ὡς Σμέρδιος τοῦ
Κύρου ἀκουστέα εἴη [n] τοῦ λοιποῦ, ἀλλ' οὐ Καμβύσεω.
62 Οἵ τε δὴ ὦν ἄλλοι κήρυκες προηγόρευον ταῦτα, καὶ δὴ
καὶ ὁ ἐπ' Αἴγυπτον ταχθεὶς, εὕρισκε γὰρ Καμβύσεα
καὶ τὸν στρατὸν ἐόντα τῆς Συρίης ἐν [a] Ἀγβατάνοισι,
προηγόρευε [b] στὰς ἐς μέσον τὰ ἐντεταλμένα ἐκ τοῦ Μά-
2 γου. [c] Καμβύσης δὲ ἀκούσας ταῦτα ἐκ τοῦ κήρυκος,
καὶ ἐλπίσας μιν λέγειν ἀληθέα, αὐτός τε [d] προδεδόσθαι
ἐκ Πρηξάσπεος, (πεμφθέντα γὰρ αὐτὸν ὡς ἀποκτενέοντα
Σμέρδιν, οὐ ποιῆσαι ταῦτα,) βλέψας ἐς τὸν Πρηξάσπεα,
3 [e] εἶπε· " Πρήξασπες, [f] οὕτω μοι [g] διεπρήξαο τό τοι προσ-
" έθηκα πρῆγμα;" Ὁ δὲ εἶπε· " Ὦ δέσποτα, οὐκ ἔστι
" ταῦτα ἀληθέα, ὅκως κοτέ σοι Σμέρδις ἀδελφεὸς [h] ὁ
" σὸς ἐπανέστηκε, οὐδὲ ὅκως [i] τι ἐξ ἐκείνου τοῦ ἀνδρὸς
" νεῖκός τοι ἔσται ἢ μέγα ἢ σμικρόν· ἐγὼ γὰρ αὐτὸς,
" ποιήσας τὰ σύ με [k] ἐκέλευες, ἔθαψά μιν χερσὶ τῇσι
4 " ἐμεωυτοῦ. εἰ μέν νυν οἱ τεθνεῶτες ἀνεστέασι, προσ-
" δέκεό τοι καὶ Ἀστυάγεα τὸν Μῆδον ἐπαναστήσεσθαι·
" εἰ δ' ἔστι ὥσπερ πρὸ τοῦ, οὐ μή τι [l] τοι ἔκ γε ἐκείνου

Caduceator in Ægyptum a Magis missus: Prexaspes purgat se Cambysi.

Πανζούθην ὀνομάζεσθαι τοῦτον λέγει. Ex h. l. Κατιζίθης Zonaras. cf. Rutgersii Var. Lect. I. 8. III. 10.

[i] ἧσε F. εἰσάγει pro εἶ. ἄγων S.

[k] Sic V.S.K.P.F. Paris. τὸν om. edd. vett.

[l] Sic K.S.P.F. Vulgo διέπεμπε τῇ τε ἄλλῃ.

[m] προελθόντες S.

[n] τὸ λοιπὸν S.

62.

[a] Sic Wessel. cum Valla et Steph. Byz. Ἐκβατάνοισι edd. mss. Vid. infra 64. I. 98. Supra τακτεὶς S. Mox προηγόρευε δὲ S.

[b] Sic M.S.V.P.K.F. Paris. Vulgo στὰς ἐν μέσοισι.

[c] ταῦτα ἀκούσας τοῦ κ. absque Καμβύσης δὲ S.

[d] προδίδοσθαι S.V.

[e] Πρήξασπες, ἔφη S.V.

[f] Sic S.V. Vall. a.c.R. οὗτοι μοι F. οὔτι μοι b.d. edd. vett.

[g] διέπρηξας S.V.

[h] ὁ om. P.K.F.

[i] ὅτι ἐξ F. τοι ἐξ Ald. et mox νεῖκός τι, cum S.

[k] ἐκέλευσας V.S.

[l] τοι om. d.

5 " [m] νεώτερον [n] ἀναβλαστήσει. νῦν ὦν μοι δοκέει, μετα-
" διώξαντας τὸν κήρυκα, ἐξετάζειν [o] εἰρωτεῦντας παρ' 228
" ὅτευ ἥκων προαγορεύει ἡμῖν Σμέρδιος βασιλέος ἀκού-
63 " ειν." Ταῦτα [a] εἴπαντος Πρηξάσπεος, ἤρεσε γὰρ Καμ-
βύσῃ, αὐτίκα [b] μεταδίωκτος γενόμενος ὁ κῆρυξ ἧκε. ἀπι-
2 γμένον δέ μιν εἴρετο ὁ Πρηξάσπης [c] τάδε· "Ὤνθρωπε,
" φὴς γὰρ ἥκειν παρὰ Σμέρδιος τοῦ Κύρου ἄγγελος·
3 " νῦν ὦν, εἴπας τὴν ἀληθηΐην, ἄπιθι χαίρων. κότερα
" [d] αὐτός τοι Σμέρδις φαινόμενος [e] ἐς ὄψιν ἐνετέλλετο
4 " ταῦτα, ἢ τῶν τις ἐκείνου ὑπηρετέων;" Ὁ δὲ εἶπε·
" Ἐγὼ Σμέρδιν μὲν τὸν Κύρου, ἐξ ὅτου βασιλεὺς Καμ-
" βύσης ἤλασε [f] ἐς Αἴγυπτον, [g] οὔ κω ὄπωπα· ὁ δέ
" μοι Μάγος, τὸν Καμβύσης ἐπίτροπον τῶν [h] οἰκίων
" ἀπέδεξε, οὗτος ταῦτα ἐνετείλατο, φὰς Σμέρδιν τὸν
" Κύρου εἶναι τὸν ταῦτα [i] ἐπιθέμενον εἶπαι πρὸς ὑμέας."
5 Ὁ μὲν δή σφι ἔλεγε, [k] οὐδὲν ἐπικατεψευσμένος. Καμ-
βύσης δὲ εἶπε· "Πρήξασπες, σὺ μὲν, οἷα ἀνὴρ ἀγαθὸς
" ποιήσας τὸ κελευόμενον, αἰτίην ἐκπέφευγας· ἐμοὶ δὲ
" τίς ἂν εἴη [l] Περσέων ὁ ἐπανεστεὼς, [m] ἐπιβατεύων τοῦ
6 " Σμέρδιος [n] οὐνόματος;" Ὁ δὲ εἶπε· "Ἐγώ μοι δο-
" κέω συνιέναι τὸ γεγονὸς τοῦτο, ὦ βασιλεῦ. οἱ Μάγοι

Caduceator interrogatus, verum fatetur.

[m] Sic V.S. Vall. et forte alii. νεώτερον κακὸν F.M.c. edd. vett.

[n] Sic V.S. ἀναβλάστῃ F. Paris. et vulg. Mox δοκέει om. S. ubi μεταδιώξας. Reponeret Wesselingius, νῦν ὦν μοι μεταδιώξας τὸν κήρυκα ἐξετάζειν παρ' ὅτευ etc. Ἐτάζειν ex h. l. Lex. Seg. p. 96, 28.

[o] ἠρωτεῦντας F. et c. seq. ἤρετο. εἰρωτῶντας S. qui mox βασιλέος pro βασιλῆος. Ald. προσαγορεύει.

63.

[a] ἀκούσας V.S. Vall.

[b] μεταδιώκοντος F.

[c] τοῖσδε d.

[d] Sic S.V.F. et al. αὐτός τι edd. vett. αὐτός τις c.

[e] ἐς ὄψιν R.S.V.P.K.F. Paris. ἐν ὄψει vulgo. Mox ἐξ ὅσου S.

[f] ἐπ' Αἴγυπτον S.V.

[g] Sic M.P.V.K.S. Ald. F. Paris. οὐκ ὄπωπα Steph. et edd. seqq.

[h] Sic K.V.S.F. al. οἰκηΐων d. edd. vett.

[i] εἴποντα ἐρέειν πρὸς S.

[k] οὐθὲν ἐπικαταψευσάμενος S.V.

[l] ἀνὴρ Περσ. S.

[m] Citat Pollux II. 200.

[n] ὀνόματος F.

“ εἰσί τοι [o] οἱ ἐπανεστεῶτες, τόν τε ἔλιπες μελεδωνὸν τῶν
“ οἰκίων, Πατιζείθης, καὶ ὁ [p] τούτου ἀδελφεὸς Σμέρδις.”
64 Ἐνθαῦτα ἀκούσαντα Καμβύσεα τὸ Σμέρδιος οὔνομα,
ἔτυψε ἡ [a] ἀληθηΐη τῶν τε λόγων καὶ τοῦ ἐνυπνίου· ὃς
ἐδόκεε ἐν τῷ ὕπνῳ [b] ἀπαγγεῖλαί τινά οἱ, ὡς Σμέρδις
[c] ἱζόμενος ἐς τὸν βασιλήϊον θρόνον ψαύσειε τῇ κεφαλῇ
2 τοῦ οὐρανοῦ. μαθὼν δὲ ὡς μάτην ἀπολωλεκὼς εἴη τὸν
ἀδελφεὸν, ἀπέκλαιε Σμέρδιν. ἀποκλαύσας δὲ, καὶ πε-
ριημεκτήσας τῇ ἁπάσῃ συμφορῇ, ἀναθρώσκει ἐπὶ τὸν
ἵππον, ἐν νόῳ ἔχων τὴν ταχίστην ἐς Σοῦσα στρατεύεσθαι
3 ἐπὶ τὸν Μάγον. καί [d] οἱ ἀναθρώσκοντι ἐπὶ τὸν ἵππον,
τοῦ [e] κουλεοῦ τοῦ ξίφεος ὁ [f] μύκης ἀποπίπτει· γυμνωθὲν
4 δὲ τὸ ξίφος παίει τὸν μηρόν. τρωματισθεὶς δὲ κατὰ
τοῦτο [g] τῇ αὐτὸς πρότερον [h] τὸν τῶν Αἰγυπτίων θεὸν Ἆπιν
ἔπληξε, ὥς οἱ καιρίῃ ἔδοξε τετύφθαι, εἴρετο ὁ Καμβύσης 229
5 ὅ τι τῇ [i] πόλι οὔνομα εἴη. οἱ δὲ εἶπαν [k] ὅτι [l] Ἀγβάτανα.
[m] τῷ δὲ ἔτι πρότερον [n] ἐκέχρηστο ἐκ Βουτοῦς πόλιος, ἐν
6 Ἀγβατάνοισι [o] τελευτήσειν τὸν βίον. ὁ μὲν δὴ ἐν τοῖσι
Μηδικοῖσι Ἀγβατάνοισι ἐδόκεε τελευτήσειν γηραιὸς, ἐν
τοῖσί οἱ ἦν [p] πάντα τὰ πρήγματα· τὸ δὲ χρηστήριον
7 τοῖσι ἐν Συρίῃ Ἀγβατάνοισι ἔλεγε ἄρα. καὶ δὴ ὡς τότε

Somnium Cambysis de Smerdi: vulnus letale in femore: oraculum ex urbe Buto: Ecbatana Syriæ.

[o] οἱ om. S.F.d.
[p] τούτου om. S.

64.

[a] ἀληθείη F.
[b] ἀγγεῖλαι V.S.
[c] ἑζόμενος Ald. cf. IV. 165. II. 113.
[d] οἱ om. F.
[e] κολεοῦ P.S.F. Citat Eustath. Il. β'. p. 290, 2=219, 27. Zonaras Annal. IV. p. 127.
[f] μύκις Ald. μέκης b.d.
[g] Sic M.P.K.V.S.F. Paris. αὐτὸς τῇ vulg.
[h] Sic P.K.F. τὸν Αἴγ. V.S. τῶν Αἴγ. edd.
[i] πόλει F.S.
[k] ὅτι om. S.V. εἶπαν mss. plures pro εἶπον.
[l] Ἀγβάτανα V.S. Vall. Ἀκβάτανα M.P.K.F.a.b.c.d. Ἐκβάτανα edd. vett. et in seqq.
[m] τὸ δὲ F.a.S.
[n] ἐκέχρητο S.V. cf. II. 147.
[o] τελευτήσειν—ἐδόκεε om. S.
[p] τὰ πάντα πρήγ. F.S.

[q] ἐπειρεόμενος ἐπύθετο τῆς πόλιος τὸ οὔνομα, ὑπὸ τῆς συμφορῆς. τῆς τε ἐκ τοῦ Μάγου ἐκπεπληγμένος καὶ τοῦ τρώματος, ἐσωφρόνησε· συλλαβὼν δὲ τὸ θεοπρόπιον, εἶπε· "Ἐνθαῦτα Καμβύσεα τὸν Κύρου ἐστὶ πεπρωμένον "τελευτᾶν."

65 Ultima verba Cambysis ad amicos.

Τότε μὲν τοσαῦτα· ἡμέρῃσι δὲ ὕστερον [a] ὡς εἴκοσι με-
ταπεμψάμενος Περσέων τῶν παρεόντων τοὺς λογιμωτά-
2 τους, ἔλεγέ σφι τάδε· "Ὦ Πέρσαι, [b] καταλελάβηκε
"με, τὸ πάντων μάλιστα [c] ἔκρυπτον πρηγμάτων, τοῦτο
"ἐς ὑμέας ἐκφῆναι. ἐγὼ γὰρ, ἐὼν ἐν Αἰγύπτῳ, εἶδον
3 "ὄψιν ἐν τῷ ὕπνῳ, τὴν μηδαμᾶ [d] ὄφελον ἰδεῖν. ἐδόκεον
"δέ μοι ἄγγελον ἐλθόντα ἐξ οἴκου ἀγγέλλειν, ὡς
"Σμέρδις [e] ἱζόμενος ἐς τὸν βασιλήϊον θρόνον [f] ψαύσειε
4 "τῇ κεφαλῇ τοῦ οὐρανοῦ. δείσας δὲ μὴ ἀπαιρεθέω τὴν
"ἀρχὴν πρὸς τοῦ ἀδελφεοῦ, ἐποίησα ταχύτερα ἢ σοφώ-
"τερα· ἐν τῇ γὰρ ἀνθρωπηΐῃ φύσει οὐκ ἐνῆν ἄρα τὸ
"μέλλον γίνεσθαι ἀποτρέπειν· ἐγὼ δὲ ὁ μάταιος Πρη-
"ξάσπεα ἀποπέμπω ἐς Σοῦσα ἀποκτενέοντα Σμέρδιν.
5 "ἐξεργασθέντος δὲ κακοῦ τοσούτου, ἀδεῶς διαιτώμην,
"οὐδαμᾶ ἐπιλεξάμενος μή κοτέ τίς μοι, Σμέρδιος
6 "[g] ὑπαραιρημένου, ἄλλος ἐπανασταίη ἀνθρώπων. παν-
"τὸς δὲ τοῦ μέλλοντος ἔσεσθαι ἁμαρτὼν, [h] ἀδελφεο-
"κτόνος τε, οὐδὲν δέον, γέγονα, καὶ τῆς βασιληΐης οὐδὲν
"ἧσσον ἐστέρημαι. Σμέρδις γὰρ δὴ ἦν ὁ Μάγος, τόν

[q] ἐπειρόμενος S.V.A.B. ἐπηρεόμενος F. Mox ὑπὸ τῆς τε σ. τῆς ἐκ S.

65.

[a] ὡς om. S.V.

[b] κατέλαβε S. Photius; Καταλελάβηκεν: τὸ κατείληφεν Ἡρόδοτος.

[c] ἔπρησσον S.

[d] ὤφελον c.S.

[e] ἑζόμενος S.

[f] ψαύσει P.K.F.

[g] Sic P. ut conj. Gronov. Hoc vel ὑπεξαραιρημένου ut VII. 8, 3. probat Valcken. ὑπεραιρημ. F.M. vulg. παραιρημένου S.V.A.B.

[h] ἀδελφοκτόνος S. V. Pollux. III. 25. Mox οὐδὲν ἧσσον γέγονα S. qui ὁ om. ante Μάγος.

“ μοι ὁ δαίμων προέφαινε ἐν τῇ ὄψει ἐπαναστήσεσθαι.
7 “ Τὸ μὲν δὴ ἔργον [i] ἐξέργασταί μοι, καὶ Σμέρδιν τὸν
“ Κύρου μηκέτι ὑμῖν ἐόντα λογίζεσθε· οἱ δὲ ὑμῖν Μάγοι
“ κρατέουσι τῶν βασιληΐων, τόν τε ἔλιπον ἐπίτροπον τῶν
8 “ οἰκίων, καὶ ὁ ἐκείνου ἀδελφεὸς Σμέρδις. τὸν μέν νυν
“ μάλιστα χρῆν, ἐμεῦ αἰσχρὰ πρὸς τῶν Μάγων πεπον-
“ θότος, τιμωρέειν ἐμοὶ, [k] οὗτος μὲν ἀνοσίῳ μόρῳ τετε-
9 “ λεύτηκε ὑπὸ τῶν ἑωυτοῦ οἰκηϊοτάτων. Τούτου δὲ μη-
“ κέτι ἐόντος, δεύτερα τῶν λοιπῶν ὑμῖν, ὦ Πέρσαι, γί-
“ νεταί μοι ἀναγκαιότατον ἐντέλλεσθαι, τὰ θέλω μοι
10 “ γενέσθαι, τελευτῶν τὸν βίον. [l] καὶ δὴ ὑμῖν τάδε ἐπι-
“ σκήπτω, θεοὺς τοὺς βασιληΐους [m] ἐπικαλέων, καὶ
“ πᾶσιν ὑμῖν, καὶ μάλιστα Ἀχαιμενιδέων τοῖσι παρ-
“ εοῦσι, μὴ [n] περιϊδεῖν τὴν ἡγεμονίην αὖτις ἐς Μήδους
“ περιελθοῦσαν· ἀλλ᾽, εἴτε δόλῳ ἔχουσι αὐτὴν κτησά-
“ μενοι, δόλῳ [o] ἀπαιρεθῆναι ὑπὸ ὑμέων· εἴτε καὶ [p] σθένεΐ
“ τεῳ [q] κατεργασάμενοι, σθένεϊ κατὰ τὸ καρτερὸν ἀνασώ-
11 “ σασθαι. καὶ ταῦτα μὲν ποιεῦσι ὑμῖν γῆ τε καρπὸν 230
“ ἐκφέροι, καὶ γυναῖκές τε καὶ [r] ποίμνια τίκτοιεν, ἐοῦσι
“ ἐς τὸν ἅπαντα χρόνον ἐλευθέροισι· [s] μὴ ἀνασωσαμένοισι
“ δὲ τὴν ἀρχὴν, μηδ᾽ ἐπιχειρήσασι ἀνασώζειν, τὰ ἐναντία
“ τούτοισι [t] ἀρέομαι ὑμῖν γενέσθαι· καὶ πρὸς ἔτι τού-
“ τοισι, τὸ τέλος Περσέων ἑκάστῳ ἐπιγενέσθαι οἷον ἐμοὶ

[i] Sic M.P.K.V.S. ἔργασται Ald. A.B. Mox μήκετι ὄντα ὑμῖν S.

[k] οὗτος—οἰκειοτάτων citat Priscian. XVIII. p. 1206. οἰκειοτάτων S.

[l] καὶ νῦν καὶ ὑμῖν F.

[m] ἐπικαλέω F.

[n] παριδεῖν S.

[o] Sic V.S. cf. I. 69. III. 126. ἀφαιρεθῆναι P.K.F. ὑπαιρεθῆναι vulgo.

[p] σθένεΐ τεῳ M.K.P.V.S. σθένεϊ τῷ vulgo.

[q] κατεργασμένοι Steph. marg. Mox ἐκφέρει S.

[r] Sic Ald. R.V.F. duo Paris. ποῖμναι M.P.K. καὶ ποίμνια om. S.

[s] μὴ ἀνασωσάμενοι δὲ τὴν V.S. μηδ᾽ ἀνασωσαμένοισι ἀρ. F. Paris. edd. vett. Mox ἐπιχειρίσασι Ald.

[t] ἀρέομαι—τούτοισι om. S. ἀρέωμαι F.

12 “ ἐπιγέγονε.” [v] Ἅμα τε εἴπας ταῦτα ὁ Καμβύσης,

66 ἀπέκλαιε πᾶσαν τὴν ἑωυτοῦ πρῆξιν. Πέρσαι δ' ὡς τὸν βασιλέα εἶδον ἀνακλαύσαντα, πάντες τά τε ἐσθῆτος ἐχόμενα εἶχον, ταῦτα [a] κατηρείκοντο, καὶ οἰμωγῇ ἀφθόνῳ

Persarum luctus: Cambyses post regnum vii annorum et v mensium obit a. 523 extremo: Smerdin Cyri F. occisum nec Persæ credunt, et Prexaspes negat.

2 [b] διεχρέωντο. μετὰ δὲ ταῦτα, ὡς ἐσφακέλισέ τε τὸ ὀστέον, καὶ ὁ μηρὸς τάχιστα ἐσάπη, [c] ἀπήνεικε Καμβύσεα τὸν Κύρου, βασιλεύσαντα μὲν τὰ πάντα ἑπτὰ ἔτεα καὶ [d] μῆνας πέντε, ἄπαιδα δὲ τὸ παράπαν ἐόντα ἔρσενος καὶ

3 θήλεος γόνου. Περσέων δὲ τοῖσι παρεοῦσι ἀπιστίη πολλὴ ὑπεκέχυτο, τοὺς Μάγους ἔχειν τὰ πρήγματα· ἀλλ' ἠπιστέατο ἐπὶ διαβολῇ εἰπεῖν Καμβύσεα, τὰ εἶπε περὶ τοῦ Σμέρδιος θανάτου, ἵνα οἱ ἐκπολεμωθῇ πᾶν τὸ Περσικόν.

4 οὗτοι μέν νυν [e] ἠπιστέατο Σμέρδιν τὸν Κύρου βασιλέα [f] ἀνεστεῶτα· δεινῶς γὰρ καὶ [g] ὁ Πρηξάσπης ἔξαρνος ἦν [h] μὴ μὲν ἀποκτεῖναι Σμέρδιν· οὐ γὰρ ἦν οἱ ἀσφαλὲς, Καμβύσεω τετελευτηκότος, φάναι τὸν Κύρου υἱὸν ἀπολωλεκέναι αὐτοχειρίῃ.

67 [a] Ὁ μὲν δὴ Μάγος, τελευτήσαντος Καμβύσεω, ἀδεῶς 231 ἐβασίλευσε, ἐπιβατεύων τοῦ ὁμωνύμου Σμέρδιος τοῦ Κύρου, μῆνας ἑπτὰ τοὺς ἐπιλοίπους [b] Καμβύσῃ ἐς τὰ ὀκτὼ

Magus regnat vii menses: ejus liberalitas in subjectos.

2 ἔτεα τῆς πληρώσιος. ἐν τοῖσι ἀπεδέξατο ἐς τοὺς ὑπηκόους πάντας εὐεργεσίας μεγάλας, ὥστε ἀποθανόντος αὐτοῦ πόθον ἔχειν πάντας τοὺς ἐν τῇ Ἀσίῃ, πάρεξ αὐτῶν

[v] ἅτα S.

66.

[a] Sic S.V. κατήρικόν τε M.F. κατήρεικόν τε P. κατείρεικόν τε vulg.

[b] διεχρέοντο a.c. Mox τε om. S.

[c] ἀπένεικε F. Ald. Tum τὸν Κύρου Καμβύσεα S.

[d] πέντε μῆνας F.S.

[e] ἐπιστέατο S.

[f] ἐνεστεῶτα Reiz. et Schæfer. e conj. Valckenærii.

[g] ὁ om. S.

[h] Sic M.F.a.b.d. al. edd. vett. vid. Koen. Gregor. Dial. Ion. 62. μή μιν S.V. Wessel. Mox οἱ ἦν S. Infra ἀπολωλέναι Ald.

67.

[a] Sic F. Vulgo ὁ δὲ δή. Mox ἐβασίλευεν S.

[b] Καμβύσεω S. qui mox ἐν οἷσιν, et ὧν ἦρχε.

3 Περσέων. διαπέμψας γὰρ ὁ Μάγος ἐς πᾶν ἔθνος τῶν
ἦρχε, προεῖπε [c] ἀτελήΐην εἶναι στρατηΐης καὶ φόρου ἐπ'
ἔτεα τρία. προεῖπε μὲν δὴ ταῦτα αὐτίκα [d] ἐνιστάμενος
68 ἐς τὴν ἀρχήν. Ὀγδόῳ δὲ μηνὶ ἐγένετο [a] κατάδηλος
τρόπῳ τοιῷδε. Ὀτάνης ἦν Φαρνάσπεω μὲν παῖς, γένεϊ
2 δὲ καὶ χρήμασι [b] ὁμοῖος [c] τῷ πρώτῳ Περσέων. [d] οὗτος ὁ
Ὀτάνης πρῶτος [e] ὑπόπτευσε τὸν Μάγον, ὡς οὐκ εἴη ὁ
Κύρου Σμέρδις, ἀλλ' [f] ὅσπερ ἦν· τῇδε [g] συμβαλλεόμενος,
ὅτι τε οὐκ ἐξεφοίτα ἐκ τῆς ἀκροπόλιος, καὶ ὅτι οὐκ
ἐκάλεε ἐς ὄψιν ἑωυτῷ οὐδένα τῶν λογίμων Περσέων.
3 ὑποπτεύσας δέ μιν, ἐποίεε τάδε. [h] Ἔσχε αὐτοῦ ὁ Καμ-
βύσης θυγατέρα, τῇ οὔνομα ἦν [i] Φαιδίμη· τὴν αὐτὴν [k] δὴ
ταύτην εἶχε τότε ὁ Μάγος, καὶ [l] ταύτῃ τε συνοίκεε, καὶ
4 τῇσι ἄλλῃσι πάσῃσι τῇσι τοῦ Καμβύσεω γυναιξί. πέμ-
πων δὴ ὦν ὁ Ὀτάνης [m] παρὰ ταύτην τὴν θυγατέρα, ἐπυν-
θάνετο παρ' ὅτεῳ ἀνθρώπων κοιμῷτο, εἴ τε μετὰ Σμέρδιος
5 τοῦ Κύρου, εἴ τε μετὰ ἄλλου τευ. ἡ δέ οἱ ἀντέπεμπε,
φαμένη οὐ γινώσκειν· οὔτε γὰρ τὸν Κύρου Σμέρδιν [n] ἰδέ-
σθαι οὐδαμᾶ, οὔτε ὅστις εἴη ὁ συνοικέων αὐτῇ εἰδέναι.
6 ἔπεμπε δεύτερα [o] ὁ Ὀτάνης, λέγων· "Εἰ μὴ αὐτὴ
"Σμέρδιν τὸν Κύρου [p] γινώσκεις, σὺ δὲ παρὰ Ἀτόσσης

Otanes Persa Magi fraudem suspicatus, quomodo eam Phædymæ filiæ opera, unius regiarum uxorum, detexerit.

[c] ἀτελίην—στρατιῆς S.V. ἀτελίην F.a.
[d] Sic V.S. cf. II. 147. VI. 59. ἀνιστάμενος F.a.d. et vulgo.

68.

[a] κατάδηλα R. κατάδηλος ὃς ἦν V.S. Vall. ἐγένετο κατάδηλα ὃς ἦν Schæfer.
[b] Sic Reiz. ὅμοιος S. ὁμοίως vulgo.
[c] τῷ om. c.
[d] Sic M.K.P.V.F. Paris. οὗτος ὦν ὁ al. οὗτος Ὀτάνης S.
[e] Sic S.V.P. ὑπώπτευσε F. edd. vett.
[f] ὅπερ S.
[g] συμβαλλόμενος S.V.P. συμβαλόμενος F.
[h] ἔσχε δὲ F.
[i] Sic b.d. τῇ—Φαιδιμίη (sic) S. in marg. Φαιδύμη vulgo.
[k] δὴ ταύτην εἶχε τότε om. S.
[l] Sic M.P. τε om. F.S. et al. Mox δὲ ὦν Ὀτάνης S.
[m] Sic S.V. παρ' αὐτὴν F. edd. παρ' αὐτὸν M.P.K.
[n] εἴδεσθαι S.
[o] ὁ om. S.
[p] οὐ γινώσκεις S. Wessel. conferens VI. 87.

" πύθεu ὅτεῳ [q] τούτῳ συνοικέει αὐτή τε ἐκείνη, καὶ σύ. " πάντως γὰρ δὴ κου τόν γε ἑωυτῆς ἀδελφεὸν γινώσκει."

7 Ἀντιπέμπει πρὸς ταῦτα ἡ θυγάτηρ· " Οὔτε Ἀτόσσῃ " δύναμαι ἐς λόγους ἐλθεῖν, οὔτε ἄλλην οὐδεμίαν ἰδέ- " σθαι τῶν [r] συγκατημένων γυναικῶν· ἐπεί τε γὰρ τά- " χιστα οὗτος [s] ὤνθρωπος, ὅστις κοτέ [t] ἐστι, παρέλαβε " τὴν βασιληΐην, διέσπειρε ἡμέας, ἄλλην ἄλλῃ τάξας."

69 Ἀκούοντι δὲ ταῦτα τῷ Ὀτάνῃ, μᾶλλον κατεφαίνετο τὸ πρῆγμα. τρίτην δὲ ἀγγελίην ἐσπέμπει παρ' αὐτὴν, λέ-

2 γουσαν ταῦτα· " Ὦ θύγατερ, δεῖ σε, γεγονυῖαν εὖ, κίν- " δυνον ἀναλαβέσθαι τὸν ἂν ὁ πατὴρ [a] ὑποδύνειν [b] κελεύῃ. " [c] εἰ γὰρ δὴ μή ἐστι ὁ Κύρου Σμέρδις, ἀλλὰ [d] τὸν κα- 232 " ταδοκέω ἐγὼ, [e] οὔ τοι μιν, σοί τε συγκοιμώμενον καὶ " τὸ Περσέων κράτος ἔχοντα, δεῖ χαίροντα ἀπαλλάσ-

3 " σειν, ἀλλὰ δοῦναι δίκην. νῦν ὦν ποίησον τάδε· ἐπεάν " σοι συνεύδῃ, καὶ μάθῃς αὐτὸν κατυπνωμένον, [f] ἄφασ-

4 " σον αὐτοῦ τὰ ὦτα. καὶ ἢν μὲν φαίνηται ἔχων ὦτα, " νόμιζε σεωυτὴν Σμέρδι τῷ Κύρου συνοικέειν· ἢν δὲ μὴ

5 " ἔχων, σὺ δὲ τῷ μάγῳ Σμέρδι." Ἀντιπέμπει πρὸς ταῦτα ἡ [g] Φαιδίμη, φαμένη " [h] κινδυνεύσειν μεγάλως, ἢν " [i] ποιῇ ταῦτα. [k] ἢν γὰρ δὴ μὴ τυγχάνῃ τὰ ὦτα ἔχων, [l] ἐπί-

[q] τούτῳ om. S.V. Mox ἐκείνη om. c.

[r] συγκαθημ. F. Supra οὐδεμίην S. cum vulg.

[s] Sic P.S.V. Ald. F.a.c. ὤνθρωπος b.K. ἄνθρωπος vulgo.

[t] ἔσται F.

69.

[a] ὑποδεικνύειν F.a.

[b] κελεύῃ M.P.K.F. Paris. κελεύει S. Vulgo κελεύοι.

[c] Sic diserte S. ut Schweighæuserus, sequutus Schæferum. mss. plerique ἢν γάρ. Mox δὴ om. edd. vett. sed habent K.M. S.V.R.P.F. Paris.

[d] Sic S.V.M K.P.F. Paris. τὸν ἂν κατ. vulgo.

[e] οὔ τι Werferus.

[f] ἄφασον libri omnes. ἄφασσον Wesseling. Suidas; Ἀφάσσων; ψηλαφῶν, Ἡρόδοτος.

[g] ἡ Φαιδιμίη S. Φαιδύμη vulgo.

[h] κινδυνεύειν S.V.

[i] ποιήσῃ c.

[k] εἰ—τυγχάνει S.V.P. ἔχων in S. ante τυγχάνει.

[l] Sic P.K.F.a.c. ἐπίλαμπος b. d.S. Suid. Zonaras, et vulgo.

“ λαμπτος δὲ [m] ἀφάσσουσα ἔσται, εὖ εἰδέναι ὡς ἀϊ-
6 “ στώσει μιν. ὅμως μέντοι ποιήσειν ταῦτα.” ἡ μὲν δὴ
ὑπεδέξατο [n] ταῦτα τῷ πατρὶ [o] κατεργάσεσθαι. τοῦ δὲ
Μάγου τούτου τοῦ Σμέρδιος Κῦρος ὁ Καμβύσεω ἄρχων
7 τὰ ὦτα [p] ἀπέτεμε ἐπ' αἰτίῃ δή τινι οὐ σμικρῇ. Ἡ ὦν
δὴ [q] Φαιδίμη αὕτη, ἡ τοῦ Ὀτάνεω θυγάτηρ, πάντα ἐπι-
τελέουσα τὰ ὑπεδέξατο τῷ πατρὶ, ἐπεί τε [r] αὐτῆς μέρος
ἐγίνετο τῆς [s] ἀπίξιος παρὰ τὸν Μάγον, ἐν περιτροπῇ γὰρ
δὴ [t] αἱ γυναῖκες [v] φοιτέουσι τοῖσι Πέρσῃσι, ἐλθοῦσα παρ'
8 αὐτὸν [w] ηὗδε. ὑπνωμένου δὲ καρτερῶς τοῦ Μάγου, [x] ἤφασ-
9 σε τὰ ὦτα. μαθοῦσα δὲ οὐ χαλεπῶς, ἀλλ' εὐπετέως,
[y] οὐκ ἔχοντα τὸν ἄνδρα ὦτα, ὡς ἡμέρη τάχιστα ἐγεγόνεε,
πέμψασα ἐσήμηνε τῷ πατρὶ τὰ γενόμενα.

70 Ὁ δὲ Ὀτάνης παραλαβὼν [a] Ἀσπαθίνην καὶ [b] Γω-
βρύην, Περσέων [c] τε πρώτους ἐόντας καὶ ἑωυτῷ ἐπιτηδεω-
τάτους ἐς πίστιν, ἀπηγήσατο πᾶν τὸ πρῆγμα· οἱ δὲ
2 καὶ αὐτοὶ ἄρα [d] ὑπόπτευον οὕτω τοῦτο ἔχειν. ἀνενείκαν-
τος δὲ τοῦ [e] Ὀτάνεω τοὺς λόγους, ἐδέξαντο· καὶ ἔδοξέ
σφι, ἕκαστον ἄνδρα Περσέων προσεταιρίσασθαι τοῦτον,
3 [f] τῷ πιστεύει μάλιστα. Ὀτάνης μέν νυν εἰσάγεται [g] Ἰν-

Septem Persæ conspirant adversus Magum.

[m] ἀφάσσουσα M.S.P.K. ἀφάσουσα F. Ald.
[n] τοῦτο S.V.
[o] κατεργάσεσθαι M.P.K.F. κατεργάσασθαι V.S. Ald. A. Mox τοῦ post τούτου om. S.
[p] ὑπέτεμε F.
[q] Φαιδιμίη M.S.P. Φαιδύμη al.
[r] Sic K.P.F.a. αὐτῇ S. edd. vett.
[s] ἀπάξιος V.S.
[t] Sic V.S.M.P.K.F. αἱ om. a. et al.
[v] φοιτέωσι F. φοιτῶσι S.
[w] ἦν δὲ F.
[x] Sic S. Paris. ἤφασε F. et vulgo.
[y] ὡς οὐκ ἔ. S.

70.
[a] Ἀσπαθόνην S.V. et mox.
[b] Γοβρύην F.a.
[c] τοὺς πρώτους S. qui mox ἐπιτηδειωτάτους et ἀπηγήσαντο.
[d] Sic S.V. Al. ὑπώπτευον.
[e] Sic Ald. S.V.A.B.F. Ὀτάνεος M.P.
[f] Sic V.S. ὅτῳ π. Ald. a.c.d. οὕτω πιστεύειν F.
[g] Ἰνταφρένεα S.V. Vall. Pro εἰσάγεται Valckenærius substituit ἐπάγεται e Zonara Ann. IV. p.128. B. Nihil opus mutatione.

ταφέρνεα· [h]Γωβρύης δὲ, [i]Μεγάβυζον· Ἀσπαθίνης δὲ, 233
4 Ὑδάρνεα. γεγονότων δὲ τούτων ἓξ, παραγίνεται ἐς τὰ
Σοῦσα Δαρεῖος ὁ [k]Ὑστάσπεος, ἐκ Περσέων ἥκων· τούτων
5 γὰρ δὴ ἦν [l]οἱ ὁ πατὴρ ὕπαρχος. ἐπεὶ ὦν [m]οὗτος ἀπί-
κετο, τοῖσι ἓξ τῶν Περσέων ἔδοξε καὶ Δαρεῖον [n]προσεται-
71 ρίσασθαι. Συνελθόντες δὲ οὗτοι, ἐόντες ἑπτὰ, ἐδίδοσάν
[a]σφισι [b]πίστις καὶ λόγους. ἐπεί τε [c]δὲ ἐς Δαρεῖον ἀπί-
2 κετο γνώμην ἀποφαίνεσθαι, ἔλεγέ [d]σφι τάδε· "Ἐγὼ
"ταῦτα ἐδόκεον [e]μὲν αὐτὸς μοῦνος ἐπίστασθαι, ὅτι τε
"ὁ Μάγος εἴη ὁ βασιλεύων, καὶ Σμέρδις ὁ Κύρου τετε-
"λεύτηκε· καὶ [f]αὐτοῦ τούτου εἵνεκεν ἥκω σπουδῇ, ὡς
3 "συστήσων ἐπὶ τῷ Μάγῳ θάνατον. ἐπεί τε δὲ συνήνει-
"κε ὥστε καὶ ὑμέας εἰδέναι καὶ μὴ μοῦνον ἐμὲ, ποιέειν
"αὐτίκα μοι δοκέει, καὶ μὴ [g]ὑπερβάλλεσθαι· οὐ γὰρ
4 "ἄμεινον." Εἶπε πρὸς ταῦτα ὁ Ὀτάνης· "Ὦ παῖ
"Ὑστάσπεος, εἶς τε πατρὸς ἀγαθοῦ, καὶ ἐκφαίνειν ἔοι-
5 "κας σεωυτὸν ἐόντα [h]τοῦ πατρὸς οὐδὲν ἥσσω. τὴν μέντοι
"ἐπιχείρησιν [i]ταύτην μὴ οὕτω συντάχυνε ἀβούλως, ἀλλ'
"ἐπὶ τὸ σωφρονέστερον αὐτὴν λάμβανε· δεῖ γὰρ πλεῦ-
6 "νας γενομένους, οὕτω ἐπιχειρέειν." Λέγει πρὸς ταῦτα
Δαρεῖος· "Ἄνδρες οἱ παρεόντες, τρόπῳ τῷ εἰρημένῳ ἐξ

Darii sententia festinationem suadentis vincit.

[h] Sic M.P.K. Γοβρύης δὲ F. ὁ δὲ Γωβρύης S. Ald. et al.
[i] Μεγαβάζον b.
[k] Ὑστάσπεω S. et c. seq.
[l] οἱ om. c.
[m] Sic S. V. F. a. Vulgo αὐτὸς ἀπ.
[n] Hic desinit R.

71.

[a] σφισι M.P.F. σφι edd. vett. cum S.
[b] λόγους καὶ πίστις S.V.
[c] δὲ om. V. ἀπίκετο ἐς Δαρεῖον S.
[d] σφισι V.S.
[e] Sic M.S.P.K.V.F. μὲν om. a.c. edd.
[f] Sic Ald. V.S. Paris. αὖ τούτου M.K.F.
[g] ὑπερβάλλεσθαι V. ὑπερβαλέσθαι F.S. et vulgo. Mox ὁ ante Ὀτάνης om. S. Mox Ὑστάσπεω S.
[h] Sic S.V.M.P.K.F. Paris. τοῦ om. al. Supra ἧκας S. pro ἔοικας, et ὄντα pro ἐόντα.
[i] ταύτην om. V.S.

" [k]Ὀτάνεω [l]εἰ χρήσεσθε, ἐπίστασθε ὅτι ἀπολέεσθε κά-
" κιστα. ἐξοίσει γάρ τις πρὸς τὸν Μάγον, ἰδίῃ περιβαλ-
7 " λόμενος [m]ἑωυτῷ κέρδεα. μάλιστα μέν νυν [n]ὠφείλετε
" ἐπ' ὑμέων αὐτῶν [o]βαλόμενοι ποιέειν ταῦτα· ἐπεί τε δὲ
" ὑμῖν ἀναφέρειν ἐς πλεῦνας ἐδόκεε, καὶ ἐμοὶ [p]ὑπερέθε-
" σθε, ἢ ποιέωμεν σήμερον, ἢ ἴστε, ὑμῖν ὅτι [q]ἢν ὑπερπέσῃ
" ἡ νῦν ἡμέρη, ὡς οὐκ ἄλλος φθὰς ἐμεῦ κατήγορος ἔσται,
" ἀλλά σφεας [r]αὐτὸς ἐγὼ κατερέω πρὸς τὸν Μάγον."
72 Λέγει πρὸς ταῦτα Ὀτάνης, ἐπειδὴ ὥρα σπερχόμενον Δα-
ρεῖον· "[a]Ἐπεί τε ἡμέας συνταχύνειν ἀναγκάζεις, καὶ
" ὑπερβάλλεσθαι οὐκ ἐᾷς, ἴθι [b]ἐξηγέο αὐτὸς ὅτεῳ τρόπῳ
" πάριμεν ἐς τὰ βασιλήϊα, καὶ ἐπιχειρήσομεν αὐτοῖσι.
2 " φυλακὰς γὰρ δὴ διεστεώσας [c]οἶδάς κου καὶ αὐτὸς, εἰ
" μὴ ἰδὼν, ἀλλ' [d]ἀκούσας· ἂς τέῳ τρόπῳ [e]περήσομεν;"
3 Ἀμείβεται Δαρεῖος τοῖσδε· "Ὀτάνη, [f]ἦ πολλά ἐστι τὰ
" λόγῳ μὲν οὐκ οἷά τε δηλῶσαι, ἔργῳ δέ· ἄλλα δ' ἐστὶ
" τὰ λόγῳ μὲν οἷά τε, ἔργον δὲ οὐδὲν ἀπ' αὐτῶν [g]λαμ-
4 " πρὸν γίνεται. ὑμεῖς δὲ ἴστε φυλακὰς τὰς κατεστεώ-
" σας ἐούσας οὐδὲν χαλεπὰς παρελθεῖν. τοῦτο μὲν γὰρ,
" ἡμέων ἐόντων [h]τοίων, οὐδεὶς ὅστις οὐ παρήσει· τὰ μέν

[k] Sic a. Vulgo Ὀτάνεος cum S.
[l] εἰ χρήσεσθε om. S.
[m] ἑωυτοῦ S.V.
[n] Sic V. F. a. Vulgo ὀφείλετε cum S.
[o] Sic V.M.P.K. Paris. βαλλόμενοι F.S. βουλόμενοι edd.
[p] ὑπεραίρεσθε Steph. marg. Mox ποιέομεν S.
[q] ἤνπερ πέσῃ S. probante Wesselingio. ἢν περιπέσῃ V.
[r] αὐτὸς S.V.P.K.F.a.c. αὐτοὺς M.b. Ald. σφέα pro σφέας S.

72.

[a] ἐπεί τε δὲ F. Supra ὁ Ὀτάνης S.
[b] ἐξηγέω S. Ald. cf. I. 90.
[c] οἶδά κου F.b. κου om. c. Supra διεστώσας S.
[d] ἀκούων S.V.
[e] πειρήσομεν Ald. S.V.F. ex em. quod vide ne sit Ionice i.q. περήσομεν, sicut πείρατα i.q. πέρατα. SCHWEIGH.
[f] ἦ om. V.S.
[g] λαμβρὸν F. Mox κατεστώσας S. Mox μὲν om. S.
[h] Sic F.a.c. et al. τοιῶνδε S.V. probante Wessel. et conferente VIII. 62. Alterum hoc e gl. natum suspicatur Schweigh. Supra ὑμέων pro ἡμέων S.

" κου καταιδεόμενος ἡμέας, τὰ δέ κου καὶ δειμαίνων. 234
5 " τοῦτο δὲ, ἔχω αὐτὸς σκῆψιν εὐπρεπεστάτην, τῇ [i] πάρι-
" μεν· φὰς ἄρτι τε ἥκειν ἐκ Περσέων, καὶ βούλεσθαί τι
6 " ἔπος παρὰ τοῦ πατρὸς σημῆναι τῷ βασιλέϊ. [k] ἔνθα
" γάρ τι δεῖ ψεῦδος λέγεσθαι, λεγέσθω. τοῦ γὰρ αὐτοῦ
" γλιχόμεθα, οἵ τε ψευδόμενοι, καὶ οἱ τῇ ἀληθηΐῃ δια-
7 " χρεώμενοι. οἱ [l] μέν γε ψεύδονται τότε, ἐπεάν τι μέλ-
" λωσι [m] τοῖσι ψεύδεσι πείσαντες κερδήσεσθαι· οἱ δ'
" ἀληθίζονται, [n] ἵνα τι τῇ ἀληθηΐῃ ἐπισπάσωνται κέρδος,
8 " [o] καί τι μᾶλλόν σφισι [p] ἐπιτράπηται. οὕτω [q] οὐ ταὐτὰ
" ἀσκέοντες, [r] τὠυτοῦ περιεχόμεθα. εἰ δὲ μηδὲν κερδήσε-
" σθαι μέλλοιεν, ὁμοίως ἂν ὅ τε ἀληθιζόμενος, ψευδὴς
9 " εἴη, καὶ ὁ ψευδόμενος, ἀληθής. ὃς ἂν μέν νυν τῶν πυ-
" λουρῶν ἑκὼν [s] παρίῃ, αὐτῷ οἱ ἄμεινον ἐς χρόνον ἔσται·
" ὃς δ' ἂν ἀντιβαίνειν πειρᾶται, [t] διαδεικνύσθω ἐνθαῦτα
" ἐὼν πολέμιος· καὶ ἔπειτα ὠσάμενοι ἔσω, ἔργου [u] ἐχώ-
73 " μεθα." [a] Λέγει Γωβρύης μετὰ ταῦτα· "Ἄνδρες φί-
" λοι, ἡμῖν κοτε κάλλιον [b] παρέξει ἀνασώσασθαι τὴν ἀρ-
" χὴν, ἢ, εἴ γε μὴ οἷοί τε ἐσόμεθα αὐτὴν [c] ἀναλαβέειν,
" ἀποθανέειν; [d] ὅτε γε ἀρχόμεθα μὲν, ἐόντες Πέρσαι, ὑπὸ

[i] πάρειμι S. Mox φὰς γάρ τε ἥκειν S.V.

[k] Citat Stobæus 12, 23. ubi δεῖ καὶ ψεῦδος. vulg. habet Eustath. p. 188=143, 1. et 628, 8 =482, 47.

[l] μὲν γὰρ conj. Schweighæuser. γε om. S.

[m] τοῖσι om. M. τοῖς S.

[n] Sic S. τι om. P.K.F. τι, ἵνα τῇ vulgo. ἀληθείῃ S. et supra.

[o] Sic M.P.K.F. καί τις S.a. et al. Mox σφιν pro σφισι S. V. Schæfer.

[p] τράπηται P.K.F.a.b.c.

[q] Sic S.V. Vall. οὖν ταῦτα K. P. ὧν ταῦτα F. et edd.

[r] Sic M.K.P.S.V.F. Paris. τὠυτῷ al.

[s] Sic V.S. Schæfer. Vulgo παρείη.

[t] Sic V.S. Schæfer. δεικνύσθω al.

[u] ἐχόμεθα S.

73.

[a] λέγει om. S.

[b] Sic M.P.K.S. Vall. F. Paris. Vulgo παρέξειν.

[c] ἀναλαβέειν et ἀποθανέειν S.V. Vulgo ἀναλαβεῖν et ἀποθανεῖν.

[d] Sic S. cf. Valckenær. ad Eurip. Phœn. p. 209. ὅτε γὰρ F.b. et vulgo. Mox μάγου τε καὶ S.

“ Μήδου ἀνδρὸς Μάγου, καὶ τούτου ὦτα [e] οὐκ ἔχοντος.
2 “ ὅσοι τε ὑμέων Καμβύσῃ νοσέοντι παρεγένοντο, πάντως “ κου μέμνησθε τὰ ἐπέσκηψε Πέρσῃσι τελευτῶν τὸν βίον, “ μὴ πειρεωμένοισι ἀνακτᾶσθαι τὴν ἀρχήν· τὰ τότε οὐκ “ ἐνεδεκόμεθα, ἀλλ' ἐπὶ διαβολῇ ἐδοκέομεν εἰπεῖν Καμ- 95
3 “ βύσεα. Νῦν ὦν τίθεμαι ψῆφον πείθεσθαι Δαρείῳ, “ καὶ μὴ διαλύεσθαι ἐκ τοῦ [f] συλλόγου ἀλλ' ἰόντας ἐπὶ “ τὸν Μάγον ἰθέως.” Ταῦτα εἶπε Γωβρύης· καὶ πάντες [g] ταῦτα αἴνεον.

Quid Prexaspes Magis postulantibus receperit. 235

74 Ἐν ᾧ δὲ οὗτοι ταῦτα ἐβουλεύοντο, ἐγίνετο κατὰ συντυχίην τάδε. Τοῖσι Μάγοισι ἔδοξε βουλευομένοισι Πρηξάσπεα φίλον προσθέσθαι, ὅτι τε ἐπεπόνθεε πρὸς Καμ- 2 βύσεω ἀνάρσια, ὅς οἱ τὸν παῖδα τοξεύσας ἀπολωλέκεε· καὶ [a] διότι μοῦνος ἠπίστατο τὸν Σμέρδιος τοῦ Κύρου θάνατον, αὐτοχειρίῃ μιν ἀπολέσας· πρὸς δ' ἔτι, ἐόντα ἐν
2 [b] αἴνῃ μεγίστῃ τὸν Πρηξάσπεα ἐν Πέρσῃσι. τούτων δή μιν εἵνεκεν καλέσαντες φίλον προσεκτέωντο, [c] πίστι τε λαβόντες καὶ ὁρκίοισι, [d] ἦ μὲν ἕξειν παρ' ἑωυτῷ, μηδ' ἐξοίσειν [e] μηδενὶ ἀνθρώπων τὴν ἀπὸ σφέων ἀπάτην ἐς Πέρσας γε-
3 γονυῖαν· ὑπισχνεύμενοι τὰ πάντα οἱ [f] μυρία δώσειν. [g] ὑπο-

[e] μὴ ἔχοντος d. Mox παρεγένοντο νοσέοντι S. Infra πειρωμένοισι S.

[f] συλλόγου ἀλλ' ἰόντας ἐπὶ τὸν S. V. Vall. probante Wesselingio. “ Eo etiam probabilior hæc “ scriptura, quo minus com- “ mode ἄλλοθι hic ponatur, ubi “ ἄλλοσε aut ἄλλῃ requirebatur.” Schweigh. Vulgo legunt ἐκ τοῦ συλλόγου τοῦδε ἄλλοθι ἰόντας ἢ ἐπὶ τὸν M.

[g] Sic S.V. Vall. ταύτῃ a. edd. ταύτῃ ἔναιον F.

74.

[a] ὅτι S.V.

[b] αἰτίῃ S. Vall. Mox προσεκτῶντο S.

[c] Sic, aut πίστει Ald. V.S.A.B. πίστις M.P.K.F.

[d] Sic F.a.d. Schæfer. cf. Gregor. Dial. Ion. 62. ἦν μὲν K. ἦ μὴν vulgo cum S.

[e] Sic M.S.P.K.F. Paris. παρὰ μηδενὶ Ald. Mox ὑπισχόμενοι S.

[f] μοιρία F.

[g] Sic S.V. Eton. Vall. ὑποσχομένου F.a. edd. vett. e gl. cf. II. 125. Mox ἀνέγνωσαν pro ἀνέπεισαν, si mss. faverent, reciperet Valckenærius; collata Wesselingii Dissert. Herodot. p. 40.

δεκομένου δὲ τοῦ [h] Πρηξάσπεω ποιήσειν ταῦτα, ὡς ἀνέ-
πεισάν μιν οἱ Μάγοι, δεύτερα προσέφερον, αὐτοὶ μὲν φά-
μενοι Πέρσας πάντας [i] συγκαλέσειν [k] ὑπὸ τὸ βασιλήϊον
τεῖχος, κεῖνον δ᾽ ἐκέλευον ἀναβάντα ἐπὶ πύργον [l] ἀγορεῦ-
σαι, ὡς ὑπὸ τοῦ Κύρου Σμέρδιος ἄρχονται, καὶ ὑπ᾽ οὐ-
4 δενὸς ἄλλου. ταῦτα δὲ οὕτω ἐνετέλλοντο, ὡς πιστοτάτου
δῆθεν ἐόντος αὐτοῦ ἐν Πέρσῃσι, [m] καὶ πολλάκις ἀποδεξα-
μένου γνώμην ὡς περιείη ὁ Κύρου Σμέρδις, καὶ ἐξαρνησα-
75 μένου τὸν φόνον αὐτοῦ. Φαμένου δὲ καὶ ταῦτα ἑτοίμου
εἶναι ποιέειν τοῦ Πρηξάσπεω, συγκαλέσαντες [a] Πέρσας οἱ
Μάγοι, ἀνεβίβασαν αὐτὸν [b] ἐπὶ πύργον, καὶ [c] ἀγορεύειν
2 ἐκέλευον. Ὁ δὲ, τῶν [d] μέντοι ἐκεῖνοι προσεδέοντο αὐτοῦ,
τούτων μὲν ἑκὼν [e] ἐπελήθετο· ἀρξάμενος δὲ ἀπὸ Ἀχαιμέ-
νεος, [f] ἐγενεηλόγησε τὴν πατριὴν [g] τὴν Κύρου· μετὰ δὲ, ὡς
ἐς [h] τοῦτον κατέβη, τελευτῶν ἔλεγε ὅσα ἀγαθὰ Κῦρος
Πέρσας [i] πεποιήκοι· διεξελθὼν δὲ ταῦτα, ἐξέφαινε τὴν
ἀληθηΐην, φάμενος πρότερον μὲν κρύπτειν· οὐ γάρ οἱ εἶναι
ἀσφαλὲς λέγειν τὰ γενόμενα· ἐν δὲ τῷ παρεόντι [k] ἀνα-
3 γκαίην μιν καταλαμβάνειν [l] φαίνειν. καὶ δὴ ἔλεγε, τὸν
μὲν Κύρου Σμέρδιν ὡς αὐτὸς ὑπὸ Καμβύσεω ἀναγκα-
4 ζόμενος ἀποκτείνειε, τοὺς Μάγους δὲ βασιλεύειν. Πέρ-
σῃσι δὲ πολλὰ ἐπαρησάμενος, εἰ μὴ ἀνακτησαίατο ὀπίσω
τὴν ἀρχὴν καὶ τοὺς Μάγους τισαίατο, ἀπῆκε ἑωυτὸν ἐπὶ

Ejus veritas contra datam fidem, et mors voluntaria.

[h] Πρηξάσπεος P.K.F.a. τοῦ om. S.
[i] Sic S. Vulgo συγκαλέειν.
[k] ἐπὶ b.
[l] ἀναγορεῦσαι d.
[m] καὶ π. τε S. Mox περείη S.

75.

[a] Sic M.S.P.K.F. Paris. Alii τοὺς Π.
[b] ἐπὶ π. Sic mss. plures. Vulgo ἐπὶ τὸν π.
[c] ἀναγορεύειν S.V. cf. 74.
[d] Sic S.V.F. Paris. Al. μέν τι.
[e] ἐπελάθετο a. ἀπελάθετο c.
[f] ἐγενεαλόγει c. ἐγενεηλόγει marg. Steph.
[g] Sic F.a. τοῦ Κύρου alii cum S.
[h] Sic V.S. Vall. F. Paris. τοῦτο vulgo.
[i] πεποιήκει K.F.b.d.
[k] ἀναγκαίη S.
[l] φαίνειν om. S. Ald.

5 κεφαλὴν φέρεσθαι ἀπὸ τοῦ πύργου κάτω. Πρηξάσπης
μέν νυν, ἐὼν τὸν πάντα χρόνον ἀνὴρ δόκιμος, οὕτω ἐτελεύ-
τησε.

76 Οἱ δὲ δὴ ἑπτὰ τῶν Περσέων, ὡς ἐβουλεύσαντο αὐτίκα
[a]ἐπιχειρέειν τοῖσι Μάγοισι καὶ μὴ ὑπερβάλλεσθαι,
[b]ἤϊσαν εὐξάμενοι τοῖσι θεοῖσι, τῶν περὶ Πρηξάσπεα πρη-
2 χθέντων εἰδότες οὐδέν. ἔν τε δὴ τῇ ὁδῷ μέσῃ [c]στείχοντες
ἐγίνοντο, καὶ τὰ περὶ Πρηξάσπεα γεγονότα ἐπυνθάνοντο.
3 ἐνθαῦτα ἐκστάντες τῆς ὁδοῦ, ἐδίδοσαν [d]αὖτίς σφισι λό-
γους· οἱ μὲν ἀμφὶ τὸν Ὀτάνην πάγχυ κελεύοντες [e]ὑπερ-
βαλέσθαι, μηδὲ, [f]οἰδεόντων τῶν πρηγμάτων, ἐπιτίθεσθαι·
οἱ δὲ ἀμφὶ τὸν Δαρεῖον, αὐτίκα τε ἰέναι, καὶ τὰ δεδο-
4 γμένα ποιέειν, μηδὲ ὑπερβάλλεσθαι. ὠθιζομένων δ' αὐ-
τῶν, ἐφάνη ἰρήκων ἑπτὰ ζεύγεα, δύο [g]αἰγυπιῶν ζεύγεα
5 διώκοντά [h]τε καὶ τίλλοντα καὶ ἀμύσσοντα. ἰδόντες δὲ
ταῦτα οἱ ἑπτὰ, τήν τε Δαρείου πάντες αἴνεον γνώμην,
καὶ ἔπειτα [i]ἤϊσαν ἐπὶ τὰ βασιλήϊα, [k]τεθαρσηκότες τοῖσι
ὄρνισι.

Conjurati septem ad facinus euntes, 236 cognito rerum statu, egressi de via quum inter se contenderent, augurio confirmantur.

77 [a]Ἐπιστᾶσι δὲ ἐπὶ τὰς πύλας ἐγίνετο οἷόν τι Δα-
ρείῳ ἡ γνώμη ἔφερε· καταιδεόμενοι γὰρ οἱ φύλακοι ἄν-
δρας τοὺς Περσέων πρώτους, καὶ οὐδὲν τοιοῦτον ὑποπτεύ-
οντες ἐξ αὐτῶν ἔσεσθαι, [b]παρίεσαν, θείῃ πομπῇ χρεω-

In aulam admissi, eunuchorum obsistentium strage facta, in conclave irruunt.

76.

[a] ἐπιρρέειν S.

[b] ἤϊσαν P.F. forte Paris. ἤεσαν S. edd. vett.

[c] Sic A.B.S.V.F. Ald. στίχοντες M.K.

[d] Sic S.V.a.c. αὐτοῖσί σφισι vulgo.

[e] Sic Ald. S.V. Eustath. Od. p. 1441, 61=90, 44. ὑπερβαλέεσθαι M.K.P. ὑπερβάλλεσθαι c. ὑπερβαλλέσθαι a. ὑπερβαλλέεσθαι F.

[f] οἱ δεόντων Ald. S. cf. inf. 127.

[g] αἰγυπιῶν ex h. l. Suid. Supra ζεύγη S. sed mox ζεύγεα.

[h] τε om. K.F. qui mox cum P. καὶ τίλλοντά τε. Mox τὴν Δαρείου S.

[i] Sic S.V.P.F. ἤεσαν Ald. al.

[k] Sic S.V. cf. Koen. Gregor. Dial. Att. 82. Vulgo τεθαρρηκότες.

77.

[a] ἐπιστάντες δὲ ἐπὶ τὰς πύλας, S. Schæfer.

[b] παρείησαν Ald.

2 μένους· οὐδ' [c] ἐπειρώτα οὐδείς. ἐπεί τε [d] δὲ παρῆλθον ἐς
τὴν αὐλὴν, ἐνέκυρσαν τοῖσι τὰς ἀγγελίας ἐσφέρουσι εὐ-
νούχοισι, οἵ σφεας ἱστόρεον ὅ τι θέλοντες ἥκοιεν· καὶ ἅμα
ἱστορέοντες τούτους, τοῖσι [e] πυλουροῖσι ἀπείλεον, ὅτι σφέας
παρῆκαν· ἴσχον τε βουλομένους τοὺς ἑπτὰ ἐς τὸ πρόσω
3 παριέναι. οἱ δὲ, διακελευσάμενοι, καὶ σπασάμενοι τὰ
ἐγχειρίδια, τούτους μὲν τοὺς ἴσχοντας αὐτοῦ ταύτῃ συγ-
78 κεντέουσι· αὐτοὶ δὲ ἤϊσαν δρόμῳ ἐς τὸν ἀνδρεῶνα. Οἱ
δὲ Μάγοι ἔτυχον ἀμφότεροι τηνικαῦτα [a] ἐόντες τε [b] ἔσω,
καὶ τὰ ἀπὸ [c] Πρηξάσπεω γενόμενα ἐν βουλῇ ἔχοντες.
ἐπεὶ ὦν εἶδον τοὺς εὐνούχους τεθορυβημένους [d] τε καὶ βοῶν-
τας, ἀνά τε ἔδραμον πάλιν ἀμφότεροι, καὶ ὡς ἔμαθον τὸ
2 ποιεύμενον, πρὸς ἀλκὴν ἐτράποντο. ὁ μὲν δὴ [e] αὐτῶν φθά-
νει τὰ τόξα κατελόμενος· ὁ δὲ, πρὸς τὴν αἰχμὴν ἐτρά-
3 πετο. [f] ἐνθαῦτα [g] δὲ συνέμισγον ἀλλήλοισι. τῷ μὲν δὴ
τὰ τόξα ἀναλαβόντι αὐτῶν, ἐόντων τε [h] ἀγχοῦ τῶν πο-
4 λεμίων καὶ προσκειμένων, ἦν χρηστὰ οὐδέν. ὁ δ' ἕτερος
τῇ αἰχμῇ ἠμύνετο, καὶ τοῦτο μὲν [i] Ἀσπαθίνην παίει ἐς
τὸν μηρὸν, τοῦτο δὲ [k] Ἰνταφέρνεα ἐς τὸν ὀφθαλμόν· καὶ
ἐστερήθη μὲν τοῦ ὀφθαλμοῦ ἐκ τοῦ τρώματος ὁ Ἰνταφέρ-
5 νης, οὐ μέντοι ἀπέθανέ γε. τῶν μὲν δὴ Μάγων [l] οὕτερος
τρωματίζει τούτους· ὁ δὲ ἕτερος, ἐπεί τέ οἱ τὰ τόξα οὐδὲν
[m] χρηστὰ ἐγένετο, ἦν γὰρ δὴ θάλαμος ἐσέχων ἐς τὸν ἀν-

Magorum virtus et cædes: vulnerati duo e conjuratis.

[c] Sic S.V.P. ἐπηρώτα al.
[d] Sic F. Vulgo δὲ καὶ παρ. cum S.
[e] Sic M. P. K. πυλωροῖσι Ald. S.V. πυλουργοῖσι F.

78.

[a] Sic M. P. K. V. F. Paris. τε om. vulgo cum S.
[b] Sic S.V. Vulgo εἴσω.
[c] Πρηξάσπεος K.F.
[d] τε om. F.
[e] αὐτέων] αὐτῶν F.S.
[f] ἔνθα S.V.
[g] δὴ συνεμ. F. Mox αὐτῶν S. pro αὐτέων.
[h] Sic M.S.K.V.P.F. Paris. ἀγχοῦ αὐτῷ vulgo.
[i] Ἀσπαθόνην S. Ἀσπαθίμην P. Ασπαθήνην V. Vall.
[k] Ἰνταφρένεα S.V. qui mox Ἰν-ταφρένης.
[l] ὁ ἕτερος τούτους τρωματίζει S.V.
[m] χρήσιμα S.V.c.

δρεῶνα, ἐς τοῦτον καταφεύγει, θέλων αὐτοῦ [n]προσθεῖναι 237 τὰς θύρας· καί οἱ [o]συνεσπίπτουσι τῶν ἑπτὰ δύο, Δα-
6 ρεῖός τε καὶ Γωβρύης. [p]συμπλακέντος δὲ Γωβρύεω τῷ Μάγῳ, ὁ Δαρεῖος [q]ἐπεστεὼς ἠπόρει, οἷα ἐν σκότεϊ προ-
7 μηθεόμενος μὴ πλήξῃ τὸν Γωβρύην. ὁρέων δέ μιν ἀργὸν [r]ἐπεστεῶτα ὁ Γωβρύης, εἴρετο ὅ τι οὐ [s]χρᾶται τῇ χερί· ὁ
8 δὲ εἶπε· "Προμηθεόμενος σέο, μὴ πλήξω." Γωβρύης δὲ ἀμείβετο· "[t]Ὦθει καὶ δι' ἀμφοτέρων τὸ ξίφος." Δαρεῖος δὲ [u]πειθόμενος, [w]ὦσέ τε τὸ ἐγχειρίδιον, καὶ ἔτυχέ κως τοῦ Μάγου.

Exposita populo re gesta, Magi vulgo contrucidantur: festum Persicum ingens, Magophonia.

79 Ἀποκτείναντες δὲ τοὺς Μάγους, καὶ ἀποταμόντες [a]αὐτῶν τὰς κεφαλὰς, τοὺς μὲν τρωματίας [b]ἑωυτῶν αὐτοῦ λείπουσι, καὶ ἀδυνασίης εἵνεκεν, καὶ φυλακῆς τῆς ἀκροπόλιος· οἱ δὲ πέντε αὐτῶν ἔχοντες τῶν Μάγων τὰς κεφαλὰς, [c]ἔθεον ἔξω, βοῇ τε καὶ πατάγῳ χρεώμενοι, καὶ Πέρσας τοὺς ἄλλους ἐπεκαλέοντο, ἐξηγεόμενοί τε τὸ πρῆγμα, καὶ δεικνύοντες τὰς κεφαλάς· καὶ ἅμα [d]ἔκτει-
2 νον πάντα τινὰ τῶν Μάγων τὸν ἐν ποσὶ γινόμενον. Οἱ δὲ Πέρσαι, μαθόντες τό [e]τε γεγονὸς ἐκ τῶν ἑπτὰ καὶ τῶν Μάγων τὴν ἀπάτην, ἐδικαίευν καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιέειν· σπασάμενοι δὲ τὰ ἐγχειρίδια, ἔκτεινον ὅκου τινὰ

[n] Vid. Suidas et Photius in v.
[o] συνεμπίπτουσι S. συνεπίπτ. K. συνεπιπίπτ. F.f. Pro vulg. Wesselingius citat Plutarch. II. p. 50. E. et Zonaram.
[p] συμπλεκέντος S.P.F. Mox τοῦ Γωβ. S.
[q] ἐτὶ ἑστεὼς S.P. tum οἷον ἐν S. ἐπεστεὼς ἐν σκότεϊ, ἠπόρει οἷα προμ. V. Mox προθεόμενος S. pro προμηθεόμενος.
[r] ἑστεῶτα S.F.a.
[s] Sic S.P.K.V.F.f. χρῆται alii. Tum χειρὶ S.
[t] ὦθει τὸ ξίφος καὶ δι' ἀ. S.F.f.
[u] Sic V. Vall. f. πειθόμενοι M. F. πυθόμενος S. Ald.
[w] Sic S.V. Ald. A.B. τε om. M.P.K.F.f.

79.

[a] αὐτέων] αὐτῶν F.S. ἀποτεμόντες S. Mox τούς τε τρ. S.
[b] αὐτῶν F.
[c] Sic V.S. Vall. ἔξω om. F.a. c. et vulgo.
[d] ἀπέκτεινον F. Mox γενόμενον S.
[e] Sic K. τε al. om.

Μάγον εὕρισκον· εἰ δὲ μὴ νὺξ ἐπελθοῦσα ἔσχε, ἔλιπον ἂν
3 οὐδένα Μάγον. Ταύτην τὴν ἡμέρην θεραπεύουσι Πέρσαι κοινῇ μάλιστα τῶν ἡμερέων· καὶ ἐν αὐτῇ [f] ὁρτὴν μεγάλην [g] ἀνάγουσι, ἣ κέκληται ὑπὸ Περσέων [h] Μαγοφόνια· ἐν τῇ Μάγον οὐδένα ἔξεστι φανῆναι ἐς τὸ φῶς, ἀλλὰ κατ' οἴκους ἑωυτοὺς οἱ Μάγοι ἔχουσι τὴν ἡμέρην ταύτην.

80 Proposita consultatione de rerum statu optimo, suadet Otanes Democratiam;

Ἐπεί τε δὲ κατέστη ὁ θόρυβος, καὶ [a] ἐκτὸς πέντε ἡμερέων ἐγένετο, ἐβουλεύοντο οἱ ἐπαναστάντες τοῖσι Μάγοισι περὶ τῶν [b] πρηγμάτων πάντων· καὶ ἐλέχθησαν λόγοι
2 ἄπιστοι μὲν ἐνίοισι Ἑλλήνων, ἐλέχθησαν δ' ὦν. Ὀτάνης μὲν ἐκέλευε ἐς μέσον Πέρσῃσι καταθεῖναι τὰ πρήγματα, λέγων τάδε· "Ἐμοὶ δοκέει, ἕνα μὲν ἡμέων [c] μούναρχον
3 "μηκέτι γενέσθαι· οὔτε γὰρ ἡδὺ, οὔτε ἀγαθόν. εἴδετε 238
"[d] μὲν γὰρ τὴν Καμβύσεω ὕβριν ἐπ' ὅσον [e] ἐπεξῆλθε,
4 "[f] μετεσχήκατε δὲ καὶ τῆς τοῦ Μάγου ὕβριος. [g] Κῶς δ' "ἂν εἴη χρῆμα κατηρτημένον μουναρχίη, τῇ ἔξεστι [h] ἀνευ-"θύνῳ ποιέειν τὰ βούλεται; καὶ γὰρ ἂν τὸν ἄριστον ἀν-"δρῶν πάντων, στάντα ἐς [i] ταύτην τὴν ἀρχὴν, ἐκτὸς τῶν
5 "ἐωθότων νοημάτων [k] στήσειε. ἐγγίνεται μὲν γάρ οἱ ὕβρις "ὑπὸ τῶν παρεόντων ἀγαθῶν, φθόνος δὲ ἀρχῆθεν [l] ἐμφύε-
6 "ται ἀνθρώπῳ. δύο δ' ἔχων ταῦτα, ἔχει πᾶσαν κακό-

[f] Sic M. P. K. V. S. F. Paris. κοινῇ ὀρτὴν edd. vett.

[g] Sic M.F. Paris. ἄγουσι V.S. Ald. cf. I. 147. VIII. 65.

[h] Sic M.P.K.S.V.a.c. Wesselingius citat Agathiam II. p. 47. A. μαγοφονίαι edd. vett. b.d. μαγοφονία F.

80.

[a] Sic S.V. Vall. ἐντὸς Ald. F. b.d. Mox ἐγένοντο S.

[b] πάντων πρηγ. S.F.

[c] Sic S.V.P.F.a.b.c. μ. μοῦνον μ. edd. Mox γίνεσθαι S.

[d] μὲν om. F.a.c.

[e] ἐξῆλθε S.V.c. ἐπεξήλθατε F.

[f] μετέσχετε V.S. Mox γὰρ (δὲ) F.

[g] καὶ ὡς δ' ἂν F. Ald. Exscripsit Stobæus 49, 29.

[h] Sic M.V.P.K.F. Paris. Stob. ἀνευθύνως edd. vett. cum S.

[i] Sic Stob. S.V.b.d. Ald. τὴν ἀρχὴν om. M.P.K.F.a.c.

[k] στήσει S.V. Mox ὑπὸ τῶν— ὕβρι om. S.

[l] Sic P. K. Stob. F. Paris. ἐνφύεται (μ) M. ἐνεμφύεται Ald.

“ τητα· τὰ μὲν γὰρ, [m] ὕβρι κεκορημένος, ἔρδει πολλὰ
7 “ καὶ ἀτάσθαλα· τὰ δὲ, φθόνῳ. καίτοι ἄνδρα γε τύ-
“ ραννον [n] ἄφθονον ἔδει εἶναι, ἔχοντά γε πάντα [o] τὰ
“ ἀγαθά· τὸ δ' ὑπεναντίον [p] τούτου ἐς τοὺς πολιήτας
8 “ πέφυκε. φθονέει γὰρ τοῖσι ἀρίστοισι περιεοῦσί τε καὶ
“ ζώουσι, χαίρει δὲ τοῖσι κακίστοισι τῶν ἀστῶν, διαβο-
“ λὰς δὲ [q] ἄριστος [r] ἐνδέκεσθαι, [s] ἀναρμοστότατος δὲ πάν-
“ των· ἤν τε γὰρ αὐτὸν μετρίως θωυμάζῃς, [t] ἄχθεται ὅτι
“ οὐ κάρτα θεραπεύεται· ἤν τε θεραπεύῃ τις κάρτα,
9 “ ἄχθεται [u] ἅτε θωπί. τὰ δὲ δὴ μέγιστα ἔρχομαι ἐρέων·
“ νόμαιά τε κινεῖ πάτρια, καὶ βιᾶται γυναῖκας, κτείνει
10 “ τε [w] ἀκρίτους. Πλῆθος δὲ ἄρχον πρῶτα μὲν οὔνομα
“ πάντων κάλλιστον ἔχει, [x] ἰσονομίην. δεύτερα [y] δὲ, τού-
11 “ των τῶν ὁ μούναρχος ποιέει οὐδέν. πάλῳ [z] μὲν ἀρ-
“ χὰς ἄρχει, ὑπεύθυνον δὲ ἀρχὴν ἔχει, βουλεύματα δὲ
“ πάντα [a] ἐς τὸ κοινὸν ἀναφέρει. Τίθεμαι ὦν γνώμην,
“ μετέντας ἡμέας μουναρχίην, τὸ πλῆθος ἀέξειν· ἐν γὰρ
“ τῷ πολλῷ ἔνι τὰ πάντα.” Ὀτάνης μὲν δὴ ταύτην [b] τὴν
81 1 γνώμην ἐσέφερε. Μεγάβυζος δὲ ὀλιγαρχίῃ ἐκέλευε [a] ἐπι-
τράπειν, λέγων τάδε· “Τὰ μὲν Ὀτάνης εἶπε, τυραννίδα

239 Megabyzus Aristocratiam;

[m] Sic F. Stob. Trinc. Vulgo ὕβρει. Tum κεκορημένος δ' S. Infra καίτοι γε ἄνδρα S.
[n] Citat Thomas M. in Ἀφθ. Vocem om. S.
[o] τὰ om. F.
[p] τούτῳ V.S. τοῦτο Stobæi ms.
[q] Sic S. Vulgo ἄριστον.
[r] ἐνδέχεσθαι Stob. Post h. v. ἡγέεται inseruit H. Stephanus.
[s] ἀναρμοστότατον] ἀναρμοστότατος S. Ald. Schæferus. ἀναρμόστατον absque δὲ Stob. Tum θωμάζῃς S.
[t] ἀπέχθεται Ald.
[u] Sic S. Stob. θωπείαν ἡγούμενος edd. vett. θωπείαν absque ἡγούμενος P.K.M.F.b.d.
[w] Sic V.P.K.F. Paris. Stob. ἀκρίτως Ald. et al. κτείνει τε ἀκρ. om. S.
[x] ἰσοτιμίην Stobæi ed. Trinc. sed vulg. habet ms.
[y] δὲ om. S.
[z] Sic M.P.K.F. Stob. μὲν γὰρ ἀ. S.c. et al.
[a] ἐς κεινὸν F.
[b] τὴν om. F.a.

81.

[a] ἐπιτραπεῖν F.a.b.c.

“ παύων, λελέχθω κἀμοὶ [b] ταῦτα· τὰ δ’ ἐς τὸ πλῆθος
“ ἄνωγε [c] φέρειν τὸ κράτος, γνώμης τῆς ἀρίστης ἡμάρ-
2 “ τηκε. ὁμίλου γὰρ ἀχρηΐου οὐδέν ἐστι ἀξυνετώτερον,
“ οὐδὲ [d] ὑβριστότερον· [e] καί τοι τυράννου ὕβριν φεύγον-
“ τας ἄνδρας ἐς δήμου ἀκολάστου ὕβριν πεσέειν ἐστὶ
3 “ οὐδαμῶς ἀνασχετόν. ὁ μὲν γὰρ, εἴ τι ποιέει, γινώσκων
“ ποιέει· τῷ δὲ [f] οὐ γινώσκειν ἔνι. κῶς γὰρ ἂν γινώσκοι,
“ ὃς οὔτ’ ἐδιδάχθη, οὔτε οἶδε καλὸν οὐδὲν, οὐδ’ οἰκήϊον;
“ ὠθέει τε ἐμπεσὼν τὰ πρήγματα ἄνευ νόου, χειμάρρῳ
“ ποταμῷ [g] ἴκελος; Δήμῳ μέν νυν, οἳ Πέρσῃσι [h] κακὸν
4 “ νοέουσι, οὗτοι χράσθων. ἡμεῖς δὲ, ἀνδρῶν τῶν ἀρίστων
“ ἐπιλέξαντες ὁμιλίην, τούτοισι [i] περιθέωμεν τὸ κράτος·
5 “ ἐν γὰρ δὴ τούτοισι καὶ αὐτοὶ ἐνεσόμεθα. [k] ἀρίστων δὲ
“ ἀνδρῶν [l] οἰκὸς ἄριστα βουλεύματα γίνεσθαι.” Μεγά-
82 βυζος [m] μὲν δὴ ταύτην γνώμην [n] ἐσέφερε. Τρίτος δὲ Δα-
Darius Monarchiam.
ρεῖος [a] ἀπεδείκνυτο γνώμην, λέγων· “ Ἐμοὶ [b] δὲ τὰ μὲν
“ εἶπε Μεγάβυζος ἐς τὸ πλῆθος ἔχοντα, δοκέει ὀρθῶς
2 “ λέξαι· τὰ δ’ ἐς ὀλιγαρχίην, οὐκ ὀρθῶς. Τριῶν γὰρ
“ προκειμένων, καὶ πάντων τῶν λέγω ἀρίστων ἐόντων,
“ δήμου τε ἀρίστου, καὶ ὀλιγαρχίης, καὶ [c] μουνάρχου,
3 “ πολλῷ τοῦτο προέχειν λέγω. ἀνδρὸς γὰρ ἑνὸς τοῦ ἀρί-

[b] τάδε F. qui ταῦτα habet in marg.
[c] κελεύων φέρειν S.V.
[d] Sic M.S.P.K. ex. Seguier. p. 115, 15. ὑβριστικώτερον Ald. V.F. Paris.
[e] Sic S. τοι om. F. a. c. et vulgo.
[f] Sic Ald. M.S.P.K.F. οὐδὲ γι. B.V. Steph. et seqq. edd. Mox ἔστι S. et εἶδε pro οἶδε.
[g] εἴκελος F.
[h] κακῶς S.V. νοσέουσιν pro νοέουσι S.
[i] περιθείομεν Ald.
[k] ἀρίστων τε F.
[l] Sic F. Vulgo εἰκός.
[m] μέν νυν c. Steph. marg. μὲν absque δὴ S.V. Tum γνώμην om. S.
[n] Sic S.V.P.K.F. Paris. εἰσέφερε vulgo.

82.

[a] ἀπεδείκνυε S.V. Seqq. habet Stobæus 47, 24.
[b] δὲ om. d.
[c] μουναρχίης S. Schæfer.

“ στου οὐδὲν ἄμεινον ἂν φανείη· γνώμῃ γὰρ [d]τοιαύτῃ
“ χρεώμενος, ἐπιτροπεύοι ἂν ἀμωμήτως τοῦ πλήθεος·
“ [e]σιγῷτό τε ἂν βουλεύματα ἐπὶ δυσμενέας ἄνδρας οὕτω
4 “ μάλιστα. ἐν δὲ ὀλιγαρχίῃ, πολλοῖσι ἀρετὴν ἐπασκέ-
“ ουσι ἐς τὸ κοινὸν, ἔχθεα [f]ἴδια ἰσχυρὰ φιλέει ἐγγίνε-
5 “ σθαι. [g]αὐτὸς γὰρ ἕκαστος βουλόμενος κορυφαῖος εἶ-
“ ναι γνώμῃσί τε νικᾶν, ἐς ἔχθεα μεγάλα ἀλλήλοισι
6 “ ἀπικνέονται· ἐξ ὧν στάσιες ἐγγίνονται· ἐκ δὲ τῶν
“ στασίων, φόνος· ἐκ δὲ τοῦ φόνου, ἀπέβη ἐς μουναρ-
“ χίην· καὶ ἐν τούτῳ διέδεξε, [h]ὅσῳ ἐστὶ τοῦτο ἄριστον.
7 “ Δήμου τε αὖ ἄρχοντος, [i]ἀδύνατα μὴ οὐ κακότητα [k]ἐγ-
“ γίνεσθαι. κακότητος τοίνυν ἐγγινομένης ἐς τὰ κοινὰ,
“ ἔχθεα μὲν οὐκ ἐγγίνεται [l]τοῖσι κακοῖσι, φιλίαι δὲ
“ ἰσχυραί· οἱ γὰρ κακοῦντες τὰ κοινὰ, [m]συγκύψαντες
8 “ ποιεῦσι. τοῦτο δὲ τοιοῦτο γίνεται, ἐς ὃ ἂν [n]προστάς τις
9 “ τοῦ δήμου τοὺς τοιούτους παύσῃ. [o]ἐκ δὲ αὐτῶν θωυμά-
“ ζεται οὗτος δὴ ὑπὸ τοῦ δήμου· [p]θωυμαζόμενος δὲ, ἀν᾽
“ ὧν [q]ἐφάνη μούναρχος ἐών· καὶ ἐν τούτῳ δηλοῖ καὶ οὗ-
10 “ τος ὡς ἡ μουναρχίη κράτιστον. Ἑνὶ δὲ ἔπεϊ πάντα
“ συλλαβόντα εἰπεῖν, κόθεν ἡμῖν ἡ ἐλευθερίη ἐγένετο; καὶ

[d] τοιαύτῃ om. d.
[e] σιγῷ τότε K. Ald.
[f] ἴδια om. S. Vall.
[g] αὐτῶν γὰρ Ald. marg. Steph.
[h] Sic mss. Stob. ὅσον Ald. διέδοξεν S.
[i] ἀδύνατον Stob. καὶ pro μὴ S.
[k] Sic S. V. Stob. ἐγγενέσθαι F. al.
[l] Sic M.S.P.K.V.F. Paris. Stob. κακοῖσι om. edd. vett.
[m] Sic Stobæus. συγκρύψαντες vulgo. συγγράψαντες d. συγκρίψαντες S. Mox τοιοῦτον S.
[n] Sic mss. Herodoti et Stobæi. προστάτις Stobæi edd. pleræque.
[o] ἐκ δὲ αὖ τῶνδε Reizius, Valckenærium sequutus.
[p] Sic S.K.V.F. Paris. θ. δὴ edd. vett. θαυμάζεται. οὗτος δὴ ὑπὸ τοῦ δήμου θωυμαζόμενος ἐφάνη ἔων μούναρχος Stobæus, ubi τοῦ ante δήμου om. ms.
[q] ἐφάνη ὁ μούν. P. K. ἂν ὧν ἐ. ὁ μ. F. ὧν ἀνεφάνη ὁ μ. d. ἂν ὧν ἐ. μ. ἐὼν edd. Wess. et al. ἀν᾽ ὧν ἐ. μ. cum Valckenærio et Reizio Schweighæuserus.

“ τεῦ δόντος; κότερα [r]παρὰ δήμου, ἢ ὀλιγαρχίης, ἢ
11 “ [s]μουνάρχου; Ἔχω τοίνυν γνώμην, ἡμέας ἐλευθερωθέντας “ διὰ ἕνα ἄνδρα, τὸ [t]τοιοῦτο περιστέλλειν· χωρίς τε τού“ του, πατρίους νόμους μὴ λύειν ἔχοντας εὖ· οὐ γὰρ “ ἄμεινον.”

83

Placet Darii sententia: Otanes a regni contentione discedit, pacta sibi et suis posteris libertate.

Γνῶμαι μὲν δὴ τρεῖς αὗται [a]προεκέατο· οἱ δὲ τέσσερες τῶν ἑπτὰ ἀνδρῶν προσέθεντο ταύτῃ. Ὡς δὲ ἑσσώθη τῇ γνώμῃ ὁ Ὀτάνης, Πέρσῃσι ἰσονομίην σπεύδων ποιῆσαι,
2 ἔλεξε ἐς μέσον αὐτοῖσι τάδε· “Ἄνδρες στασιῶται, δῆλα “ γὰρ δὴ ὅτι δεῖ ἕνα γέ τινα ἡμέων βασιλέα γενέσθαι, “ ἤτοι κλήρῳ γε [b]λαχόντα, ἢ ἐπιτρεψάντων τῷ Περσέων “ πλήθεϊ τὸν ἂν [c]ἐκεῖνοι ἕλωνται, ἢ [d]ἄλλῃ τινὶ μηχανῇ·
3 “ ἐγὼ μέν νυν ὑμῖν οὐκ ἐναγωνιεῦμαι· οὔτε γὰρ ἄρχειν “ οὔτε ἄρχεσθαι [e]ἐθέλω. ἐπὶ τούτῳ δὲ ὑπεξίσταμαι τῆς “ ἀρχῆς, ἐπ᾽ ᾧ τε ὑπ᾽ οὐδενὸς ὑμέων [f]ἄρξομαι, οὔτε αὐ-
4 “ τὸς ἐγὼ, οὔτε οἱ ἀπ᾽ ἐμεῦ αἰεὶ γινόμενοι.” Τούτου εἴπαντος [g]ταῦτα, [h]ὡς συνεχώρεον οἱ ἓξ ἐπὶ τούτοισι, οὗτος μὲν δή σφι οὐκ ἐνηγωνίζετο, ἀλλ᾽ ἐκ τοῦ μέσου [i]κατῆστο. 241
5 Καὶ νῦν αὕτη ἡ οἰκίη διατελέει μούνη ἐλευθέρη ἐοῦσα Περσέων, [k]καὶ ἄρχεται τοσαῦτα ὅσα αὐτὴ θέλει, νόμους οὐκ ὑπερβαίνουσα τοὺς Περσέων.

84

Reliqui sex quos ho-

Οἱ δὲ λοιποὶ τῶν ἑπτὰ ἐβουλεύοντο ὡς βασιλέα δικαιότατα στήσονται· καί σφι

[r] Sic S.V. Stob. παρὰ τοῦ δ. vulgo.
[s] μουναρχίης S.
[t] τοιοῦτον S.

83.

[a] προεκέατο M. K. P. F. προσεκέατο S. προσκέατο Ald. c.
[b] λαχόντα V.S.a. λαχόντων edd. vett. et mss. alii. Mox τῶν Περσέων S.
[c] ἐκεῖνο ἕληται V. P. K. F. a. c. ἐκεῖνος ἕληται S.d. Supra ἐὰν S.
[d] Sic Wess. e mss. quibusdam. ἄλλην τινὰ μηχανὴν edd. vett.
[e] θέλω S.V.a.
[f] ἄρχεσθαι S.V. probante Wesselingio.
[g] ταῦτα om. S.V.
[h] Sic F.M. et forte alii. ὡς om. edd. vett.
[i] καθῆστο F. et reliqui omnes. κατῆστο Reiz. τοῦ ante μέσου om. Ald.
[k] καὶ οὔτε ἄρχεται πλὴν τοσαῦτα S.V. probante Wesselingio. Mox τῶν Περσέων S.

ἔδοξε, Ὀτάνῃ μὲν καὶ τοῖσι ἀπὸ [a]Ὀτάνεω αἰεὶ γινομέ-
νοισι, ἢν ἐς ἄλλον τινὰ τῶν ἑπτὰ [b]ἔλθῃ ἡ βασιληΐη, ἐξαί-
ρετα δίδοσθαι ἐσθῆτά τε Μηδικὴν ἔτεος ἑκάστου, καὶ τὴν
2 πᾶσαν δωρεὴν ἣ γίνεται ἐν Πέρσῃσι τιμιωτάτη. [c]τοῦδε δὲ
εἵνεκεν [d]ἐβούλευσάν οἱ δίδοσθαι ταῦτα, ὅτι ἐβούλευσέ τε
πρῶτος τὸ πρῆγμα, καὶ συνέστησε αὐτούς. ταῦτα μὲν
3 δὴ Ὀτάνῃ ἐξαίρετα. Τάδε δὲ ἐς τὸ κοινὸν ἐβούλευσαν·
παριέναι ἐς τὰ βασιλήϊα πάντα τὸν βουλόμενον τῶν ἑπτὰ
ἄνευ ἐσαγγελέος, ἢν μὴ τυγχάνῃ εὕδων μετὰ γυναικὸς
βασιλεύς· γαμέειν δὲ μὴ ἐξεῖναι ἄλλοθεν τῷ βασιλέϊ ἢ
4 ἐκ τῶν [e]συνεπαναστάντων. περὶ δὲ τῆς βασιληΐης [f]ἐβού-
λευσαν τοιόνδε· ὅτευ ἂν ὁ ἵππος ἡλίου [g]ἐπανατέλλοντος
πρῶτος φθέγξηται ἐν [h]τῷ προαστείῳ, αὐτῶν ἐπιβεβηκό-
των, τοῦτον ἔχειν [i]τὴν βασιληΐην.

nores Otani et posteris ejus decreverint. quæ sibi jura inter se pepigerint: qua ratione regem fieri voluerint.

85 Δαρείῳ δὲ ἦν [a]ἱπποκόμος, ἀνὴρ σοφός, τῷ οὔνομα ἦν
Οἰβάρης. πρὸς τοῦτον τὸν ἄνδρα, ἐπεί τε διελύθησαν,
2 ἔλεξε Δαρεῖος τάδε· "Οἴβαρες, ἡμῖν δέδοκται περὶ τῆς
" βασιληΐης ποιέειν [b]κατὰ τάδε· ὅτευ ἂν ὁ ἵππος πρῶ-
" τος φθέγξηται ἅμα τῷ ἡλίῳ ἀνιόντι, αὐτῶν ἐπαναβε-
3 " βηκότων, τοῦτον ἔχειν τὴν βασιληΐην. νῦν ὦν, εἴ τινα
" [c]ἔχεις σοφίην, μηχανῶ ὡς ἂν ἡμεῖς [d]σχῶμεν τοῦτο τὸ
4 " γέρας, καὶ μὴ ἄλλος τις." Ἀμείβεται Οἰβάρης
τοῖσδε· "Εἰ μὲν δή, ὦ δέσποτα, ἐν τούτῳ τοί ἐστι ἡ βα-

Solertia Œbaris, Darii equisonis.

84.

[a] Ὀτάνεος V.F. Ὀτάνεως Ald.
[b] ἔλθοι P.K.
[c] τούτου δὲ S.V. τοῦ δὲ Schæfer.
[d] Sic plures libri. ἐβουλεύσαντο S.V. probantibus Wesselingio et Valckenærio. cf. infr. et I. 73. Mox τε om. S.
[e] συναναστάντων S.V.
[f] ἐβουλεύσαντο S.V. Wess.
[g] ἐπανατείλαντος S.V.
[h] τῷ om. F.
[i] τὴν Καμβύσεω βασ. S.V. Vall.

85.

[a] ἱπποκόμης c.
[b] κατὰ om. V.S.
[c] Sic M.P.K.S.F. ἔχοις c. et al.
[d] ἔχωμεν S.V. Mox τὸ om. S.

" σιλέα εἶναι [e]ἢ μὴ, θάρσεε τούτου εἵνεκεν, καὶ θυμὸν
" ἔχε ἀγαθόν· ὡς βασιλεὺς οὐδεὶς ἄλλος πρὸ σεῦ ἔσται·
5 " τοιαῦτα ἔχω φάρμακα." Λέγει Δαρεῖος· " Εἰ τοίνυν
" τι τοιοῦτον ἔχεις σόφισμα, ὥρη μηχανᾶσθαι, καὶ μὴ
" ἀναβάλλεσθαι· ὡς τῆς ἐπιούσης ἡμέρης [f]ὁ ἀγὼν ἡμῖν
6 " ἐστι." Ἀκούσας ταῦτα ὁ Οἰβάρης, ποιέει τοιόνδε· ὡς
ἐγίνετο ἡ νὺξ, τῶν θηλέων ἵππων [g]μίαν, τὴν ὁ Δαρείου ἵπ-
πος ἔστεργε μάλιστα, ταύτην ἀγαγὼν ἐς τὸ προάστειον,
κατέδησε, καὶ ἐπήγαγε τὸν Δαρείου ἵππον· καὶ τὰ μὲν
πολλὰ [h]περιῆγε ἀγχοῦ τῇ ἵππῳ, [i]ἐγχρίπτων τῇ [k]θηλέῃ· 242
86 τέλος δὲ, ἐπῆκε ὀχεῦσαι [l]τὸν ἵππον. Ἅμ' ἡμέρῃ δὲ
[a]διαφωσκούσῃ, οἱ ἕξ, κατὰ συνεθήκαντο, [b]παρῆσαν ἐπὶ
2 τῶν ἵππων. [c]διεξελαυνόντων δὲ κατὰ τὸ προάστειον,
ὡς κατὰ τοῦτο τὸ χωρίον [d]ἐγίνοντο ἵνα τῆς [e]παροιχο-
μένης νυκτὸς κατεδέδετο ἡ θήλεα ἵππος, ἐνθαῦτα ὁ Δα-
ρείου ἵππος προσδραμὼν ἐχρεμέτισε· ἅμα δὲ τῷ ἵππῳ
τοῦτο ποιήσαντι, ἀστραπὴ ἐξ [f]αἰθρίης καὶ βροντὴ ἐγέ-
3 νετο. ἐπιγενόμενα δὲ ταῦτα τῷ Δαρείῳ, ἐτελέωσέ μιν,
[g]ὥσπερ ἐκ συνθέτου τευ γενόμενα· οἱ δὲ, καταθορόν-
τες ἀπὸ τῶν ἵππων, [h]προσεκύνεον τὸν Δαρεῖον [i]ὡς βα-

Darius equi hinnitu factus rex, et statim omine confirmatus.

[e] ἢ μὴ om. c. Steph. marg. Mox θάρσει S.

[f] ὁ om. S. qui mox om. ἡ ante νύξ.

[g] μίην] μίαν F.S.

[h] περίηγεν S. V. a. c. περιήγαγε al.

[i] ἐγχρίμπτων] ἐγχρίπτων S. b. c. cf. II. 60. Suid. ἐγχρίπτων, προσπελάζων.

[k] Sic S.P.K.F. Paris. Gregor. Dial. Ion. 41. Eustath. p. 546, 42=414, 46. cf. I. 192. II. 41. III. 102. VII. 58. a Wesseling. citat. θηλέϊ Ald.

[l] τὴν ἵ.] τὸν ἵ. V.S.K.P.F.d.

86.

[a] Sic F.a. et al. διαφαυσκούσῃ V.S. Wessel. Priorem formam prætulit Schweighæuser. ex analogia υυ. θῶμα, τρῶμα &c.

[b] παρῄϊσαν V.S. Schæfer.

[c] διελαυνόντων V.S.

[d] Sic V.S.P.K.F. Paris. ἐγένοντο vulg.

[e] παροχημένης d.

[f] αἴθρης S.

[g] Hinc Thomas M. in Σύνθετον.

[h] προσεκύνεόν μιν τ. Δ. Ald. et al. μιν om. mss. plures.

[i] ὡς βασιλέα om. S.V.P.F.a.c. Vall. nec valde desiderantur.

87 σιλέα. Οἱ μὲν δή φασι τὸν Οἰβάρεα ταῦτα μηχανήσασθαι· οἱ δὲ, τοιάδε· (καὶ γὰρ ἐπ᾽ ἀμφότερα λέγεται
2 ὑπὸ Περσέων·) ὡς τῆς ἵππου ταύτης τῶν ἄρθρων ἐπιψαύσας τῇ χειρὶ, [a] ἔχοι αὐτὴν κρύψας ἐν τῇσι ἀναξυρίσι· ὡς δὲ ἅμα τῷ ἡλίῳ ἀνιόντι [b] ἀπίεσθαι μέλλειν τοὺς ἵππους, τὸν Οἰβάρεα τοῦτον [c] ἐξείραντα τὴν χεῖρα, πρὸς τοῦ Δαρείου ἵππου τοὺς μυκτῆρας προσενεῖκαι· τὸν δὲ, αἰσθόμενον, [d] φριμάξασθαί τε καὶ χρεμετίσαι.

Œbaris artificium ab aliis aliter narrari.

88 Δαρεῖός τε δὴ, ὁ Ὑστάσπεος, βασιλεὺς ἀπεδέδεκτο· καί οἱ ἦσαν ἐν τῇ Ἀσίῃ πάντες κατήκοοι, πλὴν Ἀραβίων, Κύρου τε καταστρεψαμένου, καὶ ὕστερον αὖτις
2 Καμβύσεω. Ἀράβιοι δὲ οὐδαμᾶ [a] κατήκουσαν ἐπὶ δουλοσύνῃ Πέρσῃσι, ἀλλὰ ξεῖνοι ἐγένοντο, παρέντες Καμβύσεα ἐπ᾽ Αἴγυπτον· ἀεκόντων γὰρ Ἀραβίων οὐκ ἂν
3 [b] ἐσβάλοιεν Πέρσαι ἐς Αἴγυπτον. Γάμους τε τοὺς πρώτους ἐγάμεε Πέρσῃσι ὁ Δαρεῖος, Κύρου [c] μὲν δύο θυγατέρας, Ἄτοσσάν τε καὶ Ἀρτυστώνην· τὴν μὲν Ἄτοσσαν, προσυνοικήσασαν Καμβύσῃ τε τῷ ἀδελφεῷ καὶ αὖτις
4 τῷ Μάγῳ· τὴν δὲ Ἀρτυστώνην, παρθένον. ἑτέρην δὲ, Σμέρδιος τοῦ Κύρου θυγατέρα, ἔγημε, τῇ οὔνομα [d] ἦν Πάρμυς. [e] ἔσχε δὲ καὶ τὴν τοῦ [f] Ὀτάνεω θυγατέρα, ἣ τὸν Μάγον κατάδηλον ἐποίησε. δυνάμιός τε πάντα οἱ

Darius imperium in Asianos omnes, præter Arabas, tenet: uxores ducit primarias iv: monumentum statuit a- 243 deptionis regni.

87.

[a] Sic M.P.K.F. Schæfer. ἔχει V.S. Ald. Wesseling. Monet Schweighæuserus, Herodotum in tali sermone optativum adhibere solere: tum, si indicativum hic maluisset, ἔσχε vel εἶχε dicturum esse.

[b] ἀπίσθαι S.

[c] ἐξείραν τ. χ. προσένεικε πρὸς S. qui infra om. προσενεῖκαι.

[d] φριμᾶσθαι S.

88.

[a] Citat Eustath. Dionys. 933.

[b] Sic S.V.F.a. ἐσβάλλοιεν Wess. et al.

[c] μὲν δὴ F. Infra τε om. post Καμβύσῃ.

[d] ἦν om. K.

[e] ἐλέγετο S.V.

[f] Ὀτάνεος F.

5 [g] ἐπιπλέατο. Πρῶτον μέν νυν τύπον ποιησάμενος [h] λίθι-
νον, ἔστησε· ζῶον δέ οἱ ἐνῆν, ἀνὴρ ἱππεύς· ἐπέγραψε
6 [i] δὲ γράμματα λέγοντα τάδε· ΔΑΡΕΙΟΣ Ὁ ὙΣΤΑ-
ΣΠΕΟΣ ΣΥΝ ΤΕ ΤΟΥ ἹΠΠΟΥ ΤΗι ΑΡΕΤΗι (τὸ 95
οὔνομα λέγων) ΚΑΙ ΟΙΒΑΡΕΟΣ ΤΟΥ ἹΠΠΟΚΟΜΟΥ,
89 ΕΚΤΗΣΑΤΟ ΤΗΝ ΠΕΡΣΕΩΝ ΒΑΣΙΛΗΙΗΝ. Ποι-
ήσας δὲ ταῦτα ἐν Πέρσῃσι, ἀρχὰς κατεστήσατο εἴκοσι,
2 τὰς αὐτοὶ καλέουσι σατραπηΐας. καταστήσας δὲ [a] τὰς
ἀρχὰς καὶ ἄρχοντας ἐπιστήσας, ἐτάξατο φόρους οἱ
προσιέναι κατὰ ἔθνεά τε, καὶ [b] πρὸς τοῖσι ἔθνεσι τοὺς
πλησιοχώρους προστάσσων, καὶ ὑπερβαίνων τοὺς προσ-
3 εχέας, [c] ἄλλοισι ἄλλα τὰ ἑκαστέρω ἔθνεα νέμων. Ἀρ-
χὰς δὲ καὶ φόρων πρόσοδον τὴν [d] ἐπέτεον κατὰ τάδε
διεῖλε. τοῖσι μὲν αὐτῶν ἀργύριον ἀπαγινέουσι, [e] εἴρητο Βα-
βυλώνιον σταθμὸν τάλαντον ἀπαγινέειν· τοῖσι δὲ χρυσίον
4 ἀπαγινέουσι, [f] Εὐβοεικόν. τὸ δὲ Βαβυλώνιον τάλαντον δύ-
ναται Εὐβοΐδας ἑβδομήκοντα μνέας. Ἐπὶ γὰρ Κύρου
ἄρχοντος, καὶ αὖτις Καμβύσεω, ἦν [g] κατεστηκὸς οὐδὲν
5 φόρου πέρι, ἀλλὰ δῶρα ἀγίνεον. διὰ δὲ ταύτην τὴν ἐπί-
ταξιν τοῦ φόρου, καὶ παραπλήσια ταύτῃ ἄλλα, λέγουσι 244
Πέρσαι, ὡς [h] Δαρεῖος μὲν ἦν κάπηλος· Καμβύσης δὲ,
δεσπότης· Κῦρος δὲ, πατήρ· ὁ μὲν, ὅτι ἐκαπήλευε πάν-

Satrapiarum xx et rei tributariæ descriptio a Dario facta: Babylonicum talentum lxxviii minarum Euboicarum: Darius, institor; Cambyses, dominus; Cyrus, pater.

[g] Sic M.P.K.F. ἐπιμπλέατο Ald. S.V.a.d. ἐμπιπλ. c.b. Supra οἱ πάντα S.
[h] λίθινον S.V. Ald. Paris. λίθον M.P.K.F.
[i] δὲ οἱ γρ. S. Schæfer.

89.

[a] τὰς om. S.V. Mox οἱ φόρους S.
[b] πρ. τούτοισι F.
[c] Sic S. nisi quod habet ἑκατέρω cum c.d. Vulgo τὰ ἑκαστέρω ἄλλοισι (ἀλλήλοισι Ald.) ἄλλα ἔθνεα νέμων. ἑκατέρῳ F. Mox δὲ om. S.
[d] Sic S. Schæfer. ἐπέτειον vulgo et sic S. infra 95. Tum κατὰ δὲ S. et infra αὐτῶν pro αὐτέων.
[e] εἴρητο—ἀπαγινέουσι om. F.
[f] Εὐβοϊκὸν V.S.K. Mox ἑβδομήκοντα Εὐβοΐδας S. et infra τ' αὖτις.
[g] κατεστεὼς S. κατεστεὸς conj. Schweigh. Mox τοῦ om. S. ubi ἄλλα ταύτῃ.
[h] Citat Suidas in Κῦρος, Eustath. Il. p. 317, 18=240, 9.

τα τὰ [i] πρήγματα· ὁ δὲ, ὅτι χαλεπός τε ἦν καὶ ὀλί-
γωρος· ὁ δὲ, [k] ὅτι ἤπιός τε, καὶ [l] ἀγαθά σφι πάντα
90 ἐμηχανήσατο. Ἀπὸ μὲν δὴ Ἰώνων, καὶ Μαγνήτων τῶν
ἐν τῇ Ἀσίῃ, καὶ Αἰολέων, καὶ Καρῶν, καὶ Λυκίων, καὶ
[a] Μιλυέων, καὶ Παμφύλων, εἷς γὰρ ἦν οἱ τεταγμένος
2 φόρος οὗτος, [b] προσήϊε τετρακόσια τάλαντα ἀργυρίου. [c] ὁ
μὲν δὴ πρῶτος οὗτός οἱ νομὸς κατεστήκεε. Ἀπὸ δὲ Μυ-
σῶν, καὶ Λυδῶν, καὶ [d] Λασονίων, καὶ Καβαλίων, καὶ
[e] Ὑγεννέων, πεντακόσια [f] τάλαντα. [g] νομὸς δεύτερος οὗ-
3 τος. Ἀπὸ δὲ Ἑλλησποντίων, τῶν ἐπὶ δεξιὰ ἐσπλέοντι,
καὶ Φρυγῶν, καὶ Θρηΐκων τῶν ἐν τῇ Ἀσίῃ, καὶ Παφλα-
γόνων, καὶ [h] Μαριανδυνῶν, καὶ [i] Συρίων, ἑξήκοντα καὶ
4 τριηκόσια ἦν τάλαντα φόρος. νομὸς τρίτος οὗτος. Ἀπὸ
δὲ Κιλίκων, ἵπποι τε λευκοὶ ἑξήκοντα καὶ τριηκόσιοι,
ἑκάστης ἡμέρης εἷς γινόμενος, καὶ τάλαντα ἀργυρίου
πεντακόσια· [k] τούτων τεσσεράκοντα μὲν καὶ ἑκατὸν ἐς
τὴν [l] φρουρέουσαν ἵππον τὴν Κιλικίην χώρην [m] ἀναισιμοῦ-
το, τὰ δὲ τριηκόσια καὶ ἑξήκοντα Δαρείῳ ἐφοίτα. νομὸς
91 τέταρτος οὗτος. Ἀπὸ δὲ [a] Ποσειδηΐου [b] πόλιος, τὴν Ἀμ-

Populorum in satrapias descriptorum nomina; tributique singulis satrapiis impositi magnitudo.

[i] χρήματα c. Steph. marg. τὰ om. S.
[k] ὅτι om. a.
[l] Sic Ald. S.V.A.B. ἀγαθά σφι τὰ M.K.P.F.b. Suid.

90.

[a] Sic S. cf. I. 173. Alii Μηλυέων. Mox οὗτος φόρος S.
[b] Sic S.V. προσείη P. προσήει vulgo.
[c] Sic M. K. P. et F. ubi οἱ om. οὗτος μὲν δὴ πρῶτος οἱ ν. Ald. V.S.A.B.
[d] Sic S.V. cf. VII. 77. Ἀλυσονίων F.a.b.c. et vulgo.
[e] Αὐτενέων S.V. Vall. Αὐγενέων Eton.
[f] ἀργυρίου addunt edd. vett. d. sed om. M.S. Vall. P.K.V.F. a.b.c.
[g] δεύτερος νόμος οὗτος F.S.
[h] Μαριανδυνῶν S.P. Vall. F.a.c. cf. I. 28. VII. 72. Vulgo Μαριανδηνῶν.
[i] Ἀσσυρίων b.d. Mox τάλαντα ἦν S.
[k] Sic S.V. τούτων δὲ vulgo. Mox μὲν om. M.P.K.F.
[l] φορέουσαν S.V. Vall. probante Wesselingio, non item Schweighæusero.
[m] Sic S.V.M.P.K.F. ἀναισιμοῦντο Ald. A.B. Schæfer. Mox καὶ om. S. qui tum νόμος ἐφοίτα.

91.

[a] Ποσιδ. S.
[b] Sic S.V.P.K.F. πόλεος vulgo.

φίλοχος ὁ Ἀμφιάρεω οἴκισε ἐπ' [c] οὔροισι τοῖσι [d] Κιλίκων
τε καὶ Σύρων, ἀρξάμενον ἀπὸ ταύτης μέχρι Αἰγύπτου,
[e] πλὴν μοίρης τῆς Ἀραβίων, ταῦτα γὰρ ἦν ἀτελέα, πεν-
2 τήκοντα καὶ τριηκόσια τάλαντα φόρος ἦν. ἔστι δὲ ἐν τῷ 245
νομῷ τούτῳ Φοινίκη τε πᾶσα, καὶ Συρίη ἡ Παλαιστίνη
3 καλεομένη, καὶ Κύπρος. νομὸς πέμπτος οὗτος. Ἀπ'
Αἰγύπτου δὲ, καὶ Λιβύων τῶν προσεχέων Αἰγύπτῳ,
[f] καὶ Κυρήνης τε καὶ Βάρκης, (ἐς γὰρ τὸν Αἰγύπτιον
νομὸν αὗται [g] ἐκεκοσμέατο,) ἑπτακόσια [h] προσήϊε τά-
λαντα, πάρεξ τοῦ ἐκ τῆς [i] Μοίριος λίμνης γινομένου ἀρ-
4 γυρίου, τὸ ἐγίνετο ἐκ τῶν ἰχθύων. τούτου τε δὴ χωρὶς τοῦ
ἀργυρίου καὶ τοῦ [k] ἐπιμετρουμένου σίτου προσήϊε ἑπτα-
κόσια τάλαντα· [l] πρὸς γὰρ [m] δύο καὶ δέκα μυριάσι
Περσέων τε τοῖσι ἐν τῷ Λευκῷ τείχεϊ τῷ ἐν Μέμφι κα-
τοικημένοισι καταμετρέουσι, καὶ τοῖσι τούτων ἐπικού-
5 ροισι. νομὸς ἕκτος οὗτος. [n] Σατταγύδαι δὲ, καὶ Γανδά-
ριοι, καὶ [o] Δαδίκαι τε καὶ Ἀπαρύται, ἐς τὠυτὸ τετα-
γμένοι, ἑβδομήκοντα καὶ ἑκατὸν τάλαντα προσέφερον·
6 [p] νομὸς οὗτος ἕβδομος. ἀπὸ Σούσων δὲ, καὶ τῆς ἄλλης
Κισσίων χώρης, τριηκόσια· νομὸς ὄγδοος οὗτος. Ἀπὸ
92 Βαβυλῶνος δὲ, καὶ τῆς λοιπῆς [a] Ἀσσυρίης, χίλιά οἱ

[c] Sic M.V.P.K. Vall. F. Paris. οὔρεσι Ald. οὔρου S.
[d] Κιλικίων P.K.F.
[e] πλὴν μ. τ. Ἀραβ. et mox τάλαντα om. S. Mox ἔτι δὲ S.
[f] Sic S.V. καὶ om. vulgo. Mox ἐς τὸν γὰρ S.
[g] Sic S.V. Ald. A.B. cf. I. 100. IX. 30. ἐκοσμέατο M.P.K. ἐκομέατο F.b.d.
[h] Sic S.V. Vulg. προσήει. et infra.
[i] Sic M.P.K.F. Al. Μύριος.
[k] Sic V.S. Ald. μετρουμένου M. P.K.F. Mox τὰ ἑπτ. S.
[l] Sic M.P.K.F. edd. Gron. Wess. σίτου γὰρ Ald. S.V.A.B. πυροὺς γὰρ conj. Schæferus.
[m] δυωκαίδεκα F. δυώδεκα a.c.S. Ald.
[n] Sic P.K.A.B.V. Ald. M.F. Σατταγύται S. Supra οὗτος om. S. Mox δὲ om. F.
[o] Δάδκαι S.
[p] Sic S.K.a. νόμος δὲ οὗτος M. P.F. Wess. νομὸς ἕβδομος οὗτος vulgo. Mox ν. οὗτος ὄγδοος S. Tum βαβυλωνίων pro βαβυλῶνος S. 92.
[a] Sic M.V.S.K.F. Paris. Ἀσσυρίης χώρης al.

προσήϊε τάλαντα ἀργυρίου, καὶ παῖδες ἐκτομίαι πεντα-
2 κόσιοι· νομὸς [b] εἴνατος οὗτος. Ἀπὸ δὲ [c] Ἀγβατάνων
καὶ τῆς λοιπῆς Μηδικῆς, καὶ [d] Παρικανίων, καὶ [e] Ὀρθο-
κορυβαντίων, πεντήκοντά τε καὶ τετρακόσια τάλαντα·
3 νομὸς δέκατος οὗτος. Κάσπιοι δὲ καὶ [f] Παυσίκαι, Παν-
τίμαθοί τε καὶ Δαρεῖται, ἐς τὠυτὸ συμφέροντες, διηκόσια
4 τάλαντα ἀπαγίνεον. νομὸς ἑνδέκατος οὗτος. Ἀπὸ [g] Βα-
κτριανῶν δὲ μέχρι Αἰγλῶν, ἑξήκοντα καὶ τριηκόσια τά-
93 λαντα φόρος ἦν. νομὸς [h] δυωδέκατος οὗτος. Ἀπὸ [a] Πα-
κτυϊκῆς δὲ, καὶ Ἀρμενίων, καὶ τῶν προσεχέων μέχρι τοῦ
2 πόντου τοῦ Εὐξείνου, τετρακόσια τάλαντα. [b] νομὸς τρίτος
καὶ δέκατος οὗτος. Ἀπὸ δὲ [c] Σαγαρτίων, καὶ [d] Σαραγ-
γέων, καὶ [e] Θαμαναίων, καὶ Οὐτίων, καὶ [f] Μύκων, καὶ
τῶν ἐν [g] τῇσι νήσοισι οἰκεόντων τῶν ἐν τῇ Ἐρυθρῇ θαλάσ-
σῃ, ἐν τῇσι τοὺς ἀνασπάστους καλεομένους κατοικίζει
βασιλεὺς, ἀπὸ τούτων πάντων ἑξακόσια τάλαντα ἐγίνετο
3 φόρος. νομὸς [h] τέταρτος καὶ δέκατος οὗτος. [i] Σάκαι δὲ
καὶ [k] Κάσπιοι πεντήκοντα καὶ διηκόσια [l] ἀγίνεον τάλαν-
4 τα. νομὸς πέμπτος καὶ δέκατος οὗτος. [m] Πάρθοι δὲ,

[b] ἔνατος F.
[c] Ἀγβατάνων M.S.K.A.B. Ἀκβατάνων a.b.F. Ald. Vall. Ἐκβατ. edd. recentt. cf. 64.
[d] Παρικανίων P.K.F. Παραικανίων S.V. Παρυκανίων c. et vulgo. cf. 94.
[e] Ὀρθοκορυβάντων S.a.c. Ὀρθοκορυβατίων F.
[f] Πανσοὶ καὶ Παντιμαθεῖται καὶ S. Vossio ad Melam III. 5. corrigenti Παισίκαι assentitur Reizius. Mox ἐς τοῦτο S.
[g] δὲ Βάκτρων μέχρι Λίγδων S.V. Vall.
[h] Sic Ald. V.A. δωδέκατος M. K.P.F.

93.

[a] Πακτυκίης S.V.
[b] νομὸς om. F.
[c] Sic Ald. S.V. Vall. a.c. Σαργατίων M.K.P.F.b.d.
[d] Σαραγγέων V.S. Σαραγγαίων F.a.d. edd. vett.
[e] Θαμανέων καὶ Οὐτέων S. Θαμαναῖοι ex h. l. citantur Steph. Byz.
[f] Sic P.K.V.S.F. Paris. Μέκων vulgo.
[g] τοῖσι ν. F.
[h] τεσσαρεσκαιδ. P.K.F.b.
[i] Σύκαι F.
[k] Κάσπειροι conj. Reizius.
[l] Sic M.P.K.F. ἀπαγίνεον Ald. S.V.A.B.
[m] Citat Steph. Byz. in Χορασμίη.

καὶ Χοράσμιοι, καὶ [n] Σόγδοι τε καὶ [o] Ἄρειοι, τριηκόσια
94 τάλαντα. νομὸς ἕκτος καὶ δέκατος οὗτος. [a] Παρικάνιοι 246
δὲ, καὶ Αἰθίοπες οἱ ἐκ τῆς Ἀσίης, τετρακόσια τάλαντα
2 ἀπαγίνεον· νομὸς ἕβδομος καὶ δέκατος οὗτος. [b] Ματιηνοῖσι δὲ, καὶ [c] Σάσπειρσι, καὶ [d] Ἀλαροδίοισι διηκόσια ἐπετέτακτο τάλαντα. νομὸς ὄγδοος καὶ δέκατος οὗτος.
3 Μόσχοισι δὲ, καὶ Τιβαρηνοῖσι, καὶ [e] Μάκρωσι, καὶ [f] Μοσσυνοίκοισι, καὶ [g] Μαρσὶ, τριηκόσια τάλαντα προεί-
4 ρητο. νομὸς εἴνατος καὶ δέκατος οὗτος. Ἰνδῶν δὲ πλῆθός τε πολλῷ πλεῖστόν ἐστι πάντων τῶν ἡμεῖς ἴδμεν ἀνθρώπων, καὶ φόρον ἀπαγίνεον πρὸς πάντας τοὺς ἄλλους, ἑξήκοντα καὶ τριηκόσια τάλαντα ψήγματος. νομὸς εἰκοστὸς οὗτος.

95 Τὸ μὲν δὴ ἀργύριον τὸ Βαβυλώνιον πρὸς τὸ [a] Εὐβοεικὸν [b] συμβαλλεόμενον τάλαντον [c] γίνεται [d] τεσσεράκοντα καὶ πεντακόσια καὶ εἰνακισχίλια τάλαντα.
2 τὸ δὲ χρυσίον τρισκαιδεκαστάσιον [e] λογιζόμενον, τὸ ψῆ-

Argentum ex tributis, Euboica talenta 9880: auri ad argen-

[n] Cf. Steph. Byz. in Σογδιανή.

[o] Ἄριοι Steph. Byz. in Ἄρια, inf. VII. 66.

94.

[a] Παρικάνιοι—οὗτος om. F.

[b] Sic K.S.V. cf. I. 189. Μαντιηνοῖσι M.P.F.a.c. Ald. δὲ porro additum ex F.a. ut e conj. Schæfer.

[c] Sic S. Vall. Σαρπειροῖσι edd. Σάρπειρσι V.P. Σάρσπειρσι F.a. Σαρπείρισι b. Σάπειρσι Larcher. cf. VII. 79. Steph. Byz. Σάπειρες.

[d] Ἀλαροδίους hinc Steph. Byz. cf. VII. 19. καὶ καὶ Λαροδίοισι F.

[e] Μάκροσι F.

[f] Sic K. Steph. Byz. cf. VII. 78. Vulgo Μοσυν.

[g] Sic ed. Reiz. ex Vossii conj. ad Melam I. 2. cf. Steph. Byz. in Μᾶρες et inf. VII. 78. Μάρσοσι a.c. Μαρσοῖσι S.P.K.V. Μάρσοισι F. Μάρδοισι edd. pleræque.

95.

[a] Εὐβοϊκὸν S.V.

[b] συμβαλλό. F.a.

[c] Sic S. (pr. m. sed post rasuram) a. εἶναι vulg. verbum om. c. εἴη ἂν corrigit Benedictus.

[d] ὀγδώκοντα καὶ ὀκτακόσια S. pr. m. sed e corr. cum litt. num. θωπ in marg. Hanc scripturam amplectitur Larcher. "ὀκτακόσια," inquit Schweighæuser. "pro πεντακ. utique videtur legendum: sed, quicquid elegeris, manebit aut h. l. aut in præcedd. aut in seqq. error aliquis in numeris."

[e] λογιζόμενον om. S. Mox Εὐβοϊκῶν S. et Εὐβοϊκά.

γμα εὑρίσκεται ἐὸν Εὐβοεικῶν ταλάντων ὀγδώκοντα καὶ
3 ἑξακοσίων καὶ τετρακισχιλίων. τούτων ὦν πάντων συν-
τιθεμένων τὸ πλῆθος, Εὐβοεικὰ τάλαντα συνελέγετο ἐς
τὸν ἐπέτειον φόρον Δαρείῳ μύρια καὶ τετρακισχίλια καὶ
πεντακόσια καὶ ἑξήκοντα· τὸ δ' ἔτι τούτων ἔλασσον
96 ἀπιεὶς, οὐ λέγω. Οὗτος Δαρείῳ [a] προσήϊε φόρος ἀπό
2 [b] τε τῆς Ἀσίης, καὶ τῆς Λιβύης ὀλιγαχόθεν. [c] προϊόντος
μέντοι τοῦ χρόνου, καὶ ἀπὸ νήσων προσήϊε ἄλλος φόρος,
καὶ τῶν ἐν τῇ Εὐρώπῃ μέχρι Θεσσαλίης [d] οἰκημένων.
3 Τοῦτον τὸν φόρον θησαυρίζει [e] ὁ βασιλεὺς τρόπῳ τοιῷδε.
ἐς πίθους [f] κεραμίνους τήξας [g] καταχέει· πλήσας δὲ τὸ
4 ἄγγος, [h] περιαιρέει τὸν κέραμον. ἐπεὰν δὲ δεηθῇ χρημά-
των, κατακόπτει [i] τοσοῦτο ὅσου ἂν ἑκάστοτε δέηται.

tum proportio, tredecupla Herodoti tempore: subducta summa omnium tributorum.

Tributum aliud tempore post rediens ex insulis Græcis et locis Europæ usque ad Thessaliam: pecunia quomodo in thesauros condita.

97 Αὗται [a] μέν νυν ἀρχαί τε ἦσαν, καὶ φόρων ἐπιτάξιες.
ἡ Περσὶς δὲ χώρη μούνη μοι οὐκ εἴρηται δασμοφόρος·
2 ἀτελέα γὰρ Πέρσαι νέμονται χώρην. Οἵδε δὲ φόρον μὲν
οὐδένα ἐτάχθησαν φέρειν, δῶρα δὲ ἀγίνεον. Αἰθίοπες οἱ
πρόσουροι Αἰγύπτῳ, τοὺς Καμβύσης ἐλαύνων ἐπὶ τοὺς
Μακροβίους Αἰθίοπας κατεστρέψατο· οἳ περί τε [b] Νύσην
τὴν ἱρὴν κατοίκηνται, καὶ τῷ Διονύσῳ ἀνάγουσι τὰς
3 ὁρτάς. οὗτοι οἱ Αἰθίοπες, καὶ οἱ πλησιόχωροι τούτοισι,
σπέρματι μὲν χρέωνται [c] τῷ αὐτῷ τῷ καὶ οἱ [d] Καλαντίαι 247

Persæ a tributis immunes: Æthiopum Ægypto finitimorum, et Colchorum, et Arabum dona.

96.

[a] Sic S. Alii προσήει. sed mox F. προσήϊε.

[b] τῆς τε S.K.F.

[c] προσιόντος S.

[d] Sic M.P.S.K.F.a.c. οἰκεομένων vulgo.

[e] Sic S. ὁ om. alii.

[f] Sic M.S.P.K.V. κεραμίους a. c.d.F. κεραμέους Ald. B. Schæfer. Mox πήξας b.d.

[g] κατεγχέει V. Schæfer. Scweigh. καταχέει vulgo cum S.

[h] καὶ περιαιρέσας S. qui δὲ statim om.

[i] Sic a. Vulgo τοσοῦτον. Tum ὅσον Ald.

97.

[a] Sic Ald. V.S. νυν om. M.P. F.c. Mox Αἰθίοπες etc. citat Eustath. Od. p. 1386, 8=13, 14.

[b] Sic P.S.V. Vall. Paris. Νίσσην al. cf. II. 146. νῆσσαν F.

[c] τούτῳ τῷ οἱ S.V.

[d] Καλλιστίαι S.V. Vall. Καλανδίαι b.d. Ald. Καλατίαι supra 38.

4 Ἰνδοί· οἰκήματα δὲ [c] ἔκτηνται κατάγαια. οὗτοι συναμ-
φότεροι διὰ τρίτου ἔτεος ἀγίνεον, ἀγινέουσι δὲ καὶ τὸ
[f] μέχρι ἐμεῦ, δύο χοίνικας ἀπύρου χρυσίου, καὶ διηκο-
σίας [g] φάλαγγας ἐβένου, καὶ πέντε παῖδας Αἰθίοπας,
5 καὶ ἐλέφαντος ὀδόντας μεγάλους εἴκοσι. Κόλχοι δὲ
[h] ἐτάξαντο ἐς τὴν δωρεὴν, καὶ οἱ προσεχέες μέχρι τοῦ
[i] Καυκάσιος οὔρεος· ἐς τοῦτο γὰρ τὸ οὖρος ὑπὸ Πέρσῃσι
ἄρχεται· τὰ δὲ πρὸς βορῆν ἄνεμον τοῦ Καυκάσιος Περ-
6 σέων οὐδὲν ἔτι φροντίζει. οὗτοι ὦν δῶρα, τὰ ἐτάξαντο,
ἔτι καὶ [k] ἐς ἐμὲ διὰ πεντετηρίδος ἀγίνεον, ἑκατὸν παῖ-
7 δας, καὶ ἑκατὸν παρθένους. Ἀράβιοι δὲ [l] χίλια τάλαντα
ἀγίνεον λιβανωτοῦ ἀνὰ πᾶν ἔτος. Ταῦτα [m] μὲν οὗτοι
δῶρα πάρεξ τοῦ φόρου βασιλέϊ ἐκόμιζον.

98 India, prima regio ad orientem. quo tractu sabulosa et vasta: ejus multæ gentes, lingua dissonæ, victu et moribus diversæ: Indorum Ichthyophago-

Τὸν δὲ χρυσὸν τοῦτον τὸν πολλὸν οἱ Ἰνδοὶ, [a] ἀπ' οὗ τὸ
ψῆγμα τῷ βασιλέϊ τὸ εἰρημένον [b] κομίζουσι, τρόπῳ
2 [c] τοιῷδε κτέωνται. Ἔστι τῆς Ἰνδικῆς χώρης [d] τὸ πρὸς
ἥλιον ἀνίσχοντα ψάμμος. τῶν γὰρ ἡμεῖς ἴδμεν, τῶν
[e] καὶ πέρι ἀτρεκές τι λέγεται, πρῶτοι πρὸς ἠῶ καὶ ἡλίου
ἀνατολὰς οἰκέουσι ἀνθρώπων τῶν ἐν τῇ Ἀσίῃ [f] Ἰνδοί·
Ἰνδῶν γὰρ τὸ πρὸς τὴν ἠῶ ἐρημίη ἐστὶ, διὰ τὴν ψάμ-
3 μον. Ἔστι δὲ πολλὰ ἔθνεα Ἰνδῶν, καὶ οὐκ ὁμόφωνά

[e] κέκτηνται κατάγεα V.S.
[f] μέχρις F.S.
[g] Citat Eustath. Il. p. 469, 2 =357, 30. Plin. H. N. XII. 4. ἐβέννου P.F.c.d.
[h] Sic S.V. ἔταξαν οἱ F.a.c.d. et vulgo.
[i] Καυκάσοιο S.V. τοῦ om. F. a. S. ὄρεος S. qui mox ὄρος. Tum βορέην S.
[k] ἐς ἐμεῦ Ald.
[l] Citat Eustath. Dionys. 933.
[m] μὲν οὗτοι M.K.V.S.P.F. Paris. μὲν ὦν οὗτοι Ald. et al. Reizius sic edidit: ταῦτα μὲν ὦν δοῦρα π. τ. φ. β. ἐκομίζοντο.

98.

[a] ἀπ' ὧν S.
[b] κομίζουσι om. M.P.K.F. βασιλεῖ οἱ ἰνδοὶ κομίζουσι τὸ εἰρημένον S.
[c] Sic Ald. τοιῶδε δεκτῶνται M. τοιῷ δεκτῶνται K.P. τοιῷδε κτῶνται V.S.F. omnes κτῶνται infr. 105.
[d] τὰ πρὸς S.
[e] καὶ om. M.K.F.
[f] Sic S.V. Ald. Vall. Ἰνδοὶ om. M.P.K.F.

σφισι. καὶ οἱ μὲν αὐτῶν νομάδες εἰσί· οἱ δὲ, οὔ. οἱ
δὲ ἐν τοῖσι ἕλεσι οἰκέουσι τοῦ ποταμοῦ, καὶ ἰχθύας σι-
τέονται ὠμοὺς, τοὺς αἱρέουσι ἐκ πλοίων καλαμίνων [g] ὁρ-
4 μεώμενοι. [h] καλάμου δὲ ἐν γόνυ πλοῖον ἕκαστον ποιέεται.
οὗτοι μὲν δὴ τῶν Ἰνδῶν φορέουσι ἐσθῆτα [i] φλοΐνην· [k] ἣν,
ἐπεὰν ἐκ τοῦ ποταμοῦ φλοῦν [l] ἀμήσωσι καὶ κόψωσι,
τὸ ἐνθεῦτεν φορμοῦ τρόπον καταπλέξαντες, ὡς θώρηκα
ἐνδυνέουσι.

rum navigia singula e genu arundinis, et vestes ex phleo.

99 Ἄλλοι δὲ τῶν Ἰνδῶν πρὸς ἠῶ [a] οἰκέοντες
τούτων, [b] νομάδες εἰσὶ, κρεῶν ἐδεσταὶ ὠμῶν· καλέονται
δὲ Παδαῖοι. [c] νομαίοισι δὲ [d] τοιοῖσδε λέγονται χρᾶσθαι.
2 ὃς ἂν κάμῃ τῶν ἀστῶν, ἤν τε [e] γυνὴ ἤν τε ἀνὴρ, τὸν μὲν
ἄνδρα ἄνδρες οἱ μάλιστά οἱ ὁμιλέοντες κτείνουσι, φά-
μενοι αὐτὸν τηκόμενον τῇ νούσῳ τὰ κρέα σφίσι [f] δια-
3 φθείρεσθαι. ὁ δὲ [g] ἀπαρνός ἐστι [h] μὴ μὲν νοσέειν· οἱ δὲ,
οὐ συγγινωσκόμενοι, [i] ἀποκτείναντες κατευωχέονται. [k] ἢν
δὲ γυνὴ κάμῃ, ὡσαύτως αἱ ἐπιχρεώμεναι μάλιστα γυ-
4 ναῖκες ταὐτὰ τοῖσι ἀνδράσι ποιεῦσι. τὸν γὰρ δὴ ἐς γῆ-
ρας [l] ἀπικόμενον θύσαντες κατευωχέονται. [m] ἐς δὲ τούτου

Indi Padæi vivunt car- 248 nibus crudis: ægrotos et senes mactant et epulantur.

[g] ὀρεώμενοι F. ὁρμώμενοι S.

[h] Citat Eustath. Dionys. 1107. Plin. H. N. XII. 17.

[i] φλοιΐνην V.S. cf. Pollux VII. 76. X. 178. Photii Φλύην· τὴν ἐκ φλοοῦ, corrigens Φλοϊνὴν, huc spectare notat Schweighæuser. Post ἐσθῆτα Schweigh. cum c. et Schæfer. delevit τε, quod deest item S.

[k] Sic Ald. A.B.F. ἣν om. M. V.S.K.P.

[l] ἀμήσωνται S.V. Mox ἐνδύνουσιν S.

99.

[a] οἰκέουσι F. sed vulg. in marg. a p.m.

[b] μονάδες S. qui mox om. ὠμῶν.

[c] Sic F.c.d. marg. Steph. Olim νόμοισι.

[d] Sic edd. vett. τοιοῖσιδε Wessel. ex S. τοιοισίδε Reiz.

[e] Sic S.V.P.K.F.a. Vulgo ἀνὴρ—γυνή. Mox οἱ sec. om. S.

[f] Sic M.K.P.F.b.d. διαφθείρειν V.S.A.B. Ald.

[g] Sic V.S.a.c. Hinc forte Suid. in voc. et Pollux V. 104. ἀπαρνεόμενος Wess. et al.

[h] Sic F. et plures libri. μὲν om. S.

[i] Sic M.V.S.P.K.F.a.c. ἀποκτείνοντες d. et vulg. ἀποκτείνοντας b. Tum κατευωχέανται S.

[k] ἢ δὲ ἂν γυνὴ κάμῃ V.S.K.F. Mox ποιέουσι S.

[l] ἀπικνεόμενον V.S.

[m] Sic M.S.V.P.K. hoc est, *in ejus rationem, ad eam,* scil. *senectutem, pauci perveniunt,* in-

λόγον οὐ πολλοί τινες αὐτῶν ἀπικνέονται· πρὸ γὰρ [n] τοῦ
100 τὸν ἐς νοῦσον [o] πίπτοντα πάντα κτείνουσι. Ἑτέρων δέ
ἐστι Ἰνδῶν ὅδε ἄλλος τρόπος· οὔτε κτείνουσι οὐδὲν ἔμ-
ψυχον, [a] οὔτε τι σπείρουσι, οὔτε οἰκίας νομίζουσι ἐκτῆ-
σθαι· ποιηφαγέουσι δὲ, καὶ αὐτοῖσί ἐστι ὅσον κέγχρος
τὸ μέγαθος ἐν κάλυκι, αὐτόματον ἐκ τῆς γῆς γινόμενον·
τὸ συλλέγοντες, [b] αὐτῇ κάλυκι ἕψουσί τε καὶ σιτέονται.
2 ὃς δ' ἂν ἐς νοῦσον [c] αὐτῶν πέσῃ, ἐλθὼν ἐς τὴν ἔρημον
κέεται· φροντίζει δὲ οὐδεὶς οὔτ' ἀποθανόντος, οὔτε κάμ-
101 νοντος. Μίξις δὲ τούτων τῶν Ἰνδῶν τῶν κατέλεξα πάν-
των ἐμφανής ἐστι, κατάπερ τῶν προβάτων· καὶ τὸ
χρῶμα φορέουσι ὁμοῖον πάντες καὶ παραπλήσιον Αἰθίοψι.
2 ἡ γονὴ δὲ αὐτῶν, τὴν [a] ἀπίενται ἐς τὰς γυναῖκας, οὐ,
κατάπερ τῶν ἄλλων ἀνθρώπων, ἐστὶ λευκὴ, ἀλλὰ μέ-
λαινα, κατάπερ τὸ χρῶμα· τοιαύτην δὲ καὶ Αἰθίοπες
3 ἀπίενται θορήν. οὗτοι μὲν τῶν Ἰνδῶν ἑκαστέρω τῶν Περ-
σέων οἰκέουσι, καὶ πρὸς νότου ἀνέμου· καὶ Δαρείου [b] βα-
σιλέος οὐδαμᾶ ὑπήκουσαν.

102 Ἄλλοι δὲ τῶν Ἰνδῶν Κασπατύρῳ τε πόλι καὶ τῇ
Πακτυϊκῇ χώρῃ εἰσὶ [a] πρόσουροι, πρὸς ἄρκτου τε καὶ
[b] βορέω ἀνέμου κατοικημένοι [c] τῶν ἄλλων Ἰνδῶν, οἳ [d] Βακ- 249
2 τρίοισι παραπλησίην ἔχουσι δίαιταν. οὗτοι καὶ μαχιμώ-

100 Indi alii qui herba victitant, et morbo affecti secedunt in locum solum.

101 Omnes has gentes in propatulo coire: atrum iis colorem, atram genituram esse: longius a Persis ad austrum habitant, nec Dario paruerunt.

102 Indi alii Persis propius, ceteris Indis ad septentrionem habi-

terprete Gronovio et Herodotum VII. 9. conferente. ἐκ δὲ τούτου τοῦ λόγου Ald. F. Paris. Mox αὐτῶν S. pro αὐτέων.

[n] τούτου S.V.

[o] πίπτοντα πάντα F.a. Vulgo πάντα πίπτοντα.

100.

[a] Sic M.P.K.F. τι om. S. Ald. et al.

[b] Sic S. cf. II. 47. Ceteri αὐτῇ τῇ κ.

[c] αὐτέων] αὐτῶν F.S.

101.

[a] ἀπίονται F. et sic mox. Supra καὶ om. S. ante παραπλήσιον.

[b] βασιλῆος] βασιλέως F. βασιλέος S. Δαρείῳ absque βασ. c. Supra ἑκατέρω S. ἀνέμω—Δαρείω Ald.

102.

[a] πρόσοικοι S.V.

[b] Sic S.V.M.K.P. βορέου F. et vulgo.

[c] Sic S. Vulgo καὶ τ. ἄ.

[d] Βάκτροισι S.

τατοί εἰσι Ἰνδῶν, καὶ [e] οἱ ἐπὶ τὸν χρυσὸν στελλόμενοι
εἰσὶ οὗτοι. κατὰ γὰρ τοῦτό ἐστι [f] ἐρημίη διὰ τὴν ψάμ-
μον· ἐν δὴ ὦν τῇ ἐρημίῃ ταύτῃ καὶ τῇ ψάμμῳ γίνονται
μύρμηκες, μεγάθεα ἔχοντες κυνῶν μὲν ἐλάσσονα, [g] ἀλω-
3 πέκεων δὲ μέζονα. εἰσὶ γὰρ [h] αὐτῶν καὶ παρὰ βασιλέϊ
τῶν Περσέων, ἐνθεῦτεν θηρευθέντες. οὗτοι ὦν οἱ μύρμηκες,
ποιεύμενοι [i] οἴκησιν ὑπὸ γῆν, [k] ἀναφορέουσι τὴν ψάμμον,
κατάπερ οἱ ἐν τοῖσι Ἕλλησι μύρμηκες, καὶ τὸν αὐτὸν
τρόπον· εἰσὶ δὲ καὶ [l] τὸ εἶδος ὁμοιότατοι. ἡ δὲ ψάμμος
4 ἡ ἀναφερομένη ἐστὶ χρυσῖτις. Ἐπὶ δὴ ταύτην τὴν ψάμ-
μον στέλλονται ἐς τὴν ἔρημον οἱ Ἰνδοὶ, ζευξάμενος ἕκα-
στος καμήλους τρεῖς, [m] σειρηφόρον μὲν ἑκατέρωθεν ἔρσενα
παρέλκειν, [n] θήλεαν δὲ, ἐς μέσον· ἐπὶ ταύτην δὴ αὐτὸς
ἀναβαίνει, ἐπιτηδεύσας ὅκως ἀπὸ τέκνων ὡς νεωτάτων
5 [o] ἀποσπάσας ζεύξῃ. αἱ γάρ σφι κάμηλοι ἵππων οὐκ
ἥσσονες ἐς ταχύτητά εἰσι· χωρὶς δὲ, ἄχθεα δυνατώτεραι
103 [p] πολλὸν φέρειν. Τὸ μὲν δὴ εἶδος ὁκοῖόν τι ἔχει ἡ κάμη-
λος, ἐπισταμένοισι τοῖσι Ἕλλησι οὐ [a] συγγράφω· τὸ δὲ
2 μὴ ἐπιστέαται αὐτῆς, τοῦτο φράσω. [b] κάμηλος ἐν τοῖσι
ὀπισθίοισι σκέλεσι ἔχει [c] τέσσερας μηροὺς, καὶ γούνατα
τέσσερα· [d] τὰ δὲ αἰδοῖα διὰ τῶν ὀπισθίων σκελέων πρὸς

tantes, victu similes Bactriis, omnium pugnacissimi: aurum ubi et quomodo colligant: desertum [Lop]: formicarum genus vulpes magnitudine superantium: egestam ab his arenam auream Indi camelis impositam avehunt: camelorum virtus et natura.

[e] Sic Ald. a.c. et al. οἱ om. M.P.K.F.

[f] ἐρήμη S. qui mox ἐρήμῃ ubi ἐρήμῳ V. ἐστιν ἐρημίη F.

[g] ἀλωπέκεων M.P.K. ἀλωπεκέων F. ἀλωπέκων vulg.

[h] αὐτέων] αὐτῶν M.P.K.F.S.V. ἐξ αὐτέων Ald.

[i] οἴκημα S.V.

[k] ἀναφέρουσι S.V. Mox τὴν om. S.

[l] Sic M.P.K.F.d. Schweigh. τὸ εἶδος ὁμοιότατοι οὗτοι Ald. Utroque αὐτοὶ et οὗτοι carent S.V.c. sed τὸ ante εἶδος habet S. et credo V. Mox χρυσῆτις S.

[m] Sic M.S.P.K.V.F. Paris. Vulg. σειροφόρον. Mox ἔρσενα δὲ S.

[n] Sic S.V. θήλειαν P.K.F. θήλεα Ald. a. ὡς om. d. Mox δ' αὐτὸς S.

[o] ἀποσπάσας om. S.

[p] πολλὸν M.V.S.K.P.F. πολλῷ c. Ald. vulg. cf. VII. 7.

103.

[a] Sic M.V.S.P.F. γράφω Ald. a.b.c.d.

[b] Hinc Ælianus H. A. X. 3.

[c] τέσσαρας F. Ald. et mox τέσσαρα.

[d] τά τε αἰδ. F.

104 Diei tempus idoneum rapinæ, quo sol ferventissimus: quod matutinum illic.

τὴν οὐρὴν τετραμμένα. Οἱ δὲ δὴ Ἰνδοὶ τρόπῳ τοιούτῳ καὶ ζεύξει [a] τοιαύτῃ χρεώμενοι, ἐλαύνουσι ἐπὶ τὸν χρυσὸν, λελογισμένως [b] ὅκως ἂν καυμάτων τῶν θερμοτάτων ἐόντων [c] ἔσονται ἐν τῇ ἁρπαγῇ· ὑπὸ γὰρ τοῦ καύματος οἱ μύρ-
2 μηκες ἀφανέες γίνονται [d] ὑπὸ γῆν. θερμότατος δέ ἐστι ὁ ἥλιος τούτοισι τοῖσι ἀνθρώποισι τὸ ἑωθινόν· οὐ, κατάπερ τοῖσι ἄλλοισι, [e] μεσαμβρίης· ἀλλ' ὑπερτείλας, μέχρις
3 οὗ ἀγορῆς διαλύσιος. [f] τοῦτον δὲ τὸν χρόνον καίει πολλῷ μᾶλλον ἢ τῇ μεσαμβρίῃ τὴν Ἑλλάδα, οὕτως ὥστ' ἐν
4 ὕδατι λόγος αὐτούς ἐστι βρέχεσθαι τηνικαῦτα. [g] μεσοῦσα δὲ ἡ ἡμέρη σχεδὸν παραπλησίως καίει τούς [h] τε ἄλλους
5 ἀνθρώπους καὶ τοὺς Ἰνδούς. [i] ἀποκλιναμένης δὲ τῆς μεσαμβρίης, γίνεταί σφι ὁ ἥλιος κατάπερ τοῖσι ἄλλοισι [k] ὁ ἑωθινός· καὶ τὸ ἀπὸ τούτου [l] ἐπιὼν [m] ἐπὶ μᾶλλον ψύχει, ἐς ὃ ἐπὶ δυσμῇσι ἐὼν, καὶ τὸ κάρτα ψύχει.

105 Indorum præceps fuga post aurum collectum: cameli mares feminis cursu impares: aurum fossile

Ἐπεὰν δὲ ἔλθωσι ἐς τὸν χῶρον οἱ Ἰνδοὶ ἔχοντες θυλάκια, ἐμπλήσαντες ταῦτα τῆς ψάμμου, τὴν ταχίστην ἐλαύ-
2 νουσι ὀπίσω. αὐτίκα γὰρ οἱ μύρμηκες, ὀδμῇ (ὡς δὴ λέγεται ὑπὸ Περσέων) μαθόντες, διώκουσι· εἶναι δὲ ταχύτητα οὐδενὶ ἑτέρῳ [a] ὁμοῖον, οὕτω ὥστε, εἰ μὴ προλαμβάνειν τῆς ὁδοῦ [b] τοὺς Ἰνδοὺς ἐν ᾧ τοὺς μύρμηκας συλ-

104.

[a] τοιᾶδε c. ζεύξῃ S.

[b] ὅπως αὐτῶν θερμοτάτων ἐόντων S.V.

[c] ἔσωνται c.

[d] ὑπὸ τὴν γῆν V.S.

[e] μεσημβρίης V.S.P.K.F. in quo omissis nonnullis legitur, τούτοισι τοῖσι ἀνθρώποισι, οὐ μεσημβρίης, ἀλλ' ὑπερτείλας—Idem tamen μεσαμβρίης mox ut vulgo.

[f] τούτῳ δὲ τῷ χρόνῳ c. Steph. marg. Mox μεσημβρίῃ S. et ὡς pro ὥστ'.

[g] Sic F.a. Schæfer. e conj. Vulgo μεσοῦσα δή. Tum ἡ om. S.

[h] τε om. F.S.

[i] Sic F.P. cf. 114. Alii ἀποκλινομένης cum S. qui μεσημβρίης.

[k] ὁ om. S.V.

[l] ἀπιὸν d. ἀπιὼν Schæfer. ἰὼν c. cf. IV. 181.

[m] Sic S. Vulgo ἔτι μ. ἔστι μ. F.

105.

[a] Sic (vel ὅμοιον) M.P.V.K.S. F.a. Vulgo ὁμοίαν τούτῳ, ὥστε. Ad ὅμοιον supplet Gronovius τοῦτο τὸ θηρίον, vel τὸν μύρμηκα.

[b] τοὺς Ἰνδοὺς τῆς ὁδοῦ K.P.V.S.F.

3 λέγεσθαι, οὐδένα ἂν σφεων ἀποσώζεσθαι. τοὺς μέν νυν
ἔρσενας τῶν καμήλων (εἶναι γὰρ ἥσσονας θεῖν τῶν θηλέων) [c] καὶ παραλύεσθαι, ἐπελκομένους οὐκ ὁμοῦ ἀμφοτέρους· τὰς δὲ θηλέας, ἀναμιμνησκομένας τῶν ἔλιπον
4 τέκνων, [d] ἐνδιδόναι μαλακὸν οὐδέν. [e] Τὸν μὲν δὴ πλέω τοῦ
χρυσοῦ [f] οὕτω οἱ Ἰνδοὶ κτῶνται, ὡς Πέρσαι φασί· ἄλλος δὲ σπανιώτερός ἐστι, ἐν τῇ χώρῃ ὀρυσσόμενος.

apud Indos rarius.

106 Αἱ δ' [a] ἐσχατιαί κως τῆς [b] οἰκουμένης τὰ κάλλιστα
ἔλαχον, κατάπερ ἡ Ἑλλὰς τὰς ὥρας πολλόν τι [c] κάλ-
2 λιστα κεκραμένας ἔλαχε. τοῦτο μὲν γὰρ, πρὸς τὴν ἠῶ
ἐσχάτη τῶν οἰκεομένων ἡ Ἰνδική ἐστι, ὥσπερ [d] ὀλίγον
3 πρότερον εἴρηκα. ἐν ταύτῃ, τοῦτο μὲν, τὰ ἔμψυχα τετρά-
ποδά τε καὶ τὰ [e] πετηνὰ πολλῷ μέζω ἢ ἐν τοῖσι ἄλλοισι χωρίοισί [f] ἐστι, πάρεξ τῶν ἵππων· [g] τούτῳ δὲ ἑσσοῦνται ὑπὸ τῶν Μηδικῶν, [h] Νισαίων δὲ καλευμένων ἵππων.
4 τοῦτο δὲ, χρυσὸς ἄπλετος αὐτόθι ἐστί· ὁ μὲν, ὀρυσσό-
μενος· [i] ὁ δὲ, καταφορεύμενος ὑπὸ ποταμῶν· ὁ δὲ, ὥσπερ
5 [k] ἐσήμηνα, ἁρπαζόμενος. τὰ δὲ δένδρεα [l] τὰ ἄγρια αὐτόθι
φέρει καρπὸν εἴρια, [m] καλλονῇ τε προφέροντα καὶ ἀρετῇ

Terras extremas divitiis Græciam tempestatibus antecellere: Indiæ bona: Medorum equi Nisæi præstantissimi. [7, 40.]

[c] καὶ om. S.a. Vall. probante Wesselingio. Mox κου pro οὐκ conjecit Pavius, probante Schweighæusero.

[d] Sic S.V. Ald. Schol. Aristoph. Plut. 488. διδόναι M.P.F.

[e] τὸ μὲν F.

[f] Sic Ald. V. Paris. οὕτως Ἰνδοὶ S. οὗτοι οἱ Ἰ. M.P.K.F. cf. 98.

106.

[a] ἔσχατοί V.S.

[b] οἰκημένης K.P.F. Mox χώρας S.

[c] κάλλιστον κεκριμένας S.V. Mox μὲν om. S.

[d] Sic M.K.P.F. ὀλίγῳ Ald. V. S.A.B.

[e] πετηνὰ M.K.P. πετεινὰ F.a. S. et vulgo.

[f] Sic S.V.P.K.F. Paris. εἰσὶ M. Ald. Schæfer. χωρίοισι om. c.

[g] Sic F. τοῦτο δὲ ἑ. S. M. P. τοῦτο γὰρ Ald. οὗτοι γὰρ Steph. et seqq.

[h] Νυσαίων S.V. Νησαίων P.F.a. c. Mox τε F. pro δέ.

[i] ὁ δὲ καταφ. om. S. qui ὑπὸ τῶν ποταμῶν.

[k] Sic S.V.F. ἐσήμανα vulgo.

[l] τὰ om. V.S.

[m] καλωνῇ F.

[n] τῶν ἀπὸ τῶν οἴων· καὶ ἐσθῆτι [o] οἱ Ἰνδοὶ ἀπὸ τούτων τῶν
107 δενδρέων [p] χρέωνται. Πρὸς δ' αὖ μεσαμβρίης ἐσχάτη
Ἀραβίη τῶν οἰκεομένων [a] χωρέων ἐστί· ἐν [b] δὲ ταύτῃ λι-
βανωτός τέ [c] ἐστι μούνῃ χωρέων πασέων φυόμενος, καὶ
σμύρνη, καὶ [d] κασίη, καὶ [e] κιννάμωμον, καὶ λήδανον.
[f] ταῦτα πάντα, πλὴν τῆς σμύρνης, [g] δυσπετέως [h] κτέων-
2 ται οἱ Ἀράβιοι. Τὸν μέν γε λιβανωτὸν συλλέγουσι, τὴν 251
στύρακα θυμιῶντες, τὴν ἐς Ἕλληνας Φοίνικες ἐξάγουσι·
3 ταύτην θυμιῶντες λαμβάνουσι. τὰ γὰρ δένδρεα [i] ταῦτα
τὰ λιβανωτοφόρα ὄφιες ὑπόπτεροι, μικροὶ τὰ [k] μεγάθεα,
ποικίλοι τὰ εἴδεα, φυλάσσουσι, πλήθεϊ πολλοὶ περὶ δέν-
δρον ἕκαστον· οὗτοι οἵπερ [l] ἐπ' Αἴγυπτον ἐπιστρατεύονται.
4 οὐδενὶ δὲ ἄλλῳ ἀπελαύνονται ἀπὸ τῶν δενδρέων, ἢ τῆς
108 στύρακος [m] τῷ καπνῷ. Λέγουσι δὲ καὶ τόδε Ἀράβιοι,
ὡς πᾶσα ἂν γῆ [a] ἐπίμπλατο τῶν ὀφίων τούτων, εἰ μὴ
γίνεσθαι [b] κατ' αὐτοὺς [c] οἷόν τι κατὰ τὰς ἐχίδνας ἠπι-
2 στάμην γίνεσθαι. Καί κως τοῦ θείου ἡ [d] προνοίη, ὥσπερ
καὶ [e] οἰκὸς, ἔστι ἐοῦσα σοφή. ὅσα μὲν γὰρ ψυχήν τε

Bona Arabiæ: thuris collectio suffitu styracis ad abigendos serpentes alatos. [2, 74.]

Divina providentia maximus utilium bestiarum proventus; minimus

[n] Sic M.S.K.P.F. Paris. Vulgo τῇ ἀπό.
[o] οἱ om. F.a.
[p] χρέονται a.

107.

[a] Sic S.V.P.F. Vulgo χωρίων. Supra μεσημβρίης S.
[b] δὲ om. S.V.
[c] Sic M.P.K.F. Paris. Al. ἐστὶ καὶ μ.
[d] Sic S.P.F. Paris. Eustath. Dionys. 933. cf. II. 86. Olim κασσίη.
[e] κινάμ. Eustath. F.a.
[f] Sic M.S.P.K.F. Paris. ταῦτα γὰρ π. Ald.
[g] Sic S. Alii εὐπετέως.
[h] κτέονται a. Mox στύρηκα S. Tum ἐς om. S.
[i] ταῦτα om. S. V. cf. Plin. H. N. XII. 17.
[k] μεγέθεα F.
[l] ἐπ' om. S.
[m] τῷ om. S.

108.

[a] Sic M. K. P. F. ἐπιμπλέετο Ald. S.V.a. ἐμπιπλέετο c. ἐπιμπλέατο mallet Wesseling., improbante Schweighæusero, et monente hoc pluralis numeri esse, neque hujus loci. Mox τῶν om. F.
[b] κατ' αὐτοὺς ἀπηγέοντο S.V.
[c] οἷόν τι καὶ τὰς S.V. οἷόν τι καὶ κατὰ τὰς conj. Schweighæuser.
[d] προνοΐη F.
[e] Sic M.K.P.F. Paris. εἰκὸς S. alii. Mox ἔουσα om. V.S. sed cf.

δειλὰ καὶ ἐδώδιμα, ταῦτα μὲν πάντα πολύγονα πεποί-
ηκεν, ἵνα μὴ [f] ἐπιλίπῃ κατεσθιόμενα· ὅσα δὲ σχέτλια
3 καὶ [g] ἀνιηρὰ, ὀλιγόγονα. τοῦτο μὲν, ὅτι ὁ [h] λαγὸς ὑπὸ
[i] παντὸς θηρεύεται θηρίου καὶ ὄρνιθος καὶ ἀνθρώπου, οὕτω
[k] δή τι πολύγονόν ἐστι, [l] ἐπικυΐσκεται μοῦνον [m] πάντων θη-
ρίων· καὶ τὸ μὲν δασὺ τῶν τέκνων ἐν τῇ γαστρί· τὸ δὲ,
ψιλόν· τὸ δὲ, [n] ἄρτι ἐν τῇσι μήτρῃσι πλάσσεται· τὸ δὲ,
4 [o] ἀναιρέεται. τοῦτο μὲν δὴ [p] τοιοῦτό ἐστι. ἡ δὲ [q] δὴ λέ-
αινα, ἐὸν ἰσχυρότατον καὶ θρασύτατον, ἅπαξ ἐν τῷ βίῳ
τίκτει ἕν· τίκτουσα γὰρ, συνεκβάλλει τῷ τέκνῳ τὰς μή-
5 τρας. τό δὲ αἴτιον τούτου τόδε ἐστί· ἐπεὰν ὁ σκύμνος ἐν
τῇ μήτρῃ ἐὼν ἄρχηται διακινεόμενος, ὁ δὲ, ἔχων ὄνυχας 252
θηρίων πολλὸν πάντων ὀξυτάτους, ἀμύσσει τὰς μήτρας·
[r] αὐξανόμενός τε δὴ πολλῷ μᾶλλον [s] ἐσικνέεται [t] κατα-
γνάφων· πέλας τε δὴ ὁ τόκος ἐστὶ, καὶ τὸ παράπαν

dirarum: lepus, animal fecundissimum; leæna, sterilissimum.

III. 49. Post μὲν Stephanus delevit γὰρ, quem sequuti sunt edd. al. Locum recte distinxit Schæfer.

[f] Sic S.V.a.c. ἐπιλίπηται M.F. ἐπιλείπηται Ald. Steph.

[g] ἀνιητὰ S.

[h] Sic S. cf. I. 123. λαγὼς V. P.K.F.a.b.d. Athenæus IX. p. 400. F. λαγωὸς edd.

[i] ἅπαντος V.S. πάντων Athen.

[k] Sic P.K. Athen. V.S.F. Paris. Vulgo δή τι τὸ πολ. πολύγονος S.

[l] ἐπικυΐσκει τε Athen. Eustath. Il. μ΄. p. 908, 2 = 869, 17. Locum intelligendum monet Schweighæuserus ac si scriptum esset, οὕτω πολύγονον ὥστε ἐπικυΐσκεται. cf. III. 12. Huc respicit Pollux V. 73.

[m] Sic S. P. F. Paris. Athen. Eustath. πάντων τῶν θ. edd. vett.

[n] ἄρσην S. Supra post ψιλὸν spatium vacuum est in S. sex circiter literarum cum nota ⁘ in marg. etsi nihil deest.

[o] ἐπαναιρέεται Eustath. ἐπαναίρεται Athen.

[p] τοιοῦτον V.S.

[q] δὴ om. K.F. cf. A. Gellius XIII. 7. Seqq. habet Antigonus Caryst. H. M. 25.

[r] αὐξόμενος F. Steph. marg. Mox δὴ om. K.

[s] Sic S.V.P.K.F.a. ἐπικνέεται edd. ἐξικν. b.d.

[t] Sic S. Vulgo καταγράφων, cum Æliano V. H. X. 3. Monet autem Schweighæuserus, Ælianum N. A. IV. 34., eandem rem narrantem, dicere, διαξαίνουσι τὰς μήτρας, et verba γνάφω, γνάπτω, κνάπτω idem prorsus valere ac ξαίνω. Causam confusionis literarum ρ et ν aperuit Bastius Comm. Palæogr. p. 726. et alibi.

109
Viperas, et proprios Arabiæ serpentes alatos, gignere ac parere semel.

λείπεται [u]αὐτέων ὑγιὲς [w]οὐδὲ ἕν. Ὡς δὲ καὶ [a]αἱ ἔχι-
δναί τε, καὶ οἱ ἐν [b]Ἀραβίοισι ὑπόπτεροι ὄφιες, εἰ ἐγίνοντο
ὡς ἡ φύσις αὐτοῖσι ὑπάρχει, οὐκ ἂν ἦν βιώσιμα ἀνθρώ-
2 ποισι. νῦν δ', ἐπεὰν [c]θορνύωνται κατὰ ζεύγεα, καὶ ἐν
αὐτῇ ᾖ ὁ ἔρσην τῇ ἐκποιήσει, [d]ἀπιευμένου αὐτοῦ τὴν γονὴν,
ἡ θήλεα ἅπτεται τῆς [e]δειρῆς, καὶ ἐμφῦσα, οὐκ ἀνίει
3 [f]πρὶν ἂν διαφάγῃ. ὁ μὲν δὴ ἔρσην ἀποθνήσκει τρόπῳ τῷ
εἰρημένῳ. ἡ δὲ θήλεα τίσιν τοιήνδε ἀποτίνει τῷ ἔρσενι· τῷ
γονέϊ τιμωρέοντα ἔτι ἐν τῇ γαστρὶ ἐόντα τὰ τέκνα, [g]διε-
4 σθίει τὴν [h]μήτραν. διαφαγόντα δὲ τὴν νηδὺν αὐτῆς, οὕτω
5 τὴν ἔκδυσιν ποιέεται. οἱ δὲ ἄλλοι ὄφιες, ἐόντες ἀνθρώπων
οὐ δηλήμονες, τίκτουσί τε ὠὰ, καὶ ἐκλέπουσι πολλόν τι
6 χρῆμα τῶν [i]τέκνων. αἱ μὲν [k]δή νυν ἔχιδναι κατὰ πᾶσαν
τὴν γῆν εἰσί· οἱ δὲ ὑπόπτεροι ἐόντες, ἀθρόοι εἰσὶ ἐν τῇ
Ἀραβίῃ, καὶ οὐδαμῇ ἄλλῃ· [l]κατὰ τοῦτο δοκέουσι πολ-
λοὶ εἶναι.

110
Casiæ collectio : feræ alatæ similes vespertilionibus.

Τὸν μὲν δὴ λιβανωτὸν τοῦτον οὕτω κτῶνται Ἀράβιοι·
τὴν δὲ [a]κασίην, ὧδε. ἐπεὰν καταδήσωνται βύρσῃσι καὶ
δέρμασι ἄλλοισι πᾶν τὸ σῶμα καὶ τὸ πρόσωπον, πλὴν
2 αὐτῶν τῶν ὀφθαλμῶν, ἔρχονται ἐπὶ τὴν κασίην. ἡ δὲ ἐν
λίμνῃ φύεται οὐ βαθέῃ· περὶ δὲ αὐτὴν καὶ ἐν αὐτῇ αὐλί-
ζεταί κου θηρία πτερωτὰ, τῇσι νυκτερίσι [b]προσείκελα μά-

[u] αὐτῶν F. Male, quum antecedens sit τὰς μήτρας.
[w] οὐδὲν S.F.a.

109.

[a] αἱ om. S.
[b] Ἀραβίῃσι V. Alludit ad hæc Aristides T. II. p. 313.
[c] θορνύονται V.S.
[d] Sic F. ἀπιεμένου vulgo.
[e] δερῆς S.V.
[f] Sic Ald. S.V.A.B. ἂν om. M.P.F.
[g] διαφθείρει c. Steph. marg.
[h] μητέρα S. Vall. Mox ἐκλέπου S. Vid. Ælian. H. A. XV. 16.
[i] Sic S.V.a.c. Vall. ὀφίων M. F.b.d. Ald. al.
[k] Sic S.V. δή om. edd. F.d. Mox τὴν om. S.
[l] καὶ κατὰ τ. S.

110.

[a] Sic S.P.V. et mox. Al. κασσίην. Supra Τὸ—τοῦτο Ald.
[b] προσίκελα absque μάλιστα S. qui supra ταῖς pro τῇσι.

3 λιστα, καὶ [c] τέτριγε δεινὸν, καὶ ἐς ἀλκὴν ἄλκιμα. τὰ 253
δὴ ἀπαμυνομένους ἀπὸ τῶν ὀφθαλμῶν, οὕτω [d] δρέπειν τὴν
III κασίην. Τὸ δὲ δὴ [a] κιννάμωμον ἔτι τούτων θωυμαστότερον
συλλέγουσι. [b] ὅκου μὲν γὰρ γίνεται, καὶ ἥτις μιν γῆ ἡ
τρέφουσά ἐστι, οὐκ ἔχουσι εἰπεῖν· πλὴν ὅτι, λόγῳ [c] οἰκότι
χρεώμενοι, ἐν τοισίδε χωρίοισί φασί τινες αὐτὸ φύεσθαι,
2 ἐν τοῖσι ὁ Διόνυσος ἐτράφη. [d] ὄρνιθας δὲ λέγουσι μεγά-
λας φορέειν ταῦτα τὰ κάρφεα, τὰ ἡμεῖς ἀπὸ Φοινίκων
μαθόντες κιννάμωμον καλέομεν· φορέειν δὲ [e] τὰς ὄρνιθας
ἐς νεοσσιὰς, [f] προσπεπλασμένας ἐκ πηλοῦ πρὸς ἀποκρή-
μνοισι οὔρεσι, ἔνθα πρόσβασιν [g] ἀνθρώπῳ [h] οὐδεμίαν εἶναι.
3 πρὸς ὦν δὴ ταῦτα τοὺς Ἀραβίους σοφίζεσθαι τάδε· βοῶν
τε καὶ ὄνων τῶν ἀπογινομένων καὶ τῶν ἄλλων ὑποζυγίων
τὰ μέλεα [i] διαταμόντας ὡς μέγιστα, κομίζειν ἐς ταῦτα
τὰ χωρία· καί σφεα θέντας ἀγχοῦ τῶν [k] νεοσσιέων, ἀπαλ-
λάσσεσθαι ἑκὰς αὐτέων· τὰς δὲ ὄρνιθας [l] καταπετεωμέ-
νας, [m] τὰ τῶν ὑποζυγίων μέλεα ἀναφορέειν ἐπὶ τὰς νεοσ-
σιάς· τὰς δὲ, οὐ δυναμένας ἴσχειν, καταρρήγνυσθαι [n] ἐπὶ
γῆν· τοὺς δὲ, ἐπιόντας, συλλέγειν [o] οὕτω τὸ κιννάμωμον·

Cinnamomum a grandibus alitibus ex ignota regione allatum in nidos hominibus inaccessos, quomodo consequantur.

[c] Sic V.P.F. Paris. τέτρυγε vulgo cum S. Mox ἀπαμυναμένους S.

[d] δρέπει F.

III.

[a] κινάμ. F.a.

[b] οὔκουν F.

[c] Sic F.d. Vulgo cum S. εἰκότι. Supra S. πλὴν ἢ pro πλὴν ὅτι. Mox ἐν τοῖσι δὲ S.

[d] Citat Etymol. p. 514, 2. Eustath. Dion. 939. et Suid. in Κινάμωμ.

[e] τοὺς ὄρν. P.F.S.

[f] Sic M.P.K.V.S. προσεκπεπλασμένας πηλῷ c. πεπλασμ. ἐκ πηλῶ Ald. πεπλ. πηλῷ Steph. Mox ὄρεσιν S.

[g] ἀνθρώπων S.V.

[h] οὐδεμίην] οὐδεμίαν F.S.

[i] διατέμνοντες S.V. Mox θέντες S.

[k] νεοσσῶν S. νεοσσιῶν V. νοσσιέων Ald.

[l] καταπετεωμένας F. καταπταμένας S.V. καταπετομένας vulgo.

[m] Sic S.V. Reliqui αὐτῶν τὰ μέλεα τῶν ὑποζυγίων.

[n] Sic M.P.F. ἐς γῆν S.V.a.c. ἐπὶ τὴν γῆν Ald. K.

[o] Sic M.P.K.F.b.d. οὕτω μὲν τὸ V.S.a.c. Ald. Mox δὲ om. S.a.c. et forte alii, orationem sic distinguentes: τοὺς δὲ ἐπιόντας συλλέγειν. οὕτω μὲν τὸ κινάμωμον συλλεγόμενον ἐκ τούτων ἀπικν.

συλλεγόμενον δὲ ἐκ τούτων ἀπικνέεσθαι ἐς τὰς ἄλλας
112 χώρας. Τὸ δὲ δὴ λήδανον, τὸ [a] καλέουσι Ἀράβιοι λάδα-
νον, [b] ἔτι τούτου θωυμασιώτερον γίνεται· ἐν γὰρ δυσοδμο-
2 τάτῳ γινόμενον, εὐωδέστατόν ἐστι. τῶν γὰρ αἰγῶν τῶν
τράγων ἐν τοῖσι πώγωσι εὑρίσκεται ἐγγινόμενον, οἷον
γλοιὸς, ἀπὸ τῆς ὕλης. χρήσιμον δ' ἐς πολλὰ τῶν μύρων
ἐστί· θυμιῶσί τε μάλιστα τοῦτο Ἀράβιοι. Τοσαῦτα μὲν
113 [a] θυωμάτων πέρι εἰρήσθω· ἀπόζει δὲ τῆς χώρης τῆς Ἀρα-
βίης θεσπέσιον ὡς ἡδύ. Δύο δὲ γένεα οἴων σφί ἐστι [b] θώυ-
2 ματος ἄξια, τὰ οὐδαμόθι ἑτέρωθί ἐστι. τὸ μὲν [c] αὐτέων
ἕτερον ἔχει τὰς οὐρὰς [d] μακρὰς, [e] τριῶν πηχέων οὐκ ἐλάσ-
σονας· τὰς εἴ τις [f] ἐπείη σφι [g] ἐπέλκειν, ἕλκεα ἂν ἔχοιεν, 254
3 [h] ἀνατριβομενέων [i] πρὸς τῇ γῇ τῶν οὐρέων. νῦν δ' ἅπας
τις τῶν ποιμένων ἐπίσταται ξυλουργέειν ἐς [k] τοσοῦτο·
ἁμαξίδας γὰρ ποιεῦντες, ὑποδέουσι αὐτὰς τῇσι οὐρῇσι,
ἑνὸς ἑκάστου κτήνεος τὴν οὐρὴν ἐπὶ ἁμαξίδα ἑκάστην κα-
4 ταδέοντες. τὸ δὲ ἕτερον γένος τῶν οἴων τὰς οὐρὰς [l] πλα-
114 τέας φορέουσι, καὶ ἐπὶ πῆχυν πλάτος. [a] Ἀποκλινομένης
δὲ μεσαμβρίης παρήκει πρὸς [b] δύνοντα ἥλιον ἡ Αἰθιοπίη

112 Ladanum barbis caprarum et hircorum adhærescens, veluti glutinosus humor, a depastis fruticibus.

113 Arabia spirans odoribus: ovium duo genera longissimis caudis.

114 Æthiopiæ bona.

112.

[a] Sic F. Ἀράβιοι καλέουσι S. vulgo.

[b] Sic V.A.B. Vall. ἐκ τούτου M.P.F. Ald. ἔτι τούτων S. De ledano hinc Eustath. Hom. p. 1147, 3=1199, 37.

113.

[a] θωμάτων P.M. (ubi θυωμ. in marg.) θωυμάτων F. θυμιαμάτων vulgo cum S. cf. II. 86.

[b] θώματος S.P. Mox οὐδαμόθεν ἐστι S. absque ἑτέρωθι.

[c] αὐτῶν F. Ald.

[d] μικρὰς F. voc. om. d.

[e] τριῶν πήχεων S.V.a.c. τριπήχεων Ald. τριπήχεας M.K.F.b.d. cf. Ælian. H. A. X. 4. in quo ὑπεράνω τῶν pro οὕπερ ἂν reponit Wesselingius.

[f] Sic F. ut Valckenær. e conjectura. ἐποίει σφιν S. ἐπείῃ P. ἐπῄει vulgo.

[g] Sic S.V.K.F. ἀπέλκειν vulgo.

[h] Sic S.F. ἀνατριβομένων vulgo.

[i] πρὸς γῇ F. πρὸς γῆν d.

[k] τοῦτο F. cum τοσοῦτο in marg. τοσοῦτον S.

[l] πλατήους φορέει S. φορέει V.

114.

[a] Sic S.V.a. ἀποκλιναμένης vulgo. Mox μεσημβρίης S. Structuram verborum sic accipit Schweighæuserus, μεσαμβρίης πρὸς δύνοντα ἥλιον ἀποκλινομένης. Reiskius conj. ἀπὸ κλιναμένης.

[b] δύναντα F. ἥλιον δύναντα S.

χώρη, ἐσχάτη τῶν οἰκεομένων· αὕτη δὲ χρυσόν [c] τε φέρει πολλὸν, καὶ ἐλέφαντας ἀμφιλαφέας, καὶ δένδρεα [d] πάντα ἄγρια, καὶ [e] ἔβενον, καὶ ἄνδρας μεγίστους καὶ καλλίστους καὶ μακροβιωτάτους.

115 Αὗται μέν νυν ἔν τε τῇ Ἀσίῃ [a] ἐσχατιαί εἰσι καὶ ἐν τῇ 2 Λιβύῃ. Περὶ δὲ τῶν ἐν τῇ Εὐρώπῃ τῶν πρὸς ἑσπέρην ἐσχατιέων ἔχω μὲν οὐκ ἀτρεκέως λέγειν· οὔτε γὰρ ἔγωγε ἐνδέκομαι [b] Ἠριδανόν τινα καλέεσθαι πρὸς βαρβάρων ποταμὸν, ἐκδιδόντα ἐς θάλασσαν τὴν πρὸς [c] βορῆν ἄνεμον, [d] ἀπ' ὅτευ τὸ ἤλεκτρον φοιτᾶν λόγος ἐστὶ, οὔτε νήσους οἶδα [e] Κασσιτερίδας ἐούσας, ἐκ τῶν ὁ κασσίτερος ἡμῖν 3 φοιτᾷ. τοῦτο μὲν γὰρ, ὁ Ἠριδανὸς, αὐτὸ κατηγορέει τὸ οὔνομα ὡς ἔστι Ἑλληνικὸν καὶ [f] οὔ τι βάρβαρον, ὑπὸ [g] ποιητέω δέ τινος ποιηθέν· [h] τοῦτο δὲ, οὐδενὸς αὐτόπτεω [i] γενομένου [k] οὐ δύναμαι ἀκοῦσαι, τοῦτο [l] μελετῶν, ὅκως 4 θάλασσά ἐστι τὰ ἐπέκεινα [m] τῆς Εὐρώπης. ἐξ [n] ἐσχάτης δ' ὦν [o] ὅ τε κασσίτερος ἡμῖν φοιτᾷ, καὶ τὸ ἤλεκτρον.

Extremorum Europæ tractuum bona: electrum ab Eridano fluvio, stannum ex insulis Cassiteridibus.

116 Πρὸς δὲ ἄρκτου τῆς Εὐρώπης [a] πολλῷ τι πλεῖστος χρυσὸς φαίνεται ἐών· ὅκως μὲν γινόμενος, οὐκ ἔχω οὐδὲ τοῦτο

Aurum ab Arimaspis, 255

[c] ἐκφέρει d.
[d] ἅπαντα S.
[e] ἔβεννον c.

115.

[a] ἔσχαταί M.P.F. Vulg. citatis inf. c. 106. et 116. defendit Wesseling.
[b] Sic S. Vall. τινὰ om. Ald. F.a. et forte al.
[c] βορῆν S.V. βορέην F.a. et vulg.
[d] Sic Reiz. et Schæfer. ἀπό τευ Wessel. S. et al. ἀπό τε F. cf. I. 7.
[e] Κασσιτερίνας c. Κασιτερίδας et mox κασίτερος F. Citat hæc Eustath. Dionys. 561.
[f] οὔ τι βαρβαρικὸν] Sic Schweighæuser. cum Ald. F. b. οὔτε βαρβαρικὸν M.P.K. οὐ βάρβαρον S.V. Vall. Eustath. Dionys. 14. Vide VIII. 19.
[g] Sic S.V. ποιητοῦ F. a. edd. vett.
[h] Sic S.V. οὔ τε δὲ F. c. et vulgo.
[i] γινομένου F.
[k] οὐ om. S.a.c.
[l] με λέγειν S. μοι λέγοντος Eton.
[m] Sic S. τῆς vulgo om.
[n] ἐσχάτου S. ἐσχάτων Steph. marg.
[o] Sic S.V. τε om. al.

116.

[a] Sic S.P.F.a. τοι pro τι Ald. Utrumque om. M.K. Gron. Wess.

Gryphorum prædonibus.

ἀτρεκέως [b] εἶπαι· λέγεται δὲ [c] ὑπ' ἐκ τῶν γρυπῶν ἁρ-
2 πάζειν Ἀριμασποὺς, ἄνδρας [d] μουνοφθάλμους. πείθομαι δὲ οὐδὲ τοῦτο, ὅκως μουνόφθαλμοι ἄνδρες φύονται, φύσιν
3 ἔχοντες τὴν ἄλλην ὁμοίην τοῖσι ἄλλοισι ἀνθρώποισι. [e] Αἱ δὴ ὦν ἐσχατιαὶ [f] οἴκασι, περικληΐουσαι τὴν ἄλλην χώρην καὶ ἐντὸς ἀπέργουσαι, τὰ κάλλιστα δοκέοντα ἡμῖν εἶναι καὶ σπανιώτατα ἔχειν [g] αὗται.

117

In Asia planities cincta monte: Aces fluvius illinc per montem quinque locis intercisum labens, et irrigans totidem populorum terras: obstructæ se-

Ἔστι δὲ πεδίον ἐν τῇ Ἀσίῃ [a] περικεκληϊμένον οὔρεϊ πάν-
2 τοθεν, διασφάγες δὲ τοῦ οὔρεός εἰσι πέντε. τοῦτο τὸ [b] πεδίον ἦν μέν κοτε Χορασμίων, [c] ἐν οὔροισι ἐὸν τῶν Χορασμίων τε [d] αὐτῶν καὶ Ὑρκανίων, καὶ Πάρθων, καὶ [e] Σαραγγέων, καὶ [f] Θαμαναίων· ἐπεί τε δὲ Πέρσαι ἔχουσι τὸ κράτος,
3 ἔστι τοῦ [g] βασιλέος. ἐκ δὴ ὦν τοῦ [h] περικληΐοντος οὔρεος 256
τούτου ῥέει ποταμὸς μέγας, οὔνομα δέ οἱ ἐστὶ [i] Ἄκης. οὗτος πρότερον μὲν ἄρδεσκε, [k] διαλελαμμένος πενταχοῦ, [l] τῶν εἰρημένων τούτων τὰς χώρας, διὰ [m] διασφάγος ἀγό-

[b] εἶπε F.

[c] Sic S.V. Vall. cf. Homer. Il. π'. 353. Od. λ'. 37. ὕπερ τῶν Paris. et al. ὑπὸ τῶν F. Mox ἀναρπάζειν S. cf. Plinii N. H. VII. 2.

[d] μονοφθάλμους S. Pollux II. 62. Infra tamen μουνόφθαλμοι S.

[e] Sic a.c. αἵδε ὦν Reiz. αἱ δὲ ὦν edd. vett.

[f] εἴκασι περικλείουσαι S.

[g] αὐτὰ S.V. probantibus Wesselingio et Reizio. Vulgatum tenet Schæfer.

117.

[a] περικεκλημένον P. περικεκληϊσμένον c. περικεκλειμ. F. περικεκλεισμένον S. edd. ante Wess. Mox ὄρει S. et ὄρεος.

[b] χωρίον S. cf. Steph. Byz. in Χορασμίη.

[c] ἐν οὔροισι ἐ. τ. X. om. M.P.K. F. Vulg. ἐν οὔρεσι (οὔρεσιν S.) ἐόντων X. correxerunt Wesseling. et Valckenær. οὔροισι legisse videtur Valla, *in finibus* vertens. Unus ms. Paris. habet ἐὸν Χορασ. necnon οὔροισι inter lineas.

[d] αὐτέων S. Reliqui αὐτῶν.

[e] Sic M.P.K. Vulgo Σαραγγαίων.

[f] Sic S.V. Vall. Θωμαναίων M. P. K. F. a. c. d. Θωμανίων vulgo. Tum ἐπεὶ δὲ S.

[g] βασιλῆος S. Reliqui βασιλέος.

[h] περικλήοντος K. περικλείοντος F. S.

[i] Ἄκις F.S.

[k] διαλελαμένος S.F.c. Ald. Vide I. 190. et 202. Dein c. πενταχοῦ (i. e. ἐς πέντε μέρη vel διώρυχας) pro vulg. πανταχοῦ.

[l] τούτων τῶν εἰρημένων F.S. τούτων om. a.

[m] δισφαγέος c. Mox ὀρέων S. qui ἐνδήμας.

μενος ἑκάστης ἑκάστοισι. ἐπεί τε δὲ ὑπὸ τῷ Πέρσῃ εἰσὶ,
4 πεπόνθασι τοιόνδε. Τὰς διασφάγας τῶν οὐρέων ἐνδείμας
ὁ βασιλεὺς, πύλας ἐπ' ἑκάστῃ διασφάγι ἔστησε· [n]ἀπο-
κεκληϊμένου δὲ τοῦ ὕδατος τῆς [o]διεξόδου, τὸ πεδίον τὸ ἐν-
τὸς τῶν οὐρέων πέλαγος γίνεται, ἐνδιδόντος μὲν τοῦ πο-
5 ταμοῦ, ἔχοντος δὲ οὐδαμῆ ἐξήλυσιν. οὗτοι ὦν, [p]οἵ περ
ἔμπροσθεν [q]ἐώθεσαν χρᾶσθαι τῷ ὕδατι, οὐκ ἔχοντες αὐτῷ
6 χρᾶσθαι, συμφορῇ μεγάλῃ διαχρέωνται. τὸν μὲν γὰρ
χειμῶνα ὕει σφι ὁ θεὸς, ὥσπερ καὶ τοῖσι ἄλλοισι ἀνθρώ-
ποισι· τοῦ δὲ θέρεος σπείροντες [r]μελίνην καὶ σήσαμον,
7 [s]χρηΐσκοντο [t]τῷ ὕδατι. ἐπεὰν ὦν μηδέν σφι παραδίδω-
ται τοῦ ὕδατος, ἐλθόντες ἐς τοὺς Πέρσας αὐτοί τε καὶ γυ-
ναῖκες, στάντες κατὰ τὰς θύρας τοῦ [u]βασιλέος, βοῶσι
8 ὠρυόμενοι. ὁ δὲ βασιλεὺς τοῖσι δεομένοισι [w]αὐτῶν μά-
λιστα ἐντέλλεται ἀνοίγειν τὰς πύλας τὰς ἐς τοῦτο φε-
ρούσας· [x]ἐπεὰν δὲ [y]διάκορὸς ἡ γῆ σφέων γένηται πίνουσα
τὸ ὕδωρ, αὗται μὲν αἱ πύλαι [z]ἀποκληΐονται, ἄλλας δ'
ἐντέλλεται ἀνοίγειν ἄλλοισι τοῖσι δεομένοισι μάλιστα τῶν
9 λοιπῶν. ὡς δὲ ἐγὼ οἶδα ἀκούσας, χρήματα μεγάλα
πρησσόμενος ἀνοίγει, πάρεξ τοῦ φόρου. ταῦτα μὲν δὴ
ἔχει οὕτω.

ctiones montis a Persa, cupiditate lucri ex aqua impertienda indigentibus.

118 Τῶν δὲ τῷ Μάγῳ ἐπαναστάντων ἑπτὰ ἀνδρῶν, ἕνα
αὐτῶν [a]Ἰνταφέρνεα κατέλαβε, ὑβρίσαντα τάδε, [b]ἀπο-

Intaphernis regem adire prohibiti

[n] ἀποκεκλειμένου F. ἀποκεκλεισμένου S.
[o] Sic Ald. S.V.a. ἐξόδου M.P. K.F. Mox ὀρέων S.
[p] οἱ πρόσθεν S.
[q] Sic V.P.F. Alii εἰώθεσαν. ἐώθασι S.
[r] μελίην S. Huc spectant Suid. et Etymol. in Μελίνη.
[s] χρηΐσκονται cum Porto malebat Schweighæuserus.
[t] τῷ om. d. Mox σφι μηδὲν S.
[u] βασιλέως F.
[w] αὐτέων S. Vulgo αὐτῶν.
[x] ἐπειδὰν F.
[y] διάκορος hinc Thomas M. in v.
[z] ἀποκλείονται F.S.

118.

[a] Ἰνταφρένεα S.
[b] Vulgo post h. v. interpungunt, et verba αὐτίκα etc. ad seqq. trahunt. Correxit Schweighæuser. præeunte Schæfer. et coll. c. 119. extr.

factum præceps et crudele in janitorem et internuntium.

2 θανεῖν αὐτίκα μετὰ τὴν ἐπανάστασιν. ἤθελε ἐς τὰ βα-
σιλήϊα [c] ἐσελθὼν χρηματίσασθαι τῷ βασιλέϊ· καὶ γὰρ
[d] δὴ καὶ ὁ νόμος οὕτω εἶχε τοῖσι ἐπαναστᾶσι τῷ Μάγῳ,
ἔσοδον εἶναι παρὰ βασιλέα ἄνευ ἀγγέλου, ἢν μὴ γυναικὶ
3 [e] τυγχάνῃ μισγόμενος [f] ὁ βασιλεύς. οὔκων δὴ Ἰνταφέρνης
[g] ἐδικαίευ οὐδένα οἱ ἐσαγγεῖλαι· ἀλλ', ὅτι ἦν τῶν ἑπτά,
[h] ἐσιέναι ἤθελε. ὁ δὲ πυλουρὸς καὶ [i] ὁ ἀγγελιηφόρος οὐ
4 [k] περιώρεον, φάμενοι τὸν βασιλέα γυναικὶ μίσγεσθαι. ὁ
δὲ Ἰνταφέρνης, δοκέων σφέας ψεύδεα λέγειν, ποιέει [l] τοι-
άδε· σπασάμενος τὸν ἀκινάκεα, ἀποτάμνει αὐτῶν τά τε
ὦτα καὶ τὰς ῥῖνας· καὶ ἀνείρας [m] περὶ τὸν χαλινὸν τοῦ
ἵππου, περὶ τοὺς αὐχένας σφέων ἔδησε, καὶ [n] ἀπῆκε.

Darius Intaphernem cum filiis cognatisque omnibus vinciri jubet ad necem: uxor Intaphernis data optione fratrem sumit: remittitur ei et frater et filius natu maximus.

119 Οἱ δὲ τῷ βασιλέϊ [a] δεικνύασι ἑωυτοὺς, καὶ τὴν αἰτίην εἶ-
2 πον, δι' ἣν πεπονθότες εἴησαν. Δαρεῖος δὲ, [b] ἀρρωδήσας
μὴ κοινῷ λόγῳ οἱ ἓξ πεποιηκότες ἔωσι ταῦτα, μεταπεμ-
πόμενος ἕνα ἕκαστον, [c] ἀπεπειρᾶτο γνώμης, εἰ συνέπαινοί
3 εἰσι τῷ πεποιημένῳ. ἐπεί τε δὲ [d] ἐξέμαθε ὡς οὐ [e] σὺν
ἐκείνοισι εἴη ταῦτα πεποιηκὼς, ἔλαβε αὐτόν τε τὸν Ἰντα-
φέρνεα, καὶ [f] τοὺς παῖδας αὐτοῦ, καὶ τοὺς οἰκηΐους πάν-
τας· ἐλπίδας πολλὰς ἔχων μετὰ τῶν συγγενέων μιν 257
ἐπιβουλεύειν οἱ ἐπανάστασιν· συλλαβὼν δέ σφεας, ἔδησε

[c] ἐλθὼν S. Vulg. tuetur Thomas M. in χρηματίζω.
[d] Sic M.P.K.F. καὶ om. Ald. a.c.d. δὴ καὶ om. S.V.
[e] τύχῃ S.V.
[f] ὁ om. F.a.S. Mox ὁ Ἰνταφρένης S. qui infra Ἰνταφρένης.
[g] ἐδικαίου a.S.
[h] Sic S.V.P.K.F. Paris. Olim ἤθελε ἐσιέναι.
[i] ὁ om. P.K.F. ἀγγεληφόρος S.
[k] περιώρων S.a. et F. pro v. l.
[l] Sic M.K.P.V.F. τάδε edd. vett. S.
[m] Sic S.P.M.K.F. Paris. περὶ τὸν om. vulg.
[n] ἀφῆκεν F.

119.

[a] Sic M.P.K.F. Paris. δεικνύουσι Ald. S.
[b] ὀρρωδήσας S.
[c] ἐπειρᾶτό S.V.
[d] ἔμαθε S.
[e] Sic S.V. συγκειμένοισι vulgo, quod si retinetur, nescio an præpositio ἐπὶ præfigi debeat. Mox Ἰνταφρένεα S.
[f] Sic Ald. V.S.A.B. τὸν παῖδα M.K.P.F.

4 τὴν ἐπὶ [g] θανάτῳ. Ἡ δὲ γυνὴ τοῦ Ἰνταφέρνεος [h] φοιτέουσα
ἐπὶ τὰς θύρας τοῦ [i] βασιλέος, [k] κλαίεσκε ἂν καὶ ὀδυρέ-
σκετο· ποιεῦσα δὲ αἰεὶ τὠυτὸ τοῦτο, τὸν Δαρεῖον [l] ἔπεισε
5 οἰκτεῖραί μιν. πέμψας δὲ ἄγγελον, ἔλεγε τάδε· "Ὦ
" γύναι, βασιλεύς τοι Δαρεῖος διδοῖ ἕνα τῶν δεδεμένων
6 " οἰκηΐων ῥύσασθαι, τὸν βούλεαι ἐκ πάντων." Ἡ δὲ,
[m] βουλευσαμένη, [n] ὑπεκρίνατο τάδε· " Εἰ μὲν δή μοι δι-
" δοῖ βασιλεὺς ἑνὸς [o] τὴν ψυχὴν, αἱρέομαι ἐκ πάντων τὸν
7 " ἀδελφεόν." Πυθόμενος δὲ Δαρεῖος ταῦτα, καὶ θωυμά-
σας τὸν λόγον, πέμψας ἠγόρευε· "Ὦ γύναι, εἰρωτᾷ σε
" βασιλεὺς, τίνα ἔχουσα γνώμην, τὸν ἄνδρα τε καὶ τὰ
" τέκνα ἐγκαταλιποῦσα, τὸν ἀδελφεὸν εἵλευ [p] περιεῖναί
" τοι· ὃς καὶ ἀλλοτριώτατός τοι τῶν παίδων, καὶ ἧσσον
" κεχαρισμένος τοῦ ἀνδρός ἐστι." Ἡ δ' ἀμείβετο τοῖσδε·
8 " Ὦ βασιλεῦ, ἀνὴρ [q] μέν μοι ἂν ἄλλος γένοιτο, εἰ δαί-
" μων ἐθέλοι, καὶ τέκνα ἄλλα, εἰ ταῦτα [r] ἀποβάλοιμι·
" πατρὸς δὲ καὶ μητρὸς οὐκ ἔτι μευ ζωόντων, ἀδελφεὸς
" ἂν ἄλλος οὐδενὶ τρόπῳ [s] γένοιτο. ταύτῃ τῇ γνώμῃ [t] χρε-
9 " ωμένη, [u] ἔλεξα ταῦτα." Εὖ τε δὴ ἔδοξε τῷ Δαρείῳ εἰ-
πεῖν ἡ γυνὴ, καί οἱ ἀπῆκε τοῦτόν τε τὸν παραιτέετο, καὶ

[g] θανάτου S. qui mox Ἰνταφρένεος.

[h] φοιτεῶσα F. φοιτῶσα f.S.

[i] βασιλῆος S. βασιλέως F. βασιλέος al.

[k] Sic F.c.f. Schæfer. κλαίεσκε ἂν καὶ ὠδύρετο M. Ald. al. κλαίεσκε καὶ ὠδυρέσκετο S. ὀδυρέσκετο V. K. ἂν om. Wessel. Sed defendit Schweighæuser. citans III. 148. I. 196.

[l] ἔπειθεν S.V.

[m] βουλομένη S.

[n] Sic P.F. ὑπεκρίνετο c.S. ἀπεκρίνατο f.

[o] Sic S. K. P. τὴν om. F. Ald. al.

[p] περιϊέναι P. K. F. f. περιεῖναι, τὸ, καὶ ἀλλοτριώτατον — κεχαρισμένον S.

[q] μέν τοι F. ἄν μοι ἄλλος—γένηται S. Jungenda fortasse utraque scriptura, μέν τοι ἄν μοι ἄλλος. Schweigh.

[r] Sic S.F. et forte alii. Vulgo ἀποβάλλοιμι.

[s] γένηται F. sicut paulo ante S.

[t] χρεομένη a.

[u] Sic M. P. F. c. ἐξέλεξα edd. ante Gronov. ἔλεξε a. b. f. S. V. Vall. Wessel.

τῶν παίδων τὸν πρεσβύτατον, ἡσθεὶς αὐτῇ· τοὺς δὲ ἄλλους ἀπέκτεινε πάντας. τῶν μὲν δὴ ἑπτὰ εἷς αὐτίκα τρόπῳ τῷ εἰρημένῳ ἀπολώλεε.

120 Orœti Persæ præfecto Sardium invisus Polycrates, ex opprobrio quod ipsi fecerat Mitrobates præfectus Dascylii.

Κατὰ δέ κου μάλιστα τὴν Καμβύσεω νοῦσον [a] ἐγένετο
τάδε. Ὑπὸ Κύρου [b] κατασταθεὶς ἦν Σαρδίων ὕπαρχος
2 [c] Ὀροίτης, ἀνὴρ Πέρσης. οὗτος ἐπεθύμησε πρήγματος οὐκ
ὁσίου· οὔτε γάρ τι παθὼν οὔτε ἀκούσας μάταιον ἔπος
[d] πρὸς Πολυκράτεος τοῦ Σαμίου, οὔτε ἰδὼν πρότερον,
[e] ἐπεθύμεε λαβὼν αὐτὸν ἀπολέσαι· [f] ὡς μὲν οἱ πλεῦνες
3 λέγουσι, διὰ τοιήνδε τινὰ αἰτίην. ἐπὶ τῶν [g] βασιλέος 258
θυρέων κατήμενον τόν τε Ὀροίτην καὶ ἄλλον Πέρσην, τῷ
οὔνομα εἶναι [h] Μιτροβάτεα, νομοῦ ἄρχοντα τοῦ ἐν Δα-
4 σκυλείῳ, τούτους ἐκ λόγων ἐς νείκεα συμπεσέειν. κρινο-
μένων δὲ περὶ ἀρετῆς, εἰπεῖν τὸν Μιτροβάτεα τῷ Ὀροίτῃ,
προφέροντα· "Σὺ γὰρ ἐν [i] ἀνδρῶν λόγῳ, [k] ὃς βασιλέϊ
"νῆσον Σάμον πρὸς τῷ σῷ νομῷ [l] προσκειμένην οὐ προσ-
"εκτήσαο, ὧδε [m] δή τι ἐοῦσαν εὐπετέα χειρωθῆναι; τὴν
"τῶν τις ἐπιχωρίων πεντεκαίδεκα ὁπλίτῃσι ἐπαναστὰς
5 "ἔσχε, καὶ νῦν αὐτῆς τυραννεύει." Οἱ μὲν δή μίν φασι
τοῦτο ἀκούσαντα, καὶ ἀλγήσαντα τῷ ὀνείδεϊ, ἐπιθυμῆσαι
οὐκ οὕτω τὸν [n] εἴπαντα ταῦτα τίσασθαι, ὡς Πολυκράτεα
πάντως ἀπολέσαι, [o] δι' ὅν τινα κακῶς ἤκουσε.

121 Nonnullos tradere ali-

Οἱ δὲ ἐλάσσονες λέγουσι, πέμψαι Ὀροίτεα ἐς Σάμον κήρυκα,

120.

[a] ἐγίνετο S.V.P.F. Bene vero habet aoristus, notione plusquam perfecti, *acciderat*. Schweigh.

[b] σταθεὶς S.V.

[c] Ὀρίτης b.

[d] πρὸς om. S.

[e] ἐπεθύμησε S.V.

[f] ὡς οἱ μὲν S. Mox διὰ om. S.

[g] βασιλῆος S. βασιλέως F. βασιλέος al. Mox τὸ οὔνομα S.

[h] Μιτραβ. P. Μητροβ. F. pr.

[i] ἀνδρὸς Ald. ἀνδρῶν S.P.V.K. F.b.c.d. et M. ut suspicor. ἀνδρὸς quidem habet editio Gronovii, e cujus silentio lectionem codicis non ubique tuto colligas.

[k] ὡς βασ. F.

[l] κειμένην P.F.b.

[m] δ' ἔτι b. Mox ἐπ' ἔτεα S.

[n] εἰπόντα a.S. Mox πάντων S.

[o] δι' ὅν τινα S.V. Paris. διά τινα M.P.F. διά τιν' ἄ. edd. vett.

ὅτευ δὴ χρήματος δεησόμενον· [a] οὐ γὰρ ὦν δὴ [b] τοῦτό γε λέγεται· καὶ τὸν Πολυκράτεα τυχεῖν κατακείμενον ἐν ἀνδρεῶνι, παρεῖναι δέ οἱ καὶ Ἀνακρέοντα τὸν Τήϊον· καί κως, εἴτ' ἐκ προνοίης αὐτὸν κατηλογέοντα [c] τὰ Ὀροίτεω πρήγματα, εἴτε καὶ συντυχίη τις τοιαύτη ἐπεγένετο· τόν τε γὰρ κήρυκα τὸν Ὀροίτεω παρελθόντα διαλέγεσθαι, καὶ τὸν Πολυκράτεα, τυχεῖν γὰρ [d] ἐπεστραμμένον πρὸς τὸν τοῖχον, οὔτε τι μεταστραφῆναι, [e] οὔτε ὑποκρίνασθαι.

am causam offensæ Polycratis apud Orœtem: Anacreon Teius.

122 Αἰτίαι μὲν δὴ αὗται διφάσιαι λέγονται τοῦ θανάτου τοῦ
Πολυκράτεος γενέσθαι· πάρεστι δὲ πείθεσθαι ὁκοτέρῃ τις
2 βούλεται αὐτέων. [a] Ὁ δὴ ὦν Ὀροίτης, ἱζόμενος ἐν Μα-
γνησίῃ [b] τῇ ὑπὲρ Μαιάνδρου [c] ποταμοῦ [d] οἰκημένῃ, [e] ἔπεμ-
πε Μύρσον τὸν Γύγεω, ἄνδρα Λυδὸν, ἐς Σάμον ἀγγελίην
3 φέροντα, μαθὼν τοῦ Πολυκράτεος τὸν νόον. Πολυκράτης
γάρ ἐστι πρῶτος τῶν ἡμεῖς ἴδμεν Ἑλλήνων, ὃς θαλασ-
σοκρατέειν ἐπενοήθη, πάρεξ [f] Μίνωός τε τοῦ Κνωσσίου,
καὶ εἰ δή τις ἄλλος πρότερος [g] τούτου ἦρξε τῆς θαλάσ-
σης· τῆς δὲ ἀνθρωπηΐης [h] λεγομένης γενεῆς [i] Πολυκράτης
ἐστὶ πρῶτος, ἐλπίδας πολλὰς ἔχων Ἰωνίης τε καὶ νήσων 259
4 ἄρξειν. μαθὼν ὦν [k] ταῦτά μιν διανοεύμενον ὁ Ὀροίτης,

Polycrates primus Græcorum temporis historici affectans maris imperium; ultimus temporis mythici, Minos Cnossius: Orœtis ad Polycratem epistola insidiosa.

121.

[a] οὐ γὰρ—λέγεται om. S. Supra δὴ om. S.

[b] Sic M.K.P.F. Paris. γε al. om. κατηλεγέοντα Ald.

[c] τὰ om. S.V. Mox τοιαύτη τις S.

[d] ἀπεστρ. S. Mox τὸν om. S.

[e] οὔτε τι ὑπ. S. οὔτε μεταστραφῆναι οὔτε τι ὑποκρ. Schæfer.

122.

[a] ὁ δὲ ὦν F.

[b] γῇ S.

[c] Sic S.P.F. et forte alii. edd. vett. τοῦ ποταμοῦ.

[d] οἰκημένῃ S.M.P.V.K.F. Paris. οἰκεομένῃ vulgo.

[e] ἔπεμψε S.V. Mox μαθεῖν S.

[f] Μίνω τε S.V. quod non spernendum. cf. Etymolog. p. 588, 28. Wess.

[g] τοῦτο F.

[h] νῦν supra λεγομένης S. scriptum habet pr. m.

[i] Sic S.V. Vall. Πολ. πρῶτος absque ἐστὶ F.a.c. Πολυκράτης μοῦνος (μόνος b.d.) absque ἐστὶ et πρῶτος al.

[k] Sic M.P.K.S.V.F. Paris. μιν vulgo om.

πέμψας [l] ἀγγελίην, ἔλεγε τάδε· "ΟΡΟΙΤΗΣ ΠΟΛΥ-
5 "ΚΡΑΤΕΙ ὯΔΕ ΛΕΓΕΙ. Πυνθάνομαι ἐπιβουλεύειν
"σε πρήγμασι μεγάλοισι, [m] καὶ χρήματά τοι οὐκ εἶναι
"κατὰ τὰ φρονήματα. σὺ νῦν ὧδε ποιήσας, ὀρθώσεις
6 "μὲν σεωυτὸν, σώσεις δὲ καὶ ἐμέ. [n] ἐμοὶ γὰρ βασιλεὺς
"Καμβύσης ἐπιβουλεύει θάνατον, καί μοι τοῦτο ἐξαγ-
"γέλλεται σαφηνέως. σὺ νῦν ἐμὲ ἐκκομίσας, αὐτὸν καὶ
"χρήματα, τὰ μὲν [o] αὐτῶν αὐτὸς ἔχε, τὰ δὲ [p] ἐμὲ ἔα
7 "ἔχειν. [q] εἵνεκέν τε χρημάτων, ἄρξεις [r] ἁπάσης τῆς Ἑλ-
"λάδος. εἰ δέ μοι ἀπιστέεις τὰ περὶ τῶν χρημάτων,
"πέμψον ὅστις τοι πιστότατος τυγχάνει ἐὼν, τῷ ἐγὼ

123

Mæandrius a Polycrate speculator auri missus, decipitur ab Orœte.

"[s] ἀποδέξω." Ταῦτα ἀκούσας [a] ὁ Πολυκράτης, ἥσθη
τε καὶ ἐβούλετο· καί κως, ἱμείρετο γὰρ χρημάτων με-
γάλως, ἀποπέμπει πρῶτα κατοψόμενον [b] Μαιάνδριον
Μαιανδρίου, ἄνδρα τῶν ἀστῶν, ὅς οἱ ἦν γραμματιστής·
ὃς χρόνῳ οὐ πολλῷ ὕστερον [c] τούτων, τὸν κόσμον τὸν ἐκ
τοῦ ἀνδρεῶνος τοῦ Πολυκράτεος, ἐόντα ἀξιοθέητον, ἀνέθηκε
2 πάντα ἐς τὸ Ἡραῖον. Ὁ δὲ Ὀροίτης, μαθὼν τὸν κατά-
σκοπον ἐόντα [d] προσδόκιμον, ἐποίεε [e] τοιάδε. λάρνακας
ὀκτὼ πληρώσας λίθων, πλὴν κάρτα βραχέος [f] τοῦ περὶ
αὐτὰ τὰ χείλεα, [g] ἐπιπολῆς τῶν λίθων χρυσὸν ἐπέβαλε·
3 καταδήσας δὲ τὰς λάρνακας, εἶχε ἑτοίμας. ἐλθὼν δὲ ὁ

[l] ἐς ἀγγελίην S. qui mox σε ἐπιβουλεύειν μέν.

[m] χρήματα δέ τοι S.V. Schæfer.

[n] Sic M.P.K.S.V.F. Paris. ἐμοὶ μὲν γὰρ edd. vett.

[o] αὐτέων om. K. αὐτῶν F.S.

[p] ἐμὲ om. S.V.

[q] εἵνεκέν M.S.K.P.F. Paris. εἵνεκα Ald.

[r] Sic M.K.P.F. Paris. τῆς ἁπάσης S.V. τῆς om. edd. vett.

[s] Sic mss. plures. ὑποδέξω a.b.Ald.

123.

[a] Sic S. ὁ om. F.a. edd.

[b] Sic mss. cum Luciano Contempl. 14. Vulgo Μαίανδρον, et inf. Μαίανδρος.

[c] τουτέων S. Vulgo τούτων.

[d] δόκιμον S.

[e] Sic M.K.P.S.V.F. Paris. τάδε edd. vett.

[f] τοῦ om. S.

[g] ἐπὶ πολλῆς F.

Μαιάνδριος, [h] καὶ θεησάμενος, [i] ἀπήγγειλε τῷ Πολυ-
124 κράτεϊ. Ὁ δὲ, πολλὰ μὲν τῶν [a] μαντίων ἀπαγορευόν-
των, πολλὰ [b] δὲ τῶν φίλων, ἐστέλλετο [c] αὐτὸς ἀπιέναι·
πρὸς δὲ, καὶ ἰδούσης τῆς θυγατρὸς ὄψιν ἐνυπνίου τοιήν-
δε· ἐδόκεέ οἱ τὸν πατέρα ἐν τῷ ἠέρι μετέωρον ἐόντα, λοῦ-
2 σθαι μὲν ὑπὸ τοῦ Διὸς, χρίεσθαι δὲ ὑπὸ τοῦ ἡλίου. ταύ-
την ἰδοῦσα τὴν ὄψιν, παντοίη [d] ἐγίνετο μὴ ἀποδημῆσαι
τὸν Πολυκράτεα παρὰ τὸν Ὀροίτεα· καὶ δὴ [e] καὶ ἰόντος
3 αὐτοῦ ἐπὶ τὴν [f] πεντηκόντερον [g] ἐπεφημίζετο. ὁ δέ οἱ ἠπεί-
λησε, [h] ἢν σῶς ἀπονοστήσῃ, πολλόν μιν χρόνον παρθενεύ-
4 εσθαι. ἡ δὲ ἠρήσατο ἐπιτελέα ταῦτα γενέσθαι· βούλεσθαι
γὰρ παρθενεύεσθαι πλέω χρόνον ἢ τοῦ πατρὸς ἐστερῆσθαι.

Polycrates, nihil deterritus nec monitu vatum et amicorum, nec somnio filiæ, ad Orœtem proficiscitur. 260

125 Πολυκράτης δὲ, πάσης συμβουλίης ἀλογήσας, ἔπλεε
παρὰ τὸν Ὀροίτεα, ἅμα ἀγόμενος ἄλλους τε πολλοὺς
τῶν [a] ἑταίρων, ἐν δὲ δὴ καὶ Δημοκήδεα τὸν [b] Καλλιφῶν-
τος, Κροτωνιήτην, ἄνδρα ἰητρόν τε ἐόντα, καὶ τὴν τέχνην
2 [c] ἀσκέοντα ἄριστα τῶν κατ' ἑωυτόν. Ἀπικόμενος δὲ ἐς
τὴν Μαγνησίην ὁ Πολυκράτης, διεφθάρη [d] κακῶς, οὔτε
ἑωυτοῦ ἀξίως οὔτε τῶν ἑωυτοῦ φρονημάτων· ὅτι γὰρ μὴ

Democedes Crotoniata, medicus illo tempore optimus, in comitatu Polycratis: Orœtes Polycratem necat, Democedem et alios ex ejus comi-

[h] καὶ θεησάμ. om. S.
[i] ἀπήγγελλε malebat Schweighæuser.

124.

[a] Sic M.K.P. μαντηΐων S.V. Ald. F. et al.
[b] δὲ καὶ τῶν d.
[c] αὐτόσε] αὐτὸς ἀπιέναι S.V. quam scripturam veram judicat Schweighæuserus, monens vocabulo αὐτόσε nusquam alibi usum Herodotum, dicturum h. l. ἐκεῖσε, si quid tale voluisset. Mox τοιήνδε ἐνυπνίου S.
[d] Sic F. Vulgo ἐγένετο.
[e] καὶ om. b.d.
[f] πεντηκόντερον P.F. πεντηκόντορον S.d. edd. vett.
[g] ἐπεφημίζετο Ald. V.S.A.B. Eustath. Il. α'. 28, 27=21, 48. τὸ παρὰ Ἡροδότῳ ἐπιφημίζεσθαι οὐ ταυτόν ἐστι τῷ ἐπευφημεῖν· ἀλλὰ μαντικὴ λέξις ἐστὶ, δηλοῦσα προφοράν τινα μαντείας δι' ἀναμνήσεως ἐνυπνίου. ἐφημιζετο M.P.K.F.b.d. conf. Lobeck. ad Phryn. p. 596.
[h] ἦν ὡς F. Mox πλείω S.

125.

[a] ἑτέρων V.
[b] Καλιφ. F. Καλλοφῶντος S.
[c] Sic P.S.V.F. Paris. Vulgo ἐπασκεόντα.
[d] κως S.

tibus pro servis abducit, a. 523 exeunte.

οἱ [e] Συρηκοσίων [f] γενόμενοι τύραννοι, οὐδὲ εἷς τῶν ἄλλων Ἑλληνικῶν τυράννων ἄξιός ἐστι Πολυκράτεϊ μεγαλοπρε-
3 πείην συμβληθῆναι. ἀποκτείνας δέ μιν οὐκ [g] ἀξίως ἀπηγήσιος Ὀροίτης, ἀνεσταύρωσε. τῶν δέ οἱ ἑπομένων ὅσοι μὲν [h] ἦσαν Σάμιοι, ἀπῆκε, κελεύων σφέας ἑωυτῷ χάριν εἰδέναι, ἐόντας ἐλευθέρους· ὅσοι δὲ ἦσαν ξεῖνοί τε καὶ δοῦλοι τῶν ἑπομένων, ἐν ἀνδραπόδων λόγῳ ποιεύμενος εἶχε.
4 Πολυκράτης δὲ ἀνακρεμάμενος, [i] ἐπετέλεε πᾶσαν τὴν ὄψιν τῆς θυγατρός· ἐλοῦτο μὲν γὰρ ὑπὸ τοῦ Διὸς ὅκως ὕοι, ἐχρίετο δὲ ὑπὸ τοῦ ἡλίου, ἀνιεὶς αὐτὸς ἐκ τοῦ σώμα-
5 τος ἰκμάδα. Πολυκράτεος μὲν δὴ αἱ πολλαὶ εὐτυχίαι 261
ἐς τοῦτο ἐτελεύτησαν [k] τῇ οἱ Ἄμασις ὁ Αἰγύπτου βασιλεὺς προεμαντεύσατο.

126

A. 522 in turbis post Magorum cædem Orœtes Mitrobati et ejus filio mortem offert: nuntium a Dario missum trucidandum in reditu curat.

Χρόνῳ δὲ οὐ πολλῷ ὕστερον καὶ Ὀροίτεα Πολυκρά-
2 τεος τίσιες μετῆλθον. μετὰ γὰρ τὸν Καμβύσεω θάνατον καὶ τῶν Μάγων τὴν βασιληΐην, μένων ἐν τῇσι Σάρδισι Ὀροίτης, [a] ὠφέλει μὲν οὐδὲν Πέρσας, ὑπὸ Μήδων [b] ἀπαραιρημένους τὴν ἀρχήν· ὁ δὲ ἐν ταύτῃ [c] τῇ ταραχῇ κατὰ μὲν ἔκτεινε Μιτροβάτεα τὸν ἐκ Δασκυλείου ὕπαρχον, ὅς οἱ ὠνείδισε τὰ ἐς Πολυκράτεα ἔχοντα, κατὰ δὲ [d] τοῦ Μιτροβάτεω τὸν παῖδα [e] Κρανάσπην, ἄνδρας ἐν Πέρσῃσι
3 δοκίμους· ἄλλα τε ἐξύβρισε παντοῖα, [f] καί τινα ἀγ-

[e] Συρηκοσίων F.a. Σαρακοσίων S. V. Συρηκουσιών edd.

[f] Sic S.V. Ald. A.B. Vall. τύραννοι om. M.K.P.F.b.

[g] ἀξίω S.

[h] ἔσαν Ald. ἦσαν S.V.K.P.F.a. Σάμιοι præponit S. Mox ἦσαν S. pro vulg. ἔσαν.

[i] Sic S.K.P.F. Paris. ἐπετέλεσε edd. vett. Supra ἀνακεκράμενος S.

[k] τῇ οἱ—προεμαντεύσατο om. S. V. Ἀμάσιος F. pro Ἄμασις.

126.

[a] ὠφέλει P.S.F. ὠφείλει vulgo. ὁ Ὀροίτης S.

[b] παραιρουμένους S.V. cf. supra 65.

[c] Sic Vall. S. cf. infra 150. τῇ ἀρχῇ vulgo. Mox S. ἔκτεινε μιτροβάτεω παῖδα καὶ αὐτὸν μιτροβάτεα κρανάτους ἄνδρας mediis om.

[d] Sic F. τὸν M. π. vulgo.

[e] Sic F.a.c. Κρανάτην V. Vall. Κρανάπην vulg.

[f] καί τινα καὶ ἀγγαρήϊον V.S. ἀγγελήϊον ex S. perperam enotaverat Askevius. ἀγγελιηφόρον plerique alii.

γαρήϊον [g] Δαρείου ἐλθόντα παρ' αὐτὸν, ὡς οὐ πρὸς ἡδονήν
οἱ ἦν τὰ ἀγγελλόμενα, [h] κτείνει μιν ὀπίσω κομιζόμενον,
ἄνδρας οἱ [i] ὑπείσας κατ' [k] ὁδόν· ἀποκτείνας δέ μιν, ἠφά-
127 νισε αὐτῷ ἵππῳ. Δαρεῖος δὲ ὡς ἔσχε τὴν ἀρχὴν, [a] ἐπε-
θύμεε τὸν Ὀροίτεα τίσασθαι, [b] πάντων τε τῶν ἀδικη-
μάτων [c] εἵνεκεν, καὶ μάλιστα Μιτροβάτεω καὶ τοῦ παι-
2 δός. ἐκ μὲν [d] δὴ τῆς [e] ἰθείης στρατὸν ἐπ' αὐτὸν οὐκ ἐδόκεε
πέμπειν, ἅτε οἱ [f] οἰδεόντων [g] ἔτι τῶν πρηγμάτων, καὶ
νεωστὶ ἔχων τὴν ἀρχὴν, καὶ τὸν Ὀροίτεα [h] μεγάλην τὴν
ἰσχὺν πυνθανόμενος ἔχειν· τὸν χίλιοι μὲν Περσέων ἐδορυ-
φόρεον, εἶχε δὲ νομὸν τόν τε Φρύγιον καὶ Λύδιον καὶ Ἰω-
3 νικόν. Πρὸς ταῦτα δὴ ὦν ὁ Δαρεῖος τάδε ἐμηχανήσατο.
συγκαλέσας Περσέων τοὺς [i] δοκιμωτάτους, ἔλεγέ σφι
4 τάδε· "Ὦ Πέρσαι, τίς ἄν μοι τοῦτο ὑμέων [k] ὑποστὰς
"ἐπιτελέσειε [l] σοφίῃ, καὶ μὴ βίῃ τε καὶ ὁμίλῳ; ἔνθα
5 "γὰρ σοφίης δέει, βίης ἔργον οὐδέν. ὑμέων [m] δὴ ὦν τίς
"μοι Ὀροίτεα [n] ἢ ζώοντα [o] ἀγάγοι, ἢ ἀποκτείνειε; ὃς
"ὠφέλησε μέν κω Πέρσας οὐδὲν, κακὰ δὲ μεγάλα
"ἔοργε· τοῦτο μὲν, δύο [p] ἡμέων ἠΐστωσε, Μιτροβάτεά τε

Darii consilium Oroetis ulciscendi.

[g] Sic S. ἐλθόντα Δαρείου παρ' ceteri.
[h] κτείνει M.S.V.P.K.F. Paris. ἔκτεινε edd. vett.
[i] ὑπεὶς V.S.a.c.
[k] οὐδὸν] ὁδὸν S.V.P.K.F. Schæfer.

127.

[a] Sic M. S. P. K. V. F. Paris. ἐπεθύμησε vulgo cum Suid. voc. Τίσαι.
[b] Sic S. τε om. al.
[c] εἵνεκεν F. Vulgo εἵνεκε.
[d] γὰρ S.V. voc. om. b.
[e] ἰθείας Suid. in Ἰθύ.
[f] οἰδεόντων S.V. omisso οἱ. οἰδούντων Suid. in Οἰδοῦσαν. οἰδαινόντων F.a.b.d. vulg. et Suid. in Ἰθύ. ubi duo mss. οἱ δεόντων. cf. 76.
[g] ἐπὶ S. in marg. deest text.
[h] μεγάλην om. M.K.P.F.
[i] Sic F. et alii: λογιμωτάτους V.S.a.c. probante Schæfero post Wesselingium, qui confert III. 65. IX. 15. 24
[k] Citat Eustath. Il. β'. p. 222, 12=168, 19. ubi τελέσειεν.
[l] Sic S.P.F. Paris. σοφίῃ τε al.
[m] δὲ ὦν F.a.S.
[n] ἢ καὶ ζῶντα K. ἢ ζῶντα S.
[o] ἂν ἄγοι Schæfer.
[p] ἡμερῶν F. ὑμέων S.

" καὶ τὸν παῖδα [q] αὐτοῦ· τοῦτο δὲ, [r] καὶ τοὺς ἀνακα- 262
" λέοντας αὐτὸν, καὶ [s] πεμπομένους ὑπ' [t] ἐμεῦ, κτείνει,
6 " ὕβριν οὐκ ἀνάσχετον φαίνων. πρίν τι ὦν μέζον ἐξεργά-
" σασθαί μιν Πέρσας κακὸν, [v] καταλαμπτέος ἐστὶ ἡμῖν
128 " [w] θανάτῳ." Δαρεῖος μὲν ταῦτα [a] ἐπειρώτα· [b] τῷ δὲ
ἄνδρες τριήκοντα [c] ὑπέστησαν, αὐτὸς ἕκαστος [d] ἐθέλων
2 ποιέειν ταῦτα. ἐρίζοντας δὲ Δαρεῖος κατελάμβανε, κε-
λεύων πάλλεσθαι· παλλομένων δὲ, λαγχάνει ἐκ πάν-
3 των Βαγαῖος ὁ Ἀρτόντεω. λαχὼν δὲ ὁ Βαγαῖος, ποιέει
[e] τοιάδε· βιβλία γραψάμενος πολλὰ, καὶ περὶ πολλῶν
ἔχοντα πρηγμάτων, [f] σφρηγῖδά σφι ἐπέβαλε τὴν Δα-
4 ρείου· μετὰ δὲ, ἤϊε ἔχων ταῦτα ἐς τὰς [g] Σάρδις. ἀπι-
κόμενος δὲ, καὶ Ὀροίτεω ἐς ὄψιν ἐλθὼν, τῶν βιβλίων ἓν
ἕκαστον περιαιρεόμενος, ἐδίδου τῷ γραμματιστῇ τῷ βα-
σιληΐῳ ἐπιλέγεσθαι· γραμματιστὰς δὲ βασιληΐους οἱ
5 πάντες ὕπαρχοι ἔχουσι. [h] ἀποπειρεώμενος δὲ τῶν δορυ-
φόρων, ἐδίδου τὰ βιβλία ὁ Βαγαῖος, [i] εἰ ἐνδεξαίατο ἀπό-
6 στασιν ἀπὸ Ὀροίτεω. ὁρέων δέ σφεας τά τε βιβλία σε-
βομένους μεγάλως, καὶ τὰ λεγόμενα ἐκ τῶν βιβλίων
7 ἔτι μεζόνως, διδοῖ ἄλλο, ἐν τῷ ἐνῆν ἔπεα [k] τάδε· "Ὦ
" Πέρσαι, βασιλεὺς Δαρεῖος ἀπαγορεύει ὑμῖν μὴ δορυ-
" φορέειν Ὀροίτεα." Οἱ δὲ, ἀκούσαντες [l] τούτων, μετῆ-
8 κάν οἱ τὰς αἰχμάς. ἰδὼν δὲ [m] τοῦτό σφεας ὁ Βαγαῖος

Bagæus mandatam Orœtis necem quomodo patrarit.

[q] αὐτοῦ om. P.K.F.
[r] Sic F. καὶ om. vulgo.
[s] τοὺς ἐκπεμπομένους S.V.
[t] ἐμεῦ V.P.F. Paris. ἐμοῦ vulgo.
[v] καταλαμπτέον ἐστί μιν S.
[w] θανάτου b.

128.

[a] Sic S.V.P.a. ἐπηρώτα F. Ald.
[b] τῶν δὲ S.V.a.
[c] ἐπέστησαν b. Ald.
[d] θέλων S.V.
[e] τάδε P.K.F.
[f] σφρηγῖδάς τε F.
[g] Σάρδεις F. τὰς om. S.
[h] ἀποπειρεόμενος F. ἀποπειρώμενος S.
[i] Sic M.P.K.F. εἰ οἱ ἐνδ. S. alii cum Schæfer.
[k] τάδε M.P.K.S.V. τοιάδε Ald. A.B.F.
[l] τοῦτο c.
[m] Sic F.a.c. et sic credo S. pr.

πειθομένους τῷ βιβλίῳ, ἐνθαῦτα [n] δὴ θαρσήσας, τὸ τελευταῖον τῶν βιβλίων διδοῖ τῷ γραμματιστῇ, [o] ἐν τῷ ἐγέγραπτο· "Βασιλεὺς Δαρεῖος Πέρσῃσι τοῖσι ἐν Σάρδισι
9 "ἐντέλλεται κτείνειν Ὀροίτεα." Οἱ δὲ δορυφόροι ὡς ἤκουσαν ταῦτα, σπασάμενοι [p] τοὺς ἀκινάκεας, κτείνουσι παραυτίκα μιν. Οὕτω δὴ Ὀροίτεα τὸν Πέρσην Πολυκράτεος τοῦ Σαμίου τίσιες μετῆλθον.

Darius extorsit pedem: inscitia medicorum Ægyptiorum: Democedes inter servos Orœtis inventus, ad regem adducitur.

129 Ἀπικομένων δὲ καὶ ἀνακομισθέντων τῶν Ὀροίτεω χρημάτων ἐς τὰ Σοῦσα, [a] συνήνεικε χρόνῳ οὐ πολλῷ ὕστερον βασιλέα Δαρεῖον, ἐν ἄγρῃ [b] θηρῶν ἀποθρώσκοντα
2 ἀπὸ ἵππου, στραφῆναι τὸν πόδα. καί κως ἰσχυροτέρως [c] ἐστράφη· ὁ γάρ οἱ ἀστράγαλος ἐξεχώρησε ἐκ τῶν ἄρθρων.
3 νομίζων δὲ καὶ πρότερον περὶ ἑωυτὸν ἔχειν Αἰγυπτίων τοὺς δοκέοντας εἶναι πρώτους τὴν ἰητρικὴν, τούτοισι [d] ἐχρῆτο. οἱ δὲ, στρεβλοῦντες καὶ βιώμενοι τὸν πόδα, κακὸν 263
4 μέζον ἐργάζοντο. [e] ἐπ' ἑπτὰ μὲν δὴ ἡμέρας καὶ ἑπτὰ νύκτας ὑπὸ τοῦ παρεόντος κακοῦ ὁ Δαρεῖος [f] ἀγρυπνίῃσι εἴχετο· τῇ δὲ δὴ ὀγδόῃ ἡμέρῃ ἔχοντί οἱ φλαύρως, [g] παρακούσας τις πρότερον ἔτι ἐν Σάρδισι τοῦ Κροτωνιήτεω Δημοκήδεος τὴν τέχνην, [h] ἀγγέλλει τῷ Δαρείῳ· ὁ δὲ ἄγειν
5 μιν τὴν ταχίστην παρ' ἑωυτὸν ἐκέλευσε. τὸν δὲ ὡς ἐξεῦρον

qui nunc e ras. cum vulg. τούτῳ σφέας.

[n] δὴ om. S.

[o] ἐν ᾧ F.

[p] τὰς ἀκινάκας F. τοὺς ἀκινάκας a. cf. IV. 62. VII. 67. Mox τοῦ Σαμίου Πολυκράτεος S.

129.

[a] συνένεικε F. qui συνήνεικε 133.

[b] θηρίων V.S. Cum vulg. consentit Suidas in Δημοκήδης.

[c] ἐστράφη om. Suid. Seqq. habet Suid. in Ἐξεχώρησεν.

[d] ἐχρᾶτο S.V.

[e] ἐπ' om. V.S. Tum δὴ om. S. Mox καὶ ἐπ' ἕπτα Ald.

[f] ἀγρυπνίῃ συνείχετο Suid. ubi tamen vulg. habet unus ms. apud Wess. Mox δὴ om. S.

[g] οἷα δὴ παρακ. S.V. Schæf. et probare videtur Wesseling. παρακούσας, *qui obiter, forte fortuna, audiverat*, ut fere Schweighæuserus, *oscitanter, negligenter*, Wesselingius.

[h] ἐσαγγέλλει V.S. Schæfer.

ἐν τοῖσι Ὀροίτεω ἀνδραπόδοισι [i]ὅκου δὴ ἀπημελημένον,
παρῆγον ἐς μέσον, πέδας τε [k]ἕλκοντα, καὶ ῥάκεσι ἐσθη-
130 μένον. Σταθέντα δὲ ἐς μέσον [a]εἰρώτα ὁ Δαρεῖος, τὴν
τέχνην εἰ ἐπίσταιτο. ὁ δ᾽ οὐκ ὑπεδέκετο, ἀρρωδέων μὴ
ἑωυτὸν ἐκφήνας, τὸ παράπαν τῆς Ἑλλάδος ᾖ ἀπεστε-
2 ρημένος. [b]κατεφάνη δὲ τῷ Δαρείῳ τεχνάζειν, ἐπιστά-
μενος· καὶ τοὺς ἀγαγόντας αὐτὸν ἐκέλευσε μάστιγάς
3 τε καὶ κέντρα παραφέρειν ἐς τὸ μέσον. [c]Ὁ δὲ ἐνθαῦτα
δὴ ὦν [d]ἐκφαίνει, φὰς ἀτρεκέως μὲν οὐκ ἐπίστασθαι,
4 ὁμιλήσας δὲ ἰητρῷ, φλαύρως ἔχειν τὴν τέχνην. μετὰ δὲ,
ὥς [e]οἱ ἐπέτρεψε, Ἑλληνικοῖσι [f]ἰήμασι χρεώμενος, καὶ
[g]ἤπια μετὰ τὰ ἰσχυρὰ προσάγων, ὕπνου τέ μιν λαγ-
χάνειν ἐποίεε, καὶ ἐν χρόνῳ ὀλίγῳ ὑγιέα μιν ἐόντα ἀπέ-
5 δεξε, οὐδαμᾶ ἔτι ἐλπίζοντα ἀρτίπουν ἔσεσθαι. Δωρέεται
[h]δή μιν μετὰ ταῦτα ὁ Δαρεῖος πεδέων χρυσέων δύο
[i]ζεύγεσι. ὁ δέ μιν ἐπείρετο, εἴ οἱ διπλήσιον τὸ κακὸν
6 ἐπίτηδες νέμει, ὅτι μιν ὑγιέα ἐποίησε. ἡσθεὶς δὲ τῷ ἔπεϊ
ὁ Δαρεῖος, ἀποπέμπει μιν παρὰ τὰς ἑωυτοῦ γυναῖκας.
παράγοντες δὲ οἱ εὐνοῦχοι, [k]ἔλεγον πρὸς τὰς γυναῖκας,
7 ὡς βασιλέϊ οὗτος εἴη ὃς τὴν [l]ψυχὴν ἀπέδωκε. ὑποτύ-
πτουσα δὲ αὐτέων ἑκάστη [m]φιάλῃ ἐς [n]τοῦ χρυσοῦ τὴν 264

Sanato rege, donis donatur.

[i] Sic M.P.K. Suid. F.b.f. ὅκου δή κοτε (vel ποτε) Ald. V.S.a.c. ὅσον δὴ absque κοτε d.
[k] ἔχοντα d. ἕλκοντες S.

130.

[a] Sic S.V.P. Vulgo ἠρώτα.
[b] Sic a.S. Reliqui κατεφάνη τε, cum Suida. Mox ἄγοντας S. et μάστιγάς τε ἐκέλευσε.
[c] ὁ δὲ ἐν ἑαυτῷ Suid.
[d] ἀνεκφαίνει S.V.
[e] οἱ om. F. Suid.
[f] ῥήμασι Suid.
[g] Sic S.A.B. Vall. φάρμακα τὰ Suid. ἠπιάματα τὰ F.M. et al. conf. Hieron. Mercurial. Var. Lect. IV. 3. Leopard. Emend. VII. 14.
[h] Sic S.K.P.V.F.a.c. δέ μιν vulgo.
[i] Sic S.V.P.K.F.a.c. Vulgo ζεύγεα.
[k] Citat Thomas M. in Ψυχή.
[l] Sic S.K.P.V.F. Paris. ψ. οἱ ἀπ. vulgo.
[m] Sic M.K.P.F. Paris. al. φιάλην cum S.
[n] τοῦ χρυσοῦ σὺν θήκῃ] τοῦ χρυσοῦ

θήκην, ἐδωρέετο [o] Δημοκήδεα οὕτω δή τι [p] δαψιλέϊ δωρεῇ, ὡς τοὺς ἀποπίπτοντας ἀπὸ τῶν φιαλέων στατῆρας [q] ἑπόμενος ὁ οἰκέτης, τῷ οὔνομα ἦν Σκίτων, ἀνελέγετο, καί οἱ χρῆμα πολλόν τι χρυσοῦ συνελέχθη.

131 Ὁ δὲ Δημοκήδης οὗτος, ὧδε ἐκ Κρότωνος ἀπιγμένος,
Πολυκράτεϊ ὡμίλησε. [a] πατρὶ συνείχετο [b] ἐν Κρότωνι,
ὀργὴν χαλεπῷ· τοῦτον ἐπεί τε οὐκ ἐδύνατο φέρειν, ἀπο-
2 λιπὼν [c] οἴχετο ἐς Αἴγιναν. καταστὰς δὲ ἐς ταύτην, [d] τῷ
πρώτῳ ἔτεϊ ὑπερεβάλετο [e] τοὺς πρώτους ἰητροὺς, ἀσκευής
περ ἐὼν, καὶ ἔχων οὐδὲν τῶν ὅσα περὶ τὴν τέχνην [f] ἐστὶ
3 ἐργαλήϊα. καί μιν δευτέρῳ ἔτεϊ ταλάντου Αἰγινῆται
[g] δημοσίῃ μισθεῦνται· τρίτῳ δὲ ἔτεϊ Ἀθηναῖοι, ἑκατὸν
μνέων· τετάρτῳ δὲ ἔτεϊ Πολυκράτης [h] δυῶν ταλάντων.
4 οὕτω μὲν ἀπίκετο ἐς τὴν Σάμον. Καὶ ἀπὸ τούτου τοῦ
ἀνδρὸς οὐκ ἥκιστα Κροτωνιῆται ἰητροὶ εὐδοκίμησαν· ἐγέ-
νετο γὰρ ὦν τοῦτο [i] ὅτε πρῶτοι μὲν Κροτωνιῆται ἰητροὶ

Democedis ante id tempus fata: medicinæ laus primum penes Crotoniatas et Cyrenæos; musicæ, penes Argivos.

τὴν θήκην S. φιάλῃ χρυσῇ σὺν θήκῃ d. ἐς τοῦ χρυσοῦ τὴν θήκην verum putat Porsonus ad Aristoph. Av. 1145. citans χρυσίου θήκην ex Plutarch. II. p. 982. C. Cui, quod ad sententiam spectat, præivit Toupius Emend. Suid. II. p. 391. corrigens ὑποτύπτουσα—φιάλῃ ἐς τὴν χρυσοθήκην, *phialam in arcam nummariam submittens.* Toupium in versione Gallica sequutus est Larcherus: *C'est mettre,* inquit, *la soucoupe sous le tas de pièces d'or, et la retirer aussi pleine qu'il soit possible.* Qui vocem φιάλην illustrat prolato Xenophontis Cyrop. I. 3, 8. cf. Wyttenbach. Sel. pr. Hist. p. 374. Mox ἐδωρέατο S.

[o] Sic S.P.K.F. τὸν Δημ. edd.

[p] δαψιλῆϊ V. δαψιλέῃ F.

[q] ἑπόμενος om. S. ubi mox Σκήτων.

131.

[a] Sic M.P.V.S. Vall. F.a.c. πατρὶ ὃς σ. b.d. Ald.

[b] Sic K.P.F. ἐν τῇ Κρ. vulgo cum S.

[c] ᾤχετο F.

[d] τῷ om. F.c.

[e] τοὺς ἄλλους P.F.a.d.

[f] ἐστὶ om. S.V.

[g] δημοσίῃ om. S.V. Male. Olim medici publice conducebantur. cf. Strabo IV. p. 273=181. c. n. Casauboni. Wess. μισθοῦνται S.

[h] Sic M.K.P.V.S.F. Paris. δυοῖν ταλάντοιν olim. Ἀθηναῖοι—ἔτεϊ om. F.

[i] ὅτι V.S. Mox πρῶτοι om. K. ἰητροὶ εὐδοκίμησαν καὶ ἀνὰ πᾶσαν τὴν Ἑλλάδα εὐφημίζοντο. S. οὐκ ἥκιστα Κροτωνιῆται ἰητροὶ ἐλέγοντο ἀνὰ τὴν Ἑ. εἶναι mediis omissis F.

ἐλέγοντο ἀνὰ τὴν Ἑλλάδα εἶναι· δεύτεροι δὲ, Κυρηναῖοι. κατὰ [k] τὸν αὐτὸν δὴ χρόνον καὶ Ἀργεῖοι ἤκουον μουσικὴν εἶναι Ἑλλήνων πρῶτοι.

132 [a] Τότε δὲ ὁ Δημοκήδης, ἐν τοῖσι Σούσοισι ἐξιησάμενος Δαρεῖον, οἶκόν τε μέγιστον εἶχε, καὶ ὁμοτράπεζος βασιλέϊ ἐγεγόνεε· πλήν τε ἑνὸς [b] τοῦ
2 ἐς Ἕλληνας ἀπιέναι, πάντα τὰ ἄλλα οἱ παρῆν. καὶ τοῦτο μὲν, τοὺς Αἰγυπτίους ἰητροὺς, οἳ βασιλέα πρότερον ἰῶντο, μέλλοντας [c] ἀνασκολοπιεῖσθαι, [d] διότι ὑπὸ Ἕλληνος ἰητροῦ ἑσσώθησαν, τούτους, βασιλέα παραιτησάμενος, ἐρρύσατο· τοῦτο δὲ, μάντιν Ἠλεῖον Πολυκράτεϊ 265 [e] ἐπισπόμενον, καὶ ἀπημελημένον ἐν τοῖσι ἀνδραπόδοισι, ἐρρύσατο. ἦν δὲ μέγιστον πρῆγμα Δημοκήδης [f] παρὰ βασιλέϊ.

In honore ac pretio apud regem Democedes: liberat Ægyptios medicos pœna; vatem Eleum servitute.

133 Ἐν χρόνῳ δὲ ὀλίγῳ μετὰ ταῦτα, τάδε ἄλλα συνήνεικε γενέσθαι. Ἀτόσσῃ, τῇ Κύρου μὲν θυγατρὶ Δαρείου δὲ γυναικὶ, ἐπὶ τοῦ μαστοῦ ἔφυ φῦμα· μετὰ δὲ, ἐκ-
2 ραγὲν, ἐνέμετο πρόσω. ὅσον μὲν δὴ χρόνον ἦν ἔλασσον, ἡ δὲ, κρύπτουσα καὶ αἰσχυνομένη, ἔφραζε οὐδενί· ἐπεί τε δὲ ἐν κακῷ ἦν, μετεπέμψατο τὸν Δημοκήδεα, καί οἱ
3 [a] ἐπέδεξε. ὁ δὲ, φὰς ὑγιέα ποιήσειν, [b] ἐξορκοῖ μιν, [c] ἦ μέν οἱ ἀντυπουργήσειν ἐκείνην τοῦτο τὸ ἂν αὐτῆς δεηθῇ· δεήσεσθαι δὲ οὐδενὸς τῶν ὅσα [d] ἐς αἰσχύνην ἐστὶ φέροντα.

Atossam ulcere in mamilla laborantem sanat.

[k] Sic M.K.P. τὸν αὐτ. δὲ τοῦτον χρ. A.B.S.V. Ald. τὸν αὐτὸν δὴ χρ. F. Seqq. attigit Eustath. Dionys. 419.

132.

[a] Sic F. τότε δὴ vulgo cum S.

[b] τούτου τοὺς Ἕλληνας S.

[c] ἀνασκολοπίζεσθαι S.V. cf. Dio. Chrysost. LXXVII. p. 653.

[d] ὅτι K.P.F.a.c.

[e] Sic F.a. Vulgo ἐπισπώμενον.

[f] Sic S.P.F.a.c. alii τῷ βασ. al. cum Suid. in Δημοκήδης.

133.

[a] ἐπέδεξε S.V.F. Paris. ἐπέδειξε al. cum Suid. in Δημοκήδης.

[b] Sic M.K.P.F. Paris. Suid. ἐξορκεῖ Ald. S.V. cf. IV. 154. VI. 74.

[c] Sic V.S.P.F.a. cf. 66. et Gregor. Dial. Ion. 62. μὴν οἱ al.

[d] Sic M.P.K.F. Suid. ἐς om. Ald. V.S.B. cf. I. 10. IV. 90. Markland. Eurip. Suppl. 295. Schweigh. Pro altera lectione citat Wesseling. Eurip. Hec. 1241. καὶ γὰρ αἰσχύνην φέρει τὸ πρᾶγμα. Plato Menex. p. 247. A. ἡ νίκη αἰσχύνην φέρει.

Patriæ desiderio per Atossam instigat Darium ad bellum Græciæ inferendum.

134 Ὡς δὲ ἄρα μιν μετὰ ταῦτα ἰώμενος ὑγιέα [a] ἀπέδεξε,
ἐνθαῦτα δὴ διδαχθεῖσα ὑπὸ τοῦ Δημοκήδεος ἡ Ἄτοσσα,
2 προσέφερε ἐν τῇ κοίτῃ Δαρείῳ λόγον τοιόνδε· "Ὦ Βα-
"σιλεῦ, ἔχων δύναμιν τοσαύτην, κάτησαι, οὔτε τι ἔθνος
3 "προσκτώμενος οὔτε δύναμιν Πέρσῃσι. [b] οἰκὸς δέ ἐστι
"ἄνδρα, καὶ νέον, καὶ χρημάτων [c] μεγάλων δεσπότην,
"φαίνεσθαί τι ἀποδεικνύμενον, ἵνα καὶ Πέρσαι ἐκμά-
4 "θωσι ὅτι ὑπ᾽ ἀνδρὸς ἄρχονται. ἐπ᾽ ἀμφότερα δέ τοι
"[d] φέρει ταῦτα ποιέειν, καὶ ἵνα σφέων Πέρσαι ἐπιστέ-
"ωνται ἄνδρα εἶναι τὸν προεστεῶτα, καὶ ἵνα τρίβωνται
5 "πολέμῳ, μηδὲ σχολὴν ἄγοντες ἐπιβουλεύωσί τοι. νῦν
"γὰρ ἄν τι καὶ ἀποδέξαιο ἔργον, ἕως νέος εἶς ἡλικίην·
"[e] αὐξανομένῳ γὰρ τῷ σώματι [f] συναύξονται καὶ αἱ 266
"φρένες· γηράσκοντι δὲ συγγηράσκουσι, καὶ ἐς τὰ πρή-
6 "γματα πάντα ἀπαμβλύνονται." Ἡ μὲν δὴ ταῦτα ἐκ
[g] διδαχῆς ἔλεγε. ὁ δ᾽ [h] ἀμείβεται τοῖσδε· "Ὦ γύναι,
7 "πάντα ὅσα περ αὐτὸς ἐπινοέω ποιήσειν, εἴρηκας. ἐγὼ
"γὰρ βεβούλευμαι, [i] ζεύξας γέφυραν, ἐκ τῆσδε τῆς
"ἠπείρου ἐς τὴν ἑτέρην ἤπειρον ἐπὶ Σκύθας στρατεύεσθαι·
8 "καὶ ταῦτα ὀλίγου χρόνου ἔσται τελεύμενα." [k] Λέγει
Ἄτοσσα τάδε· "Ὅρα νυν, [l] ἐς Σκύθας μὲν τὴν πρώτην
9 "ἰέναι ἔασον· οὗτοι γάρ, ἐπεὰν σὺ βούλῃ, ἔσονταί τοι.
"σὺ δέ μοι ἐπὶ τὴν Ἑλλάδα στρατεύεσθαι· ἐπιθυμέω

134.

[a] Sic S.V.P.K.F. Paris. ἀπεδέξατο Ald. M.

[b] Sic F. Vulgo εἰκός.

[c] Sic S.V.P.K.F. δεσπότ. μεγ. al.

[d] συμφέρει K. Mox προεστῶτα S.

[e] αὐξομένῳ F. Eustath. Od. p. 1447, 28=98, 32. Adde Schol. Od. β΄. 315. Supra ἧς S. pro εἶς. ἧς Ald.

[f] συναυξάνονται Eustath. et Schol. Hom.

[g] Ex h. l. Suidas. διαδοχῆς S.V.

[h] ἀμείβετο S.V.

[i] Sic P.S.V.A.B.F. ζεῦξαι—ἐκ δὲ τῆς vulgo.

[k] Sic M.S.P.K.F. Paris. λέγει δὲ al.

[l] Sic M.K.P.F. ἐπὶ Σκ. Ald. S. V.A.B.

“ γὰρ, λόγῳ πυνθανομένη, Λακαίνας τέ μοι γενέσθαι “ θεραπαίνας καὶ Ἀργείας καὶ [m] Ἀττικὰς καὶ Κορινθίας.
10 “ ἔχεις δὲ ἄνδρα [n] ἐπιτηδεώτατον ἀνδρῶν πάντων “ [o] δέξαι τε ἕκαστα τῆς Ἑλλάδος καὶ κατηγήσασθαι,
11 “ τοῦτον [p] ὅς σευ τὸν πόδα ἐξιήσατο.” Ἀμείβεται Δαρεῖος· “Ὦ γύναι, ἐπεὶ τοίνυν τοι δοκέει τῆς Ἑλλάδος “ ἡμέας πρῶτα ἀποπειρᾶσθαι, κατασκόπους μοι δοκέει “ Περσέων [q] πρῶτον ἄμεινον εἶναι, ὁμοῦ τούτῳ τῷ σὺ λέ- “ γεις, πέμψαι ἐς αὐτούς· οἳ μαθόντες καὶ ἰδόντες “ [r] ἕκαστα αὐτῶν, ἐξαγγελέουσι ἡμῖν. καὶ ἔπειτα, ἐξ- “ επιστάμενος, ἐπ᾽ αὐτοὺς τρέψομαι.” Ταῦτα εἶπε·

135 καὶ [a] ἅμα ἔπος τε, καὶ ἔργον ἐποίεε. ἐπεί τε γὰρ τάχιστα ἡμέρη ἐπέλαμψε, καλέσας Περσέων ἄνδρας δοκίμους πεντεκαίδεκα, ἐνετέλλετό σφι, ἑπομένους Δημοκήδεϊ, διεξελθεῖν τὰ παραθαλάσσια τῆς Ἑλλάδος· ὅκως τε μὴ [b] διαδρήσεταί σφεας ὁ Δημοκήδης, ἀλλά μιν πάν-
2 τως ὀπίσω ἀπάξουσι. ἐντειλάμενος δὲ τούτοισι ταῦτα, δεύτερα καλέσας αὐτὸν Δημοκήδεα, ἐδέετο αὐτοῦ, ὅκως ἐξηγησάμενος πᾶσαν καὶ ἐπιδέξας τὴν Ἑλλάδα τοῖσι
3 Πέρσῃσι, ὀπίσω ἥξει. δῶρα δέ μιν τῷ πατρὶ καὶ τοῖσι ἀδελφεοῖσι ἐκέλευε πάντα τὰ ἐκείνου [c] ἔπιπλα λαβόντα ἄγειν, φὰς ἄλλα οἱ [d] παραπλήσια ἀντιδώσειν· πρὸς δὲ,

Nobiles Persæ xv cum Democede in Græciam speculatores mittuntur.

[m] Ἀττικάς τε S.
[n] ἐπιτηδεότατον F.S.
[o] δεῖξαι S.P.V. τι item S.
[p] ὅς σε c.
[q] πρῶτον μὲν S.
[r] ἐξαγγ. ἕκαστα αὐτῶν K.P. ἐξαγγελέουσ᾽ αὐτῶν ἕκαστα F. ἕκαστα ἐξαγγελέουσιν αὐτῶν S.

135.

[a] Sic S.V. Eustath. p. 1182 = 1249, 2. ἅμα τ᾽ ἔπος ἔφα (ἔφατο K.) καὶ ἔ. ἐ. M.P. ἅμα ἔπος τ᾽ εἶπε κ. ἔ. edd. vett. ἅμα τε ἔπος τ᾽ εἶπέ τ᾽ ἔργον ἐποίεε. a. καὶ ἅμα τ᾽ ἔπος τ᾽ εἶπε καὶ ἔ. ἐ. F. Lectionem codicis K. conjectura assequutus est Valckenærius.

[b] Sic S.V.a. διαδρήσηται—ἀπάξωσι vulgo. διαδρήσεται item F. Mox αὐτὸν καλέσας S.

[c] ἐπιλαβόντα b.d. Supra πάντα ἐκείνου ἐπίπλα S.

[d] πολλαπλήσια] Sic V.P.K.F. παραπλήσια S. πολληπλησία edd. Credo Iones dixisse πολλαπλάσια, non πολλαπλήσια, quum antepe-

ἐς τὰ [e] δῶρα ὁλκάδα οἱ ἔφη [f] συμβαλέεσθαι, πλήσας
4 ἀγαθῶν [g] παντοίων, τὴν ἅμα οἱ [h] πλεύσεσθαι. Δαρεῖος
μὲν δὴ, δοκέειν ἐμοὶ, ἀπ' οὐδενὸς δολεροῦ νόου ἐπαγγέλ-
5 λετό οἱ ταῦτα. Δημοκήδης δὲ, δείσας μή εὐ ἐκπειρῷτο
Δαρεῖος, οὔ τι ἐπιδραμὼν [i] πάντα τὰ διδόμενα ἐδέκετο·
ἀλλὰ τὰ μὲν ἑωυτοῦ κατὰ χώρην ἔφη [k] καταλείψειν,
ἵνα ὀπίσω σφέα ἀπελθὼν [l] ἔχοι· τὴν μέν τοι ὁλκάδα,
[m] τήν οἱ Δαρεῖος ἐπαγγέλλετο ἐς τὴν δωρεὴν τοῖσι ἀδελ-
6 φεοῖσι, δέκεσθαι ἔφη. ἐντειλάμενος δὲ καὶ τούτῳ ταῦτα
ὁ Δαρεῖος, [n] ἀποστέλλει αὐτοὺς ἐπὶ θάλασσαν.

Solvunt Sidone: maritima Græciæ loca inspectant et describunt: in Italia Persæ comprehensi ab Aristophilide Tarentinorum

136 Καταβάντες [a] δὲ οὕτω ἐς Φοινίκην, [b] καὶ Φοινίκης ἐς
Σιδῶνα πόλιν, αὐτίκα μὲν τριήρεας δύο ἐπλήρωσαν, ἅμα
2 δὲ [c] αὐτῇσι καὶ [d] γαυλὸν μέγαν, παντοίων ἀγαθῶν. [e] παρ-
εσκευασμένοι δὲ πάντα, ἔπλεον ἐς τὴν Ἑλλάδα· προσί-
σχοντες δὲ, [f] αὐτῆς τὰ παραθαλάσσια [g] ἐθηεῦντο, καὶ
ἀπεγράφοντο· ἐς ὃ, τὰ πολλὰ αὐτῆς καὶ [h] οὐνομαστό-
τατα θεησάμενοι, ἀπίκοντο τῆς Ἰταλίης ἐς Τάραντα.

nultima vocis hujus corripiatur. cf. IV. 50. Omnes libri habent πολλαπλασίης VII. 160.

[e] δῶρον ὁλκάδα Eustath. Il. p. 741, 63=638, 15.

[f] συμβαλέεσθαι Paris. συμβάλεσθαι F. συμβαλεῖσθαι Eustath. συμβαλλέεσθαι Wessel. et al.

[g] πάντων P.K.F.

[h] πλεύσασθαι S. Mox εὖ ἐκπειρῷτο vulg. εὖ ἐκπ. Reiskius, μή εὐ post Reizium Schweighæuserus, monens in F. legi μή ευ (sic), necnon εὖ A. teste Larchero. S. præbet μὴ εὐεκπειρῷτο.

[i] Sic S.V.P.K.F.a.c. πάντων M. πάντως Ald. b.d.

[k] καταλείπειν S.V.

[l] ἔχῃ F.

[m] τὴν ὁ Δ. P.K.S.V.F. ἐπαγγέλλεται S.

[n] ἀπέστελλεν S.V. Paullo ante ταυτὰ Reiskius.

136.

[a] δὲ οὕτω P.K.F.b. δ' οὗτοι Wessel. S. et al.

[b] καὶ ἐκ Φοιν. S. Vall.

[c] Sic M.S.P.K.F. Paris. Olim αὐτοῖσι.

[d] Sic omnes. γαῦλον Hesych. Etymol. cf. VI. 17.

[e] παρασκευασάμενοι S. qui mox προίσχοντες.

[f] Sic mss. αὐτῇ Ald.

[g] θειεῦντο S.V.

[h] Sic Schæfer. οὐνομαστὰ edd. pleræque. ὀνομαστὰ F. ὀνομαστότατα S.V.

rege: Democedes abit Crotonem: Persæ dimissi.

3 Ἐνθαῦτα δὲ ἐκ [i]ῥηστώνης τῆς Δημοκήδεος, [k]Ἀριστοφιλίδης τῶν Ταραντίνων ὁ βασιλεὺς, τοῦτο μὲν τὰ πηδάλια παρέλυσε τῶν Μηδικέων νεῶν· τοῦτο δὲ, αὐτοὺς τοὺς Πέρσας [l]ἔρξε, ὡς κατασκόπους δῆθεν ἐόντας.
4 Ἐν ᾧ δὲ οὗτοι ταῦτα ἔπασχον, ὁ Δημοκήδης ἐς τὴν Κρότωνα ἀπικνέεται. ἀπιγμένου δὲ [m]ἤδη τούτου ἐς τὴν ἑωυτοῦ, ὁ Ἀριστοφιλίδης ἔλυσε τοὺς Πέρσας, καὶ τὰ παρέλαβε τῶν νεῶν, ἀπέδωκέ σφι.

137 Veniunt Persæ Crotonem, et Democedem prehendunt: Crotoniatæ Persis et Democedem et navem onerariam eripiunt: Democedes gener luctatoris Milonis.

137 Πλέοντες δὲ ἐνθεῦτεν οἱ Πέρσαι, καὶ διώκοντες Δημοκήδεα, ἀπικνέονται ἐς τὴν Κρότωνα· εὑρόντες δέ μιν ἀγοράζοντα, [a]ἅπτοντο αὐτοῦ.
2 τῶν δὲ Κροτωνιητέων οἱ μὲν, καταρρωδέοντες τὰ Περσικὰ πρήγματα, προϊέναι ἑτοῖμοι [b]ἦσαν· οἱ δὲ ἀντάπτοντό [c]τε, καὶ [d]τοῖσι 268 σκυτάλοισι ἔπαιον τοὺς Πέρσας, προϊσχομένους ἔπεα τάδε·
3 "Ἄνδρες Κροτωνιῆται, ὁρᾶτε τὰ ποιέετε· ἄνδρα
4 "βασιλέος δρηπέτην [e]γενόμενον ἐξαιρέεσθε. [f]καὶ κῶς "ταῦτα [g]βασιλέϊ Δαρείῳ ἐκχρήσει [h]περιϋβρίσθαι; κῶς "δὲ [i]ὑμῖν τὰ ποιεύμενα ἕξει καλῶς, ἢν [k]ἀπέλησθε "ἡμέας; ἐπὶ τίνα δὲ [l]τῆσδε προτέρην στρατευσόμεθα "πόλιν; τίνα δὲ προτέρην ἀνδραποδίζεσθαι πειρησόμεθα;"

[i] Sic K. ἐκ Κρηστώνης Ald. M. P.F.a.b. ἐκ Κρότωνος S.V. Vall. ἐκδρηστοσύνης conj. Schæfer.
[k] Ἀριστοφίλης d.
[l] Sic F. Paris. εἶρξε S.V.K.P. ὡς δῆθεν κατασκόπους S.
[m] ἤδη om. P.

137.

[a] ἅπτονται d.
[b] ἔσαν] ἦσαν F.S.
[c] τε om. K.P.F.
[d] Sic M.P.K.S. τῇσι σκυτάλῃσι Ald. V.A.B. αὐτῇσι σκυτάλῃσι a. ταῖσι σκυτάλεσι F. Suidas, Σκυτάλαι: Στρογγύλα καὶ λεῖα ξύλα· παρὰ δὲ Ἡροδότῳ ῥάβδος. Idem Σκύταλον: Τὸ ῥόπαλον. Ἔγωγέ τοι τὸ σκύταλον ἐξηνεγκάμην. Ἡρόδοτος· Ἐν (καὶ duo mss.) τοῖς σκυτάλοισιν ἔπαιον τοὺς Πέρσας.
[e] γινόμενον malebat Schweighæuser.
[f] κῶς ταῦτα] καὶ κῶς ταῦτα S.V. Probant Wesseling. et Schweigh. edidit Schæfer.
[g] βασιλῆϊ S.V. Vulgo βασιλέϊ.
[h] Sic Ald. V.S.M.K.P.F. Paris. περιϋβρίζεσθαι al.
[i] ὑμῖν τὰ π. ἕ. om. S.
[k] Sic edd. vett. et mss. plerique. ἀφέλησθε F. ἀφέλῃ d. ἀπέλεσθε Wessel.
[l] Sic M.S.V.P.K.F. Paris. Olim ταύτης.

5 [m]Ταῦτα λέγοντες, τοὺς Κροτωνιήτας οὐκ [n]ὦν [o]ἔπειθον·
ἀλλ' ἐξαιρεθέντες τε τὸν Δημοκήδεα, καὶ τὸν γαυλὸν τὸν
ἅμα [p]ἤγοντο ἀπαιρεθέντες, ἀπέπλεον ὀπίσω ἐς τὴν Ἀσίην,
[q]οὐδ' ἔτι ἐζήτησαν τὸ προσωτέρω τῆς Ἑλλάδος ἀπικό-
6 μενοι ἐκμαθεῖν, ἐστερημένοι τοῦ ἡγεμόνος. Τοσόνδε μέντοι
ἐνετείλατό σφι Δημοκήδης ἀναγομένοισι, κελεύων εἰπεῖν
[r]Δαρείῳ σφέας, ὅτι ἅρμοσται τὴν Μίλωνος θυγατέρα
Δημοκήδης γυναῖκα. τοῦ γὰρ δὴ παλαιστέω Μίλωνος
ἦν οὔνομα πολλὸν παρὰ [s]βασιλέϊ. [t]κατὰ δὴ τοῦτό μοι
δοκέει σπεῦσαι τὸν γάμον τοῦτον τελέσας χρήματα με-
γάλα Δημοκήδης, ἵνα φανῇ πρὸς Δαρείου ἐὼν καὶ ἐν τῇ
138 ἑωυτοῦ δόκιμος. Ἀναχθέντες δὲ ἐκ τῆς Κρότωνος οἱ Πέρ-
σαι, [a]ἐκπίπτουσι τῇσι νηυσὶ ἐς Ἰηπυγίην· καί σφεας,
δουλεύοντας ἐνθαῦτα, Γίλλος ἀνὴρ [b]Ταραντῖνος φυγὰς ῥυ-
2 σάμενος, ἀπήγαγε παρὰ βασιλέα Δαρεῖον. ὁ δὲ ἀντὶ
τούτων ἑτοῖμος ἦν διδόναι [c]τοῦτο ὅ τι βούλοιτο αὐτός.
Γίλλος δὲ αἱρέεται κάτοδόν οἱ ἐς Τάραντα γενέσθαι, προ-
3 απηγησάμενος τὴν συμφορήν. ἵνα δὲ μὴ συνταράξῃ τὴν
Ἑλλάδα, ἢν [d]δι' αὐτὸν στόλος μέγας πλέῃ ἐπὶ τὴν Ἰτα-
λίην, Κνιδίους [e]μούνους ἀποχρᾶν οἱ ἔφη τοὺς κατάγον-
τας γίνεσθαι· δοκέων ἀπὸ τούτων, ἐόντων τοῖσι Ταραντί-
4 νοισι φίλων, μάλιστα [f]δὴ τὴν κάτοδόν οἱ ἔσεσθαι. Δα-
ρεῖος δὲ ὑποδεξάμενος ἐπετέλεε· πέμψας γὰρ ἄγγελον

Persas in Iapygia captos redimit Gillus Tarentinus exsul, et ad regem reducit: jussu regis eum Cnidii restituere in patriam frustra conantur.

[m] Sic M.K.P.F. Paris. Alii ταῦτα δέ cum S.
[n] ὦν om. d.
[o] ἔπιθον S.V.
[p] Sic V.S.M.K.P. ἄγοντο Ald. F.a.
[q] οὐδ' ἔτι K. οὐδέτι edd. οὐδέ τι F.S.
[r] σφέας Δαρ. P.K.S.F.
[s] βασιλῆϊ S.V. βασιλέϊ F. edd. vett.
[t] κατὰ δὲ F.

138.

[a] Sic M.V.S.K.P.F.a.c. ἐμπίπτουσι Ald. b.
[b] παρὰ τίνος F.
[c] Sic F.a. τούτῳ ὅ τι vulgo.
[d] Sic S.P. Vall. a.c. δι' αὐτῶν vulgo.
[e] μούνους P. μόνους S.F. et al.
[f] Sic S. δὴ om. F.c. et al.

ἐς Κνίδον, κατάγειν σφέας ἐκέλευε Γίλλον ἐς Τάραντα.
5 πειθόμενοι δὲ Δαρείῳ Κνίδιοι, Ταραντίνους οὐκ ὦν ἔπειθον,
6 βίην δὲ ἀδύνατοι ἦσαν [g] προσφέρειν. Ταῦτα μέν νυν [h] οὕτω
ἐπρήχθη· οὗτοι δὲ πρῶτοι [i] ἐκ τῆς Ἀσίης ἐς τὴν Ἑλλάδα
ἀπίκοντο Πέρσαι, καὶ οὗτοι διὰ τοιόνδε πρῆγμα κατά-
σκοποι ἐγένοντο.

139 Μετὰ δὲ ταῦτα, Σάμον βασιλεὺς Δαρεῖος αἱρέει,
πολίων πασέων πρώτην [a] Ἑλληνίδων καὶ βαρβάρων, διὰ
2 τοιήνδε τινὰ αἰτίην. Καμβύσεω τοῦ Κύρου στρατευομένου
ἐπ᾽ Αἴγυπτον, ἄλλοι τε συχνοὶ ἐς τὴν Αἴγυπτον ἀπίκοντο
Ἑλλήνων, οἱ μὲν, ὡς [b] οἰκὸς, κατ᾽ ἐμπορίην· [c] οἱ δὲ,
στρατευόμενοι· οἱ δέ τινες, καὶ αὐτῆς τῆς χώρης θεηταί· 269
τῶν ἦν καὶ Συλοσῶν ὁ [d] Αἰάκεος, Πολυκράτεός τε ἐὼν
3 ἀδελφεὸς, καὶ φεύγων ἐκ Σάμου. Τοῦτον τὸν Συλοσῶντα
κατέλαβε εὐτυχίη [e] τις τοιήδε. λαβὼν χλανίδα καὶ [f] πε-
ριβαλόμενος [g] πυρρὴν, ἠγόραζε ἐν τῇ Μέμφι· ἰδὼν δὲ αὐ-
τὸν Δαρεῖος, δορυφόρος τε ἐὼν Καμβύσεω καὶ λόγου οὐ-
δενός κω μεγάλου, [h] ἐπεθύμησε τῆς χλανίδος, καὶ αὐτὴν
4 προσελθὼν ὠνέετο. ὁ δὲ Συλοσῶν, ὁρέων τὸν Δαρεῖον με-
γάλως ἐπιθυμέοντα τῆς χλανίδος, θείῃ τύχῃ χρεώμενος,
5 λέγει· "Ἐγὼ ταύτην πωλέω μὲν οὐδενὸς χρήματος· δί-
"δωμι δὲ ἄλλως, εἴ περ [i] οὕτω δεῖ γενέσθαι πάντως τοι."
[k] Αἰνέσας ταῦτα ὁ Δαρεῖος, παραλαμβάνει τὸ εἷμα.

Syloson Polycratis frater exsul Dario privato amiculum donat.

[g] προφέρειν b. Ald.
[h] οὕτως ἐστάθη S.V.
[i] Sic K.P.F. ἐς τὴν Ἑ. ἐκ τῆς Ἀ. edd. ἐκ τῆς Ἀσίης om. S.

139.

[a] Ἑλληνίδα S. Ald.
[b] Sic F. Paris. Vulgo εἰκὸς cum S.
[c] Sic S. Vall. οἱ δὲ vulgo om. et a correctore profecta censet Valckenærius, qui conjicit κατ᾽ ἐμπορίην, στρατευομένοις, vel κατ᾽ ἐμπορίην στραγγευόμενοι. Eidem tamen Valckenærio στρατευόμενοι videtur e superioribus male repetitum.
[d] Sic M.S.K.P.V. Vall. Αἰακέος F. Ἀτακέος d. Ἀναμῆος b. Αἰακαῖος Ald. cf. II. 182.
[e] Sic S.K.P.V.F. Paris. τοίηδε τις vulgo. cf. Suidas in Χλαμύς.
[f] περιβαλλόμενος S. Ald.
[g] πυρὴν S.d.
[h] ἐπιθυμέου M.
[i] τοῦτο S.
[k] αἰνέσας δὲ S.V.

140 [a]Ὁ μὲν δὴ Συλοσῶν ἠπίστατό [b]οἱ τοῦτο ἀπολωλέναι δι'
2 [c]εὐηθίην. ὡς δὲ τοῦ χρόνου προβαίνοντος Καμβύσης τε
ἀπέθανε, καὶ τῷ Μάγῳ ἐπανέστησαν οἱ ἑπτὰ, καὶ ἐκ
τῶν ἑπτὰ Δαρεῖος τὴν βασιληΐην ἔσχε· πυνθάνεται ὁ Συ-
λοσῶν, ὡς ἡ βασιληΐη περιεληλύθοι [d]ἐς τοῦτον τὸν ἄνδρα,
3 τῷ κοτὲ αὐτὸς ἔδωκε ἐν Αἰγύπτῳ δεηθέντι τὸ εἷμα. ἀνα-
βὰς δὲ ἐς τὰ Σοῦσα, ἵζετο ἐς τὰ πρόθυρα [e]τῶν βασιλέος
4 οἰκίων, καὶ ἔφη Δαρείου εὐεργέτης εἶναι. [f]ἀγγέλλει
ταῦτα ἀκούσας ὁ πυλουρὸς τῷ βασιλέϊ. ὁ δὲ, θωυμάσας
5 λέγει [g]πρὸς αὐτόν· "Καὶ τίς ἐστι Ἑλλήνων εὐεργέτης, 270
"[h]ᾧ ἐγὼ προαιδεῦμαι, νεωστὶ μὲν τὴν ἀρχὴν ἔχων;
"ἀναβέβηκε [i]δ' ἤ τις ἢ οὐδείς κω παρ' ἡμέας αὐτῶν.
6 "ἔχω δὲ [k]χρέος εἰπεῖν οὐδὲν ἀνδρὸς Ἕλληνος. ὅμως δὲ
"αὐτὸν παράγετε ἔσω, ἵνα εἰδέω τί θέλων λέγει ταῦτα."
7 [l]Παρῆγε ὁ πυλουρὸς τὸν Συλοσῶντα· στάντα δὲ ἐς μέσον
[m]εἰρώτευν οἱ ἑρμηνέες τίς τε εἴη, καὶ τί ποιήσας, εὐεργέ-
8 της φησὶ εἶναι βασιλέος. εἶπε ὦν ὁ Συλοσῶν πάντα τὰ
περὶ τὴν χλανίδα γενόμενα, καὶ ὡς αὐτὸς εἴη κεῖνος ὁ
9 δούς. ἀμείβεται πρὸς ταῦτα Δαρεῖος· "Ὦ γενναιότατε
"ἀνδρῶν, σὺ κεῖνος εἶ, ὃς ἐμοὶ [n]οὐδεμίαν ἔχοντί κω δύνα-

Impetrat a Dario rege, ut ipsi vindicetur imperium Sami.

140.

[a] ὁ μὲν ὦν edd. vett.

[b] τοῦτό οἱ F.f.

[c] Sic S.V. et forte Paris. εὐηθείην F. al.

[d] ὡς τοῦτον M.K.P.F.f. περιελθεῖν ὡς vel πρός τινα non dici monet Valckenærius, conferens nott. ad I. 120. II. 135. Mox ἐν Αἰγύπτῳ ἔδωκε S.

[e] τῶν τοῦ βασιλῆος f. τῶν βασιλέως F. τῶν βασιλῆος S. vulg.

[f] Sic M.S.P.K.V.F.f. ἀναγγέλλει b.d. Ald. Mox ὁ πυλωρὸς ἀκούσας S.

[g] Sic S.V.P.K.F. πρὸς ἑωυτὸν A d. M. Wessel. Hoc e scholio natum videtur Schweighæusero, conferenti II. 162. III. 52.

[h] Sic S.V.P.K.F. Paris. ὃν Ald. M. προσδεῦμαι K. pro προαιδ. cf. Wesseling. ad I. 61.

[i] Sic M.K.P. δέ τις S.V. Ald. a.c.d. δή τις F.b.

[k] χρέος εἰπεῖν M.P.K.F. χ. ὡς εἰπεῖν Ald. V.A.B.f. χρέος οὐδὲν ὡς εἰπεῖν S.

[l] παράγαγε Paris. apud Wessel.

[m] Sic P. εἰρώτων K.V.S.f. ἠρώτευν Ald. M.F. ἐς ante μέσον om. S. Mox vulgo βασιλῆος. Tum ἐκεῖνος S. et deinde ὁ Δαρεῖος.

[n] οὐδεμίην] οὐδεμίαν F. f. S. ἐμοὶ om. Ald.

“ μιν ἔδωκας, εἰ καὶ σμικρά; ἀλλ' ὦν ἴση γε [o] ἡ χάρις 10 “ ὁμοίως ὡς εἰ νῦν κοθέν τι μέγα λάβοιμι. ἀνθ' ὧν τοι “ χρυσὸν καὶ ἄργυρον [p] ἄπλετον δίδωμι, ὡς μή κοτέ τοι “ [q] μεταμελήσει Δαρεῖον τὸν Ὑστάσπεος εὖ ποιήσαντι.”
11 Λέγει πρὸς ταῦτα ὁ Συλοσῶν· “ Ἐμοὶ μήτε χρυσὸν, ὦ “ βασιλεῦ, μήτε ἄργυρον δίδου, ἀλλ' ἀνασωσάμενός μοι [r] δὸς τὴν πατρίδα Σάμον· τὴν νῦν, ἀδελφεοῦ τοῦ ἐμοῦ “ Πολυκράτεος ἀποθανόντος ὑπὸ Ὀροίτεω, ἔχει δοῦλος “ ἡμέτερος· [s] ταύτην μοι δὸς ἄνευ τε φόνου καὶ ἐξανδρα- “ ποδίσιος.”

141 Negotium hoc Otani datum.

Ταῦτα ἀκούσας Δαρεῖος, [a] ἀπέστελλε στρατιήν τε καὶ στρατηγὸν Ὀτάνεα, [b] ἀνδρῶν τῶν ἑπτὰ γενόμενον· ἐντειλάμενος, ὅσων ἐδεήθη ὁ Συλοσῶν, ταῦτά οἱ 2 ποιέειν ἐπιτελέα. καταβὰς δὲ ἐπὶ τὴν θάλασσαν ὁ Ὀτάνης, ἔστελλε τὴν στρατιήν.

142 Procurator Polycratis Mæandrius post ejus interitum liberaturus patriam, deterretur civium iniquitate.

Τῆς δὲ Σάμου [a] Μαιάνδριος ὁ Μαιανδρίου εἶχε τὸ κράτος, [b] ἐπιτροπαίην παρὰ Πολυκράτεος λαβὼν τὴν ἀρχήν· τῷ δικαιοτάτῳ ἀνδρῶν βουλομένῳ γενέσθαι, οὐκ ἐξεγένετο. 2 Ἐπειδὴ γάρ οἱ ἐξαγγέλθη ὁ Πολυκράτεος θάνατος, ἐποίεε τοιάδε. πρῶτα μὲν, Διὸς Ἐλευθερίου βωμὸν ἱδρύσατο, καὶ τέμενος περὶ αὐτὸν οὔρισε [c] τοῦτο, τὸ νῦν ἐν τῷ [d] προαστηΐῳ ἐστί. 3 μετὰ δὲ, ὥς [e] οἱ ἐπεποίητο, ἐκκλησίην συναγείρας πάντων τῶν ἀστῶν, [f] ἔλεξε τάδε· [g] “ Ἐμοὶ, ὡς

[o] ἡ χάρις ἢ νῦν S. cett. omissis.
[p] ἄπλετον om. f.
[q] Sic a.c. καταμελήσει F. μεταμελήσῃ edd. μεταμελήσοι f. μεταμέλῃ σοι d.
[r] δὸς om. S.V.f. et omitti absque injuria posse docent Wesseling. et Schweighæuser. Mox S.V. om. τοῦ ante ἐμοῦ.
[s] ταύτην—ἐξανδραποδόσιος om. S.
[b] ἄνδρα Steph. marg.

141.

[a] Sic P.S.V. ἀπέστελε F. ἀπέστειλε al.

142.

[a] Μαίανδρος F. Ald. cf. 123. Mox ὁ om. a. S.
[b] Sic V.S.c. cf. IV. 147. ἐπιτροπεύειν Ald. F. a. b. ἐπιτροπέειν M.P.
[c] τοῦτο om. S.
[d] προαστείῳ F.S.
[e] οἱ om. F.
[f] ἔλεγε S.V.
[g] ὁμοίως ἴστε Ald.

“ ἴστε καὶ ὑμεῖς, σκῆπτρον καὶ δύναμις πᾶσα ἡ Πολυ-
“ κράτεος ἐπιτέτραπται, καί μοι παρέχει νῦν ὑμέων ἄρ-
“ χειν· [h] ἐγὼ δὲ, τὰ τῷ πέλας ἐπιπλήσσω, αὐτὸς κατὰ
4 “ δύναμιν οὐ ποιήσω. οὔτε γάρ μοι Πολυκράτης [i] ἤρεσκε
“ δεσπόζων ἀνδρῶν ὁμοίων ἑωυτῷ, οὔτε ἄλλος ὅστις τοι-
“ αῦτα ποιέει. Πολυκράτης μέν νυν ἐξέπλησε μοῖραν τὴν
“ ἑωυτοῦ· ἐγὼ δὲ ἐς μέσον τὴν ἀρχὴν τιθεὶς, ἰσονομίην
5 “ ὑμῖν προαγορεύω. Τοσάδε μέντοι δικαιῶ γέρεα ἐμε-
“ ωυτῷ [k] γενέσθαι· ἐκ μέν γε τῶν Πολυκράτεος χρημά- 271
“ των [l] ἐξαίρετα ἓξ τάλαντά μοι γενέσθαι· [m] ἱρωσύνην
“ δὲ πρὸς τούτοισι αἱρεῦμαι αὐτῷ τ' ἐμοὶ, καὶ τοῖσι ἀπ'
“ ἐμεῦ αἰεὶ γινομένοισι, τοῦ Διὸς τοῦ Ἐλευθερίου· τῷ αὐ-
“ τός τε ἱρὸν ἱδρυσάμην, καὶ τὴν ἐλευθερίην ὑμῖν περιτί-
6 “ θημι.” Ὁ μὲν δὴ ταῦτα τοῖσι Σαμίοισι [n] ἐπαγγέλ-
λετο· [o] τῶν δέ τις ἐξαναστὰς εἶπε· “ Ἀλλ' οὐδ' ἄξιος
“ [p] εἶ σύ γε ἡμέων ἄρχειν, γεγονώς τε [q] κακὸς καὶ ἐὼν
“ ὄλεθρος· ἀλλὰ μᾶλλον ὅκως [r] λόγον δώσεις τῶν με-
143 “ τεχείρισας χρημάτων.” Ταῦτα εἶπε, ἐὼν ἐν τοῖσι
ἀστοῖσι δόκιμος, τῷ οὔνομα ἦν [a] Τελέσαρχος. Μαιάν-
δριος δὲ νόῳ λαβὼν ὡς εἰ μετήσει τὴν ἀρχὴν, ἄλλος τις
ἀντ' αὐτοῦ τύραννος καταστήσεται, [b] οὐδ' ἔτι ἐν νόῳ εἶχε
2 μετιέναι αὐτήν· ἀλλ' ὡς ἀνεχώρησε ἐς τὴν ἀκρόπολιν,
μεταπεμπόμενος ἕνα ἕκαστον, ὡς δὴ λόγον τῶν χρημά-

Conjicit adversarios in vincula: ipso in morbum implicito, Lycaretus frater ejus vinctos interimit.

[h] ἐγώ τ' αὐτῷ S.V.
[i] ἤρκεσε F. Mox ὃς S. pro ὅστις. Dedi paulo post μοῖραν ex S. pro μοίρην.
[k] γεγενῆσθαι Ald. b.d.
[l] ἐξαίρετα om. S.
[m] Sic Reiz. e monitu Valckenærii, et Wesseling. cf. IV. 161. ἱεροσύνην edd. ἱερωσύνην F. S. V. Dein τε S.V. pro δέ. Tum ἐμοί τε αὐτῷ S. qui infra τε om. post αὐτὸς, ubi καὶ αὐτὸς τὴν ἐ.
[n] ἐπαγγέλλετο P. ἐπηγγέλλετο V. S. ἐπαγγέλετο vulg. ἐπηγγέλετο F.
[o] Sic V.S.F. Paris. τῷ δὲ al.
[p] εἷς σύ γε Schæfer.
[q] κακῶς F.
[r] Citat Eustath. Od. ά. p. 1429, 26=72, 31.

143.
[a] Sic M.S.K.P.F.a.c. Τελεσέαρχος d. Ald.
[b] Sic S. οὐ δή τι vulg.

των δώσων, συνέλαβέ σφεας καὶ κατέδησε. οἱ μὲν δὴ
ἐδεδέατο· Μαιάνδριον δὲ μετὰ ταῦτα κατέλαβε νοῦσος.
3 ἐλπίζων δέ μιν ἀποθανέεσθαι ὁ ἀδελφεὸς, τῷ οὔνομα [c] ἐὴν
[d] Λυκάρητος, ἵνα εὐπετεστέρως κατάσχῃ τὰ ἐν τῇ Σάμῳ
πρήγματα, κατακτείνει τοὺς δεσμώτας πάντας. οὐ γὰρ
δὴ, ὡς [e] οἴκασι, ἐβουλέατο [f] εἶναι ἐλεύθεροι.

144 Adsunt Persæ: Mæandrius abitum spondet.

Ἐπειδὴ ὦν ἀπίκοντο ἐς τὴν Σάμον οἱ Πέρσαι κατά-
γοντες Συλοσῶντα, [a] οὔ τε τίς σφι χεῖρας [b] ἀνταείρεται,
ὑπόσπονδοί τε ἔφασαν εἶναι [c] ἑτοῖμοι οἱ τοῦ Μαιανδρίου
[d] στασιῶται, καὶ αὐτὸς Μαιάνδριος, ἐκχωρῆσαι ἐκ τῆς
2 νήσου. καταινέσαντος δ' ἐπὶ τούτοισι [e] Ὀτάνεω καὶ σπει-
σαμένου, τῶν Περσέων οἱ πλείστου ἄξιοι θρόνους θέμενοι,
κατεναντίον τῆς ἀκροπόλιος ἐκατέατο.

145 Charilaus quid Mæandrio fratri exprobrarit, et quid ab eo petierit.

Μαιανδρίῳ δὲ τῷ
τυράννῳ ἦν ἀδελφεὸς ὑπομαργότερος, τῷ οὔνομα ἦν [a] Χα-
ρίλεως· οὗτος ὅ τι δὴ ἐξαμαρτὼν, ἐν [b] γοργύρῃ ἐδέδετο·
καὶ δὴ τότε ἐπακούσας τε τὰ πρησσόμενα, καὶ διακύ-
ψας διὰ τῆς γοργύρης, ὡς εἶδε τοὺς Πέρσας εἰρηναίως
κατημένους, ἐβόα τε καὶ ἔφη λέγων, Μαιανδρίῳ θέλειν
2 ἐλθεῖν ἐς λόγους. ἐπακούσας δὲ ὁ Μαιάνδριος, λύσαντας
αὐτὸν ἐκέλευε ἄγειν παρ' ἑωυτόν. ὡς δὲ ἄχθη τάχιστα,
λοιδορέων τε καὶ κακίζων μιν, ἀνέπειθε ἐπιθέσθαι τοῖσι
3 Πέρσῃσι, λέγων τοιάδε· "Ἐμὲ μὲν, ὦ κάκιστε ἀνδρῶν,
" ἐόντα σεωυτοῦ ἀδελφεὸν, καὶ ἀδικήσαντα οὐδὲν ἄξιον

[c] ἦν F.a.S.
[d] Λυκάρνητος K. Mox δεσμῶτας (sic) S. absque πάντας.
[e] οἴκασι S.V.P.K.F. Paris. ἐοίκασι Ald. M.
[f] εἶναι om. F.

144.

[a] Sic P.a.b. οὔ τέ τι σφι F. et vulg. αἰεί τε τις χεῖρα σφίσιν S.V.
[b] ἀνατέιρετο (sic) S.V.
[c] ἑτοῖμοι om. S.V.a.
[d] στρατιῶται P.F.d. Minimi refert, utrum στασιῶται an στρατιῶται probentur: erant omnes ejusdem factionis, Mæandrii ἐπίκουροι c. 146. Wess. Mox ἐκχωρήσας Ald.
[e] Ὀτάνεος S.P.K.F.

145.

[a] Χάριλλος V. Χαρίληος S. et sic infra bis.
[b] Hinc Harpocratio et Suidas in voc. Mox τότε om. S.

“ δεσμοῦ, [c] δήσας γοργύρης ἠξίωσας· ὁρέων δὲ τοὺς Πέρ- 272
“ σας ἐκβάλλοντάς τε σε καὶ ἄνοικον [d] ποιεῦντας, οὐ
“ τολμᾷς τίσασθαι, οὕτω δή τι ἐόντας εὐπετέας χειρω-
4 “ θῆναι; Ἀλλ', [e] εἴ τι σύ σφεας [f] καταρρώδηκας, ἐμοὶ
“ δὸς τοὺς ἐπικούρους, καί σφεας ἐγὼ τιμωρήσομαι τῆς
“ ἐνθάδε ἀπίξιος· αὐτὸν [g] δέ σε ἐκπέμψαι ἐκ τῆς νήσου
146 “ ἑτοῖμός εἰμι.” [a] Ταῦτα ἔλεξε ὁ Χαρίλεως. [b] Μαιάν-
δριος δὲ ὑπέλαβε τὸν λόγον, ὡς μὲν ἐγὼ δοκέω, οὐκ ἐς τοῦτο ἀφροσύνης ἀπικόμενος, ὡς δόξαι τὴν ἑωυτοῦ δύναμιν περιέσεσθαι τῆς [c] βασιλέος, ἀλλὰ φθονήσας μᾶλλον Συλοσῶντι, εἰ ἀπονητὶ ἔμελλε [d] ἀπολάμψεσθαι ἀκέραιον
2 τὴν πόλιν. ἐρεθίσας ὦν τοὺς Πέρσας, [e] ἔθελε [f] ὡς ἀσθενέστατα ποιῆσαι τὰ Σάμια πρήγματα, καὶ οὕτω παραδιδόναι· εὖ ἐξεπιστάμενος, ὡς παθόντες οἱ Πέρσαι [g] κακῶς, [h] προσεμπικρανέεσθαι ἔμελλον τοῖσι Σαμίοισι· εἰδώς τε ἑωυτῷ ἀσφαλέα ἔκδυσιν ἐοῦσαν [i] ἐκ τῆς νήσου τότε, ἐπεὰν αὐτὸς βούληται· ἐπεποίητο γάρ οἱ κρυπτὴ διῶρυξ, ἐκ τῆς
3 ἀκροπόλιος φέρουσα ἐπὶ θάλασσαν. Αὐτὸς μὲν δὴ ὁ Μαιάνδριος ἐκπλέει ἐκ τῆς Σάμου· τοὺς δὲ ἐπικούρους πάντας ὁπλίσας ὁ Χαρίλεως, καὶ ἀναπετάσας τὰς πύλας, ἐξῆκε ἐπὶ τοὺς Πέρσας, οὔτε προσδεκομένους τοιοῦτο
4 οὐδὲν, δοκέοντάς τε δὴ πάντα συμβεβάναι. ἐμπεσόντες δὲ οἱ ἐπίκουροι, τῶν Περσέων τοὺς [k] διφροφορευμένους τε

Mæandrius invidia Sylosontis probat Charilai consilium: ipse clam e Samo enavigat: Charilai subitus impetus ex arce in Persas.

[c] Sic M. P. K. F. δῆσαι γοργύρῃ S.V. δῆσαι Ald. A.
[d] Sic S. V. ποιέοντας F.a. et vulgo.
[e] εἴ τοι F.a.b.
[f] καταρρώδησας F.
[g] Sic S.V.F.a.c.d. τέ σε vulgo.

146.

[a] Sic S.V. Vulgo ταῦτα δὲ ἔ.
[b] Cf. Thomas M. in Ὑπολαμβάνω.
[c] βασιλῆος S. βασιλέως F. βασιλέος vulgo.
[d] ἀπολάμψεσθαι S.M.P.K. Paris. ἀπολάμψεσθε F. ἀπολάμψασθαι ceteri.
[e] ἤθελεν F.S.
[f] ἐς ἀσθεν. S.V.
[g] Sic S.V.A.B. Ald. κακῶς om. M.P.K.F.
[h] πάρος ἐμπ. S.V. πάρος ex πρὸς genitum monuit Wesselingius.
[i] ἐκ τῆς νήσου om. d.
[k] διφροφορουμένους Suidas h. l. spectans in Διφροφόρος.

5 καὶ λόγου πλείστου ἐόντας ἔκτεινον. καὶ οὗτοι μὲν ταῦτα
ἐποίευν, ἡ δὲ ἄλλη στρατιὴ ἡ Περσικὴ ἐπεβοήθεε· [1] πιε-
ζεύμενοι δὲ οἱ ἐπίκουροι, ὀπίσω κατειλήθησαν ἐς τὴν ἀκρό-
147 πολιν. Ὀτάνης δὲ ὁ στρατηγὸς, ἰδὼν πάθος μέγα Πέρ-
σας πεπονθότας, ἐντολάς τε, τὰς [a] Δαρεῖός οἱ ἀποστέλ-
λων ἐνετέλλετο, μήτε κτείνειν μηδένα Σαμίων, μήτε ἀν-
δραποδίζεσθαι, ἀπαθέα τε κακῶν ἀποδοῦναι τὴν νῆσον
Συλοσῶντι· τουτέων μὲν τῶν ἐντολέων μεμνημένος ἐπελαν-
θάνετο· ὁ δὲ παρήγγειλε τῇ στρατιῇ, πάντα τὸν ἂν λά-
2 βωσι, καὶ ἄνδρα καὶ παῖδα, ὁμοίως [b] κτείνειν. ἐνθαῦτα
τῆς στρατιῆς οἱ μὲν τὴν ἀκρόπολιν ἐπολιόρκεον, οἱ δὲ
ἔκτεινον πάντα τὸν ἐμποδὼν γινόμενον, ὁμοίως ἔν τε ἱρῷ
148 καὶ ἔξω ἱροῦ. Μαιάνδριος δ' ἀποδρὰς ἐκ τῆς Σάμου,
ἐκπλέει ἐς Λακεδαίμονα· ἀπικόμενος δ' ἐς αὐτὴν, καὶ
2 [a] ἀνενεικάμενος τὰ ἔχων ἐξεχώρησε, ἐποίεε τοιάδε. ὅκως
ποτήρια ἀργύρεά τε καὶ χρύσεα προθεῖτο, οἱ μὲν θεράπον-
τες αὐτοῦ ἐξέσμων αὐτά· [b] ὁ δὲ ἂν τὸν χρόνον τοῦτον τῷ
Κλεομένεϊ τῷ Ἀναξανδρίδεω ἐν λόγοισι ἐὼν, βασιλεύοντι
3 Σπάρτης, προῆγέ μιν ἐς τὰ [c] οἰκία. ὅκως δὲ [d] ἴδοιτο
Κλεομένης τὰ ποτήρια, [e] ἀπεθώμαζέ τε καὶ ἐξεπλήσσετο· 273
[f] ὁ δὲ ἂν ἐκέλευε [g] αὐτὸν ἀποφέρεσθαι αὐτῶν [h] ὅσα βού-
4 λοιτο. τοῦτο καὶ δὶς καὶ τρὶς εἴπαντος Μαιανδρίου, ὁ

147 Otanes cædem Samiorum imperat, et arcem obsidet.

148 Mæandrium Spartam profugum, Cleomenis regis consilio, metuentis ab eo civium corruptelam, Ephori exigunt.

[1] Sic M.K.P.S. πιεζόμενοι F. a. alii.

247.

[a] Sic A. B. V. S. Ald. οἱ om. M.K.P.F. Wess. Mox τούτων S. male.

[b] κτενέειν Ald. κτείνειν S. F. d. et plerique alii.

148.

[a] ἐνενεικάμενος S.V. Mox τάδε S. pro τοιάδε.

[b] ὁ δ' ἀνὰ f. Mox τοῦτον τὸν χρόνον Κλεομ. S.

[c] Sic P.K.S.V.F. Paris. οἰκήϊα vulgo.

[d] ἴδοιτο ex h.l. Lexic. Seguier. p. 100, 18. Tum ὁ Κλεομ. S.

[e] ἀπεθώυμαζε A.B.V. ἐπεθώμαζε M.P.K. ἐπεθώυμαζε F. ἀπεθώμαζε S.

[f] ὃς δὲ P. K. F. b. d. Tum ἀνεκέλευε F.f. ὁ δὲ ὦν hic et supra Abreschius.

[g] Sic P.K.S.V.F.a. αὐτῶν om. f. αὐτέων ἀπ. αὐτὸν vulg.

[h] ὅκοσα f.

Κλεομένης δικαιότατος ἀνδρῶν γίνεται· [i] ὃς λαβεῖν μὲν
διδόμενα οὐκ ἐδικαίευ· μαθὼν δὲ ὡς ἄλλοισι [k] διδοὺς τῶν
ἀστῶν εὑρήσεται τιμωρίην, βὰς ἐπὶ τοὺς ἐφόρους, ἄμεινον
εἶναι ἔφη τῇ Σπάρτῃ, τὸν ξεῖνον τὸν Σάμιον ἀπαλλάσσε-
σθαι ἐκ τῆς Πελοποννήσου, ἵνα μὴ ἀναπείσῃ [l] ἢ αὐτὸν, ἢ
5 ἄλλον τινὰ Σπαρτιητέων, κακὸν γενέσθαι. οἱ δ' ὑπακού-
149 σαντες, [m] ἐξεκήρυξαν Μαιάνδριον. [a] Τὴν δὲ Σάμον σαγη-
νεύσαντες οἱ Πέρσαι, παρέδοσαν Συλοσῶντι, ἐρῆμον ἐοῦ-
σαν ἀνδρῶν. ὑστέρῳ μέντοι χρόνῳ καὶ [b] συγκατοίκισε αὐ-
τὴν ὁ στρατηγὸς Ὀτάνης, ἔκ τε ὄψιος ὀνείρου, καὶ νού-
σου ἥ μιν κατέλαβε νοσῆσαι τὰ αἰδοῖα.

Samus traditur Sylosonti, cultoribus ex- 274 inanita, sed post ab Otane frequentata.

150 Ἐπὶ δὲ Σάμον [a] στρατεύματος ναυτικοῦ οἰχομένου,
2 Βαβυλώνιοι ἀπέστησαν, [b] κάρτα εὖ παρεσκευασμένοι. ἐν
ὅσῳ γὰρ ὅ τε Μάγος ἦρχε, καὶ οἱ ἑπτὰ ἐπανέστησαν, ἐν
τούτῳ παντὶ τῷ χρόνῳ καὶ τῇ ταραχῇ ἐς τὴν πολιορκίην
[c] παρεσκευάδατο· καί κως ταῦτα ποιεῦντες ἐλάνθανον.
3 Ἐπεί τε δὲ ἐκ τοῦ ἐμφανέος ἀπέστησαν, ἐποίησαν τοιόνδε·
τὰς [d] μητέρας ἐξελόντες, γυναῖκα ἕκαστος [e] μίαν προσεξ-
αιρέετο, [f] τὴν ἐβούλετο, ἐκ τῶν ἑωυτοῦ [g] οἰκίων· τὰς δὲ
λοιπὰς ἁπάσας συναγαγόντες, ἀπέπνιξαν· τὴν δὲ μίαν
4 ἕκαστος σιτοποιὸν ἐξαιρέετο. ἀπέπνιξαν δὲ αὐτὰς, ἵνα

Babylonii rebus ad obsidionem tolerandam paratis deficiunt, et mulierum turbam strangulant.

[i] καὶ λ. S.V.

[k] διαδιδοῖ S. quem διαδιδοὺς voluisse opinatur Wesselingius.

[l] ἢ om. P.F.

[m] ἐξώθησαν Eton. ἀπέπεμπον S. qui om. Μαιάνδριον.

149.

[a] οἱ δὲ Πέρσαι παρέδοσαν Συλόσωντι Σάμον S. absque σαγηνεύσαντες.

[b] συγκατοίκησε S. Mox νόσου S.

150.

[a] τοῦ ναυτικοῦ στ. S.

[b] κάρτα om. S.V. Mox τὴν om. S. ante πολιορκίην.

[c] Sic F.a. probante Schweighæusero, et conferente V. 34. VIII. 218. παρεσκευάζοντο P.S.V. Schæfer. παρεσκευάσαντο Ald. et al.

[d] γυναῖκας a.

[e] μίαν S.F. et sic infra. προσεξερέετο S.

[f] Sic M.V.S.K.P.F. Paris. τὴν ἂν ἐ. vulgo.

[g] Sic P.K.V.S.F. Paris. Olim οἰκητῶν.

151 μή σφεων τὸν σῖτον [h] ἀναισιμώσωσι. Πυθόμενος δὲ ταῦτα ὁ Δαρεῖος, καὶ συλλέξας [a] ἅπασαν τὴν ἑωυτοῦ δύναμιν, ἐστρατεύετο ἐπ' αὐτούς. ἐπελάσας δὲ ἐπὶ τὴν Βαβυλῶνα,

Obsessi a Dario, eum irrident.

2 ἐπολιόρκεε φροντίζοντας οὐδὲν τῆς πολιορκίης. ἀναβαίνοντες γὰρ ἐπὶ τοὺς προμαχεῶνας τοῦ τείχεος οἱ Βαβυλώνιοι, κατωρχέοντο, καὶ κατέσκωπτον Δαρεῖον καὶ τὴν
3 στρατιὴν αὐτοῦ. καί τις αὐτῶν εἶπε τοῦτο τὸ ἔπος· "Τί "κάτησθε [b] ἐνθαῦτα, ὦ Πέρσαι, ἀλλ' οὐκ ἀπαλλάσ"σεσθε; τότε γὰρ αἱρήσετε ἡμέας, ἐπεὰν ἡμίονοι τέκωσι."
4 Τοῦτο εἶπε τῶν τις Βαβυλωνίων, οὐδαμᾶ [c] ἐλπίζων ἂν

152 ἡμίονον τεκεῖν. Ἑπτὰ δὲ μηνῶν καὶ ἐνιαυτοῦ διεληλυθότος ἤδη, ὁ Δαρεῖός τε [a] ἤσχαλλε, καὶ ἡ στρατιὴ πᾶσα, οὐ δυνατὴ ἐοῦσα [b] ἑλεῖν τοὺς Βαβυλωνίους· καί τοι πάντα σοφίσματα καὶ πάσας μηχανὰς ἐπεποιήκεε ἐς αὐτοὺς

Nihil Darius efficit per undeviginti menses.

2 Δαρεῖος. ἀλλ' οὐδ' ὣς ἐδύνατο ἑλεῖν σφέας, ἄλλοισί τε σοφίσμασι πειρησάμενος, καὶ δὴ καὶ τῷ Κῦρος εἷλέ
3 σφεας, καὶ τούτῳ ἐπειρήθη. ἀλλὰ γὰρ δεινῶς [c] ἦσαν ἐν φυλακῇσι οἱ Βαβυλώνιοι, οὐδέ σφεας οἷός τε ἦν ἑλεῖν.

153 Ἐνθαῦτα, εἰκοστῷ μηνὶ, Ζωπύρῳ τῷ Μεγαβύζου [a] τούτου, ὃς τῶν ἑπτὰ ἀνδρῶν ἐγένετο τῶν τὸν Μάγον κατελόντων, τούτῳ Μεγαβύζου παιδὶ Ζωπύρῳ ἐγένετο τέρας τόδε·
2 τῶν οἱ σιτοφόρων [b] ἡμιόνων μία ἔτεκε. ὡς δέ οἱ ἐξαγγέλθη, καὶ ὑπὸ ἀπιστίης αὐτὸς ὁ Ζώπυρος εἶδε τὸ βρέ- 275

Mense vicesimo prodigium Zopyro factum partu mulæ.

[h] ἀναισιμῶσι Suidas, et Eustath. Od. θ'. p. 1595, 10=306, extr.

151.

[a] πᾶσαν F.a.

[b] ὦ Πέρσαι ἐνθαῦτα S.P.K.

[c] Sic M.S.V.P.K.F.a. ἂν om. Ald. c.f. Supra τις τῶν S.

152.

[a] Sic P.V.S. ἤσχαλε F. et al.

[b] λαβεῖν P.

[c] ἔσαν] ἦσαν F.b.d.S. ἠσφαλισμένοι δεινῶς ἦσαν b. ἠσφ. ἦσαν δ. d.

153.

[a] Sic Ald. V.S.A.B. τοῦ ὃς M. τοῦ vel τούτου om. K.P.F.b. Mox τούτου τοῦ Μεγαβύζου S.

[b] ἡμιόνων μίη] Sic V. P. K. B. ἡμ. μία F.S. ἡμ. ἡ μίη Ald. M.

φος, ἀπείπας τοῖσι [c] δούλοισι μηδενὶ φράζειν τὸ γεγονὸς,
3 ἐβουλεύετο. καί οἱ πρὸς τὰ τοῦ Βαβυλωνίου ῥήματα, ὃς
κατ' ἀρχὰς ἔφησε, ἐπεάν περ ἡμίονοι τέκωσι, τότε τὸ τεῖ-
χος ἁλώσεσθαι, πρὸς ταύτην τὴν [d] φήμην Ζωπύρῳ ἐδόκεε
[e] ἁλώσιμος εἶναι ἤδη ἡ Βαβυλών· σὺν γὰρ θεῷ ἐκεῖνόν τε
154 εἰπεῖν, καὶ ἑωυτῷ τεκεῖν τὴν ἡμίονον. Ὡς δέ οἱ ἐδόκεε
μόρσιμον [a] εἶναι ἤδη τῇ Βαβυλῶνι ἁλίσκεσθαι, προσελθὼν
[b] Δαρείῳ ἀπεπυνθάνετο, εἰ περὶ πολλοῦ κάρτα ποιέεται
2 τὴν Βαβυλῶνα ἑλεῖν. πυθόμενος δὲ ὡς πολλοῦ τιμῷτο,
ἄλλο [c] ἐβουλεύετο, ὅκως αὐτός τε ἔσται ὁ ἑλὼν αὐτὴν,
καὶ ἑωυτοῦ τὸ ἔργον [d] ἔσται· κάρτα γὰρ ἐν τοῖσι Πέρσῃσι
3 αἱ [e] ἀγαθοεργίαι ἐς τὸ πρόσω μεγάθεος τιμῶνται. Ἄλλῳ
[f] μέν νυν οὐκ ἐφράζετο ἔργῳ [g] δυνατὸς εἶναί μιν [h] ὑποχει-
ρίην ποιῆσαι, εἰ δ' ἑωυτὸν λωβησάμενος αὐτομολήσειε ἐς
4 αὐτούς. Ἐνθαῦτα ἐν ἐλαφρῷ ποιησάμενος, ἑωυτὸν [i] λω-
βᾶται λώβην ἀνήκεστον· ἀποταμὼν γὰρ ἑωυτοῦ τὴν ῥῖνα
καὶ τὰ ὦτα, καὶ τὴν κόμην κακῶς περικείρας, καὶ μα-
155 στιγώσας, ἦλθε παρὰ Δαρεῖον. Δαρεῖος δὲ κάρτα βα-
ρέως [a] ἤνεικε, ἰδὼν ἄνδρα δοκιμώτατον λελωβημένον· [b] ἔκ
τε τοῦ θρόνου [c] ἀναπηδήσας, ἀνέβωσέ τε καὶ εἴρετό μιν,

Zopyrus doli causa transiturus ad Babylonios, corpus mutilat et deformat.

Exponit Dario modum rei gerendæ.

[c] Sic S. V. Vall. forte a. c. ἰδοῦσι F.d. edd. vett.
[d] φῆμιν S. ut I. 43.
[e] εἶναι ἁλώσ. S.P.K.F. Vulgo ἁλώσιμος εἶναι. Tum ἤδη addidi ex S.

154.

[a] ἤδη εἶναι τὴν βαβυλῶνα S.
[b] Δαρεῖον S.V. Δαρείου P.K.F. a.c.b.
[c] βουλεύεται V.S. qui mox cum P. om. τε post αὐτός.
[d] εἴη c. Mox τοῖσι om. S.
[e] Sic S.V. cf. infra 160. et I. 67. ἀγαθουργίαι vulgo.
[f] Sic S.V. μὲν γὰρ οὐκ Ald. μὲν οὐκ M.P.K.F.
[g] Sic M.K.P.F.a.c.S.V. δυνατὸν olim cum d. qui om. εἶναί μιν.
[h] Sic S.V.a.c. αὐτοχειρίῃ F.d. Ald. αὐτοχειρίην M. ποιῆσαι om. S.
[i] Citat Nonnus in Gregor. Stelit. II. p. 161. Mox τὴν ῥῖνα ἑωυτοῦ S.

155.

[a] Sic S.V. ἤνεγκεν F.b.d. et vulgo. Mox τὸν δοκιμώτατον S.
[b] καὶ ἔκ τε S.V.
[c] πηδήσας S.V. cum Eustath. Hom. p. 288, 15=218, 11. Mox post ἀνέβωσε F. om. τε. ἀνέβωσέ τι S.

ὅστις εἴη ὁ λωβησάμενος, καὶ ὅ τι ποιήσαντα. ὁ δὲ εἶπε·
2 "Οὐκ ἔστι οὗτος [d] ὡνὴρ ὅτι μὴ σὺ, τῷ ἔστι δύναμις τοσ-
"αύτη ἐμὲ δὴ ὧδε [e] διαθεῖναι· [f] οὔτε τις ἀλλοτρίων, ὦ
"βασιλεῦ, τάδε [g] ἔργασται, ἀλλ' αὐτὸς ἐγὼ ἐμεωυτόν· 276
"δεινόν τι ποιεύμενος Ἀσσυρίους Πέρσῃσι καταγελᾶν."
3 Ὁ δ' ἀμείβετο· "Ὦ σχετλιώτατε ἀνδρῶν, ἔργῳ τῷ αἰ-
"σχίστῳ οὔνομα τὸ κάλλιστον ἔθευ, φὰς διὰ τοὺς [h] πο-
"λιορκευμένους σεωυτὸν ἀνηκέστως διαθεῖναι· [i] τί δ', ὦ
"μάταιε, λελωβημένου σεῦ, θᾶσσον οἱ πολέμιοι παρα-
"στήσονται; [k] κῶς οὐκ [l] ἐξέπλωσας τῶν φρενῶν, σεωυ-
4 "τὸν διαφθείρας;" Ὁ δὲ εἶπε· "Εἰ μέν τοι ὑπερετίθεα
"τὰ ἔμελλον ποιήσειν, οὐκ ἄν [m] με περιεῖδες· νῦν δ' ἐπ'
"ἐμεωυτοῦ [n] βαλόμενος, ἔπρηξα. ἤδη ὦν, ἢν μὴ τῶν σῶν
5 "δεήσῃ, αἱρέομεν Βαβυλῶνα. Ἐγὼ μὲν γὰρ, ὡς ἔχω,
"αὐτομολήσω ἐς τὸ τεῖχος, καὶ φήσω πρὸς αὐτοὺς, ὡς
"ὑπὸ σεῦ τάδε [o] πέπονθα· καὶ δοκέω, πείσας σφέας
6 "ταῦτα ἔχειν οὕτω, τεύξεσθαι στρατιῆς. σὺ δὲ, ἀπ'
"ἧς ἂν ἡμέρης ἐγὼ ἐσέλθω ἐς τὸ τεῖχος, ἀπὸ ταύτης ἐς
"δεκάτην ἡμέρην, τῆς [p] σεωυτοῦ στρατιῆς, [q] τῆς οὐδεμία
"ἔσται ὤρη [r] ἀπολλυμένης, [s] ταύτης χιλίους τάξον κατὰ
"[t] τὰς Σεμιράμιος καλεομένας πύλας· μετὰ δὲ αὖτις,

[d] ἀνὴρ S.V. Eustath. Od. ζ'. p. 1559, 35=258, 28. ὡνὴρ Ald. F. qui ὡνὴρ I. 162. II. 51. Mox δὴ om. S.

[e] διαφθεῖναι S. qui mox cum vulg. consentit.

[f] οὐδὲ d.

[g] εἴργασται K.P.F. cf. 46. τάδε εἴργασται βασιλεῦ S.

[h] Sic Ald. V.S. Paris. πυλιορκεομένους M.K.P.F.

[i] Sic Ald. V.S.a. τί ὦ M.K.F. Wessel.

[k] Sic S.V. πῶς F. et vulgo.

[l] Sic vulgo cum Suida. ἐξάμβλωσας V.S.

[m] μοι περ. S.

[n] Sic F. βαλλόμενος vulgo cum S. qui ἔπραξα.

[o] Sic S. V. a. c. ἔπαθον vulgo. Mox εἰσέλθω S.

[p] ἑωυτοῦ S.V.

[q] τῇ οὐδεμίῃ Ald. τῆς μηδεμία S. V. τῆς οὐδεμία F. ὤρη ἔσται S.

[r] ἀπολυομένης c.

[s] Sic V.S.M.P.F. Paris. ταύτῃ vulgo.

[t] Σεμιράμιδος F. pr.

" ἀπὸ τῆς δεκάτης ἐς ἑβδόμην, ἄλλους μοι τάξον δισχιλί-
" ους κατὰ τὰς [v] Νινίων καλεομένας πύλας· ἀπὸ δὲ τῆς
" ἑβδόμης [w] διαλείπειν εἴκοσι ἡμέρας, καὶ ἔπειτα ἄλ-
" λους κάτισον, ἀγαγὼν κατὰ τὰς [x] Χαλδαίων καλεο-
7 " μένας πύλας, τετρακισχιλίους. ἐχόντων δὲ μήτε οἱ 277
" πρότεροι μηδὲν τῶν ἀμυνούντων, μήτε οὗτοι, πλὴν ἐγ-
8 " χειριδίων· τοῦτο δὲ ἐᾶν ἔχειν. μετὰ δὲ τὴν εἰκοστὴν
" ἡμέρην, ἰθέως τὴν μὲν ἄλλην στρατιὴν κελεύειν πέριξ
" προσβάλλειν πρὸς τὸ τεῖχος, Πέρσας δέ μοι τάξον
" κατά τε τὰς Βηλίδας καλεομένας [y] πύλας καὶ Κισ-
9 " σίας. ὡς γὰρ ἐγὼ δοκέω, ἐμέο μεγάλα ἔργα ἀπο-
" δεξαμένου, τά τε ἄλλα [z] ἐπιτράψονται ἐμοὶ Βαβυ-
" λώνιοι, καὶ δὴ καὶ τῶν πυλέων τὰς βαλανάγρας.
" τὸ δ' ἐνθεῦτεν, ἐμοί τε καὶ Πέρσῃσι μελήσει [a] τὰ δεῖ
" ποιέειν."

Transfugium Zopyri ad Babylonios.

156 Ταῦτα ἐντειλάμενος, ἤϊε [a] ἐπὶ τὰς πύλας· ἐπιστρεφό-
μενος, ὡς δὴ ἀληθέως αὐτόμολος. [b] ὁρέοντες δὲ ἀπὸ τῶν
πύργων οἱ κατὰ τοῦτο τεταγμένοι, κατέτρεχον κάτω·
καὶ ὀλίγον [c] τι παρακλίναντες τὴν ἑτέρην πύλην, [d] εἰρώ-
2 τεον τίς τε εἴη, καὶ ὅτευ δεόμενος ἥκοι. ὁ δέ σφι ἠγόρευε,
ὡς εἴη τε Ζώπυρος, καὶ αὐτομολέοι ἐς ἐκείνους. ἦγον δή
μιν οἱ [e] πυλουροὶ, ταῦτα ὡς ἤκουσαν, ἐπὶ τὰ κοινὰ τῶν

[v] Νινίας Suidæ edd. in Νῖνος, nam a mss. hæc glossa exulat. In F. χιλίους pro δισχιλίους.
[w] Sic S.V.c. διαλιπὼν vulgo.
[x] Sic S.V.P.K. Vall. F. Paris. Olim Χαλκιδέων. Mox πύλας om. F. πύλας καλεομένας S.
[y] Sic F.a.c. et vulg. καὶ Κισσίας πύλας S.V.K.b.d. πύλας om. P. Supra τε post κατὰ om. S.
[z] ἐπιτρέψονται S. V. Mox πυλῶν S.
[a] Recepit Schweigh. ex Wesselingii et Valckenærii emendatione. Vulgo τάδε. Solus a. apud Larcherum ταῦτα.

156.

[a] πρὸς τὰς S.V.
[b] Sic S.V.F. Paris. ὁρέωντες olim.
[c] τι om. S.V.
[d] Sic P. εἰρώτων S.V.K. ἠρώτεον Ald. M.F. Infra αὐτομολέει S.
[e] Sic F.c. cf. 77.118. πυλωροὶ vulgo.

3 Βαβυλωνίων. καταστὰς δὲ ἐπ' αὐτὰ, [f] κατοικτίζετο, φὰς
ὑπὸ Δαρείου πεπονθέναι τὰ [g] ἐπεπόνθεε ὑπ' ἑωυτοῦ· [h] πα-
θέειν δὲ ταῦτα διότι συμβουλεῦσαι οἱ ἀπανιστάναι τὴν
στρατιὴν, [i] ἐπεί τε οὐδεὶς πόρος ἐφαίνετο τῆς ἁλώσιος.
4 "Νῦν τε, ἔφη λέγων, ἐγὼ ὑμῖν, ὦ Βαβυλώνιοι, ἥκω μέ-
"γιστον ἀγαθὸν, Δαρείῳ δὲ [k] καὶ τῇ στρατιῇ [l] καὶ Πέρ-
5 "σῃσι μέγιστον κακόν. οὐ γὰρ δὴ, ἐμέ γε ὧδε λωβη-
"σάμενος, [m] καταπροΐξεται· ἐπίσταμαι δ' αὐτοῦ πάσας
"τὰς διεξόδους τῶν βουλευμάτων." Τοιαῦτα ἔλεγε. οἱ

157 Babylonii Zopyro dant milites, et rebus ter ab eo bene gestis, exercitus imperium et murorum custodiam.

δὲ Βαβυλώνιοι [a] ὁρέοντες ἄνδρα [b] τῶν ἐν Πέρσῃσι δοκιμώ-
τατον ῥινός τε καὶ ὤτων ἐστερημένον, μάστιξί τε καὶ
αἵματι ἀναπεφυρμένον, πάγχυ ἐλπίσαντες λέγειν μιν
ἀληθέα, καί σφι ἥκειν σύμμαχον, ἐπιτράπεσθαι ἑτοῖμοι
2 [c] ἦσαν τῶν ἐδέετο σφέων. ἐδέετο δὲ στρατιῆς. Ὁ δὲ,
ἐπεί τε [d] αὐτῶν τοῦτο παρέλαβε, ἐποίεε τά περ τῷ Δα-
ρείῳ συνεθήκατο. ἐξαγαγὼν γὰρ τῇ δεκάτῃ ἡμέρῃ τὴν
στρατιὴν τῶν Βαβυλωνίων, καὶ κυκλωσάμενος τοὺς χιλί-
ους, [e] τοὺς πρώτους ἐνετείλατο Δαρείῳ τάξαι, τούτους
3 κατεφόνευσε. μαθόντες δέ μιν οἱ Βαβυλώνιοι τοῖσι ἔπεσι
τὰ ἔργα παρεχόμενον ὁμοῖα, πάγχυ περιχαρέες ἐόντες,
4 πᾶν δὴ ἑτοῖμοι ἦσαν ὑπηρετέειν. ὁ δὲ, διαλιπὼν ἡμέρας
τὰς συγκειμένας, αὖτις ἐπιλεξάμενος τῶν Βαβυλωνίων
ἐξήγαγε καὶ κατεφόνευσε τῶν Δαρείου στρατιωτέων τοὺς
5 [f] δισχιλίους. ἰδόντες δὲ καὶ τοῦτο τὸ ἔργον οἱ Βαβυλώ-

[f] Suid. in voc.
[g] Sic S.V.M.P.K.F. Paris. πεπόνθεε olim.
[h] Sic S. Vulgo παθεῖν.
[i] Sic Ald. ἐπεί τε δὲ οὐ. M.P.F. Wessel. δὴ pro δὲ lubens accepturus erat Schweighæuserus.
[k] Sic S.F.a.d. τῇ om. alii.
[l] καὶ Πέρσῃσι om. S.V. Vall. a.
[m] Citat Schol. Aristoph. Eq. 433. et Suid. in voc.

157.
[a] Sic S.F. al. ὁρέωντες.
[b] τὸν ἐν Π. S.V.
[c] ἔσαν] ἦσαν F.S.
[d] αὐτέων] αὐτῶν F.S. ἐξ αὐτῶν requirebat Schweigh.
[e] τοὺς πρώτους τοὺς ἐνετ. S. qui mox om. τάξαι.
[f] χιλίους b.d. Mox πάντα S.

νιοι, πάντες Ζώπυρον εἶχον ἐν στόμασι αἰνέοντες. ὁ δὲ, 278
αὖτις διαλιπὼν τὰς [g] συγκειμένας ἡμέρας, ἐξήγαγε ἐς 6
τὸ προειρημένον· καὶ κυκλωσάμενος κατεφόνευσε τοὺς τε-
6 τρακισχιλίους. ὡς δὲ καὶ τοῦτο [h] κατέργαστο, πάντα
δὴ ἦν ἐν τοῖσι Βαβυλωνίοισι Ζώπυρος, καὶ [i] στρατάρχης
158 τε οὗτός σφι καὶ τειχοφύλαξ [k] ἀπεδέδεκτο. Προσβολὴν
δὲ Δαρείου κατὰ τὰ συγκείμενα ποιευμένου πέριξ τὸ
τεῖχος, ἐνθαῦτα δὴ πάντα τὸν δόλον ὁ Ζώπυρος ἐξέφαινε.
2 οἱ μὲν [a] γὰρ Βαβυλώνιοι ἀναβάντες ἐπὶ τὸ τεῖχος, ἠμύνοντο τὴν Δαρείου στρατιὴν προσβάλλουσαν· ὁ δὲ Ζώπυρος τάς τε Κισσίας [b] καὶ Βηλίδας καλεομένας πύλας
3 ἀναπετάσας, ἐσῆκε τοὺς Πέρσας ἐς τὸ τεῖχος. τῶν δὲ Βαβυλωνίων οἳ μὲν εἶδον τὸ ποιηθὲν, [c] οὗτοι ἔφευγον ἐς τοῦ Διὸς τοῦ Βήλου τὸ [d] ἱρόν· οἳ δὲ οὐκ εἶδον, ἔμενον ἐν τῇ ἑωυτοῦ [e] τάξι ἕκαστος, ἐς ὃ δὴ καὶ οὗτοι ἔμαθον προδεδομένοι.

Zopyrus Darium per duas portas recipit a. 516.

159 Βαβυλὼν μέν νυν οὕτω τὸ δεύτερον αἱρέθη. Δαρεῖος δὲ ἐπεί τε ἐκράτησε τῶν Βαβυλωνίων, τοῦτο μέν σφεων τὸ τεῖχος περιεῖλε, καὶ τὰς πύλας [a] πάσας [b] ἀπέσπασε· τὸ γὰρ πρότερον ἑλὼν Κῦρος τὴν Βαβυλῶνα, ἐποίησε [c] τούτων οὐδέτερον· τοῦτο δὲ, ὁ Δαρεῖος τῶν ἀνδρῶν τοὺς κορυφαίους [d] μάλιστα ἐς τρισχιλίους ἀνεσκολόπισε, τοῖσι
2 δὲ λοιποῖσι Βαβυλωνίοισι ἀπέδωκε τὴν πόλιν οἰκέειν. ὡς

Darius urbem captam nudat muris et portis: procerum iii millia cruci affigit: imperat vicinis gentibus L millia mulierum, nupturas Babyloniis.

[g] Sic S.V.P.F. Paris. ἐγκειμένας edd. vett.
[h] κατεργάσατο V.S.
[i] Sic Ald. S.V. et forte Paris. cf. VIII. 44. cui addit Wesseling. Æschyl. Athenæi I. p. 11. Philo Jud. c. Flacc. p. 981. Pindar. Isthm. V. 30. στρατιάρχης M.P.K.F.
[k] ἀπεδέκετο S.V. ἀπέδεκτο d.

158.

[a] Sic F.a.c.V.P. Alii γὰρ δὴ Βαβ. cum S.
[b] καὶ τὰς B. S.
[c] οὗτοι μὲν V.S.
[d] Sic Ald. mss. ἱερὸν edd. recent.
[e] Sic M.P.K. τάξει F.a.S. vulg.

159.

[a] πάσας om. d.
[b] ἀνέσπασε c.
[c] τουτέων] τούτων F.S.
[d] μάλιστα om. F. Mox τοῖς δὲ λοιποῖς Βαβυλωνίοις S.

δ' ἕξουσι γυναῖκας οἱ Βαβυλώνιοι, ἵνα σφι [e] γένεα [f] ὑπο-
γίνηται, τάδε Δαρεῖος προϊδὼν ἐποίησε· τὰς γὰρ ἑωυτῶν,
ὡς [g] καὶ κατ' ἀρχὰς δεδήλωται, ἀπέπνιξαν οἱ Βαβυ-
λώνιοι, τοῦ σίτου [h] προορέωντες· ἐπέταξε τοῖσι περιοίκοισι
ἔθνεσι [i] γυναῖκας ἐς Βαβυλῶνα κατιστάναι, [k] ὅσας δὴ
ἑκάστοισι ἐπιτάσσων, ὥστε πέντε [l] μυριάδων τὸ κεφα-
λαίωμα τῶν γυναικῶν συνῆλθε· ἐκ τουτέων δὲ τῶν γυ-
160 ναικῶν οἱ νῦν Βαβυλώνιοι γεγόνασι. Ζωπύρου δὲ οὐδεὶς
[a] ἀγαθοεργίην Περσέων [b] ὑπερεβάλετο παρὰ Δαρείῳ κριτῇ,
[c] οὔτε τῶν ὕστερον γενομένων, οὔτε τῶν πρότερον, ὅτι μὴ
Κῦρος [d] μοῦνος· τούτῳ γὰρ οὐδεὶς Περσέων ἠξίωσέ κω
2 ἑωυτὸν συμβαλέειν. Πολλάκις δὲ [e] Δαρεῖον λέγεται
γνώμην τήνδε ἀποδέξασθαι, ὡς βούλοιτο ἂν Ζώπυρον 279
εἶναι ἀπαθέα τῆς [f] ἀεικίης μᾶλλον, ἢ Βαβυλῶνάς οἱ
3 εἴκοσι πρὸς τῇ ἐούσῃ προσγενέσθαι. ἐτίμησε δέ μιν με-
γάλως· καὶ γὰρ δῶρά οἱ [g] ἀνὰ πᾶν ἔτος ἐδίδου ταῦτα
τὰ Πέρσῃσί ἐστι τιμιώτατα, καὶ τὴν Βαβυλῶνά οἱ ἔδωκε
ἀτελέα νέμεσθαι μέχρι τῆς ἐκείνου [h] ζόης· καὶ ἄλλα
4 πολλὰ [i] ἐπέδωκε. Ζωπύρου δὲ [k] τούτου γίνεται Μεγά-
βυζος, ὃς ἐν Αἰγύπτῳ ἀντία Ἀθηναίων καὶ τῶν συμμά-
χων ἐστρατήγησε· [l] Μεγαβύζου δὲ τούτου γίνεται Ζώπυ-
ρος, ὃς ἐς Ἀθήνας [m] αὐτομόλησε ἐκ Περσέων.

Zopyrus quanti a Dario factus: Babylonem, quoad vivit, propriam et immunem tenet: ejus filius Megabyzus a. 460 missus belli dux in Ægyptum; nepos Zopyrus transit ad Athenienses a. 440.

[e] γένη K.P.V.F.a.
[f] ὑπογένηται S.
[g] καὶ om. V.S.
[h] προορέοντες a. et Thomas M. in Προορῶ. προορῶντες S.
[i] γυναῖκα F.M.K.P. Mox κατεστάναι Ald.
[k] ὅσας δὴ om. F.M.P.
[l] μυριάδες S. probante Schweigh.

160.

[a] ἀγαθοεργείην F.
[b] ὑπερεβάλλετο V.
[c] οὐδὲ—οὐδὲ F.f.
[d] μόνος F.f.
[e] Δαρεῖον om. P.K.M.F.d. Δαρεῖον λέγεται om. f.
[f] ἀεικείης] αἰκίης S. ἀεικίης malebat Schweighæuser. cf. I. 115.
[g] ἀν' ἅπαν S. qui om. ταῦτα.
[h] ζώης F.
[i] Sic M.K.S.P.F. Paris. Al. ἀπέδ.
[k] τούτου om. K.
[l] τούτου δὲ τοῦ Μεγαβύζου S.
[m] Sic S.V. ηὐτομόλησε Wessel. et al.

ἹΣΤΟΡΙΩΝ ἩΡΟΔΟΤΟΥ Γ'.

ἩΡΟΔΟΤΟΥ

ἹΣΤΟΡΙΩΝ ΤΕΤΑΡΤΗ.

ΜΕΛΠΟΜΕΝΗ.

1 ΜΕΤΑ δὲ τὴν Βαβυλῶνος αἵρεσιν ἐγένετο ἐπὶ Σκύθας 280
2 [a] αὖ τοῦ Δαρείου ἔλασις. Ἀνθεύσης γὰρ τῆς Ἀσίης ἀν-
δράσι, καὶ χρημάτων μεγάλων συνιόντων, ἐπεθύμησε ὁ
Δαρεῖος τίσασθαι Σκύθας, ὅτι ἐκεῖνοι [b] πρότεροι, ἐσβα-
λόντες ἐς τὴν Μηδικὴν καὶ νικήσαντες μάχῃ τοὺς ἀντι-
3 ουμένους, [c] ὑπῆρξαν ἀδικίης. Τῆς γὰρ ἄνω Ἀσίης ἦρξαν,
ὡς καὶ πρότερόν μοι εἴρηται, Σκύθαι ἔτεα δυῶν δέοντα
4 τριήκοντα. [d] Κιμμερίους γὰρ ἐπιδιώκοντες ἐσέβαλον ἐς
τὴν Ἀσίην, καταπαύσαντες τῆς ἀρχῆς Μήδους· οὗτοι
5 γὰρ, πρὶν ἢ Σκύθας ἀπικέσθαι, ἦρχον τῆς Ἀσίης. Τοὺς
δὲ Σκύθας ἀποδημήσαντας ὀκτὼ καὶ εἴκοσι ἔτεα, [e] καὶ
διὰ χρόνου τοσούτου κατιόντας ἐς τὴν σφετέρην, ἐξεδέξατο
οὐκ ἐλάσσων πόνος τοῦ Μηδικοῦ· εὗρον γὰρ ἀντιουμένην
6 σφι στρατιὴν οὐκ ὀλίγην. αἱ γὰρ τῶν Σκυθέων γυναῖκες,
ὥς σφι οἱ ἄνδρες ἀπῆσαν χρόνον πολλὸν, [f] ἐφοίτεον παρὰ
2 τοὺς δούλους. [a] Τοὺς δὲ δούλους οἱ Σκύθαι πάντας τυ-

Asia florens opibus: Darius a. 514 Scythas ultum it: Scythæ Asiam tenuerunt ab a. 624 ad 596: redeuntibus in patriam obsistunt armati, quos absentium uxores e servis pepererant.

LIB. IV. 1.

[a] αὖ τοῦ] Ita Schweighæuserus. Vulgo αὐτοῦ, quasi Darius non perinde *ipse* exercitui ad Babylonem præfuisset. ἐπὶ Σκύθας ἐγένετο S.

[b] πρῶτον ἐμβαλόντες P. K. F. ἐμβαλόντες item a.c.

[c] Citat Suidas in voc. Mox ἔτη S. e ras.

[d] Cf. Schol. Homer. Od. λ'. 14.

[e] καὶ om. F.

[f] ἐφοίτεων F. ἐφοίτων S.

2.

[a] οὓς Σκύθαι τυφλοῦσι πάντας S. cf. Nonnus in Greg. Naz. p. 152. Mox εἵνεκα S.

Scythæ servos cur excæcent: quomodo equas mulgeant: e lacte in vasis ligneis conquassato, butyrum et hippace.

φλοῦσι, τοῦ γάλακτος εἵνεκεν τοῦ πίνουσι, ποιεῦντες ὧδε· ἐπεὰν [b] φυσητῆρας λάβωσι ὀστεΐνους αὐλοῖσι προσεμφερεστάτους, τούτους ἐσθέντες ἐς τῶν θηλέων ἵππων τὰ ἄρθρα, [c] φυσῶσι [d] τοῖσι στόμασι· ἄλλοι δὲ, ἄλλων [e] φυ- 28
2 σεόντων, [f] ἀμέλγουσι. φασὶ δὲ τοῦδε [g] εἵνεκα [h] τοῦτο ποιέειν· [i] τὰς φλέβας τε [k] πίμπλασθαι [l] φυσεωμένας
3 τῆς ἵππου, καὶ τὸ οὖθαρ κατίεσθαι. ἐπεὰν δὲ ἀμέλξωσι τὸ γάλα, ἐσχέαντες ἐς ξύλινα ἀγγήϊα κοῖλα, καὶ [m] περιστίξαντες [n] κατὰ τὰ ἀγγήϊα τοὺς τυφλοὺς, δονέουσι τὸ
4 γάλα. καὶ τὸ μὲν αὐτοῦ ἐπιστάμενον ἀπαρύσαντες, [o] ἡγεῦνται εἶναι τιμιώτερον· τὸ δ' ὑπιστάμενον, ἧσσον
5 τοῦ ἑτέρου. τούτων μὲν εἵνεκα ἅπαντα τὸν ἂν λάβωσι [p] οἱ Σκύθαι, ἐκτυφλοῦσι· οὐ γὰρ ἀρόται εἰσὶ, ἀλλὰ νομάδες.

Juventus e servis genita Scythas arcet:

3 Ἐκ [a] τούτων δὴ ὦν σφι τῶν δούλων καὶ τῶν γυναικῶν [b] ἐπετράφη νεότης· οἳ ἐπεί τε ἔμαθον τὴν σφετέρην γένεσιν, ἠντιοῦντο [c] αὐτοῖσι κατιοῦσι ἐκ τῶν Μήδων.
2 καὶ πρῶτα μὲν τὴν χώρην ἀπετάμοντο, τάφρον ὀρυξάμενοι εὐρέαν, κατατείνουσαν ἐκ τῶν [d] Ταυρικῶν [e] οὐρέων ἐς τὴν Μαιῶτιν λίμνην, ἥπερ ἐστὶ μεγίστη· μετὰ δὲ, [f] πειρεωμένοισι ἐσβάλλειν τοῖσι Σκύθῃσι [g] ἀντικατιζόμενοι ἐμά-

[b] Sic F.a. φυσσῆρας S. φυσσητῆρας vulgo.
[c] Sic F.a. Vulgo φυσσῶσι.
[d] τοῖσι στόμασι om. S.V.
[e] συφεόντων F. φυσσεόντων vulg. φυσσώντων S.
[f] ἀμέλγωσι M.
[g] ἕνεκα P.K.
[h] τόδε S.
[i] τοῦ τὰς φ. S.
[k] ἐμπίπλασθαι V.S.
[l] Sic F. φυσεομένας a. φυσσωμένας V.S. φυσσεωμένας vulgo.
[m] Sic M.P. περιστήξαντες Ald. K.F.b. περιστήσαντες V.S.a.c. Steph. et seqq. edd.
[n] κατὰ om. S.V.a.c.
[o] Sic M.P.K.F. ἡγέονται S.a. et vulgo. Mox ἠπιστάμενον S.
[p] οἱ om. P.K.F.

3.

[a] τουτέων] τούτων F. τουτέων retinet S.
[b] Sic V. Schæfer. ἐπεστράφη S. Vulgo ἐτράφη.
[c] Sic M.S.V.P.K.F. Paris. Olim τοῖσι.
[d] Spectat h. l. Eustath. Dionys. 163.
[e] ὀρέων S.V.
[f] πειρεομένοισι a. πειρωμένοισιν ἐσβαλεῖν S.
[g] Sic V. cf. V. 1. ἀντικατιζεύ-

3 χοντο. [h] γινομένης δὲ μάχης πολλάκις, καὶ οὐ δυνα-
μένων οὐδὲν πλέον ἔχειν τῶν Σκυθέων τῇ μάχῃ, εἷς [i] αὐ-
4 τῶν ἔλεξε τάδε· “ Οἷα ποιεῦμεν, ἄνδρες Σκύθαι; δού-
“ λοισι τοῖσι ἡμετέροισι μαχόμενοι, [k] αὐτοί τε ἐλάσσονες
“ κτεινόμενοι γινόμεθα, καὶ ἐκείνους κτείνοντες ἐλασσόνων
5 “ τὸ λοιπὸν ἄρξομεν. νῦν ὦν μοι δοκέει αἰχμὰς μὲν καὶ
“ τόξα μετεῖναι· [l] λαβόντα δὲ ἕκαστον τοῦ ἵππου τὴν
6 “ μάστιγα, ἰέναι ἆσσον αὐτῶν. μέχρι μὲν γὰρ [m] ὥρεον
“ ἡμέας ὅπλα ἔχοντας οἵδε, ἐνόμιζον ὁμοῖοί τε καὶ ἐξ
“ ὁμοίων ἡμῖν εἶναι· ἐπεὰν δὲ ἴδωνται μάστιγας ἀντὶ
“ ὅπλων ἔχοντας, μαθόντες ὥς εἰσι ἡμέτεροι δοῦλοι, 282
4 “ καὶ συγγνόντες τοῦτο, οὐκ [n] ὑπομενέουσι.” Ταῦτα
ἀκούσαντες οἱ Σκύθαι, ἐποίευν ἐπιτελέα. οἱ δ' ἐκπλα-
γέντες [a] τῷ γινομένῳ, τῆς μάχης τε ἐπελάθοντο, καὶ
2 ἔφευγον. Οὕτω οἱ Σκύθαι τῆς τε Ἀσίης ἦρξαν, καὶ [b] ἐξ-
ελασθέντες αὖτις ὑπὸ Μήδων, κατῆλθον τρόπῳ [c] τοιούτῳ
ἐς τὴν σφετέρην. [d] τῶν δὲ εἵνεκα ὁ Δαρεῖος τίσασθαι βου-
λόμενος, συνήγειρε ἐπ' αὐτοὺς στράτευμα.

fugatur denique flagellis.

5 Ὡς δὲ Σκύθαι λέγουσι, νεώτατον [a] ἁπάντων ἐθνέων
2 εἶναι τὸ σφέτερον· τοῦτο δὲ γενέσθαι ὧδε. ἄνδρα γενέσθαι
πρῶτον ἐν τῇ γῇ ταύτῃ, ἐούσῃ ἐρήμῳ, τῷ οὔνομα εἶναι
Ταργίταον· [b] τοῦ δὲ Ταργιτάου τούτου τοὺς [c] τοκέας λέ-

Scytharum de origine sua narratio: Targitaus, ejusque iii filii, Lipoxais, a quo Aucha-

μενοι Ald. Schæfer. ἀντικαθεζόμενοι S. ἀντικατιεύμενοι M.P.K.F.

[h] γενομένης f.S.

[i] αὐτέων f.

[k] Sic V.A.B. Ald. αὐτοί τε om. M.P.K.f. κτεινόμενοι om. f.K.P. F. κτεινόμενοι ἐλάσσονες γενόμεθα S.

[l] λαβόντας δὲ absque ἕκαστον S. V. Vall.

[m] ὥρεων F. ὥρων f.S. Mox ἔχοντας οἵδε, S. Vulgo ἔχοντας, οἱ δέ.

[n] ὑπομενοῦσι F.

4.

[a] Sic M.P.K.F.f. ἐπὶ τῷ γ. Ald. V.S.A.B. Mox οὕτως S.

[b] ἐξελαθέντες] ἐξελασθέντες S.M. F.a. al. cf. I. 168.

[c] Sic M.P.K.V. τοιῷδε F.a. Ald. τοιούτῳ τρόπῳ S.

[d] Sic F. Vulgo τῶνδε.

5.

[a] πάντων F.

[b] Ταργιτάου δὲ τούτου S. absque τοῦ.

[c] Sic V.S.P.K. γονέας M.F.a.b. c. Ald.

tæ; Arpoxais, a quo Catiari et Traspies; Colaxais, regni successor, a quo Paralatæ:

γουσι εἶναι, ἐμοὶ μὲν οὐ [d] πιστὰ λέγοντες, λέγουσι δ'
ὦν, Δία τε καὶ [e] Βορυσθένεος τοῦ ποταμοῦ θυγατέρα.
3 [f] γένεος μὲν τοιούτου δή τινος γενέσθαι τὸν Ταργίταον·
τούτου δὲ γενέσθαι παῖδας τρεῖς, [g] Λειπόξαϊν, καὶ Ἀρ-
4 πόξαϊν, καὶ νεώτατον Κολάξαϊν. Ἐπὶ τούτων [h] ἀρχόν-
των, ἐκ τοῦ οὐρανοῦ φερόμενα χρύσεα ποιήματα, ἄροτρόν
τε καὶ ζυγὸν καὶ σάγαριν καὶ φιάλην, πεσέειν [i] ἐς τὴν
5 Σκυθικήν. καὶ [k] τῶν ἰδόντα πρῶτον τὸν πρεσβύτατον,
[l] ἆσσον ἰέναι, βουλόμενον αὐτὰ λαβεῖν· τὸν δὲ χρυσὸν,
ἐπιόντος, καίεσθαι· [m] ἀπαλλαχθέντος δὲ τούτου, προσ-
6 ιέναι τὸν δεύτερον, καὶ τὸν αὖτις ταὐτὰ ποιέειν. τοὺς μὲν
δὴ καιόμενον τὸν χρυσὸν [n] ἀπώσασθαι· τρίτῳ δὲ τῷ
νεωτάτῳ ἐπελθόντι [o] κατασβῆναι, καί μιν ἐκεῖνον κο-
μίσαι ἐς ἑωυτοῦ· καὶ τοὺς πρεσβυτέρους ἀδελφεοὺς πρὸς
ταῦτα συγγνόντας, τὴν βασιληΐην πᾶσαν παραδοῦναι
τῷ νεωτάτῳ.

6

nomen omnibus populis commune, apud ipsos quidem,

Ἀπὸ μὲν δὴ [a] Λειποξάϊος γεγονέναι τούτους τῶν Σκυθέων, οἳ Αὐχάται γένος καλέονται· ἀπὸ δὲ τοῦ [b] μέσου Ἀρποξάϊος, οἳ Κατίαροί τε καὶ [c] Τράσπιες καλέονται· ἀπὸ δὲ τοῦ νεωτάτου [d] αὐτῶν τοὺς [e] βα-

[d] πιθανὰ V.S.

[e] Βαρυσθ. P. Vall.

[f] γενόμενος F. γένος S. qui mox παῖδας γενέσθαι.

[g] Νιτόξαϊν S.V. Vall. Λιπόξαϊν F.a.c.

[h] ἀρχόντων om. S.V. Vall. Mox σάγγαριν S.

[i] ἐς γῆν τὴν Σ. S.V. πεσεῖν item S.

[k] Sic S. τὸν al.

[l] ἰέναι ἆσσον αὐτῶν S.V. Mox αὐτὰ om. S.

[m] ἀπαλλαγέντες F.

[n] ἀπαλλάσσεσθαι S.V. Herodotum scripsisse καιομένου τοῦ χρυσοῦ ἀπαλλάσσεσθαι opinatur Valckenærius. Contra censet Schweighæuserus ἀπαλλάσσεσθαι e scholio natum, cui assentior.

[o] κατασβῆναι Ald. Vall. S.V. A.B. Eustath. Hom. p. 513, 11 =388, 24. καταστῆναι M.P.K. F.b.d.

6.

[a] Νιτοξάϊος Vall. S.V. Λιποξάϊος F.a.

[b] μέσου om. S.

[c] Τράπιοι S.V. Vall. Τράπιες K. F.b.d.

[d] αὐτέων] αὐτῶν F. αὐτέων retinet S.

[e] βασιλέας F. τοῦ βασιλῆος Reiz. et Schæfer. ex Fabri conjectura Valckenærio et Larchero commendata. βασιληΐους cum Wes-

σιλῆας, οἳ καλέονται Παραλάται· σύμπασι δὲ εἶναι
οὔνομα Σκολότους, [f] τοῦ βασιλέος [g] ἐπωνυμίην. Σκύθας
7 δὲ Ἕλληνες [h] οὐνόμασαν. Γεγονέναι μέν νυν σφεας [a] ὧδε
λέγουσι οἱ Σκύθαι· ἔτεα δέ σφι, ἐπεί τε γεγόνασι, τὰ
σύμπαντα λέγουσι εἶναι ἀπὸ τοῦ πρώτου βασιλῆος Ταρ-
γιτάου ἐς τὴν Δαρείου διάβασιν τὴν ἐπὶ σφέας, χιλίων
2 οὐ πλέω, ἀλλὰ τοσαῦτα. Τὸν δὲ [b] χρυσὸν τοῦτον τὸν
ἱρὸν φυλάσσουσι οἱ βασιλῆες [c] ἐς τὰ μάλιστα, καὶ θυ-
σίῃσι μεγάλῃσι ἱλασκόμενοι μετέρχονται ἀνὰ πᾶν ἔτος.
3 ὃς δ' ἂν ἔχων τὸν χρυσὸν τὸν ἱρὸν ἐν τῇ ὁρτῇ ὑπαίθριος
κατακοιμηθῇ, οὗτος λέγεται ὑπὸ Σκυθέων οὐ [d] διενιαυτί-
ζειν· δίδοσθαι δέ οἱ διὰ τοῦτο [e] ὅσα ἂν ἵππῳ ἐν ἡμέρῃ
4 μιῇ περιελάσῃ αὐτός. Τῆς δὲ χώρης ἐούσης μεγάλης,
τριφασίας τὰς βασιληΐας τοῖσι παισὶ τοῖσι ἑωυτοῦ κα-
ταστήσασθαι Κολάξαϊν· καὶ τουτέων [f] μίαν μεγίστην
5 ποιῆσαι, ἐν τῇ τὸν χρυσὸν φυλάσσεσθαι. Τὰ δὲ κατύ-
περθε πρὸς [g] βορῆν λέγουσι ἄνεμον τῶν ὑπεροίκων τῆς
χώρης, οὐκ οἷά τε εἶναι ἔτι προσωτέρω οὔτε ὁρᾶν, οὔτε
διεξιέναι, ὑπὸ πτερῶν κεχυμένων· πτερῶν γὰρ καὶ τὴν
γῆν καὶ τὸν ἠέρα εἶναι πλέον, καὶ ταῦτα εἶναι τὰ [h] ἀπο-
κληΐοντα τὴν ὄψιν.

Scolotorum; apud 283 Græcos autem, Scytharum.

A Targitao ad bellum Darii annos M numerant: aurum sacrum [c. 5.] a regibus custoditum et cultum: regni tres partes a Colaxai factæ: ultra Scythiam ad aquilonem omnia pennis oppleta. [c. 31.]

8 Σκύθαι μὲν ὧδε ὑπὲρ σφέων τε [a] αὐτῶν, καὶ τῆς χώρης τῆς κατύπερθε λέγουσι· Ἑλλήνων δὲ οἱ τὸν Πόντον

Græcorum Ponticorum narra-

selingio malebat Schweighæuser.

[f] τοῦ βασιλῆος] τοῦ om. a. βασιλέως F. τοὺς βασιλῆος S.

[g] ὁμωνυμίην K.P.F.d.

[h] ὠνόμασαν a.S.

7.

[a] Sic M.S.V.P.K.F. Paris. Olim οὕτω. Mox in βασιλῆος consentire videntur libri, et infra in βασιλῆες.

[b] χρόνον P.F. Mox τὸν ἱρὸν F.b.

[c] ἐς om. S.V.

[d] οὐδ' ἐνιαυτ. K. διεναυτ. S.

[e] ὡς ἂν F. Mox καταστήσεσθαι Ald.

[f] μίαν ποιῆσαι μεγίστην F. μίαν S. pro μίην. Mox κατύπερ τε Ald.

[g] Sic V.S. βορέην F.a. et al. Mox ἄνεμον λέγουσι S.

[h] ἀποκλείοντα S.

8.

[a] αὐτέων S.V. αὐτῶν alii.

tio de origine Scytharum: Herculem in ea loca, Geryone interemto, boves abegisse: tempestate orta, dormienti subductos equos:

2 [b] οἰκέοντες, ὧδε. Ἡρακλέα, ἐλαύνοντα τὰς [c] Γηρυόνεω
βοῦς, ἀπικέσθαι ἐς γῆν ταύτην ἐοῦσαν ἐρήμην, ἥν τινα νῦν
3 Σκύθαι νέμονται. [d] Γηρυόνεα δὲ οἰκέειν, ἔξω τοῦ Πόντου
[e] κατοικημένον, τὴν [f] οἱ Ἕλληνες λέγουσι Ἐρύθειαν νῆσον,
τὴν πρὸς [g] Γηδείροισι τοῖσι [h] ἔξω Ἡρακληΐων στηλέων ἐπὶ
4 τῷ Ὠκεανῷ. τὸν δὲ Ὠκεανὸν [i] λόγῳ μὲν λέγουσι ἀπὸ
ἡλίου ἀνατολέων ἀρξάμενον γῆν περὶ πᾶσαν ῥέειν, ἔργῳ
5 δὲ οὐκ ἀποδεικνῦσι. [k] ἐνθεῦτεν τὸν Ἡρακλέα [l] ἀπικέσθαι
6 ἐς τὴν νῦν [m] Σκυθίην χώρην καλεομένην. καταλαβεῖν γὰρ
αὐτὸν χειμῶνά τε καὶ [n] κρυμόν· ἐπειρυσάμενον δὲ τὴν
λεοντῆν, κατυπνῶσαι· τὰς δέ οἱ ἵππους τὰς [o] ἀπὸ τοῦ 284
ἅρματος νεμομένας ἐν τούτῳ τῷ [p] χρόνῳ, ἀφανισθῆναι
9 θείῃ τύχῃ. Ὡς δ᾽ ἐγερθῆναι τὸν Ἡρακλέα, [a] δίζησθαι.

delatum in Hylæam, ex Echidna procreasse Agathyrsum, Gelonum et Scytham:

[b] πάντα δὲ τὰ τῆς χώρης ἐπεξελθόντα, τέλος ἀπικέσθαι
2 ἐς τὴν Ὑλαίην [c] καλεομένην γῆν. ἐνθαῦτα δὲ αὐτὸν εὑρεῖν
ἐν ἄντρῳ [d] μιξοπάρθενόν [e] τινα Ἔχιδναν διφυέα· τῆς τὰ
μὲν ἄνω ἀπὸ τῶν γλουτέων, εἶναι γυναικός· τὰ δὲ ἔνερθεν,
3 ὄφιος. ἰδόντα δὲ καὶ θωυμάσαντα, ἐπείρεσθαί μιν εἴ κου
ἴδοι ἵππους πλανωμένας· τὴν δὲ φάναι, ἑωυτὴν ἔχειν,
καὶ οὐκ ἀποδώσειν ἐκείνῳ [f] πρὶν ἤ οἱ μιχθῆναι· τὸν δὲ

[b] οἰκέουσι S.V.
[c] Γηρυόναο βόας ἐπικέσθαι S.V.
[d] Γηρυόνην S.V.
[e] κατοικημένου b.d.
[f] Sic S.V. οἱ om. F. et al.
[g] Γείδειροισι F.a.
[h] Sic V.A.B. ἔξω ἐπὶ Ἡ. F. et vulgo. ἔξω Ἡρακλέων S. e ras.
[i] Cf. Eustath. Dionys. 41.
[k] ἔνθέν τε S. ἐνθένδε forte V. ἐνθαῦτα δὲ d.
[l] ὡς ἀπικ. S.d.
[m] Σκυθικὴν S. Schæfer. Mox τε post χειμῶνα om. S.V.
[n] κρυμμὸν S. Mox δὲ om. S.
[o] ὑπὸ τοῦ B.F.
[p] Sic M.S.P.K. Vall. d. pro v. l. Alii χώρῳ. Tum θείῃ τύχῃ ἀφανισθῆναι S.

9.

[a] Sic S.K.P.F. Paris. Vulgo δίζεσθαι.
[b] τὰ πάντα δὲ τῆς S.V. τὰ om. P.K.F.
[c] καλεομένην γῆν om. S.V.
[d] Citat Eustath. Dionys. 310. absque διφυέα.
[e] τινὰ om. V.S. Mox θωμάσαντα S.
[f] Sic Ald. A.B. πρὶν ἢ οἱ μιχθῇ S.V. πρίν οἱ μιχθῆναι M.P.K.F.

4 Ἡρακλέα μιχθῆναι ἐπὶ τῷ μισθῷ τούτῳ. κείνην τε [g] δὴ
[h] ὑπερβαλέσθαι τὴν ἀπόδοσιν τῶν ἵππων, βουλομένην ὡς
πλεῖστον χρόνον συνεῖναι τῷ Ἡρακλέϊ· καὶ τὸν, κομι-
5 σάμενον, ἐθέλειν ἀπαλλάσσεσθαι. τέλος δὲ, ἀποδιδοῦ-
σαν αὐτὴν εἰπεῖν· “ Ἵππους μὲν [i] δὴ ταύτας ἀπικομένας
“ ἐνθάδε, ἔσωσά τοι ἐγώ· [k] σῶστρά τε σὺ παρέσχες,
6 “ ἐγὼ γὰρ ἐκ σεῦ τρεῖς παῖδας ἔχω. τούτους, ἐπεὰν
“ γένωνται [l] τρόφιες, ὅ τι χρὴ ποιέειν, ἐξηγέο σύ· εἴτε
“ αὐτοῦ κατοικίζω, χώρης γὰρ τῆσδε ἔχω τὸ κράτος
7 “ αὐτὴ, εἴτε ἀποπέμπω παρὰ σέ.” Τὴν μὲν δὴ ταῦτα
ἐπειρωτᾶν· τὸν δὲ λέγουσι πρὸς ταῦτα εἰπεῖν· “ Ἐπεὰν
“ ἀνδρωθέντας ἴδηαι τοὺς παῖδας, τάδε [m] ποιεῦσα οὐκ
8 “ ἂν ἁμαρτάνοις. τὸν μὲν ἂν ὁρᾷς αὐτῶν τόδε [n] τὸ τόξον
“ ὧδε [o] διατεινόμενον, καὶ τῷ ζωστῆρι τῷδε [p] κατὰ τάδε
“ ζωννύμενον, τοῦτον μὲν τῆσδε τῆς χώρης οἰκήτορα [q] ποιεῦ·
“ ὃς δ᾽ ἂν τούτων τῶν ἔργων τῶν ἐντέλλομαι λίπηται,
9 “ ἔκπεμπε ἐκ τῆς χώρης. καὶ ταῦτα ποιεῦσα, αὐτή τε
10 “ [r] εὐφρανέαι, καὶ τὰ ἐντεταλμένα ποιήσεις.” Τὸν μὲν
δὴ εἰρύσαντα τῶν τόξων τὸ ἕτερον, δύο γὰρ δὴ φορέειν τέως
Ἡρακλέα, καὶ [a] τὸν ζωστῆρα [b] προδέξαντα, παραδοῦναι

Scytham et ejus posteros adeptos regnum esse: phia-

cf. 147. et 167. Tum τῷ om. ante μισθῷ S.

[g] δὴ om. S.V.

[h] ὑπερβάλλεσθαι P.F.a.c.

[i] δὴ om. S. Mox ἐνθαῦτα pro ἐνθάδε S.V.

[k] σῶστρα δὲ S.V. qui mox ἔχω γὰρ ἐκ σέο παῖδας τρεῖς.

[l] Huc spectat Eustath. Od. p. 1468=128, 17. τρώφιες S. et ποιεῖν.

[m] ποιέουσα F.S. In S. supra τοὺς παῖδας ἴδηαι. Mox vulgo αὐτέων, S. αὐτῶν.

[n] τὸ om. P.F.

[o] διατεινάμενον S.

[p] Sic S.V. Vall. καταζωννύμενον F.a.c.d. Ald. sed κατὰ τάδε ζ. a. in marg. Mox τοῦτον μὲν δὴ τῆς χ. S.

[q] ποίευ F. Mox libri τουτέων.

[r] εὐφράνεαι S.V.P.F. εὐφρανέαι correxit Schweighæuserus. cf. I. 180. εὐφρανέεαι vulgo. cf. IV. 163. 10.

[a] τῷ ζωστῆρι S. quam scripturam confert Porsonus Adv. p. 164. cum σκήπτρῳ προδεικνὺς Sophocl. Œd. T. 456. At hujus quidem diversa ratio est. Schw.

[b] Sic voluisse Wesselingium, I. 60. conferentem, non προσδέξαντα, notat Schweighæuserus.

las in balteis cur Scythæ ferant.

τὸ τόξον [c] τε καὶ τὸν ζωστῆρα, [d] ἔχοντα ἐπ' ἄκρης τῆς συμβολῆς φιάλην χρυσέην· [e] διδόντα δὲ, ἀπαλλάσ- 285
2 σεσθαι. τὴν δ', ἐπεί οἱ γενομένους τοὺς παῖδας ἀνδρωθῆναι, τοῦτο μέν σφι οὐνόματα [f] θέσθαι· τῷ μὲν, Ἀγάθυρσον, αὐτῶν· τῷ δ' ἑπομένῳ, Γελωνόν· Σκύθην δὲ, τῷ νεωτάτῳ· τοῦτο δὲ, τῆς [g] ἐπιστολῆς μεμνημένην αὐτὴν,
3 ποιῆσαι τὰ ἐντεταλμένα. καὶ [h] δὴ δύο μέν [i] οἱ τῶν [k] παίδων, τόν τε Ἀγάθυρσον καὶ τὸν Γελωνὸν, οὐκ οἵους τε γενομένους ἐξικέσθαι πρὸς τὸν προκείμενον ἄεθλον, οἴχεσθαι ἐκ τῆς χώρης, ἐκβληθέντας ὑπὸ τῆς γειναμένης· τὸν δὲ [l] νεώτατον αὐτῶν Σκύθην, ἐπιτελέσαντα, καταμεῖναι
4 ἐν τῇ χώρῃ. καὶ ἀπὸ μὲν Σκύθεω τοῦ Ἡρακλέος γενέσθαι τοὺς αἰεὶ [m] βασιλέας γινομένους Σκυθέων· ἀπὸ δὲ τῆς φιάλης, [n] ἔτι καὶ ἐς τόδε φιάλας ἐκ τῶν ζωστήρων
5 φορέειν Σκύθας· [o] τὸ δὴ μοῦνον [p] μηχανήσασθαι τὴν μητέρα [q] Σκύθῃ. ταῦτα δὲ Ἑλλήνων οἱ τὸν Πόντον οἰκέοντες λέγουσι.

11 Ἔστι δὲ καὶ [a] ἄλλος λόγος, ἔχων ὧδε, τῷ μάλιστα
2 λεγομένῳ αὐτὸς πρόσκειμαι. Σκύθας τοὺς νομάδας, οἰκέοντας ἐν τῇ Ἀσίῃ, πολέμῳ [b] πιεσθέντας ὑπὸ Μασσα-

Narratio alia cæterorum Græcorum et

προδείξαντα S.V. προσδείξαντα ceteri.

[c] τε om. F.

[d] φέροντα P. Mox συμβουλῆς S.

[e] δόντα S.V.

[f] θεῖναι S.V. Mox αὐτῶν pro αὐτέων ex S.

[g] Sic V.S.P.F. cf. VI. 50. Stanleius ad Æschyl. Prom. init. ἐπιτολῆς b. et vulgo.

[h] δὴ om. V.S.

[i] Sic V.S. Ald. B. οἱ om. M. P.K.F.

[k] παίδων τούτων Ἀγάθυρσον S.

[l] Sic M.S.V.K.P.F. Paris. Olim νεώτερον. Mox αὐτῶν F. pro αὐτέων, quod retinet S.

[m] βασιλῆας] βασιλέας F.

[n] Sic M.S.K.P.F. ἔτι δὲ καὶ b. et al.

[o] Sic S.V.A.B.P.K.M.F. Paris. τὸν δὴ Ald.

[p] Sic S.V.A.B. μηχανᾶσθαι F. d.M. edd. vett.

[q] Σκύθῃ V.A.B. σκύθη S. Σκύθην F.M. edd. vett.

11.

[a] ἄλλος S. V. P. K. F. Paris. Vulgo ἄτερος.

[b] Sic M.S.V.P.K.F. Paris. πιασθέντας alii.

γετέων, οἴχεσθαι διαβάντας ποταμὸν [c] Ἀράξεα [d] ἐπὶ γῆν
τὴν Κιμμερίην· τὴν γὰρ νῦν νέμονται Σκύθαι, αὕτη λέ-
3 γεται τὸ παλαιὸν εἶναι Κιμμερίων. τοὺς δὲ Κιμμερίους,
ἐπιόντων Σκυθέων, βουλεύεσθαι, ὡς στρατοῦ ἐπιόντος με-
γάλου· καὶ δὴ τὰς γνώμας σφέων κεχωρισμένας, ἐντό-
νους μὲν [e] ἀμφοτέρας, ἀμείνω δὲ τὴν τῶν βασιλέων· τὴν
μὲν γὰρ [f] δὴ τοῦ δήμου φέρειν γνώμην, ὡς ἀπαλλάσ-
σεσθαι πρῆγμα [g] εἴη, μηδὲ [h] πρὸς πολλοὺς δεόμενον κιν-
δυνεύειν· τὴν δὲ τῶν βασιλέων, διαμάχεσθαι περὶ τῆς
4 χώρης τοῖσι ἐπιοῦσι. οὔκων δὴ ἐθέλειν πείθεσθαι οὔτε
τοῖσι [i] βασιλεῦσι τὸν δῆμον, οὔτε τῷ δήμῳ τοὺς βασι-
5 λῆας. τοὺς μὲν δὴ ἀπαλλάσσεσθαι βουλεύεσθαι ἀμα-
χητὶ, τὴν χώρην [k] παραδόντας τοῖσι ἐπιοῦσι· τοῖσι δὲ
βασιλεῦσι δόξαι ἐν τῇ ἑωυτῶν [l] κέεσθαι ἀποθανόντας,
μηδὲ συμφεύγειν τῷ δήμῳ· λογισαμένους ὅσα τε ἀγαθὰ
πεπόνθασι, καὶ ὅσα φεύγοντας ἐκ τῆς πατρίδος κακὰ
6 ἐπίδοξα καταλαμβάνει. ὡς [m] δὲ δόξαι σφι ταῦτα, δια- 286
στάντας, καὶ ἀριθμὸν ἴσους γενομένους, μάχεσθαι πρὸς
ἀλλήλους· καὶ τοὺς μὲν, ἀποθανόντας πάντας ὑπ' ἑωυ-
τῶν, θάψαι τὸν δῆμον τῶν Κιμμερίων παρὰ ποταμὸν
7 Τύρην· καί σφεων ἔτι δῆλός ἐστι ὁ τάφος. θάψαντας
δὲ, οὕτω τὴν [n] ἔξοδον ἐκ τῆς χώρης ποιέεσθαι· Σκύθας δὲ
12 ἐπελθόντας, λαβεῖν ἐρήμην τὴν χώρην. Καὶ νῦν ἔστι μὲν

barbarorum communis, eaque verisimilior: Scythas Nomadas a Massagetis bello pressos, Araxe transmisso, in eam terram venisse: illam Cimmeriorum antea fuisse: Cimmeriorum populo fugam pugna, regibus mortem fuga potiorem visam esse: tumulus regum sepultorum ad Tyram, et alia Cimmeriorum

[c] Sic V. edd. excepto Gronov. Ἀράξην M.S.a. et al. Ἀράξιν F.
[d] ἐπὶ τὴν S.V. absque γῆν.
[e] ἀμφοτέρους S.V.F. Mox βασιλέων S. pro βασιλήων.
[f] δὴ om. V.S.a.
[g] εἰ μὴ δὲ S.
[h] πρὸς πολλοὺς δεόμενον S.V.A.B. Wessel. πρὸς πολλοῦ γινόμενα P. πρὸ πολλοῦ δεόμενα M.K.F. b.d. Gronov. πρὸ πολλοῦ δεόμενον Ald.
[i] βασιληῦσι S. qui vulg. habet mox.
[k] Sic M.K.P.F. Paris. Ceteri παραδιδόντας cum S.
[l] Sic F. et vulg. κεῖσθαι P.V. S.K.
[m] δ' ἔδοξε S.V. In præced. ἐπίδοξά ἐστι καταλαμβάνειν suggerit Schweighæuserus, hoc ex Valckenærii tacita emendatione.
[n] διέξοδον S. Mox ποιήσεσθαι S.

nomen servantia: Cimmerii profugi, Chersonesum in Asia occuparunt: Scythæ per errorem in Mediam illati. [I, 15 et 103.]

ἐν [a]τῇ Σκυθικῇ Κιμμέρια τείχεα, ἔστι δὲ Πορθμήϊα Κιμμέρια· ἔστι δὲ καὶ [b]χώρη οὔνομα [c]Κιμμερίη· ἔστι δὲ
2 Βόσπορος, Κιμμέριος καλεόμενος. φαίνονται δὲ οἱ Κιμμέριοι, φεύγοντες ἐς τὴν Ἀσίην τοὺς Σκύθας, καὶ τὴν [d]χερσόννησον κτίσαντες, ἐν τῇ νῦν Σινώπη πόλις Ἑλλὰς
3 [e]οἴκισται. φανεροὶ δέ εἰσι καὶ οἱ Σκύθαι διώξαντες αὐτοὺς, καὶ [f]ἐσβαλόντες ἐς γῆν τὴν Μηδικὴν, ἁμαρτόντες
4 τῆς ὁδοῦ. οἱ μὲν γὰρ Κιμμέριοι αἰεὶ τὴν παρὰ θάλασσαν ἔφευγον· οἱ δὲ Σκύθαι, ἐν δεξιῇ τὸν Καύκασον ἔχοντες, ἐδίωκον. [g]ἐς ὃ ἐσέβαλον ἐς [h]τὴν Μηδικὴν γῆν, ἐς [i]μεσόγαιαν τῆς ὁδοῦ [k]τραφθέντες. οὗτος δὲ ἄλλος ξυνὸς Ἑλλήνων τε καὶ βαρβάρων [l]λεγόμενος λόγος εἴρηται.

13

Aristeæ fabulatoris narratio: Hyperborei, Gryphi, Arimaspi, Issedones, Scythæ, Cimmerii, alteri alteris confines.

Ἔφη δὲ Ἀριστέης ὁ Καυστροβίου, ἀνὴρ Προκοννήσιος, ποιέων ἔπεα, ἀπικέσθαι ἐς Ἰσσηδόνας, [a]φοιβόλαμπτος γενόμενος· [b]Ἰσσηδόνων δὲ ὑπεροικέειν Ἀριμασποὺς, ἄνδρας μουνοφθάλμους· ὑπὲρ δὲ τούτων, τοὺς χρυσοφύλακας Γρύπας· τούτων δὲ, τοὺς Ὑπερβορέους, κατήκοντας
2 ἐπὶ θάλασσαν. τούτους ὦν πάντας πλὴν Ὑπερβορέων, ἀρξάντων Ἀριμασπῶν, αἰεὶ τοῖσι πλησιοχώροισι ἐπιτίθεσθαι· καὶ ὑπὸ μὲν Ἀριμασπῶν ἐξωθέεσθαι ἐκ τῆς χώρης Ἰσσηδόνας· ὑπὸ δὲ Ἰσσηδόνων, Σκύθας· Κιμμερίους δὲ,

12.

[a] τῇ om. F.

[b] τῷ χώρῳ S.V. Vall. χώρῳ d. non improbante Wesselingio, et citante ex Auctore Peripli Euxini, Κιμμερίδα πόλιν, ἀπὸ Κιμμερίων βαρβάρων καλουμένην.

[c] Κιμμέρια S. V. qui mox Βόσπορος.

[d] Sic F. χερόννησον S.V. Vulgo Χερσόνησον.

[e] οἴκηται S.V. Eustath. Dion. 772. cf. I. 193. Mox καὶ om. S.

[f] ἐμβαλόντες S.V. et statim ἁμαρτάνοντες. Mox ἐνδεξιᾷ S.

[g] Sic Ald. Paris. K. ἔς τ' ἐσ. V.S. unde ἐς τὸ Koen. Gregor. Dial. Ion. 63. et Wesseling. conferens II. 157. ἐς οὗ ἐσ. M.F.

[h] γῆν τὴν Μηδικὴν F. γῆν om. S.

[i] μεσογέαν S.V.

[k] στραφέντες S.V.d. τραφέντες F.

[l] λεγόμενος S.V.P.F.a.c. γενόμενος b.d. edd. vett.

13.

[a] φοιβόληπτος S.d. φοιβόλαμπος b.

[b] Sic K. S. V. A. B. F. δὲ om. M.P. In eqq. libri τουτέων.

οἰκέοντας ἐπὶ τῇ νοτίῃ θαλάσσῃ, ὑπὸ Σκυθέων πιεζομένους, 287
3 [c] ἐκλείπειν τὴν χώρην. [d] Οὕτω οὐδὲ οὗτος συμφέρεται
14 περὶ τῆς χώρης ταύτης Σκύθῃσι. Καὶ ὅθεν μὲν [a] ἔην Ἀρι-
στέης, ὁ ταῦτα [b] ποιήσας, [c] εἴρηται· τὸν δὲ περὶ αὐτοῦ
2 ἤκουον λόγον ἐν Προκοννήσῳ καὶ Κυζίκῳ, λέξω. Ἀρι-
στέην γὰρ λέγουσι, ἐόντα τῶν ἀστῶν οὐδενὸς [d] γένος ὑπο-
δεέστερον, ἐσελθόντα ἐς κναφήϊον ἐν Προκοννήσῳ, ἀποθα-
νεῖν· καὶ τὸν κναφέα κατακληΐσαντα τὸ ἐργαστήριον, οἴ-
3 χεσθαι ἀγγελέοντα τοῖσι προσήκουσι τῷ νεκρῷ. ἐσκε-
δασμένου δὲ ἤδη τοῦ λόγου ἀνὰ τὴν πόλιν ὡς [e] τεθνεὼς
εἴη ὁ Ἀριστέης, ἐς ἀμφισβασίας τοῖσι λέγουσι [f] ἀπικνέ-
εσθαι ἄνδρα Κυζικηνὸν, ἥκοντα ἐξ [g] Ἀρτάκης πόλιος,
φάντα συντυχεῖν τέ οἱ [h] ἰόντι ἐπὶ Κυζίκου, καὶ ἐς λόγους
4 ἀπικέσθαι. καὶ τοῦτον μὲν ἐντεταμένως [i] ἀμφισβητέειν·
τοὺς δὲ προσήκοντας τῷ [k] νεκρῷ ἐπὶ τὸ κναφήϊον παρεῖναι,
5 ἔχοντας τὰ πρόσφορα, ὡς ἀναιρησομένους. ἀνοιχθέντος
δὲ τοῦ οἰκήματος, οὔτε τεθνεῶτα οὔτε ζῶντα φαίνεσθαι
6 Ἀριστέην. μετὰ δὲ, ἑβδόμῳ ἔτεϊ φανέντα αὐτὸν ἐς Προ-
κόννησον, ποιῆσαι τὰ ἔπεα ταῦτα τὰ νῦν ὑπ' Ἑλλήνων

De Aristea quid Proconnesii et Cyziceni memorent: carmina ejus Arimaspea:

[c] ἐκλιπεῖν S.V.

[d] οὕτω δὴ οὐδὲ S.V. Wessel. δὴ om. al. οὕτω δὲ absque οὐδὲ F. Mox ἐπὶ b. pro περί. Tum Σκύθῃσι post συμφέρεται S.

14.

[a] ἦν F.S. Origenes c. Cels. III. p. 463. ὁ Ἀριστέης S.

[b] Sic K.P.F.b. Citat Wesselingius c. 16. V. 95. et not. ad II. 53. εἴπας vulgo cum S. et Origene, qui ὃν δὲ mox.

[c] εἴρηκα K.P.F. Origenes, Schæfer.

[d] Sic M.P.K.V.S.F. γένεος Ald. Origen. γένους c.

[e] τεθνηκὼς Ald. K.A.B.F. τεθνεὼς S. V. Origen. Schæfer. τεθνηὼς M.P. Wessel. Mox ἀμφιβασίας Ald.

[f] ἀπικέσθαι V.S. a.c. Schæfer. ἀφικέσθαι Origen.

[g] Sic F.a.b. Origen. et al. Ἀρτακίης S. Vall. Eustath. Od. κ΄. p. 1650, 54.=386, 26. cf. Steph. Byz. in Ἀρτάκη. Apollon. Rhod. I. 957.

[h] ἐόντι S.

[i] ἀμφισβατέειν Origen. cf. IX. 74. ἀμφισβητεῖν S.

[k] νέκυϊ Origen. qui supra in νεκρῷ cum vulg. consentit.

[l]'Αριμάσπεα [m]καλέεται· ποιήσαντα δὲ, ἀφανισθῆναι [n]τὸ δεύτερον. ταῦτα μὲν αἱ πόλιες [o]αὗται λέγουσι.

15 *quid Metapontini referant, apud quos illius statua in foro.*

[a]Τάδε δὲ οἶδα Μεταποντίνοισι τοῖσι ἐν Ἰταλίῃ συγκυρήσαντα μετὰ τὴν ἀφάνισιν τὴν δευτέρην [b]Ἀριστέω ἔτεσι [c]τεσσεράκοντα καὶ [d]τριηκοσίοισι, ὡς ἐγὼ συμβαλλόμενος
2 [e]ἐν Προκοννήσῳ τε καὶ [f]Μεταποντίῳ εὕρισκον. [g]Μεταποντῖνοί φασι, αὐτὸν Ἀριστέην, φανέντα [h]σφι ἐς τὴν [i]χώρην, κελεῦσαι βωμὸν Ἀπόλλωνι ἱδρύσασθαι, καὶ [k]Ἀριστέω τοῦ Προκοννησίου ἐπωνυμίην ἔχοντα ἀνδριάντα
3 παρ' αὐτὸν [l]ἱστάναι. φάναι γὰρ, σφὶ τὸν Ἀπόλλωνα Ἰταλιωτέων μούνοισι [m]δὴ ἀπικέσθαι ἐς τὴν χώρην, καὶ αὐτός οἱ ἕπεσθαι ὁ νῦν ἐὼν Ἀριστέης· τότε [n]δὲ, ὅτε εἵπετο τῷ θεῷ, εἶναι κόραξ. [o]καὶ τὸν, [p]εἴπαντα ταῦτα, ἀφα-
4 νισθῆναι. σφέας δὲ, Μεταποντῖνοι λέγουσι, ἐς Δελφοὺς 288
πέμψαντας, τὸν θεὸν ἐπειρωτᾶν ὅ τι τὸ φάσμα τοῦ ἀν-
5 θρώπου εἴη. [q]τὴν δὲ Πυθίην σφέας κελεύειν πείθεσθαι τῷ φάσματι· πειθομένοισι δὲ, ἄμεινον συνοίσεσθαι. [r]καί

[l] 'Αριμάσπια Tzetz. Chil. II. p. 301. 'Αριμάσπεια Origen. qui paulo supra ἃ δὴ νῦν ὑπὸ 'Ε.

[m] καλέονται F. pr. sed statim corr.

[n] τὸ δεύτερον om. K.P.M.F.b. Mox ταῦτα μὲν οὖν Origen.

[o] αἵδε S.V.

15.

[a] Sic S. Origen. Wess. τὰ δὲ F.c.d. Schæfer. Mox δευτέραν S.

[b] Sic M.S.K.V.P. 'Αριστέως Origen. 'Αριστ. τοῦ Προκοννησίου vulgo.

[c] τεσσαρά. F.S. Orig.

[d] διηκοσίοισι P. F. b. Origen. Tzetz. Æneas Gazæus p. 77.

[e] τὰ ἐν Προκονν. requirebat Schweighæuser. τε om. S. Orig.

[f] Μεταποντίνοισι S.V. Vall. Origen.

[g] Sic M.S.K.P.F. Paris. Μετ. γάρ φ. Origen. Ald. V.

[h] σφι om. K.

[i] Sic K.P.S.V.F.a.c. Orig. Vall. πόλιν M.b.d. Ald. Mox 'Απόλλωνος S. Orig.

[k] 'Αριστέου F.

[l] στῆσαι S.V. ἀνδριάντα παραστῆναι Orig.

[m] δὴ om. F.c.

[n] δέ οἱ ὅτε S.

[o] καὶ τὸν μὲν S. Origen.

[p] Sic S.V. εἰπόντα F.a.c. vulgo. Origen. qui mox ὅτι τε φάντασμα τοῦ ἀ.

[q] Sic S.F.c. Schæfer. τήν τε Wess. et al. Mox κελεῦσαι Origen. et πειθομένοισί τε.

[r] σφέας δὲ S.

6 σφεας δεξαμένους [s]ταῦτα, ποιῆσαι ἐπιτελέα. Καὶ νῦν
[t]ἕστηκε ἀνδριὰς ἐπωνυμίην ἔχων Ἀριστέω, παρ' αὐτῷ [u]τῷ
ἀγάλματι τοῦ Ἀπόλλωνος, [w]πέριξ δὲ [x]αὐτὸν δάφναι
ἑστᾶσι· τὸ δὲ ἄγαλμα ἐν τῇ ἀγορῇ ἵδρυται. Ἀριστέω
μέν νυν πέρι τοσαῦτα εἰρήσθω.

16 Τῆς δὲ γῆς, τῆς πέρι [a]ὅδε ὁ λόγος ὥρμηται λέγεσθαι,
2 οὐδεὶς οἶδε [b]ἀτρεκὲς ὅ τι τὸ κατύπερθέ ἐστι. οὐδενὸς γὰρ
δὴ αὐτόπτεω εἰδέναι φαμένου δύναμαι πυθέσθαι· [c]οὐδὲ
γὰρ οὐδὲ Ἀριστέης, [d]τοῦ περ [e]ὀλίγῳ πρότερον τούτων
μνήμην ἐποιεύμην, οὐδὲ οὗτος προσωτέρω Ἰσσηδόνων, [f]ἐν
αὐτοῖσι τοῖσι ἔπεσι ποιέων, ἔφησε ἀπικέσθαι· ἀλλὰ τὰ
κατύπερθε ἔλεγε [g]ἀκοῇ, φὰς Ἰσσηδόνας εἶναι τοὺς ταῦτα
3 λέγοντας. Ἀλλ' ὅσον μὲν ἡμεῖς ἀτρεκέως ἐπὶ μακρότα-
τον οἷοί τ' ἐγενόμεθα [h]ἀκοῇ ἐξικέσθαι, πᾶν εἰρήσεται.

Ultra eam terram de qua hic agitur, exploratum nihil.

17 Ἀπὸ τοῦ Βορυσθενεϊτέων ἐμπορίου, τοῦτο γὰρ τῶν παραθαλασσίων μεσαίτατόν ἐστι πάσης τῆς [a]Σκυθίης, ἀπὸ τούτου πρῶτοι Καλλιπίδαι νέμονται, ἐόντες [b]Ἕλληνες Σκύθαι· ὑπὲρ δὲ [c]τούτων, ἄλλο ἔθνος, οἳ [d]Ἀλάζωνες κα-

Supra emporium Borysthenitarum, colunt ad Hypanin Callipidæ, Ala-

[s] ποιῆσαι ταῦτα S. ἐπιτέλειον Origen.
[t] Sic Ald. M.P.K.V.S. Orig. F. Paris. ἔστησε Steph. et sqq.
[u] τὠγάλματι F. *Juxta aram* Valla.
[w] Sic S.V. Origen. περὶ F.b. et vulgo. εἰσι pro ἑστᾶσι Origen.
[x] αὐτῶν S. Wessel.

16.

[a] Sic S.K.P.F. Paris. ὁ λόγος ὅδε al.
[b] ἀτρεκὲς ὅ τι S.V.A.B. ἀτρεκέως ὡς ὅ τι M. Ald. ἀτρεκὲς ὡς ὅτι F. P.K. Mox φαμένου εἰδέναι S.
[c] Sic S.V.a.c. cf. Hemsterhus. ad Lucian. Nigr. 6. οὐδενὸς γὰρ M.P.K.F.d. Ald.
[d] τοῦ πέρι S. V. Valckenær. Schæfer. Nec male: sed plerumque cum nudo genitivo verbum illud construit Herodotus. SCHWEIGH.
[e] ὀλίγον S. cf. III. 106. τούτων πρότερον S.
[f] αὐτὸς ἐν τοῖσι S.V.
[g] ἀκοῇ om. P.K.F.b.M.
[h] ἀκοῇ om. S. V. Vall. Sed bene confert Wesselingius I. 171.

17.

[a] Σκυθικῆς S.V. Supra Βορυσθενιτέων S.
[b] Ἑλληνόσκυθαι S.V. Vall.
[c] αὐτέων S.V.
[d] Ἀλιζῶνες S.V. Wessel. Ἀλαζόνες edd. vett. M.F. Paris. et sic infra. cf. Strabo XII. p. 827=

zones, [c. 49.] Scythæ Aroteres, Neuri, alteri super alteros.

2 λέονται. οὗτοι δὲ καὶ οἱ Καλλιπίδαι τὰ μὲν ἄλλα κατὰ
ταὐτὰ Σκύθῃσι ἐπασκέουσι, [e] σῖτον δὲ καὶ σπείρουσι καὶ
σιτέονται, καὶ κρόμμυα καὶ [f] σκόροδα καὶ φακοὺς καὶ
3 κέγχρους. Ὑπὲρ δὲ [g] Ἀλαζώνων οἰκέουσι Σκύθαι ἀροτῆ-
ρες, οἳ οὐκ ἐπὶ σιτήσει σπείρουσι [h] τὸν σῖτον, ἀλλ' ἐπὶ
18 4 πρήσει. [i] τούτων δὲ κατύπερθε οἰκέουσι Νευροί. Νευρῶν
δὲ [k] τὸ πρὸς [l] βορῆν ἄνεμον, [m] ἔρημος ἀνθρώπων, ὅσον ἡμεῖς 289
ἴδμεν. ταῦτα μὲν παρὰ τὸν [n] Ὕπανιν ποταμόν ἐστι ἔθ-
νεα, πρὸς [o] ἑσπέρης τοῦ Βορυσθένεος. Ἀτὰρ διαβάντι τὸν
Βορυσθένεα, ἀπὸ θαλάσσης πρῶτον μὲν [a] ἡ Ὑλαίη. ἀπὸ
δὲ ταύτης [b] ἄνω οἰκέουσι Σκύθαι γεωργοὶ, τοὺς Ἕλληνες
[c] οἱ οἰκέοντες [d] ἐπὶ τῷ Ὑπάνι ποταμῷ καλέουσι Βορυσθε-
2 νεΐτας, σφέας δὲ αὐτοὺς, Ὀλβιοπολίτας. οὗτοι ὦν οἱ
γεωργοὶ Σκύθαι νέμονται, τὸ μὲν πρὸς τὴν [e] ἠῶ, ἐπὶ τρεῖς
ἡμέρας [f] ὁδοῦ, κατήκοντες ἐπὶ ποταμὸν τῷ οὔνομα κεῖται
[g] Παντικάπης· τὸ δὲ πρὸς βορῆν [h] ἄνεμον, πλόον ἀνὰ τὸν

Ad Borysthenis alterum latus a mari prima Hylæa: super eam Scythæ Georgi, quorum terra patet in latum ad Panticapen tridui iter; in longum, dierum xi navigatione per Borysthenem: ultra, solitu-

550. Ἀλαζῶνες Reizius, Ἀλάζωνες Schweighæuserus. Steph. Byzant. Ἀλαζὼν ὀξύνεται (παροξύνεται Schweighæuser.) διὰ τὸ ἐπιθετικὸν, καὶ φυλάττει τὸ ω πρὸς ἀντιδιαστολήν. i. e. interprete Schweighæusero, Ἀλάζων, *proprium nomen gentis, penacute scribitur, et genitivum* Ἀλάζωνος *format, quo distinguatur ab appellativo nomine,* ἀλαζὼν ἀλαζόνος.

[e] κατὰ ταῦτα δὲ S.V. Vall.

[f] σκόρδα M.K. φαλλοὺς S. pro φακοὺς, qui tum κέγχρη.

[g] Ἀλιζόνων S. Vall. Ἀλαζόνων edd. vett. Mox οἵδ' οὐκ S.

[h] τὸν om. S.K.

[i] τουτέων S. Alii τούτων. Tum κατύπερ τε Ald. et infra.

[k] τὰ πρὸς S.V.

[l] βορῆν V. βορέην alii cum S. qui βορῆν habet infra.

[m] ἔρημος S.V. ἐρῆμον F. a. c. Vulgo ἔρημον.

[n] Ὕσπανιν V.S.

[o] Sic V.S.M.P.K.F.a.c. ἑσπέρην d. edd. vett.

18.

[a] ἡ om. S.

[b] Ita Valckenærius. Libri omnes ἄνθρωποι, vel compendiose ἄνοι. Scymnus Chius Geog. Min. Hudson. T. II. p. 49. Πρὸς ἀνατολὰς δ' ἐκβάντι τὸν Βορυσθένην (Τοὺς) τὴν λεγομένην Ὕβλαν (l. Ὑλαιαν) οἰκοῦντας Σκύθας· εἶναι δὲ γεωργοὺς ἐχομένους τούτων ἄνω. Quem locum ex Herodoteo fonte haustum monet Schweigh.

[c] οἱ om. F. οἱ Ἕλληνες οἱ S.

[d] ὑπὸ τῷ S.V. Vall. Mox βορυσθενίτας S.

[e] ἠῶ S.V.

[f] ὁδοῦ om. S.

[g] Παντηκάπις S. supra ποταμοῦ d.

[h] νέμονται S. pro ἄνεμον.

3 Βορυσθένεα ἡμερέων [i]ἕνδεκα. [k]ἡ δὲ κατύπερθε τούτων
[l]ἐρῆμός ἐστι ἐπὶ πολλόν. μετὰ δὲ τὴν ἐρῆμον Ἀνδροφά-
4 γοι οἰκέουσι, ἔθνος ἐὸν ἴδιον καὶ οὐδαμῶς Σκυθικόν. τὸ
δὲ τούτων κατύπερθε, [m]ἐρῆμος ἤδη ἀληθέως, καὶ ἔθνος ἀν-
19 θρώπων οὐδὲν, ὅσον ἡμεῖς ἴδμεν. Τὸ δὲ [a]πρὸς τὴν ἕω γε-
ωργῶν τούτων Σκυθέων, διαβάντι τὸν Παντικάπην ποτα-
μὸν, Νομάδες ἤδη Σκύθαι νέμονται, οὔτε τι σπείροντες
οὐδὲν, οὔτε ἀροῦντες· ψιλὴ [b]δὲ δενδρέων [c]πᾶσα [d]αὕτη
2 γῆ, πλὴν τῆς Ὑλαίης. οἱ δὲ Νομάδες [e]οὗτοι τὸ πρὸς τὴν
ἕω, ἡμερέων τεσσέρων καὶ δέκα ὁδὸν, νέμονται χώρην κα-
20 τατείνουσαν ἐπὶ ποταμὸν Γέρρον. Πέρην δὲ τοῦ Γέρρου
[a]ταῦτα δὴ τὰ καλεύμενα Βασιλήϊά ἐστι, καὶ Σκύθαι [b]οἱ
ἄριστοί τε καὶ πλεῖστοι, καὶ τοὺς ἄλλους νομίζοντες Σκύ-
2 θας δούλους σφετέρους εἶναι. [c]κατήκουσι δὲ οὗτοι, τὸ
μὲν πρὸς μεσαμβρίην, ἐς τὴν Ταυρικήν· τὸ δὲ πρὸς [d]ἠῶ,
ἐπί [e]τε τάφρον, τὴν δὴ οἱ ἐκ τῶν τυφλῶν γενόμενοι ὤρυ-
ξαν, καὶ ἐπὶ τῆς λίμνης τῆς [f]Μαιήτιδος τὸ ἐμπόριον, τὸ
καλέεται Κρημνοί· τὰ δὲ αὐτῶν κατήκουσι ἐπὶ ποταμὸν
3 Τάναϊν. Τὰ δὲ κατύπερθε πρὸς [g]βορῆν ἄνεμον τῶν βασι-
ληΐων Σκυθέων οἰκέουσι Μελάγχλαινοι, ἄλλο [h]ἔθνος, καὶ

do: ultra solitudinem, Androphagi, natio haud Scythica: ultra eos, omnia deserta. Juxta Scythas Georgos ad orientem, Scythæ Nomades, inter Panticapen et Gerrhum, regione lata xiv dierum iter. Trans Gerrhum, Scythæ regii, [c. 56.] qui a meridie attingunt regionem Tauricam; ab aurora, fossam [c. 3.] et Cremnos, partim etiam Tanain: supra eos, Melanchlæni, a Scythis diversi: ulte-

[i] ἐπὶ δέκα habes infra 53. Parum interest. Schweigh.
[k] Sic S.V.c. ἤδη δὲ Ald. et al.
[l] ἡ ἔρημος vulgo. ἡ om. S.V.c.
[m] ἔρημος S. V. Wess. ἔρημον vulgo. ἐρῆμον F.a.c. Mox ἔθνος οὐδὲν ἀνθρώπων S.

19.

[a] πρὸς ἕω τῶν γεωργῶν F. qui mox Σκυθαίων. τῶν γεωργῶν S. Ald.
[b] δὲ om. F.
[c] Sic S. ἡ πᾶσα edd. vett. γῆ om. S.
[d] αὕτη et πλὴν om. P.K.M.F.b. ἡ πᾶσα ἡ πᾶσα αὕτη τῆς Ὑλ. sic F.
[e] οὗτοι om. S.V. qui mox ἠῶ pro ἕω.

20.

[a] ταῦτα ἤδη suspicatur Schweighæuser. Mox καλεόμενα S.
[b] οἱ ante ἄριστοι om. S. V. Σκύθαι τε καὶ ἄριστοι καὶ πλ. c.
[c] Sic Ald. S. V. et al. κατοίκουσι M.P.K.F.
[d] ἕω V. ἠῶ F.
[e] τε om. F.
[f] Sic F. et vulg. cf. I. 104. Sic nonnulli Ἱστιαιήτιδος VIII. 23. Μαιώτιδος M.S.P.K. cf. c. 3. Mox τοὶ δὲ αὐτῶν Reiskius.
[g] Sic S.V. βορέην F. et vulg.
[h] γένος A. Μελάγχ.—Σκυθ. om. F.

rius, paludes et vasta omnia.

4 οὐ Σκυθικόν. Μελαγχλαίνων δὲ τὸ κατύπερθε, λίμναι,
καὶ ἐρῆμός [i]ἐστι ἀνθρώπων, κατόσον ἡμεῖς ἴδμεν. 290

21

Trans Tanain; qui Scythiæ terminus, primi Sauromatæ, a sinu Mæotidis boream versus, regione longa dierum xv iter: [c. 116.] supra, Budini:

Τάναϊν δὲ ποταμὸν διαβάντι, οὐκέτι Σκυθικὴ, ἀλλ' ἡ
μὲν πρώτη τῶν λαξίων Σαυροματέων ἐστί· οἳ ἐκ τοῦ μυ-
χοῦ ἀρξάμενοι τῆς Μαιήτιδος λίμνης, νέμονται [a]τὸ πρὸς
Βορῆν ἄνεμον, ἡμερέων πεντεκαίδεκα ὁδὸν, πᾶσαν ἐοῦσαν
2 ψιλὴν καὶ ἀγρίων καὶ ἡμέρων δενδρέων. ὑπεροικέουσι δὲ
[b]τούτων, δευτέρην [c]λάξιν ἔχοντες, Βουδῖνοι, γῆν νεμόμενοι
πᾶσαν δασέην [d]ὕλῃ παντοίῃ. Βουδίνων δὲ κατύπερθε
πρὸς Βορῆν, ἔστι πρώτη μὲν ἐρῆμος, ἐπ' ἡμερέων ἑπτὰ

22

supra hos ad boream, solitudo itineris octidui: post solitudinem ad subsolanum versus, Thyssagetæ, vicinique Iyrcæ: horum venandi ratio: supra eos auroram versus, alii Scythæ, qui

ὁδόν· μετὰ δὲ τὴν ἔρημον, [a]ἀποκλίνοντι μᾶλλον πρὸς
ἀπηλιώτην ἄνεμον, νέμονται Θυσσαγέται, ἔθνος πολλὸν
3 καὶ ἴδιον· ζώουσι δὲ ἀπὸ θήρης. Συνεχέες δὲ τούτοισι ἐν
τοῖσι αὐτοῖσι τόποισι [b]κατοικημένοι εἰσὶ τοῖσι οὔνομα κεῖ-
ται Ἰῦρκαι, καὶ οὗτοι ἀπὸ θήρης ζώοντες τρόπῳ τοιῷδε.
4 λοχᾷ, ἐπὶ [c]δένδρεον ἀναβάς· (τὰ δέ ἐστι πυκνὰ ἀνὰ
πᾶσαν τὴν χώρην·) ἵππος δὲ ἑκάστῳ, [d]δεδιδαγμένος
ἐπὶ γαστέρα κεῖσθαι ταπεινότητος εἵνεκα, ἕτοιμός [e]ἐστι,
καὶ κύων· [f]ἐπεὰν δὲ ἀπίδῃ τὸ θηρίον ἀπὸ τοῦ δενδρέου,
[g]τοξεύσας καὶ ἐπιβὰς ἐπὶ τὸν ἵππον διώκει, καὶ ὁ κύων

[i] ἐστι om. S.V. Tum καθόσον S. qui in pr. c. seq. οὐκ ἔστι pro οὐκέτι.

21.

[a] Sic M.P.V.K. τὰ πρὸς F.a.c. Ald. Tum dedi βορῆν cum S. pro βορέην, qui supra Μαιώτιδος.

[b] τουτέων S.V. τούτων A. B. cf. c. 13. et 37. τούτοισι F. d. et vulgo. Supra ἡμέρων καὶ ἀγρίων δένδρων S.

[c] τάξιν S.V. Non ex λῆξις Ionice fit λᾶξις, sed ex antiquo verbo λάχω vel λαχέω fit λάξις, unde etiam λάχεσις prima correpta. SCHWEIGH.

[d] ἴδῃ suspicatur leg. Koen. Gregor. p. 225.

22.

[a] Sic P.K.F.a.c. Vulgo ἀποκλίναντι cum S. Mox ζῶσι S. et paulo post ζῶντες.

[b] Sic M.P.K.F.a.c. κατοικημένοισι vulgo, ut S.V. absque εἰσί.

[c] δενδρέων F.

[d] ἐστὶ δεδ. S.

[e] ἐστὶ om. S.

[f] Sic M. P. K. F. Paris. Al. ἐπειδὰν cum S. Tum ἀπίδοι Ald.

[g] Sic S.V. vulgo om. καί.

5 [h]ἔχεται. Ὑπὲρ δὲ [i]τούτων, [k]τὸ πρὸς τὴν ἠῶ [l]ἀποκλίνοντι
οἰκέουσι Σκύθαι ἄλλοι, ἀπὸ τῶν βασιληΐων Σκυθέων ἀπο-
στάντες, καὶ [m]οὕτω ἀπικόμενοι ἐς τοῦτον τὸν χῶρον.

a regiis defecerunt.

23 Μέχρι μὲν δὴ τῆς τούτων τῶν Σκυθέων χώρης, ἔστι ἡ κα-
ταλεχθεῖσα πᾶσα [a]πεδιάς τε γῆ καὶ [b]βαθύγεος· τὸ δ'
2 ἀπὸ τούτου, λιθώδης [c]τ' ἐστὶ καὶ [d]τρηχέη. διεξελθόντι δὲ
καὶ τῆς τρηχέης [e]χῶρον πολλὸν, οἰκέουσι ὑπώρεαν οὐρέων
ὑψηλῶν ἄνθρωποι λεγόμενοι εἶναι πάντες φαλακροὶ, ἐκ
[f]γενεῆς γινόμενοι, καὶ ἔρσενες καὶ θήλεαι ὁμοίως, καὶ σι-
μοὶ, καὶ γένεια ἔχοντες μεγάλα· φωνὴν δὲ ἰδίην ἱέντες·
ἐσθῆτι δὲ [g]χρεώμενοι Σκυθικῇ· ζῶντες δὲ ἀπὸ δενδρέων.
3 [h]ποντικὸν μὲν οὔνομα τῷ δενδρέῳ [i]ἀπὸ τοῦ ζῶσι, μέγα-
θος δὲ κατὰ συκέην μάλιστά κῃ· καρπὸν δὲ φορέει κυά-
4 μῳ ἴσον, πυρῆνα δὲ ἔχει. τοῦτο ἐπεὰν γένηται πέπον,
[k]σακκέουσι ἱματίοισι· ἀπορρέει δ' ἀπ' αὐτοῦ παχὺ καὶ
5 μέλαν· οὔνομα δὲ τῷ ἀπορρέοντί ἐστι [l]ἄσχυ. [m]τοῦτο
καὶ λείχουσι, καὶ γάλακτι συμμίσγοντες πίνουσι· καὶ
ἀπὸ τῆς παχύτητος αὐτοῦ τῆς τρυγὸς [n]παλάθας συντι-

Ultra hos, in radicibus montium Argippæi: describuntur a figura, lingua, cultu, victu, moribus, existimatione apud finitimos: arbor Ponticum: 291 succus ex ejus fructu, Aschy.

[h] Sic M.K.P.F. ἕπεται S. alii.
[i] τουτέων S.V. τούτων vulgo.
[k] τῷ S. et F. inter lineas a pr. m.
[l] Sic P.K.a.c.d. ἀποκλίναντι S.V.F. ἀποκλίνον b. τετραμμένον Ald. Nihil ex M. enotavit Gronovius.
[m] οὕτως S.

23.

[a] πεδιάς τε om. S.
[b] βαθύγεως] βαθύγεος S.F. quod vide ne sit Ionici magis coloris, alterum Attici. SCHWEIGH.
[c] τε om. F.
[d] τρηχέη P.K.F. Paris. et mox τρηχέης. τρηχεῖα S. qui mox τρηχείης. Alii τρηχείη.
[e] Sic S.V. χώρης F.a.d. et vulgo. Mox ὀρέων S.
[f] Sic S.V.a.c.d. cf. III. 33. γενετῆς F.b. al. Mox θήλειαι S.
[g] χρεωμένοισι F.
[h] πάντικον S. tum μὲν om. S.V. ποντικῷ d. qui mox τοὔνομα.
[i] Sic S.V. ἀπ' οὗ F.a. et al. Mox ζώουσι S. Spectat hæc Athenæus II. p. 57. C.
[k] σακεύουσι Photius et Suid. σακέουσι Schæfer. Eustath. Il. ν'. p. 940, 17=914, 10. ὁ κοινὸς λεγόμενος σάκκος δι' ἑνὸς κάππα προεφέρετο παρ' Ἀθηναίοις, καθά φησιν Αἴλιος Διονύσιος· ὅθεν καὶ σακεύειν φησὶ τὸ ὑλίζειν ὡς Ἡρόδοτος.
[l] ἄγχυ S. Vall.
[m] Sic S.V.M.P.K.F. Paris. τοῦτο δὲ καὶ vulgo.
[n] Sic S.F.a.c. παλλάθας d. et vulgo. Tum συντιθεῖσι S.

θέασι, καὶ ταύτας σιτέονται. πρόβατα γάρ σφι οὐ
πολλά ἐστι· οὐ [o]γάρ τι σπουδαῖαι [p]νομαὶ αὐτόθι εἰσί.
6 Ὑπὸ δενδρέῳ δὲ ἕκαστος κατοίκηται· τὸν μὲν χειμῶνα,
ἐπεὰν τὸ δένδρεον περικαλύψῃ πίλῳ στεγνῷ λευκῷ· τὸ
7 δὲ θέρος, ἄνευ πίλου. Τούτους οὐδεὶς ἀδικέει ἀνθρώπων·
ἱροὶ γὰρ λέγονται εἶναι· οὐδέ τι ἀρήϊον ὅπλον [q]ἐκτέαται.
8 καὶ τοῦτο μὲν, τοῖσι περιοικέουσι οὗτοί εἰσι οἱ τὰς δια-
φορὰς διαιρέοντες· τοῦτο δὲ, ὃς ἂν [r]φεύγων καταφύγῃ ἐς
τούτους, ὑπ᾽ οὐδενὸς ἀδικέεται. οὔνομα δέ σφί ἐστι [s]Ἀρ-
γιππαῖοι.

24 Μέχρι μέν νυν τῶν φαλακρῶν [a]τούτων, πολλὴ περιφά-
2 νεια τῆς χώρης ἐστὶ, καὶ τῶν ἔμπροσθεν ἐθνέων. καὶ γὰρ
Σκυθέων τινὲς ἀπικνέονται ἐς αὐτοὺς, τῶν οὐ χαλεπόν
ἐστι πυθέσθαι, καὶ Ἑλλήνων τῶν ἐκ Βορυσθένεός τε ἐμ-
3 πορίου καὶ τῶν ἄλλων Ποντικῶν ἐμπορίων. Σκυθέων δὲ
οἳ ἂν ἔλθωσι ἐς αὐτοὺς, δι᾽ ἑπτὰ ἑρμηνέων καὶ δι᾽ ἑπτὰ
25 γλωσσέων διαπρήσσονται. Μέχρι μὲν δὴ τούτων γινώ-
σκεται. τὸ δὲ τῶν φαλακρῶν [a]κατύπερθε οὐδεὶς [b]ἀτρε-
κέως οἶδε φράσαι· [c]οὔρεα τε γὰρ ὑψηλὰ ἀποτάμνει
2 ἄβατα, καὶ οὐδείς [d]σφεα ὑπερβαίνει. οἱ δὲ φαλακροὶ 292
οὗτοι λέγουσι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, οἰκέειν τὰ
οὔρεα [e]αἰγίποδας ἄνδρας· [f]ὑπερβάντι δὲ τούτους, [g]ἄλ-

24 Commeatus e Scythia et ex Ponto ad illos: a Scythis negotia ibi geruntur vii interpretibus.

25 Quod ultra est ad septentrionem, id montes præcludunt: incolæ montium, capripedes transmon-

[o] Sic M.K.P.F. Paris. γάρ σφι S.V. γάρ τοι olim.
[p] Sic M.K.P.F. αἱ νομαὶ S.a. et vulgo.
[q] ἔκταται S. Mox οὗτοί εἰσι post διαιρέοντες S.
[r] Sic S. cf. Porson. Eurip. Phœn. 1231. καταφεύγων καταφύγῃ (καταφύγοι Ald.) M.P.K.F. Participium al. om.
[s] Ὀργιεμπαῖοι S. V. Ὀργιέμπεοι Zenobius Prov. V. 25.

24.
[a] τουτέων] τούτων S.F.

25.
[a] οὐδεὶς καθύπερθε F. Supra τούτων F. ubi τουτέων S. vulg.
[b] ἀτρεκὲς S. cf. c. 16.
[c] οὔρεα γὰρ] ὄρεά τε γὰρ S.V. οὐρεά τε γὰρ Schæfer.
[d] σφεα S.V. Ald. A.B. σφεας M.K.P.F. Mox ὄρεα S.
[e] Sic Ald. S.a.c. Vall. d. marg. ἱπποβάτας K.M.P.F.b.d.
[f] ὑπερβάντας S.
[g] Sic V.M.K.P. ἀνθ. ἄλλους F. τούτους τοὺς ἀνθ. ἄλλους S.a.c. εἶναι

3 λους ἀνθρώπους, οἳ τὴν ἑξάμηνον καθεύδουσι. τοῦτο δὲ
4 οὐκ ἐνδέκομαι [h] τὴν ἀρχήν. Ἀλλὰ τὸ μὲν πρὸς ἠῶ τῶν
φαλακρῶν [i] γινώσκεται ἀτρεκέως, ὑπὸ Ἰσσηδόνων οἰκεό-
μενον· τὸ μέν τοι κατύπερθε πρὸς [k] βορῆν ἄνεμον, οὐ γι-
νώσκεται, οὔτε τῶν φαλακρῶν, οὔτε τῶν Ἰσσηδόνων, εἰ μὴ
ὅσα [l] αὐτῶν τούτων λεγόντων.

tanorum somnus semestris. Post Argippæos ad orientem, Issedones.

26 Νόμοισι [a] δὲ Ἰσσηδόνες
[b] τοιοισίδε λέγονται χρᾶσθαι. Ἐπεὰν ἀνδρὶ [c] ἀποθάνῃ
πατὴρ, οἱ προσήκοντες πάντες προσάγουσι πρόβατα·
καὶ ἔπειτα ταῦτα θύσαντες, καὶ καταταμόντες τὰ κρέα,
κατατάμνουσι καὶ τὸν τοῦ δεκομένου [d] τεθνεῶτα [e] γονέα·
2 ἀναμίξαντες δὲ πάντα τὰ κρέα, δαῖτα [f] προτιθέαται. τὴν
δὲ κεφαλὴν αὐτοῦ ψιλώσαντες καὶ [g] ἐκκαθήραντες, [h] κα-
ταχρυσοῦσι· καὶ ἔπειτα ἅτε ἀγάλματι χρέωνται, θυσίας
3 μεγάλας ἐπετέους ἐπιτελέοντες. παῖς δὲ [i] πατρὶ τοῦτο
ποιέει, κατάπερ οἱ Ἕλληνες τὰ γενέσια. ἄλλως δὲ δί-
καιοι καὶ οὗτοι λέγονται εἶναι· ἰσοκρατέες δὲ ὁμοίως αἱ
γυναῖκες τοῖσι ἀνδράσι. γινώσκονται μὲν δὴ καὶ οὗτοι.

Issedonum pietatis ultima officia; mores justi; feminæ viriles.

27 Τὸ δὲ ἀπὸ [a] τούτων τὸ κατύπερθε, Ἰσσηδόνες εἰσὶ οἱ λέγοντες [b] τοὺς μουνοφθάλμους ἀνθρώπους καὶ τοὺς χρυ-

Issedonibus ad septentrionem

addunt edd. vett. Huc spectat Eustath. Dionys. 581.

[h] τὴν ἀρχὴν] τὴν om. S. V. Mox τὴν ἠῶ S.

[i] Sic Ald. a.c.S.V. Vall. ἀτρεκέως om. M. K. P. F. Mox οἰκεομένη S.

[k] Sic S. V. Al. βορέην. Mox τῶν ante Ἰσσηδόνων om. S.

[l] αὐτέων τουτέων] αὐτῶν τούτων F. αὐτῶν τουτέων S.

26.

[a] δὲ om. S.

[b] τοιοῖσιδε S.V. cf. II. 37. III. 99. τοῖσιδε a.c.d. vulgo. τοῖσι δὲ F.

[c] ἀποθάνῃ S.V.F.a.c. Schæfer. ἀποθάνοι al.

[d] τεθνηκότα F.a.c.

[e] γονῆα S.

[f] Sic F. προτίθενται S. vulgo.

[g] καθήραντες S. V. ἐκκαθάραντες P.K.

[h] Sic V.S. ἀποχρυσοῦσι F.b. Ald. Mox ἅτε om. S. V. et fortasse melius abest. Similiter c. 28. alii codd. ὡς tuentur, alii omittunt. Tum ἐπετείους S. Ald.

[i] πατρὸς Ald. Mox οἱ ante Ἕλληνες om. S.

27.

[a] τουτέων S. vulgo τούτων. Infra τούτων F. pro τουτέων.

[b] τοὺς μ. et τοὺς χ. S.V. τοὺς al. om.

Arimaspi et Gryphi. [3, 116.]

σοφύλακας Γρύπας [c]εἶναι· παρὰ δὲ τούτων Σκύθαι παραλαβόντες λέγουσι· παρὰ δὲ Σκυθέων ἡμεῖς οἱ ἄλλοι νενομίκαμεν, καὶ οὐνομάζομεν [d]αὐτοὺς Σκυθιστὶ Ἀριμασπούς· ἄριμα γὰρ ἓν καλέουσι Σκύθαι, σποῦ δὲ τὸν ὀφθαλμόν.

Harum omnium terrarum qualis hiems et æstas: equi præ asinis et mulis frigus ferunt, contra quam alibi.

28 Δυσχείμερος δὲ αὕτη ἡ καταλεχθεῖσα [a]πᾶσα
χώρη οὕτω δή τί ἐστι, ἔνθα [b]τοὺς μὲν ὀκτὼ τῶν μηνῶν ἀ-
φόρητος οἷος γίνεται κρυμὸς, ἐν τοῖσι ὕδωρ ἐκχέας, πηλὸν
2 οὐ ποιήσεις· πῦρ δὲ ἀνακαίων, ποιήσεις πηλόν. ἡ δὲ θά-
λασσα πήγνυται, καὶ ὁ Βόσπορος πᾶς ὁ Κιμμέριος· καὶ 293
[c]ἐπὶ τοῦ κρυστάλλου οἱ ἐντὸς τάφρης Σκύθαι κατοικη-
μένοι στρατεύονται, καὶ τὰς ἁμάξας ἐπελαύνουσι πέρην
3 ἐς τοὺς [d]Σινδούς. οὕτω μὲν δὴ τοὺς ὀκτὼ μῆνας διατε-
λέει χειμὼν ἐών· τοὺς δ᾽ ἐπιλοίπους [e]τέσσερας ψύχεα
4 αὐτόθι ἐστί. Κεχώρισται δὲ [f]οὗτος ὁ χειμὼν τοὺς τρό-
πους πᾶσι τοῖσι ἐν [g]ἄλλοισι χωρίοισι γινομένοισι χει-
μῶσι· ἐν τῷ τὴν μὲν ὡραίην οὐκ ὕει λόγου ἄξιον οὐδέν· τὸ
5 δὲ θέρος, [h]ὕων οὐκ ἀνίει. [i]Βρονταί τε ἦμος τῇ ἄλλῃ γί-
νονται, τηνικαῦτα μὲν οὐ γίνονται, [k]θέρεος δὲ ἀμφιλα-
φέες· ἢν δὲ χειμῶνος βροντὴ γένηται, ὡς τέρας νενόμισται
6 [l]θωμάζεσθαι. ὣς δὲ [m]καὶ ἢν σεισμὸς γένηται, ἤν τε [n]θέ-
ρεος ἤν τε χειμῶνος, ἐν τῇ Σκυθικῇ [o]τέρας νενόμισται.

[c] εἶναι om. M.P.F.

[d] αὐτοὺς om. S.V. ὀνομάζομεν S. Seqq. citat Eustath. Dion. 31. Mox τὸν ante ὄφθαλμον om. S.

28.

[a] χώρη πᾶσα S. Tum δή τι S. F. δή τοι b.d. et al.

[b] Cf. Eustath. Dionys. 669. Mox κρυμμὸς S.

[c] ἐπὶ τούτου τοῦ κρ. S. Mox τάφρης pro τάφρου S.V. cf. 201.

[d] Σινδοὺς ex em. Holstenii ad Steph. Byz. voc. Σίνδος. Vulgo Ἰνδούς. Similem confusionem notavit Wesselingius infra 86. Sic et ἐς Κῶλον pro ἐς Σκῶλον IX. 15.

[e] τέσσαρας F.

[f] οὗτος om. S.V.

[g] ἄλλῃσι χώρῃσι S. χώροισι V.

[h] Sic S.F. et forte al. ὗον vulgo.

[i] βρονταὶ δὲ S.

[k] θέρος δὲ S.P.

[l] θωυμάζεσθαι] θωμάζεσθαι F.S.

[m] καὶ om. M.P.K.F. Sed habent alii.

[n] θέρος F.

[o] Sic M.P.K.F.a. ὡς τέρας θωυ-

7 ἵπποι δὲ ἀνεχόμενοι φέρουσι τὸν χειμῶνα τοῦτον, ἡμίονοι
[p] δὲ καὶ ὄνοι οὐκ ἀνέχονται [q] ἀρχήν· τῇ δὲ ἄλλῃ ἵπποι
μὲν ἐν κρυμῷ ἑστεῶτες [r] ἀποσφακελίζουσι, ὄνοι δὲ καὶ
29 ἡμίονοι ἀνέχονται. Δοκέει δέ μοι καὶ τὸ γένος τῶν βοῶν
2 [a] τὸ κόλον [b] διὰ ταῦτα οὐ φύειν κέρεα αὐτόθι. μαρτυρέει
[c] δέ μου τῇ γνώμῃ καὶ Ὁμήρου ἔπος ἐν Ὀδυσσείῃ, ἔχον
ὧδε·

Defecta cornibus animalia, ob frigus.

Καὶ Λιβύην, ὅθι τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσι.

ὀρθῶς εἰρημένον, ἐν τοῖσι θερμοῖσι ταχὺ παραγίνεσθαι τὰ
3 κέρεα. ἐν δὲ τοῖσι ἰσχυροῖσι ψύχεσι ἢ οὐ [d] φύει κέρεα τὰ
κτήνεα ἀρχὴν, ἢ φύοντα φύει μόγις. ἐνθαῦτα μέν νυν διὰ
30 τὰ ψύχεα γίνεται ταῦτα. Θωυμάζω δὲ, (προσθήκας
γὰρ δή μοι ὁ λόγος ἐξ ἀρχῆς [a] ἐδίζητο,) ὅτι ἐν τῇ Ἠλείῃ
πάσῃ χώρῃ οὐ δυνέαται γίνεσθαι ἡμίονοι, οὔτε ψυχροῦ τοῦ 294
2 χώρου ἐόντος, οὔτε ἄλλου φανεροῦ αἰτίου οὐδενός. φασὶ
δὲ αὐτοὶ Ἠλεῖοι ἐκ [b] κατάρης τευ οὐ γίνεσθαί [c] σφι ἡμιό-
νους. ἀλλ' ἐπεὰν [d] προσίῃ [e] ἡ ὥρη κυΐσκεσθαι τὰς ἵπ-
πους, ἐξελαύνουσι ἐς [f] τοὺς πλησιοχώρους αὐτάς· καὶ
ἔπειτά σφι ἐν τῇ τῶν πέλας ἐπιεῖσι τοὺς ὄνους, ἐς οὗ ἂν

Elis non gignit mulos.

μάζεται edd. vett. et alii mss. cum c. ubi in marg. νομίζεται. ὡς τ. θωμάζεται S.

[p] Sic S.V. δὲ οὐδὲ ὁ. οὐκ ἀν. P. c. δὲ ὄνοι οὐκ ἀν. F. Vulgo δὲ οὐδὲ ὄνοι ἀν.

[q] τὴν ἀρχὴν] τὴν om. S.V.K.F. cf. 25. et 29. Mox κρυμμῷ S.

[r] ἀποφασκελίζουσι S.

29.

[a] Sic M.P.K. τὸ κῶλον F. τὸ καθόλου S. al.

[b] διὰ ταῦτα etc. citat Eustath. Od. p. 1485, 10=152, 35.

[c] Sic Ald. S. δέ μοι τῇ γ. Ὁ. absque καὶ M.K.P.F. Wessel. μαρτυρεῖ S.

[d] Sic S.V. Eustath. φύειν F. Paris. vulg. et sic mox.

30.

[a] Sic S.V. a. e. Vulgo ἐδίζετο. ἐζήτησε K.P.F.b. e gl. Supra θωμάζω S.

[b] Sic S.V.A.B. Steph. Eustath. Dion. 409. τευ om. Ald. M.P.K.F.

[c] σφίσι F.

[d] Sic V.S. Ald. Sic II. 41. ἐπεὰν—προσίῃ ὁ τεταγμένος καιρός. προσῇ M.P.K.F. qui et ἐὰν pro ἐπεάν.

[e] ὥρη κυήσεσθαι V.S.

[f] τὰς πλησ. S.V. τοὺς ἵππους S.

[g] σχῶσι αἱ ἵπποι ἐν γαστρί· ἔπειτα δὲ ὀπίσω ἀπελαύ-
31 νουσι. Περὶ δὲ τῶν πτερῶν, τῶν Σκύθαι λέγουσι [a] ἀνά-
πλεων εἶναι τὸν ἠέρα, καὶ τούτων εἵνεκα οὐκ [b] οἷά τε εἶναι
οὔτε [c] ἰδεῖν τὸ πρόσω τῆς ἠπείρου, [d] οὔτε διεξιέναι, τήνδε
2 ἔχω περὶ αὐτῶν [e] τὴν γνώμην. τὰ κατύπερθε ταύτης τῆς
χώρης αἰεὶ νίφεται, ἐλάσσονι δὲ τοῦ θέρεος ἢ τοῦ χειμῶ-
3 νος, ὥσπερ καὶ [f] οἰκός. ἤδη ὦν ὅστις ἀγχόθεν χιόνα ἁδρὴν
πίπτουσαν [g] εἶδε, οἶδε τὸ λέγω. ἔοικε γὰρ ἡ χιὼν πτε-
ροῖσι· καὶ διὰ τὸν χειμῶνα τοῦτον, ἐόντα τοιοῦτον, [h] ἀοί-
4 κητα τὰ πρὸς βορῆν ἐστι τῆς ἠπείρου ταύτης. τὰ ὦν
πτερὰ εἰκάζοντας τὴν χιόνα [i] τοὺς Σκύθας τε καὶ τοὺς
περιοίκους [k] δοκέω λέγειν. Ταῦτα μέν νυν, τὰ λέγεται
μακρότατα, εἴρηται.

Pennæ, quibus oppletus aer, [c. 7.] sunt nix.

32 Ὑπερβορέων δὲ πέρι ἀνθρώπων οὔτε τι Σκύθαι [a] λέ-
γουσι, οὔτε τινὲς ἄλλοι τῶν ταύτῃ οἰκημένων, εἰ μὴ ἄρα
2 Ἰσσηδόνες. ὡς δ' ἐγὼ δοκέω, οὐδ' οὗτοι λέγουσι οὐδέν·
ἔλεγον γὰρ ἂν καὶ Σκύθαι, [b] ὡς περὶ τῶν μουνοφθάλμων
3 λέγουσι. Ἀλλ' [c] Ἡσιόδῳ μέν ἐστι περὶ Ὑπερβορέων
εἰρημένα, ἔστι δὲ καὶ Ὁμήρῳ ἐν Ἐπιγόνοισι, εἰ δὴ τῷ
33 [d] ἐόντι γε Ὅμηρος ταῦτα τὰ ἔπεα ἐποίησε. [a] Πολλῷ δέ
τι πλεῖστα περὶ αὐτῶν Δήλιοι λέγουσι, φάμενοι ἱρὰ

Hyperborei a quibus memorentur.

Sacra ex Hyperboreis in De-

[g] ἔχωσιν S.V.

31.

[a] ἀνάπλεον S.F. Mox F. τούτων et αὐτῶν pro τουτέων et αὐτέων. Consentit S. in τούτων.

[b] Sic S.V. cf. 7 et 53. οἷοί τε F. vulg.

[c] ἰδεῖν om. F.

[d] οὐδὲ διεξ. S.V.

[e] τὴν om. F.a. Mox τοῦ ante θέρεος om. S.

[f] Sic F.c. Vulgo εἰκός.

[g] οἶδεν S.

[h] Sic Ald. b.d. omnes libri II. 34. V. 10. ἀνοίκητα M.K.P. V.S.F.a.c. Wessel.

[i] τοὺς Σκύθας τὴν χιόνα τε καὶ F.

[k] δοκέω om. S.

32.

[a] Sic M.K.P.F. λέγ. οὐδὲν S. V.A.B. Ald.

[b] ὡς περὶ τῶν M.V.K.P.F. Paris. ὥσπερ τῶν S. ὡς καὶ περὶ τῶν vulgo.

[c] Ἡσιόδου—Ὁμήρου S.

[d] Sic S. Vulgo ὄντι.

33.

[a] Sic c. πολλῷ δ' ἔτι S.V.A.B. Ald. Πολλῷ δὴ absque τι M.K.P. F. Mox αὐτῶν S.F. pro αὐτέων.

[b] ἐνδεδεμένα ἐν καλάμῃ πυρῶν, ἐξ Ὑπερβορέων φερόμενα,
ἀπικνέεσθαι ἐς Σκύθας· ἀπὸ δὲ Σκυθέων ἤδη δεκομένους
αἰεὶ τοὺς πλησιοχώρους ἑκάστους, κομίζειν αὐτὰ τὸ πρὸς
2 ἑσπέρης [c] ἑκαστάτω ἐπὶ τὸν Ἀδρίην· [d] ἐνθεῦτεν δὲ πρὸς
μεσαμβρίην προπεμπόμενα [e] πρώτους Δωδωναίους Ἑλ-
λήνων δέκεσθαι· ἀπὸ δὲ τούτων καταβαίνειν ἐπὶ τὸν
[f] Μηλιέα κόλπον, καὶ διαπορεύεσθαι ἐς Εὔβοιαν· [g] πόλιν
τε ἐς πόλιν πέμπειν, μέχρι [h] Καρύστου· τὸ δ' ἀπὸ ταύ-
της, ἐκλιπεῖν Ἄνδρον· Καρυστίους γὰρ εἶναι τοὺς κομί-
3 ζοντας ἐς Τῆνον· Τηνίους δὲ, ἐς Δῆλον. [i] ἀπικνέεσθαι μέν
νυν [k] ταῦτα τὰ ἱρὰ οὕτω λέγουσι ἐς Δῆλον. πρῶτον δὲ
τοὺς Ὑπερβορέους πέμψαι φερούσας τὰ ἱρὰ δύο κόρας,
τὰς οὐνομάζουσι Δήλιοι εἶναι Ὑπερόχην τε καὶ Λαοδίκην·
ἅμα δὲ [l] αὐτῇσι [m] ἀσφαλίης εἵνεκεν πέμψαι τοὺς Ὑπερ-
βορέους τῶν ἀστῶν ἄνδρας πέντε πομποὺς, τούτους οἳ νῦν
[n] Περφερέες καλέονται, τιμὰς μεγάλας ἐν Δήλῳ ἔχοντες.
4 ἐπεὶ δὲ τοῖσι Ὑπερβορέοισι τοὺς ἀποπεμφθέντας ὀπίσω
οὐκ ἀπονοστέειν, δεινὰ ποιευμένους εἰ σφέας αἰεὶ κατα-
λάμψεται ἀποστέλλοντας μὴ [o] ἀποδέκεσθαι, οὕτω δὴ
φέροντας ἐς [p] τοὺς οὔρους τὰ ἱρὰ [q] ἐνδεδεμένα ἐν πυρῶν
καλάμῃ, [r] τοῖς πλησιοχώροις ἐπισκήπτειν κελεύοντας

lum quomodo et quo itinere delata: cur missa tali modo: Hyperoche et La-
295
odice: Perpherees: cultus Dianæ Reginæ apud mulieres Thracias et Pæonias.

[b] Sic S.P.V. Ald. Vall. ἐνδεδυμένα M.K. ἐκδεδεμένα F.

[c] ἑκάστῳ F.d.

[d] Sic S.V.F. Schæfer. ἐνθ. δὴ alii.

[e] πρὸς τοὺς d. Mox τούτων cum F. pro τουτέων, quod retinet S.

[f] Μειλειέα S.

[g] πόλιν τε V.F.a.c. πόλιν δ' S. Wessel. et al.

[h] Καρίστου S. et Καριστίους infra.

[i] ἀπικνέεσθαι—Δῆλον om. M.P.K.F.

[k] οὕτω ταῦτα τὰ ἱρὰ S.a. Mox ὀνομάζουσι S. qui τε om. post Ὑπερόχην.

[l] Sic S.M.P.K.F. Paris. Al. αὐτοῖσι.

[m] ἀσφαλίης V. cf. II. 18. S. et Al. ἀσφαλείης. Tum εἵνεκα S.

[n] Sic M.P.K. Vall. a.c. Περφέρες S. Hesych. Περιφερέες F.b. d. Ald. Mox ἐπεὶ δὲ δὲ S.

[o] ὑποδέκεσθαι οὕτως S.

[p] τοὺς σούρους S.

[q] ἐνδεδεμένα S.V.P.F. Paris. Vall. ἐνδεδυμένα M.K. Ald.

[r] Ita Schæferus ex nescio cu-

5 [s]προπέμπειν [t]σφέα ἀπὸ ἑωυτῶν ἐς ἄλλο ἔθνος. καὶ ταῦτα μὲν οὕτω προπεμπόμενα, ἀπικνέεσθαι λέγουσι ἐς
6 Δῆλον. Οἶδα δὲ αὐτὸς τούτοισι ἱροῖσι τόδε ποιεύμενον προσφερές· τὰς [v]Θρηϊκίας καὶ τὰς [w]Παιονίδας γυναῖκας, ἐπεὰν [x]θύωσι τῇ Ἀρτέμιδι τῇ Βασιληΐῃ, οὐκ ἄνευ πυρῶν καλάμης [y]θυούσας τὰ ἱρά. καὶ ταῦτα [z]μὲν δὴ οἶδα ταύτας ποιεύσας.

34 Hyperochæ et Laodicæ manibus quas inferias Delii faciant.

Τῇσι δὲ παρθένοισι ταύτῃσι τῇσι ἐξ Ὑπερβορέων τελευτησάσῃσι ἐν Δήλῳ, κείρονται καὶ αἱ κόραι καὶ οἱ παῖδες οἱ Δηλίων· αἱ μὲν, πρὸ γάμου πλόκαμον ἀποταμνόμεναι, καὶ περὶ ἄτρακτον εἱλίξα-
2 σαι, ἐπὶ τὸ σῆμα τιθεῖσι· (τὸ δὲ σῆμά ἐστι ἔσω ἐς τὸ 296
Ἀρτεμίσιον [a]ἐσιόντι ἀριστερῆς χειρός· ἐπιπέφυκε δέ οἱ ἐλαίη·) [b]οἱ δὲ παῖδες τῶν Δηλίων, περὶ χλόην τινὰ εἱλίξαντες τῶν τριχῶν, [c]προτιθεῖσι καὶ οὗτοι ἐπὶ τὸ σῆ-
3 μα. αὗται μὲν δὴ ταύτην [d]τὴν τιμὴν ἔχουσι πρὸς τῶν [e]Δήλου οἰκητόρων.

35 Venisse illas, ut vo-

Φασὶ δὲ [a]οἱ αὐτοὶ, καὶ τὴν [b]Ἄργην τε καὶ τὴν Ὦπιν, ἐούσας παρθένους, ἐξ Ὑπερβορέων κατὰ

jus apud Wesselingium emendatione. τοὺς πλησιοχώρους mss. edd.

[s] μὴ πρ. d.

[t] σφέα S.V. σφέας F. Paris. et vulg.

[v] Sic F.b.d. Θρῃκίας P.K. Θρήσας edd. θρήσας S. Θρήσσας Reiz. ex em. Wesselingii. Θρηΐσσας Schæfer. Supra τούτοισι τοῖσιν ἱροῖσι S.

[w] Παιωνίδας S.

[x] θύσωσι S.V.

[y] θυούσας V.S. Ald. A.B. Reiz. Schæfer. et probavit Wesseling. ἐχούσας M. P. K. F. b. d. ἐχούσας ex ἐρδούσας detortum suspicatur Larcherus cum Eldikio Susp. Spec. p. 16. ἔχουσας idem esse atque φερούσας paullo supra, i. e. *sacra manu tenentes et in pompa gestantes* putat Schweighæuser.

[z] μὲν om. M.P.K.F. qui sic habet, καὶ ταῦτα δὴ ταύτας οἶδα ποιεύσας.

34.

[a] ἰόντι S.V. Supra πρὸ γάμου non vertit Valla.

[b] οἱ δὲ π. A.B. Ald. S.V. ὅσοι δὲ π. M.P.K.F.

[c] Sic S.V. Vall. τιθεῖσι Wessel. et vulg.

[d] τὴν τιμὴν om. S. ταύτην τιμὴν absque τὴν F.

[e] Δηλίου F.

35.

[a] οἱ om. S.V. Suprasc. in F. οἱ αὐτοὶ οὗτοι P.K. Schæfer. Mox ἀνθρώπους om. S.

[b] Ald. Ἄργιν. Steph. marg. Ἑκαέργην. Scil. e Callimach. H. Del. et Pausan. I. 43.

τοὺς αὐτοὺς τούτους ἀνθρώπους πορευομένας, ἀπικέσθαι
2 ἐς Δῆλον ἔτι πρότερον Ὑπερόχης τε καὶ [c] Λαοδίκης. ταύ-
τας μέν νυν τῇ [d] Εἰλειθυίῃ ἀποφερούσας ἀντὶ τοῦ ὠκυτό-
κου τὸν ἐτάξαντο φόρον ἀπικέσθαι· τὴν δὲ Ἄργην τε καὶ
[e] τὴν Ὦπιν ἅμα αὐτοῖσι τοῖσι θεοῖσι ἀπικέσθαι λέγουσι,
καί σφι τιμὰς ἄλλας δεδόσθαι πρὸς σφέων· καὶ γὰρ
ἀγείρειν σφι τὰς γυναῖκας, ἐπονομαζούσας τὰ οὐνόματα
ἐν τῷ ὕμνῳ, τόν σφι Ὠλὴν ἀνὴρ Λύκιος ἐποίησε· παρὰ
δὲ σφέων μαθόντας νησιώτας τε καὶ Ἴωνας, ὑμνέειν Ὦπίν
3 τε καὶ Ἄργην, ὀνομάζοντάς τε καὶ ἀγείροντας· ([f] οὗτος
δὲ ὁ Ὠλὴν καὶ τοὺς ἄλλους τοὺς παλαιοὺς ὕμνους
ἐποίησε, ἐκ Λυκίης ἐλθὼν, τοὺς ἀειδομένους ἐν Δήλῳ·)
καὶ τῶν μηρίων καταγιζομένων ἐπὶ τῷ βωμῷ τὴν [g] σπο-
δὸν, ταύτην ἐπὶ τὴν θήκην τῆς Ὤπιός τε καὶ Ἄργης ἀναι-
4 σιμοῦσθαι ἐπιβαλλομένην. ἡ δὲ θήκη αὐτέων ἐστὶ ὄπισθε
τοῦ Ἀρτεμισίου, πρὸς ἠῶ τετραμμένη, [h] ἀγχοτάτω τοῦ
36 Κηΐων ἱστιητορίου. Καὶ ταῦτα μὲν Ὑπερβορέων πέρι εἰ-
ρήσθω. τὸν γὰρ περὶ Ἀβάριος λόγον τοῦ λεγομένου εἶναι
[a] Ὑπερβορέω οὐ λέγω, [b] λέγων [c] ὡς τὸν ὀϊστὸν περιέφερε
2 κατὰ πᾶσαν [d] τὴν γῆν, οὐδὲν σιτεόμενον. [e] Εἰ δέ εἰσί
τινες Ὑπερβόρεοι ἄνθρωποι, εἰσὶ καὶ ὑπερνότιοι ἄλλοι.
3 γελῶ δὲ [f] ὁρέων γῆς περιόδους γράψαντας πολλοὺς ἤδη,

tum Lucinæ solverent: eadem ætate in Apollinis et Dianæ comitatu priores venisse Argen et Opin: his qui honores habeantur: Olen Lycius, gymnopœus.

Rejicit Herodotus fabulam de Abaride: 297 negat Hyperboreos esse: ridet pingi terram forma globosa et

[c] Λαοδίκης M.P.K.

[d] Sic S.V. Εἰλιθ. P.F. Εἰληθ. alii. Hanc discordiam peperit solennis literæ η et diphthongi ει confusio.

[e] τὴν om. F. Mox Λύκιος ἀνὴρ S.

[f] οὗτος δὲ S.F.a.c. οὗτος δὴ Wessel. et al.

[g] σπονδὸν S.b. ἔποδον P.K.

[h] ἀγχοτάτη S.V. ἀγχοτάτου c. qui mox ἑστιητορίου. In S. κηωνεστικτορίου.

36.

[a] Ὑπερβορέου S.

[b] λέγοντα requirebat Schweighæuserus, qui in vulg. tamen acquiescit.

[c] ὡς τὸν ὀϊστὸν περιέφερε .. οὐδὲν σιτεόμενος libri omnes cum Eustathio Dionys. 31. Correxit Wesselingius probante Valckenærio.

[d] τὴν om. S.V.P.K.F.

[e] Cf. Strabo I. p. 106=61. Schol. Apollon. Rhod. II. 677. Ὑπερβόρεοί τινες S.

[f] Sic S.V. Vulgo ὁρῶν. Mox νόον ἐχόντας pro νόον ἔχοντας resti-

ambitam Oceano.

καὶ οὐδένα νόον ἔχοντας ἐξηγησάμενον· οἳ Ὠκεανόν τε ῥέοντα γράφουσι [g] πέριξ τὴν γῆν, ἐοῦσαν [h] κυκλοτερέα ὡς ἀπὸ τόρνου· καὶ τὴν Ἀσίην τῇ Εὐρώπῃ [i] ποιεύντων ἴσην. 4 ἐν [k] ὀλίγοισι γὰρ ἐγὼ δηλώσω μέγαθός τε ἑκάστης αὐτέων, καὶ [l] οἵη τίς ἐστι ἐς γραφὴν ἑκάστη.

37 Geographia Herodoti: a mari australi seu rubro, ad mare septentrionale seu Pontum Euxinum, Persæ, Medi, Saspires, Colchi.

[a] Πέρσαι οἰκέουσι, κατήκοντες ἐπὶ τὴν νοτίην θάλασ- 2 σαν, τὴν Ἐρυθρὴν καλεομένην. [b] τούτων δ' ὑπεροικέουσι πρὸς [c] βορέω ἀνέμου, Μῆδοι· Μήδων δὲ, [d] Σάσπειρες· Σασπείρων δὲ, Κόλχοι, κατήκοντες ἐπὶ τὴν βορηΐην θά- 3 λασσαν, ἐς τὴν Φᾶσις ποταμὸς ἐκδιδοῖ. [e] ταῦτα τέσσερα ἔθνεα οἰκέει ἐκ θαλάσσης ἐς θάλασσαν. Ἐνθεῦτεν δὲ, τὸ

38 Duplex Asiæ ad occidentem ora, in diversum pro-

[a] πρὸς ἑσπέρης, ἀκταὶ διφάσιαι ἀπ' αὐτῆς κατατείνουσι 2 ἐς θάλασσαν, τὰς ἐγὼ ἀπηγήσομαι. ἔνθεν μὲν ἡ ἀκτὴ ἡ ἑτέρη, [b] τὰ πρὸς βορῆν ἀπὸ Φάσιος ἀρξαμένη, παρατέταται ἐς θάλασσαν παρά τε τὸν Πόντον καὶ τὸν Ἑλλή-

tutum vult Dobræus ad Aristoph. Pac. 732.

[g] Sic S.a.c. πέριξ τὴν ἐοῦσαν F. πέριξ, τήν τε γῆν ἐοῦσαν vulgo.

[h] Cf. Eustath. Dionys. 1. Strabo I. p. 83=48.

[i] Sic M. S. P. K. V. F. Paris. ποιεῦσι olim.

[k] ὀλίγῳ S.

[l] Sic S.V.A.B. Ald. ὅσῃ τε M. F. et nescio an K.P.

37.

[a] Schweighæuserus, collatis cc. 38. 40. 41., Herodotum scripsisse putat, Ἀσίην (vel Ἀσίης τὸ μέσον) Πέρσαι οἰκέουσι, κατήκοντες ἐπὶ etc. "Certe," inquit, "in "hac Asiæ descriptione, a Per- "side veluti lineam ducit ver- "sus septentrionem, quem tra- "ctum quatuor habitare populos "ait, Persas, Medos, Saspires, "Colchos: dein, primum, re- "giones ab occidente illius tra- "ctus sitas enumerat cap. 38 et "39. tum vero cap. 40. ad eas, "quæ ab oriente sunt, progre- "ditur, leviter quidem illas tan- "gens, ac nonnisi Indiam ex- "tremam versus orientem no- "minans, prætermissis interje- "ctorum populorum nomini- "bus."

[b] τουτέων] τούτων F.

[c] Sic S.V. βορέην ἄνεμον F.a.c. d. et vulgo. cf. II. 121. IV. 17. et mox 38.

[d] Sic K.F.a.c. Σάπειρες· Σαπείρων S. al. vid. III. 94.

[e] ταῦτα τὰ S.

38.

[a] Sic M.P.K.F. Paris. Olim πρ. ἑσπέρην cum S. Mox ἀπ' αὐτέων cum Pauwio malebat Wesselingius, ἀπ' ἀντίης edidit Reizius, quomodo scriptum in marg. ms. A., sed a manu recenti, testatur Larcherus.

[b] τὸ—βορῆν S.V. βορέην al.

σποντον, μέχρι Σιγείου τοῦ Τρωϊκοῦ· τὰ δὲ [c] πρὸς νότου,
ἡ αὐτὴ [d] αὕτη ἀκτὴ ἀπὸ τοῦ [e] Μυριανδρικοῦ κόλπου, τοῦ
πρὸς [f] Φοινίκῃ κειμένου, τείνει τὰ ἐς θάλασσαν μέχρι
3 Τριοπίου ἄκρης. οἰκέει δ' ἐν τῇ ἀκτῇ ταύτῃ ἔθνεα ἀν-
39 θρώπων τριήκοντα. αὕτη μέν νυν ἡ ἑτέρη τῶν ἀκτέων. Ἡ
δὲ δὴ ἑτέρη, ἀπὸ Περσέων ἀρξαμένη, παρατέταται ἐς τὴν
Ἐρυθρὴν θάλασσαν· ἥ τε Περσικὴ, [a] καὶ ἡ ἀπὸ ταύτης
[b] ἐκδεκομένη Ἀσσυρίη, καὶ ἀπὸ Ἀσσυρίης ἡ Ἀραβίη.
2 [c] λήγει δὲ αὕτη (οὐ λήγουσα εἰ μὴ νόμῳ) ἐς [d] τὸν κόλπον
τὸν Ἀράβιον, ἐς τὸν Δαρεῖος ἐκ τοῦ Νείλου διώρυχα ἐσή-
3 γαγε. Μέχρι μέν νυν Φοινίκης ἀπὸ Περσέων, χῶρος
[e] πλατὺς καὶ πολλός ἐστι· τὸ δ' ἀπὸ Φοινίκης παρήκει
διὰ τῆσδε τῆς θαλάσσης ἡ ἀκτὴ αὕτη παρά τε [f] Συρίην
τὴν Παλαιστίνην, καὶ Αἴγυπτον, [g] ἐς τὴν τελευτᾷ· ἐν τῇ
4 ἔθνεά ἐστι τρία μοῦνα. Ταῦτα μὲν ἀπὸ Περσέων τὰ
40 [h] πρὸς ἑσπέρης τῆς Ἀσίης [i] ἔχοντά ἐστι. Τὰ δὲ κατύ-
περθε Περσέων, καὶ Μήδων, καὶ [a] Σασπείρων, καὶ Κόλ-
χων, τὰ πρὸς ἠῶ τε καὶ [b] ἠέλιον ἀνατέλλοντα, ἔνθεν
μὲν ἡ Ἐρυθρὴ παρήκει θάλασσα· [c] πρὸς βορέω δὲ ἡ
Κασπίη τε θάλασσα, καὶ ὁ Ἀράξης ποταμὸς, [d] ῥέων

currens ad mare: una, quæ Asia Minor dicitur, in qua nationes xxx.

Altera, quæ complectitur, ad mare australe, Persiam, Assyriam, Arabiam; ad mare internum, Phœnicen, Syriam Palæstinam, Ægyptum.

Asiæ tractus orientalis, ad meridiem a 298 mari australi, ad aquilonem a mari Caspio et fluvio A-

[c] Sic P.K.M.F. Paris. πρὸς νότον S. al.
[d] αὕτη om. S.V.
[e] Sic Steph. Byzant. Μαριανδικοῦ S.V. Vall. Μαριανδύων M.P.K. Μαριανδηνῶν Ald. b. Μαριανδυνῶν F.a.c.
[f] Sic M.P.K.F.a.c. Φοινίκην S. Ald. et al.
[d] τὸν om. a.S.
[e] πολλὸς καὶ πλατὺς S.
[f] Sic M.S.P.K.V.F. Paris. Συρίην τὴν παρὰ τὴν Π. vulgo.
[g] ἐν τῇ c.
[h] Sic M.P.K.F. Paris. πρὸς ἑσπέρην S. vulgo.
[i] Sic S.V.A.B. Ald. ἐστι om. M.P.K.F.

39.

[a] καὶ ἀπὸ ταύτ. ἐκδ. ἡ Ἀσσ. F. Supra παρατέταται τὸ ἐς S.
[b] ἐκδεδομένη S. qui mox ἀπὸ τῆς Ἀσσ. Ἀ.
[c] Sic F. αὐτὴ vulgo. λ. δὲ καὶ αὕτη S.

40.

[a] Sic F.a. Σαπείρων S. al.
[b] Sic S.V. Vulgo ἥλιον.
[c] πρὸς β.—θάλασσα om. F.
[d] ῥέων πρ. ἡ. ἀ. delevit Borheckius. Mox ἡ Ἀσίη S.

raxe conclusus, India est: quæ ultra sunt ad orientem, deserta et incognita.

2 πρὸς ἠέλιον ἀνίσχοντα. μέχρι δὲ τῆς Ἰνδικῆς οἰκέεται
Ἀσίη· τὸ δὲ ἀπὸ ταύτης, [e] ἐρῆμος ἤδη [f] τὸ πρὸς τὴν ἕω,
οὐδ᾽ ἔχει οὐδεὶς φράσαι οἷον δή τί ἐστι. Τοιαύτη μὲν καὶ
τοσαύτη [g] ἡ Ἀσίη ἐστί.

41

Oræ hujus alterius pars, Libya: ejusdem oræ apud Ægyptum latitudo exigua M stadiorum. [2, 158.]

Ἡ δὲ Λιβύη [a] ἐν τῇ ἀκτῇ τῇ ἑτέρῃ ἐστί· ἀπὸ γὰρ
2 Αἰγύπτου Λιβύη ἤδη ἐκδέκεται. κατὰ μέν νυν Αἴγυπτον
[b] ἡ ἀκτὴ αὕτη στεινή ἐστι· ἀπὸ γὰρ τῆσδε τῆς θαλάσσης
ἐς τὴν Ἐρυθρὴν θάλασσαν, δέκα μυριάδες εἰσὶ ὀργυιέων·
3 αὗται δ᾽ ἂν εἶεν χίλιοι στάδιοι. τὸ δὲ ἀπὸ τοῦ στεινοῦ
τούτου, κάρτα πλατέα τυγχάνει ἐοῦσα [c] ἡ ἀκτὴ, ἥτις
Λιβύη κέκληται.

42

Europa tam longa, quam et Libya et Asia: latitudinem quantam habeat, ne conjicere quidem licet: Libyam primum circumvecti Phœnices, e Necone missi; [2, 159.]

[a] Θωμάζω ὦν τῶν διουρισάντων καὶ
διελόντων [b] Λιβύην τε καὶ Ἀσίην καὶ Εὐρώπην· οὐ γὰρ
2 [c] σμικρὰ τὰ διαφέροντα [d] αὐτέων ἐστί. μήκεϊ μὲν γὰρ
[e] παρ᾽ ἀμφοτέρας παρήκει ἡ Εὐρώπη· εὔρεος δὲ πέρι,
3 [f] οὐδὲ συμβαλέειν ἀξίη φαίνεταί μοι εἶναι. Λιβύη μὲν
γὰρ δηλοῖ ἑωυτὴν, [g] ἐοῦσα περίρρυτος, πλὴν ὅσον αὐτῆς
πρὸς τὴν Ἀσίην οὐρίζει· Νεκὼ τοῦ Αἰγυπτίων [h] βασιλέος
4 πρώτου τῶν ἡμεῖς ἴδμεν, καταδέξαντος. ὃς ἐπεί τε τὴν
διώρυχα ἐπαύσατο ὀρύσσων τὴν ἐκ τοῦ Νείλου [i] διέχουσαν
ἐς τὸν Ἀράβιον κόλπον, ἀπέπεμψε Φοίνικας ἄνδρας
πλοίοισι, ἐντειλάμενος ἐς τὸ ὀπίσω δι᾽ [k] Ἡρακληΐων στη-
λέων [l] διεκπλέειν ἕως ἐς τὴν Βορηΐην θάλασσαν, καὶ οὕτω

[e] ἐρῆμος vel ἔρημος F.a.P.K.S.V. ἔρημον vulgo.
[f] τὸ om. S.V. ἠῶ S.
[g] ἐστὶν ἡ Ἀσίη S.

41.

[a] τῇ ἀκτῇ om. S.
[b] Sic S.V.a.c. edd. vett. ἐστὶ ᾗ ἐστι M.K.P. Gronov. ἐστιν ᾗ ἐστιν F.b. αὐτὴ ἀκτὴ b. Mox δ᾽ post αὗται om. S.
[c] Sic F. ἡ om. alii.

42.

[a] θωυμάζω] θωμάζω S.V.
[b] Sic S. τε om. al.
[c] μικρὰ S.V.
[d] αὐτῶν F.
[e] παρ᾽ om. S.V.
[f] οὐ συμβ. S. οὐδὲ συμβάλλειν F.
[g] οὖσαν F.
[h] βασιλῆος S. βασιλέος vulg. βασιλέως F.
[i] Sic Ald. a.c.d.S. et al. ἔχουσαν M.P.K.F.
[k] Ἡρακλέων S.K.F. στηλ. om.S.
[l] Sic S. ἐκπλέειν vulgo. Mox βορείην S.

5 ἐς Αἴγυπτον ἀπικνέεσθαι. Ὁρμηθέντες ὦν [m] οἱ Φοίνικες
ἐκ τῆς [n] Ἐρυθρῆς θαλάσσης, ἔπλεον τὴν νοτίην θάλασσαν.
6 ὅκως δὲ [o] γίνοιτο φθινόπωρον, [p] προσίσχοντες ἂν σπείρε-
σκον τὴν γῆν, ἵνα ἑκάστοτε τῆς Λιβύης πλέοντες [q] γι-
νοίατο, καὶ μένεσκον τὸν ἄμητον· θερίσαντες δ' ἂν τὸν
σῖτον, ἔπλεον· ὥστε δύο ἐτέων διεξελθόντων, τρίτῳ ἔτεϊ
κάμψαντες [r] Ἡρακληΐας στήλας, ἀπίκοντο ἐς Αἴγυ-
7 πτον. καὶ ἔλεγον, ἐμοὶ μὲν οὐ πιστὰ, ἄλλῳ [s] δὲ δή τεῳ,
ὡς [t] περιπλώοντες τὴν Λιβύην, τὸν [v] ἠέλιον ἔσχον ἐς τὰ
43 δεξιά. οὕτω μὲν αὕτη ἐγνώσθη τὸ πρῶτον. Μετὰ δὲ,
Καρχηδόνιοί εἰσι οἱ λέγοντες. ἐπεὶ [a] Σατάσπης γε ὁ
Τεάσπιος, ἀνὴρ Ἀχαιμενίδης, οὐ περιέπλωσε Λιβύην,
ἐπ' αὐτὸ τοῦτο πεμφθείς· ἀλλὰ δείσας τό τε μῆκος τοῦ
πλόου καὶ τὴν ἐρημίην, ἀπῆλθε ὀπίσω, οὐδ' ἐπετέλεσε
2 τὸν ἐπέταξέ οἱ ἡ μήτηρ ἄεθλον. Θυγατέρα γὰρ [b] Ζω-
πύρου τοῦ Μεγαβύζου ἐβιήσατο παρθένον· ἔπειτα μέλ-
λοντος αὐτοῦ διὰ ταύτην τὴν αἰτίην ἀνασκολοπιεῖσθαι
ὑπὸ Ξέρξεω [c] βασιλέος, ἡ μήτηρ τοῦ Σατάσπεος, ἐοῦσα
Δαρείου ἀδελφεὴ, [d] παραιτήσατο, φᾶσά οἱ αὐτὴ μέζω
ζημίην ἐπιθήσειν ἤπερ ἐκεῖνον· Λιβύην γάρ οἱ ἀνάγκην
ἔσεσθαι περιπλώειν, ἐς ὃ ἂν [e] ἀπίκηται, περιπλέων αὐ-
3 τὴν, ἐς τὸν Ἀράβιον κόλπον. συγχωρήσαντος δὲ Ξέρξεω

deinde Carthaginienses: Sataspis Persæ navigatio, a Xerxe 299 jussa, perfecta non est.

[m] οἱ om. F.
[n] Sic M.K.P.S.V.F. Paris. Ἐρυθ. καλεομένης θ. edd. vett.
[o] Sic V.P.S.F.c. γένοιτο al.
[p] Sic V.S. προσχόντες al.
[q] Sic S.V. Vulgo γενοίατο. Mox τὸν om. S.
[r] Ἡρακλέας F.S.
[s] Sic K. edd. vett. δέ τεῳ S.V.
[t] Sic M.P. περιπλόοντες τὴν F. πλώσαντες τὴν Eton. περιπ. ἐς τὴν vulgo. περιπλώοντες absque τὴν S.
[v] Sic S. ἥλιον vulgo. Mox ἐγνώσθη αὕτη S.

43.

[a] Σατάπης K. Mox Τεάσπειος S.
[b] Sic F. Ζωπ. τοῦ Μεγ. παρθ. ἐβ. S.P.K. Wess. Ζωπ. ἐβ. τ. M. π. vulgo. ἐβιάσατο S. Mox αὐτοῦ om. F.
[c] βασιλῆος] βασιλέως F.
[d] Sic V. cf. Koen. Gregor. Dial. Ion. 23. παρῃτήσατο vulgo cum S. Mox εἴπερ S.
[e] ἀφίκηται M.K.F.

ἐπὶ τούτοισι, ὁ [f]Σατάσπης ἀπικόμενος ἐς Αἴγυπτον,
καὶ λαβὼν νέα τε καὶ ναύτας παρὰ τούτων, ἔπλεε
4 [g]παρὰ Ἡρακληΐας στήλας. διεκπλώσας δὲ, καὶ κάμ-
ψας τὸ ἀκρωτήριον τῆς Λιβύης, τῷ οὔνομα [h]Σολόεις
ἐστὶ, ἔπλεε πρὸς μεσαμβρίην· περήσας δὲ θάλασσαν
πολλὴν ἐν πολλοῖσι [i]μήνεσι, ἐπεί τε τοῦ πλεῦνος αἰεὶ
5 ἔδεε, ἀποστρέψας ὀπίσω, ἀπέπλεε ἐς Αἴγυπτον. Ἐκ
δὲ ταύτης ἀπικόμενος [k]παρὰ βασιλέα [l]Ξέρξεα, ἔλεγε
[m]φὰς τὰ προσωτάτω ἀνθρώπους [n]σμικροὺς παραπλέειν,
ἐσθῆτι φοινικηΐῃ [o]διαχρεωμένους· οἳ, ὅκως σφεῖς κατα-
γοίατο τῇ νηῒ, φεύγεσκον πρὸς τὰ οὔρεα, [p]λείποντες τὰς
[q]πόλιας· αὐτοὶ δὲ ἀδικέειν οὐδὲν [r]ἐσιόντες, πρόβατα δὲ
6 μοῦνα ἐξ αὐτέων λαμβάνειν. τοῦ δὲ μὴ περιπλῶσαι
Λιβύην παντελῶς, αἴτιον τόδε [s]ἔλεγε· τὸ πλοῖον τὸ
7 πρόσω οὐ δυνατὸν [t]ἔτι προβαίνειν, ἀλλ' ἐνίσχεσθαι. Ξέρ-
ξης [v]δὲ οὔ οἱ συγγινώσκων λέγειν ἀληθέα, οὐκ [w]ἐπιτε-
λέσαντά τε τὸν προκείμενον ἄεθλον, [x]ἀνεσκολόπισε, τὴν
8 ἀρχαίην δίκην ἐπιτιμῶν. τούτου δὲ τοῦ Σατάσπεος εὐ-
νοῦχος ἀπέδρη ἐς Σάμον, ἐπεί τε ἐπύθετο τάχιστα τὸν
δεσπότεα τετελευτηκότα, ἔχων χρήματα μεγάλα, τὰ

[f] Σατάσπης S.P.F.a.c. Vall. Vulgo Σατάσπις.
[g] ἐπὶ V.S. Schæfer. Tum Ἡρακλέας F.S.
[h] Sic S.V. Eton. P.F. Paris. cf. II. 32. Συλόεις edd. vett.
[i] μήνεσιν S. cf. VIII. 51. μησὶ ceteri.
[k] ἐς βασιλῆα S. παρὰ βασιλέα F. et al.
[l] Ξέρξην F.
[m] σφεας S. qui mox τὰ προσώτατα.
[n] μικροὺς F.
[o] χρεωμένους S.V.a. Mox ὄρεα S.
[p] λείποντες M.K.S.F. καταλιπόντες Ald. S.V.A.B.
[q] πόλεις F.
[r] Sic Vall. S.V.a.c. σίνοντες, βρωτὰ F.b. et al.
[s] Sic S.V. Valla. ἐλέγετο M.F. et ceteri.
[t] Sic M.P.K.F.b.d. ἔτι (ἐστὶν S.) εἶναι προβ. S.V.a.c. Ald.
[v] δὲ οὔ οἱ M.K.P.F.b.d. δέ οἱ οὐ S. al.
[w] ἐπιτελέσαντά γε Reiskius. τε om. S.
[x] Citat Thomas M. in Ἐπίτιμος. Mox ἀπέδρα S. e ras.

Σάμιος ἀνὴρ κατέσχε· τοῦ ἐπιστάμενος τὸ οὔνομα, ἑκὼν [y] ἐπιλήθομαι.

44 Τῆς δὲ Ἀσίης τὰ πολλὰ ὑπὸ Δαρείου ἐξευρέθη· ὃς βουλόμενος Ἰνδὸν ποταμὸν, ὃς κροκοδείλους δεύτερος οὗτος ποταμῶν πάντων παρέχεται, τοῦτον τὸν ποταμὸν εἰδέναι τῇ ἐς θάλασσαν [a] ἐκδιδοῖ, πέμπει πλοίοισι [b] ἄλλους τε τοῖσι ἐπίστευε τὴν [c] ἀληθηΐην ἐρέειν, [d] καὶ δὴ καὶ
2 Σκύλακα ἄνδρα Καρυανδέα. οἱ δὲ, ὁρμηθέντες ἐκ [e] Κασπατύρου τε πόλιος καὶ τῆς Πακτυϊκῆς γῆς, ἔπλεον [f] κατὰ ποταμὸν [g] πρὸς ἠῶ τε καὶ ἡλίου ἀνατολὰς ἐς θάλασσαν· διὰ θαλάσσης δὲ πρὸς ἑσπέρην πλέοντες, τριηκοστῷ μηνὶ ἀπικνέονται ἐς τοῦτον τὸν χῶρον, ὅθεν ὁ Αἰγυπτίων βασιλεὺς τοὺς Φοίνικας, τοὺς πρότερον εἶπα,
3 ἀπέστειλε περιπλώειν Λιβύην. μετὰ δὲ τούτους περιπλώσαντας, Ἰνδούς τε κατεστρέψατο Δαρεῖος, καὶ τῇ
4 θαλάσσῃ ταύτῃ ἐχρᾶτο. [h] οὕτω καὶ τῆς Ἀσίης πλὴν τὰ πρὸς [i] ἠέλιον ἀνίσχοντα, τὰ ἄλλα ἀνεύρηται ὁμοῖα [k] παρεχομένη τῇ Λιβύῃ.

300 Asiæ pars a Dario detecta per Scylacem, qui ab Inde fluvio circumvectus est in sinum Arabicum: unus post Nilum Indus, crocodilos habens: Indi a Dario subacti.

45 Ἡ δὲ δὴ Εὐρώπη πρὸς εὐδαμῶν φανερή ἐστι γινωσκομένη, οὔτε τὰ πρὸς ἠέλιον ἀνατέλλοντα, οὔτε τὰ πρὸς [a] βορῆν, εἰ περίρρυτός ἐστι· μήκεϊ
2 δὲ γινώσκεται παρ' ἀμφοτέρας παρήκουσα. Οὐδ' ἔχω συμβαλέσθαι, [b] ἐπ' ὅτευ [c] μιῇ ἐούσῃ γῇ οὐνόματα τρι-

An Europa orientalis et septentrionalis circumflua sit, incompertum: non debuisse terram,

[y] ἐπιλήσομαι S.V.a.c. cf. I. 51.

44.

[a] ἐσδιδοῖ V. Supra πάντων ποταμῶν S.

[b] ἄλλοισί τε S.

[c] ἀληθείην F.S.

[d] καὶ δὴ καὶ S.V. Ald. et al. καὶ secundum om. M.P.K.F.

[e] Κασταπύρου S. cf. III. 102. Mox Πακτυΐης S.

[f] κατὰ τὸν π. S.V.

[g] πρὸς ἠῶ τε c.

[h] Sic (vel οὕτως) S.A.B.F. Vall. Vulgo οὗτος.

[i] Sic V.S. et sic c. seq. ἥλιον vulgo. Mox τὰ om. S.

[k] Sic S.a.c. παρεχομένην F.b. al. edd. vett. παρεχομένῃ Reiz.

45.

[a] Sic K. Reliqui βορέην.

[b] Hesychius: Ἐπότευ: διατί. ἢ ἐπὶ τίνος.

[c] Imitari Dionysium 7. monet Eustathius.

quum una sit, in tres partes dividi, Nilo et Phasi terminis positis: alios pro Phasi ponere Tanain, Mæotidem et Porthmia Cimmeria: Libyam, Asiam, Europam, nomina esse incertæ originis.

φάσια [d] κέεται, ἐπωνυμίας ἔχοντα γυναικῶν, καὶ οὐ-
ρίσματα αὐτῇ Νεῖλός τε ὁ Αἰγύπτιος ποταμὸς ἐτέθη,
καὶ Φᾶσις ὁ Κόλχος· (οἱ δὲ Τάναϊν ποταμὸν [e] τὸν Μαιή-
την καὶ Πορθμήϊα τὰ Κιμμέρια λέγουσι·) οὐδὲ τῶν
διουρισάντων τὰ οὐνόματα πυθέσθαι, καὶ ὅθεν ἔθεντο τὰς
3 ἐπωνυμίας. [f] ἡ δὴ γὰρ Λιβύη μὲν [g] ἐπὶ Λιβύης λέγεται
ὑπὸ τῶν πολλῶν Ἑλλήνων ἔχειν τὸ οὔνομα γυναικὸς
αὐτόχθονος· ἡ δὲ Ἀσίη ἐπὶ τῆς Προμηθέος [h] γυναικὸς
4 τὴν ἐπωνυμίην. καὶ τούτου μὲν μεταλαμβάνονται τοῦ
[i] οὐνόματος Λυδοὶ, φάμενοι ἐπὶ [k] Ἀσίεω, τοῦ [l] Κότυος,
τοῦ Μάνεω, κεκλῆσθαι τὴν Ἀσίην, ἀλλ' οὐκ ἐπὶ τῆς 301
Προμηθέος Ἀσίης· [m] ἀπ' ὅτευ καὶ τὴν ἐν Σάρδισι φυλὴν
5 κεκλῆσθαι Ἀσιάδα. Ἡ δὲ δὴ Εὐρώπη [n] οὔτε εἰ περίρ-
ρυτός ἐστι γινώσκεται πρὸς οὐδαμῶν ἀνθρώπων· οὔτε
ὁκόθεν τὸ οὔνομα ἔλαβε τοῦτο, οὔτε ὅστις οἱ ἦν ὁ θέμενος
φαίνεται· εἰ μὴ ἀπὸ τῆς [o] Τυρίης φήσομεν Εὐρώπης λα-
βεῖν τὸ οὔνομα τὴν χώρην, πρότερον δὲ [p] ἦν ἄρα ἀνώνυμος,
6 ὥσπερ αἱ ἕτεραι. ἀλλ' αὕτη γε ἐκ τῆς Ἀσίης τε φαί-
νεται ἐοῦσα, καὶ οὐκ ἀπικομένη ἐς [q] τὴν γῆν ταύτην ἥ
τις νῦν ὑπὸ Ἑλλήνων Εὐρώπη καλέεται, ἀλλ' ὅσον ἐκ
7 Φοινίκης ἐς Κρήτην, ἐκ Κρήτης δὲ ἐς [r] Λυκίην. Ταῦτα

[d] κέαται citat Procopius Goth. IV. 6. Mox αὐτῇσι S. Tum ἐτέθη om. S.

[e] καὶ Μαιῶτιν Procop.

[f] Ita Schweighæuser. pro vulg. ἤδη γάρ.

[g] Sic M.K.P.F. ἀπὸ Ald. S.V. A. Mox ἀπὸ τῆς S. Eustath.

[h] μητρὸς Eustath. Dionys. 270.

[i] Sic S.V.K.F. ὀνόματος edd. vett.

[k] Ἄσεω Ald. cf. Eustath. Dionys. 620. ἀπὸ pro ἐπὶ S. Ald.

[l] Βότυος S.V.d. Mox ἀπὸ τῆς S.

[m] Sic a. Reiz. ἀπό τευ vulgo. Cf. I. 7. III. 115. ἐπ' ὅτευ S. Mox Σάρδησι S.

[n] Sic S.V.a.c. οὐδ' εἰ F.b. al.

[o] Sic S.V. Vall. Eton. A.B. cf. I. 2. Συρίης M.F.b.d. Ald.

[p] ἦν om. S. Mox αἱ om. S.

[q] τὴν om. S.V.a.

[r] Sic M.P.K.F.a.c. Λιβύην S. b.d. vulgo.

μέν νυν ἐπὶ τοσοῦτον εἰρήσθω· τοῖσι γὰρ νομιζομένοισι [s] αὐτῶν χρησόμεθα.

46 Ὁ δὲ πόντος ὁ Εὔξεινος, ἐπ᾽ ὃν ἐστρατεύετο [a] Δαρεῖος, χωρέων πασέων παρέχεται, ἔξω τοῦ Σκυθικοῦ, [b] ἔθνεα
2 ἀμαθέστατα. οὔτε γὰρ ἔθνος τῶν ἐντὸς τοῦ Πόντου οὐδὲν ἔχομεν [c] προβαλέσθαι σοφίης πέρι, οὔτε ἄνδρα [d] λόγιον οἴδαμεν [e] γενόμενον, [f] πάρεξ τοῦ Σκυθικοῦ ἔθνεος, καὶ
3 Ἀναχάρσιος. Τῷ δὲ Σκυθικῷ γένεϊ ἓν μὲν τὸ μέγιστον τῶν ἀνθρωπηΐων πρηγμάτων [g] σοφώτατα πάντων ἐξεύρη-
4 ται, τῶν ἡμεῖς ἴδμεν· τὰ μέντοι ἄλλα οὐκ ἄγαμαι. τὸ [h] δὲ μέγιστον οὕτω σφι ἀνεύρηται, ὥστε [i] ἀποφυγέειν τε μηδένα ἐπελθόντα ἐπὶ σφέας, μὴ βουλομένους τε ἐξευρε-
5 θῆναι, καταλαβεῖν μὴ οἷόν τε εἶναι. [k] τοῖσι γὰρ μήτε ἄστεα μήτε τείχεα ᾖ ἐκτισμένα, ἀλλὰ [l] φερέοικοι [m] ἐόντες, πάντες ἔωσι ἱπποτοξόται, ζώοντες [n] μὴ [o] ἀπ᾽ ἀρότου, ἀλλ᾽ ἀπὸ κτηνέων, οἰκήματά τέ σφι ᾖ [p] ἐπὶ ζευγέων, κῶς οὐκ ἂν εἴησαν οὗτοι ἄμαχοί τε καὶ ἄποροι [q] προσμίσγειν;

Ponti Euxini gentes omnium stupidissimæ, præter Scythicam: unus cultæ mentis vir, Anacharsis: inventum Scytharum sollertissi- 302 mum, ut sint invicti.

47 Ἐξεύρηται δέ σφι ταῦτα, τῆς τε γῆς ἐούσης
2 ἐπιτηδέης, καὶ τῶν ποταμῶν ἐόντων σφι συμμάχων. ἥ τε γὰρ [a] γῆ ἐοῦσα πεδιὰς αὕτη, ποιώδης τε καὶ [b] εὔυδρός

Quid ad eam rationem habeant adjumenti a terra et flu-

[s] αὐτέων] αὐτῶν F.

46.

[a] ὁ Δ. P.F.

[b] Cf. Eustath. Dionys. 669.

[c] Sic S.V.P.K.B.F. παραβαλέσθαι M.A.C. Ald.

[d] λόγιμον S.V. ἐλλόγιμον Eustath.

[e] λεγόμενον S.V.

[f] Citat Etymolog. in v.

[g] σοφώτατον d.

[h] δὲ om. F.S.

[i] ἀποφυγεῖν F. ἀποφεύγειν a.S.

[k] τοῖσι γὰρ ἂν Schæferus ad Gregor. p. 80. μήτε ἄστεα om. Ald.

[l] φέροικοι S.V.

[m] ἐόντες ante ἱπποτοξόται locat S. Tum ζῶντες S.

[n] μὴ M.P. Ald. F. Paris. Olim τε μή.

[o] ἀπ᾽ ἀρότου M.P.K.F. Paris. ἀπ᾽ ἄρτου S.V. Vall. ἀπ᾽ ἀρότρου b. Ald.

[p] ἀπὸ ζ. d.

[q] προσμίσγειν M.K.P.S. Paris. F. προσμίγειν olim.

47.

[a] γῆ om. F. Supra σφισι S. Mox πιώδης Ald.

[b] ἔνυδρος S.V. cf. II. 7. ἐστι om. S.

minibus: flumina celebria et a mari adnavigabilia, octo.

ἐστι· ποταμοί τε δι' αὐτῆς ῥέουσι οὐ [c]πολλῷ τεῳ ἀρι-
3 θμὸν ἐλάσσονες τῶν ἐν Αἰγύπτῳ διωρύχων. ὅσοι δὲ οὐνο-
μαστοί τέ εἰσι αὐτῶν, καὶ προσπλωτοὶ ἀπὸ θαλάσσης,
4 τούτους [d]οὐνομανέω. Ἴστρος μὲν, πεντάστομος· μετὰ δὲ,
Τύρης τε καὶ [e]Ὕπανις, καὶ Βορυσθένης, καὶ Παντικάπης,
καὶ Ὑπάκυρις, καὶ [f]Γέρρος, καὶ Τάναϊς. [g]ῥέουσι δὲ οὗ-
τοι κατὰ τάδε.

48

Primus Ister, maximus omnium fluminum cognitorum: in eum quæ flumina et ad meridiem

Ἴστρος μὲν, ἐὼν μέγιστος [a]ποταμῶν πάντων τῶν ἡμεῖς
ἴδμεν, ἴσος αἰεὶ αὐτὸς ἑωυτῷ ῥέει καὶ θέρεος καὶ χειμῶνος.
2 πρῶτος δὲ τὸ ἀπ' ἑσπέρης τῶν ἐν τῇ Σκυθικῇ ῥέων, κατὰ
τοιόνδε μέγιστος γέγονε, ποταμῶν καὶ ἄλλων ἐς αὐτὸν
3 [b]ἐκδιδόντων. εἰσὶ δὲ [c]οἵδε οἱ μέγαν αὐτὸν ποιεῦντες· διὰ
[d]μέν γε τῆς Σκυθικῆς χώρης πέντε [e]μὲν οἱ ῥέοντες, τόν τε
Σκύθαι [f]Πόρατα καλέουσι, Ἕλληνες δὲ Πυρετόν· καὶ
ἄλλος, [g]Τιαραντός· καὶ Ἀραρός τε, καὶ Νάπαρις, καὶ 303
4 Ὀρδησσός. ὁ μὲν πρῶτος λεχθεὶς τῶν ποταμῶν, μέγας,
καὶ πρὸς ἠῶ ῥέων ἀνακοινοῦται τῷ Ἴστρῳ τὸ ὕδωρ· ὁ δὲ
δεύτερος λεχθεὶς, Τιαραντὸς, πρὸς [h]ἑσπέρης [i]τε μᾶλλον,
5 καὶ ἐλάσσων. ὁ δὲ δὴ Ἀραρός τε καὶ ὁ Νάπαρις καὶ ὁ
[k]Ὀρδησσὸς, διὰ μέσου τούτων [l]ἰόντες, ἐσβάλλουσι ἐς τὸν

[c] πολλῷ τι F. Mox αὐτῶν S. pro αὐτέων.
[d] ὀνομανέω F.
[e] Ὕσπανις S. qui supra τύρις.
[f] Γέρρις S.V. Vall.
[g] Sic S.V. ῥέουσι γὰρ οἵδε vulgo.

48.

[a] ποταμὸς ἁπάντων S.V.
[b] ἐσδιδόντων S.V.
[c] οἵδε om. S.V. qui tum οἳ.
[d] μέν τοι S.
[e] μὲν οἱ] μεγάλοι Koenius ad Gregor. Dial. Ion. 59. plaudente Larchero, et citante τρεῖς ἄλλοι μεγάλοι ex c. 49. Memini olim hanc Koenii emendationem indicare mihi Porsonum, tanquam insigne exemplum sagacitatis criticæ. Equidem miror Valckenærianum μόνοι Schweighæusero probari potuisse.
[f] Τωρατὰ S.
[g] Τισάραντος P.K.F.b.d. Mox τῷ ἴστρῳ ἀνακινοῦται S.
[h] ἑσπέρην S.a.c.
[i] τι μᾶλλον F. ὁ ante Νάπαρις om. S.
[k] Ὄρδησσος M.P.K. Vall. F. a.c. Ὄρδησος S. et supra. Ὄρδισσος b. et vulg. ὁ om. F.S.
[l] Sic M.P.K.F. Ceteri ῥέοντες cum S.

6 Ἴστρον. οὗτοι μὲν [m] αὐτιγενέες ποταμοὶ Σκυθικοὶ συμ-
49 πληθύουσι αὐτόν. Ἐκ δὲ [a] Ἀγαθύρσων Μάρις ποταμὸς
2 ῥέων συμμίσγεται τῷ Ἴστρῳ. ἐκ δὲ τοῦ Αἵμου τῶν κο-
ρυφέων τρεῖς [b] ἄλλοι μεγάλοι, ῥέοντες πρὸς [c] βορῆν ἄνεμον,
ἐσβάλλουσι ἐς αὐτὸν, Ἄτλας, καὶ [d] Αὔρας, καὶ [e] Τίβι-
σις· διὰ δὲ [f] Θρηΐκης καὶ Θρηΐκων τῶν Κροβύζων ῥέοντες,
[g] Ἄθρυς, καὶ [h] Νόης, καὶ [i] Ἀρτάνης, ἐκδιδοῦσι ἐς τὸν
Ἴστρον· ἐκ δὲ Παιόνων καὶ οὔρεος Ῥοδόπης, [k] Σκίος πο-
3 ταμὸς, [l] μέσον σχίζων τὸν Αἷμον, [m] ἐσδιδοῖ ἐς αὐτόν. ἐξ
Ἰλλυριῶν δὲ ῥέων πρὸς [n] βορῆν ἄνεμον Ἄγγρος ποταμὸς,
ἐσβάλλει ἐς πεδίον τὸ [o] Τριβαλλικὸν, καὶ ἐς ποταμὸν
4 [p] Βρόγγον· ὁ δὲ Βρόγγος ἐς τὸν Ἴστρον. οὕτω ἀμφοτέ-
ρους, ἐόντας μεγάλους, ὁ Ἴστρος [q] δέκεται. ἐκ δὲ τῆς
κατύπερθε χώρης Ὀμβρίκων, [r] Κάρπις ποταμὸς, καὶ ἄλ-
λος [s] Ἄλπις ποταμὸς, [t] πρὸς βορῆν ῥέοντες ἄνεμον, καὶ

et ad aquilonem exeant: ejus ex Celtis origo, et cursus per totam Europam. [2, 33.]

[m] αὐθηγ. S. αὐθιγ. K.F.a. σκυθικοὶ ποταμοὶ S.

49.

[a] Ἀγαθύρσου S.

[b] ἄλλοι οὐ μεγάλοι corrigit Mannert. Geogr. Gr. et Rom. T. VII. p. 10. ἐκ τοῦ Αἵμου—καὶ Τίβισις delevit Borheckius præeunte Gatterero.

[c] Sic S.V.K.P. Vulgo βορέην.

[d] Λύρας S.V.

[e] Sic S.V.M.K.P. Vall. F. Paris. Τίβησις vulgo.

[f] Θρηικίης F. Θρήκης καὶ Θρηκῶν κροβύζων S.

[g] Sic mss. Ἄθρης edd.

[h] Νοίας V.S. Vall.

[i] Sic V.M.P.K. Vall. Ἄρτανις S. Ἀτάρνης F.b.c. et al. Mox ἐσδιδοῦσι S.V. Mox ὄρεος ῥοδότης S.

[k] Sic S.V. Κῖος ed. Wessel. et al. Κίος F. ἤσκιος Mannert. et Gatterer. Ὄσκιος Thucyd. II. 96. Œscus Plin. III. xxvi. 29. Verum nomen Οἶσκος fuisse statuit Larcherus, ad Ptolemæum provocans III. 10. p. 88. cui Οἶσκος πόλις Τριβαλλῶν, monens insuper apud antiquos urbes a fluviis, propter quos sitæ erant, titulos solere mutuari. Provocat idem ad Tabulam Peutingerianam sect. VII. B.

[l] Sic S.V.A.B. Ald. Vall. cf. II. 17. 33. μέσος M.K.P.F.

[m] ἐκδιδοῖ S.V.F.a.

[n] βορῆν K.S. βορέην al. Mox ἐς τὸ πεδίον S.

[o] Sic V. Τριβαλικὸν al. τριβάλλιον S.

[p] Βόγγρον d. et mox Βόγγρος.

[q] Sic M.S.P.V.K.F. Paris. διαδέχεται al.

[r] Κάρμις V.S. Vall.

[s] Sic M.K.P.F. ποταμὸς om. V.S. Vall. c.

[t] πρὸς β. ἄν. καὶ οὗτοι ῥ. S.P.K. V.F.a.c. πρὸς β. ῥέ. ἄ. καὶ οὖ. ἐ. Wessel. et al. βορέην Ald.

5 οὗτοι [u] ἐκδιδοῦσι ἐς αὐτόν. ῥέει γὰρ δὴ διὰ πάσης [w] τῆς
Εὐρώπης ὁ Ἴστρος, ἀρξάμενος ἐκ Κελτῶν, οἳ ἔσχατοι
[x] πρὸς ἡλίου δυσμέων μετὰ Κύνητας οἰκέουσι τῶν ἐν τῇ Εὐ-
ρώπῃ· ῥέων δὲ διὰ πάσης τῆς Εὐρώπης, ἐς τὰ πλάγια
50 τῆς [y] Σκυθίης ἐσβάλλει. [a] Τούτων ὦν τῶν καταλεχθέντων
καὶ ἄλλων [b] πολλῶν συμβαλλομένων τὸ σφέτερον ὕδωρ,
2 γίνεται ὁ Ἴστρος ποταμῶν μέγιστος. ἐπεὶ ὕδωρ γε ἓν
πρὸς ἓν συμβάλλειν, ὁ Νεῖλος πλήθεϊ [c] ἀποκρατέει· [d] ἐς
γὰρ δὴ τοῦτον οὔτε ποταμὸς, οὔτε κρήνη [e] οὐδεμία ἐσδι- 304
3 δοῦσα, ἐς πλῆθός [f] οἱ συμβάλλεται. [g] ἴσος δὲ αἰεὶ ῥέει
ἔν τε θέρεϊ [h] καὶ χειμῶνι ὁ Ἴστρος, κατὰ τοιόνδε τι, ὡς
4 ἐμοὶ δοκέει. τοῦ μὲν χειμῶνος, ἐστὶ ὅσος πέρ ἐστι, [i] ὀλί-
γῳ τε μέζων τῆς ἑωυτοῦ φύσιος γίνεται· ὕεται γὰρ ἡ γῆ
αὕτη τοῦ χειμῶνος πάμπαν [k] ὀλίγῳ, νιφετῷ δὲ πάντα
5 [l] χρέεται· τοῦ δὲ θέρεος ἡ χιὼν ἡ ἐν τῷ χειμῶνι πεσοῦσα,
[m] ἐοῦσα ἀμφιλαφὴς, τηκομένη πάντοθεν ἐσδιδοῖ ἐς τὸν
Ἴστρον· αὕτη τε [n] δὴ ἡ χιὼν ἐσδιδοῦσα ἐς αὐτὸν, συμ-
πληθύει, καὶ ὄμβροι πολλοί τε καὶ λάβροι σὺν αὐτῇ·
6 ὕει γὰρ δὴ τὸ θέρος. ὅσῳ δὲ πλέον ἐπ' ἑωυτὸν ὕδωρ ὁ
ἥλιος ἐπέλκεται ἐν τῷ θέρεϊ ἢ ἐν τῷ χειμῶνι, τοσούτῳ τὰ
συμμισγόμενα τῷ Ἴστρῳ [o] πολλαπλάσιά ἐστι τοῦ θέρεος

Ister non propriæ aquæ copia, sed quod tantum alienæ accipit, Nilo major: cur non, ut Nilus, æstate surgat.

[u] Sic F.a.c. et al. ἐσδιδοῦσι S. M.K.P.
[w] τῆς om. F.
[x] πρὶν ἡλ. δυσμ. M.P.F. Mox δυσμέας Ald.
[y] Σκυθικῆς S.V. Schæfer.

50.

[a] τουτέων] τούτων F.
[b] ποταμῶν S. Mox ὁ om. S.
[c] Sic M. P. K. F. probante Valckenærio. ἐπικρατέει S.V.A.B. Ald. cf. Abresch. ad Cattier. Gazophyl. p. 68. infra 75.
[d] Spectat Eustath. Dionys. 226.
[e] οὐδεμίη] οὐδεμία F.S.
[f] Sic M.P.K.V.F. Paris. οἱ σ. οἱ vulgo. ἐσσυμβάλλεται S.
[g] ἴσος τε F.
[h] καὶ ἐν χ. S.V.
[i] ὀλίγος τε μείζων S.
[k] ὀλίγον S.
[l] Sic S.V.a. cf. I. 58. Vulgo χρᾶται. τὰ πάντα S.
[m] Sic S. V. P. K. F. Paris. Vulgo om. ἐοῦσα.
[n] δὴ om. F. qui mox ἐκδιδοῦσα. ἐσδοῦσα S.
[o] πολλαπλήσιά F. cf. III. 135. Vulgo πολληπλησία. S., πολλαπλάσια, recte, ut opinor.

[p]ἤπερ τοῦ χειμῶνος· ἀντιτιθέμενα δὲ ταῦτα, ἀντισήκωσις γίνεται, [q]ὥστε ἴσον μιν αἰεὶ φαίνεσθαι ἐόντα.

51 Εἷς μὲν δὴ τῶν ποταμῶν [a]τοῖσι Σκύθῃσί ἐστι ὁ Ἴστρος· μετὰ δὲ τοῦτον, Τύρης· ὃς ἀπὸ Βορέω μὲν ἀνέμου ὁρμᾶται, [b]ἄρχεται δὲ ῥέων ἐκ λίμνης μεγάλης, ἣ οὐρίζει τήν
2 τε Σκυθικὴν [c]καὶ τὴν Νευρίδα γῆν. ἐπὶ δὲ τῷ στόματι
52 αὐτοῦ κατοίκηνται Ἕλληνες, οἳ [d]Τυρῖται καλέονται. Τρίτος δὲ [a]Ὕπανις ποταμὸς ὁρμᾶται [b]μὲν ἐκ τῆς Σκυθικῆς, ῥέει δὲ ἐκ λίμνης μεγάλης, τὴν πέριξ νέμονται ἵπποι ἄγριοι λευκοί. καλέεται δ᾽ ἡ λίμνη αὕτη ὀρθῶς, [c]μήτηρ
2 Ὑπάνιος. ἐκ ταύτης ὦν ἀνατέλλων ὁ Ὕπανις ποταμὸς, ῥέει ἐπὶ μὲν πέντε ἡμερέων πλόον βραχὺς, καὶ [d]γλυκὺς ἔτι· ἀπὸ δὲ τούτου, πρὸς θαλάσσης τεσσέρων ἡμερέων
3 πλόον, πικρὸς [e]αἰνῶς. ἐκδιδοῖ γὰρ ἐς αὐτὸν κρήνη πικρὴ, οὕτω δή τι ἐοῦσα πικρὴ, ἣ μεγάθεϊ σμικρὴ ἐοῦσα, κιρνᾷ
4 τὸν Ὕπανιν, ἐόντα ποταμὸν ἐν ὀλίγοισι μέγαν. ἔστι δὲ ἡ κρήνη αὕτη ἐν [f]οὔροισι χώρης τῆς τε ἀροτήρων Σκυθέων καὶ [g]Ἀλαζώνων· οὔνομα δὲ τῇ κρήνῃ, καὶ ὅθεν ῥέει τῷ χώρῳ, Σκυθιστὶ μὲν, [h]Ἐξαμπαῖος· κατὰ δὲ τὴν Ἑλλή-
5 νων γλῶσσαν, Ἱραὶ ὁδοί. συνάγουσι δὲ τὰ τέρματα ὅ τε

Secundus Tyras, ortus ex palude quæ Scythiam a Neuride separat: ad Tyræ ostium, Græci Tyritæ. Tertius Hypanis, ex palude in Scythia ortus, fluens dulcis v dierum navigatione ad confinia Scytharum Aroterum et Alazonum: ibi
305
Exampæo fonte infectus, iv dierum navigatione peramarus ad mare defluit: minimo apud Ala-

p εἴπερ S.
q ὡς S.

51.

a τοῖσι om. M.K.P.F. Mox ὁ om. S. qui infra βορέου.
b Sic S.V. cf. II. 17. 33. IV. 49. ἔρχεται F.a.c.d. et vulgo.
c καὶ τὴν N. S.V. Paris. τὴν om. F. et vulgo.
d Τυρῆται S.

52.

a Ὕσπανις S.
b μὲν om. M.K. Mox ἵπποι νέμονται S.
c καλέεται δὲ μήτηρ ὑσπάνιος αὕτη ἡ λίμνη ὀρθῶς S. cf. Eustath. Dionys. 1143. Sqq. respiciunt Athenæus II. p. 43. D. Pausan. IV. 35. Steph. Byz. in Ὕπανις.
d Sic d. Vall. γλυκύς ἐστι S. al.
e Sic S.V. δεινῶς F. a. c. d. et vulgo. Mox ποταμὸν ἐόντα S.
f Sic S.F. et al. cf. Eustath. Hom. p. 149, 15=112, 51. olim οὔροισι.
g Sic S. et mox. cf. 17. Ἀλαζόνων F.a. al. et mox Ἀλαζόνας. Mox τῷ χώρῳ ὅθεν ῥέει S.
h Ἀμαξάμπεος P. Ald. Ἀμοξάνπαιός F. Ἁμαξάμπαιος b. *Exampæus* Vall.

zonas a Tyra spatio disjunctus.

Τύρης καὶ ὁ Ὕπανις κατὰ [i] Ἀλάζωνας· τὸ δὲ ἀπὸ τού-
του, ἀποστρέψας ἑκάτερος ῥέει εὐρύνων τὸ μέσον.

53 Quartus Borysthenes, multarum rerum post Nilum ditissimus: navigatur per dies xiv usque ad Gerrhum locum, ad quem ab aquilone fluit per incognita: Scythæ Georgi ad eum x dierum navigatione accolunt: [c. 18.] ejus unius et Nili fontes Græcis ignoti: effluens facto lacu Hypanin recipit: Hippolai promontorium: Cereris delubrum: Borysthenitæ ad Hypanin.

53 Τέταρτος δὲ, [a] Βορυσθένης ποταμός· [b] ὅς ἐστι μέγιστός
τε μετὰ Ἴστρον τούτων, καὶ πολυαρκέστατος κατὰ γνώ-
μας τὰς ἡμετέρας, οὔτι μοῦνον τῶν Σκυθικῶν ποταμῶν,
ἀλλὰ καὶ τῶν ἄλλων [c] ἁπάντων, πλὴν Νείλου τοῦ Αἰ-
γυπτίου· τούτῳ γὰρ οὐκ οἷά τέ ἐστι [d] συμβαλέειν ἄλλον
ποταμὸν, τῶν δὲ λοιπῶν Βορυσθένης ἐστὶ πολυαρκέστα-
2 τος. ὃς νομάς τε καλλίστας καὶ [e] εὐκομιδεστάτας κτή-
νεσι παρέχεται, [f] ἰχθύας τε ἀρίστους διακριδὸν [g] καὶ
πλείστους· πίνεσθαί τε ἥδιστός ἐστι· ῥέει τε καθαρὸς
3 παρὰ θολεροῖσι. σπόρος τε παρ' αὐτὸν ἄριστος γίνεται·
ποίη τε, τῇ οὐ σπείρεται ἡ χώρη, βαθυτάτη· ἅλες τε ἐπὶ
τῷ στόματι αὐτοῦ αὐτόματοι πήγνυνται ἄπλετοι· [h] κή-
τεά τε μεγάλα ἀνάκανθα, τὰ ἀντακαίους καλέουσι, παρ-
έχεται ἐς ταρίχευσιν, ἄλλα τε πολλὰ θωυμάσαι ἄξια.
4 Μέχρι μέν νυν [i] Γέρρου χώρου, ἐς τὸν [k] τεσσεράκοντα ἡμε-
ρέων πλόος ἐστὶ, γινώσκεται ῥέων ἀπὸ Βορέω ἀνέμου· τὸ
δὲ κατύπερθε δι' ὧν ῥέει ἀνθρώπων, οὐδεὶς ἔχει φράσαι.
5 φαίνεται δὲ ῥέων δι' ἐρήμου ἐς τῶν γεωργῶν [l] Σκυθέων τὴν 306
χώρην· οὗτοι γὰρ οἱ Σκύθαι παρ' αὐτὸν ἐπὶ δέκα ἡμερέων
6 πλόον νέμονται. μούνου δὲ τούτου [m] τοῦ ποταμοῦ καὶ Νεί-

[i] Ἀλαζώνας Wessel. et seqq. Mox ῥέει ἑκάτερος S.

53.

[a] Sic K.S.P.F. Paris. Alii ὁ Βορυσθ.

[b] Sic S.V. ὅς ἐστί τε μ. τε Ald. A.B. ὅς ἐστι μ. absque τε a. ὃς om. M.P.K. ποταμός ἐστί, μέγιστός γε F. Mox τούτων F.S. pro τουτέων.

[c] πάντων F.

[d] συμβάλλειν S.V.a.c. Citat hæc Eustath. Dionys. 311.

[e] Sic M.P.K.F.a. εὐνομιδεστάτας Ald. S.V.c. et a. in marg.

[f] ἰχθῦς S.V. ut I. 202.

[g] καὶ om. M.P.K.F.

[h] κτήνεα K. κάτηα S. Mox θωμάσαι S.

[i] Sic Vall. V.S. cf. cap. 56. et Steph. Byz. Γερρέων P.K.F. Γερρέου vulgo. τε addit S.

[k] τεσσαράκοντα F.S.

[l] Sic S. Vulgo τῶν Σκ.

[m] τοῦ om. F.

λου οὐκ ἔχω φράσαι τὰς πηγάς· δοκέω δὲ, [n] οὐδὲ οὐδεὶς
7 Ἑλλήνων. Ἀγχοῦ τε δὴ θαλάσσης ὁ Βορυσθένης ῥέων γί-
νεται, καί οἱ συμμίσγεται ὁ Ὕπανις, [o] ἐς τὠυτὸ ἕλος ἐκ-
8 διδούς. τὸ δὲ μεταξὺ τῶν ποταμῶν τούτων ἐὸν ἔμβολον
τῆς χώρης, [p] Ἱππόλεω ἄκρη καλέεται· [q] ἐν δὲ, τὸ ἱρὸν
[r] Δήμητρος ἐνίδρυται· πέρην δὲ τοῦ ἱροῦ ἐπὶ τῷ Ὑπάνι
[s] Βορυσθενεῖται κατοίκηνται. ταῦτα μὲν τὰ ἀπὸ τούτων
τῶν ποταμῶν.

54 Μετὰ δὲ τούτους πέμπτος ποταμὸς ἄλλος, τῷ οὔνομα
2 Παντικάπης. [a] ῥέει δὲ καὶ οὗτος ἀπὸ Βορέω τε [b] καὶ ἐκ
λίμνης, καὶ τὸ μεταξὺ τούτου τε καὶ τοῦ Βορυσθένεος νέ-
μονται οἱ γεωργοὶ Σκύθαι· ἐκδιδοῖ δὲ ἐς τὴν Ὑλαίην·
[c] παραμειψάμενος δὲ ταύτην, τῷ Βορυσθένεϊ συμμίσγε-
55 ται. Ἕκτος δὲ [a] Ὑπάκυρις ποταμός· ὃς ὁρμᾶται μὲν
ἐκ λίμνης, διὰ μέσων δὲ τῶν νομάδων Σκυθέων ῥέων, ἐκ-
διδοῖ κατὰ [b] Καρκινῖτιν πόλιν, ἐς [c] δεξιὴν ἀπέργων τήν τε
56 Ὑλαίην καὶ τὸν [d] Ἀχιλλήϊον καλεόμενον Δρόμον. Ἕβδο-
μος δὲ [a] Γέρρος ποταμὸς ἀπέσχισται μὲν ἀπὸ τοῦ Βορυ-
σθένεος, κατὰ τοῦτο τῆς χώρης ἐς ὃ γινώσκεται ὁ Βορυ-
σθένης· ἀπέσχισται μέν νυν ἐκ τούτου τοῦ χώρου, οὔνομα

Quintus Panticapes, ex palude fluens juxta Scythas Georgos, et deinde per Hylæam in Borysthenem.

Sextus Hypacyris, labens ex palude per Scythas Nomadas in mare.

Septimus Gerrhus, in Gerrho loco a Borysthene abscissus,

[n] οὐδὲ om. S.V.

[o] Ita Wessel. citans Dion. Chrysost. p. 437. B. ἐς τὸ ἕλος P.K.F. ἐς τὠυτὸ τέλος S.a.c.d. et alii. Tum τὸ μεταξὺ δὲ S. Mox τούτων F.S. pro τουτέων.

[p] Ἱππολέω S.V. Vall. F.a. Ἱππολέων alii.

[q] Sic S.V. ἐν δὲ αὐτῷ ἱρὸν alii.

[r] Sic Ald. S.V.a.c. Vall. μητρὸς M.P.K.F. Mox ὑπὸ τῷ S. cum aliis mss. et edd. vett. ἐπὶ e Wesselingii et Valckenærii correctione reposuit Reizius.

[s] Βορυσθενεῖται S. Βορυσθενῖται al.

54.

[a] Sic S.V.a.c. ῥέει μὲν γὰρ καὶ Wess. et al.

[b] Sic Ald. V. S. a. c. καὶ om. M.P.K.F.b.

[c] παραμείψας S.V. Mox βορυσθένϊ S.

55.

[a] Sic P.S.V. Ὑπάκαρις vulgo. cf. 47. 55. 56. Ὑπάκρις F.

[b] Καρκινῆτιν S. Καρκίνιτον M.P.

[c] δεξιὴν δ' ἀπέργει S.

[d] Cf. Casaubon. ad Strabon. VII. p. 473=307. δρόμον καλεόμενον S.

56.

[a] Γέρρις S. et mox. Γέρροντος F. qui mox Γέρρος.

fluens inter Nomadas et Basilidas, et in Hypacyris exiens ostium. Octavus Tanais, e vasta palude currens in Mæotidem, quæ disterminat Basilidas et Sauromatas: influit Hyrgis fluvius in Tanain. Gramen Scythicum, omnium amarissimum. Numina Scythica, et eorum appellationes: Marti soli templa et aras et simulacra faciunt.

δὲ ἔχει τόπερ ὁ χῶρος αὐτὸς, Γέρρος. ῥέων δ' ἐς θάλασσαν, οὐρίζει τήν τε τῶν Νομάδων χώρην, καὶ τὴν τῶν βασιληΐων Σκυθέων· ἐκδιδοῖ δὲ ἐς τὸν [b]Ὑπάκυριν. 57 [a]Ὄγδοος δὲ δὴ Τάναϊς ποταμός· ὃς ῥέει τὰ ἀνέκαθεν ἐκ λίμνης μεγάλης ὁρμεώμενος, ἐκδιδοῖ δὲ ἐς μέζω ἔτι λίμνην καλεομένην Μαιῆτιν, ἣ οὐρίζει Σκύθας τε τοὺς βασιληΐους 307
2 καὶ Σαυρομάτας. [b]ἐς δὲ Τάναϊν τοῦτον ἄλλος ποταμὸς ἐσβάλλει, τῷ οὔνομά ἐστι [c]Ὕργις. 58 Τοῖσι μὲν δὴ [a]οὐνομαστοῖσι ποταμοῖσι οὕτω δή τι οἱ Σκύθαι ἐσκευάδαται.
2 Τοῖσι δὲ κτήνεσι [b]ἡ ποίη ἀναφυομένη ἐν τῇ Σκυθικῇ, ἔστι [c]ἐπιχολωτάτη πασέων [d]ποιέων τῶν ἡμεῖς ἴδμεν· [e]ἀνοιγομένοισι δὲ τοῖσι κτήνεσί ἐστι σταθμώσασθαι, ὅτι τοῦτο οὕτως ἔχει.

59 Τὰ μὲν δὴ μέγιστα οὕτω σφι εὔπορά ἐστι. τὰ δὲ
2 λοιπὰ νόμαια κατὰ τάδε σφι διακέεται. [a]Θεοὺς μὲν μούνους τούσδε [b]ἱλάσκονται· Ἱστίην μὲν μάλιστα· ἐπὶ δὲ, Δία τε καὶ Γῆν, νομίζοντες τὴν Γῆν τοῦ Διὸς εἶναι γυναῖκα· μετὰ δὲ τούτους, Ἀπόλλωνά τε καὶ οὐρανίην
3 Ἀφροδίτην, καὶ Ἡρακλέα, καὶ Ἄρεα. τούτους μὲν πάντες [c]οἱ Σκύθαι νενομίκασι· οἱ δὲ [d]καλεόμενοι βασιλήϊοι
4 Σκύθαι καὶ τῷ Ποσειδέωνι θύουσι. [e]οὐνομάζεται δὲ Σκυ-

[b] Ὑπάκυριν V.P.F. Paris. Ὑπάκαριν alii. Ἀπάκυριν S.

57.

[a] Spectat hæc Arrianus Anab. III. fin.

[b] ἐς δὲ τὸν T. S.

[c] Ὕργης b.

58.

[a] ὀνομαστ. F.

[b] ἡ om. S.V.a.

[c] ἐπιχολωτάτη Ald. P.V. Paris. ἐπισχολωτάτη F. ἐπιχωλοτ. S. ἐπιχυλωτάτη K. et forte M. ἐπιχλοωτάτη nescio quis in exempl. ed. Basil. Heidelbergæ servato.

[d] ποιέων om. S.V.

[e] Hinc Suid. in Ἀνοίγει.

59.

[a] θεοὺς δὲ F.d. Ald.

[b] Citat Eustath. p. 978, 18 = 967, 1. Mox καὶ Ἄρεα καὶ Ἡρακλέα S.

[c] οἱ om. F.S.

[d] καλεόμενοι om. M. P. K. F. Wessel.

[e] οὐνομάζεται M.P.K.F. Ald. Reliqui οὐνομάζονται aut ὀνομάζονται cum S.

θιστὶ, Ἱστίη μὲν, Ταβιτί· Ζεὺς δὲ ὀρθότατα, κατὰ γνώ-
μην γε τὴν ἐμὴν, [f] καλεόμενος [g] Παπαῖος· Γῆ δὲ, [h] Ἀπία·
Ἀπόλλων δὲ, [i] Οἰτόσυρος· οὐρανίη δὲ Ἀφροδίτη, [k] Ἀρτίμ-
5 πασα· Ποσειδέων δὲ, [l] Θαμιμασάδας. ἀγάλματα δὲ 308
καὶ βωμοὺς καὶ νηοὺς οὐ νομίζουσι ποιέειν, πλὴν Ἄρηϊ·
60 τούτῳ δὲ νομίζουσι. Θυσίη δὲ ἡ αὐτὴ [a] πᾶσι κατέστηκε
περὶ πάντα τὰ ἱρὰ ὁμοίως, ἑρδομένη [b] ὧδε. τὸ μὲν ἱρήϊον
2 αὐτὸ [c] ἐμπεποδισμένον [d] τοὺς ἐμπροσθίους πόδας ἕστηκε.
ὁ δὲ θύων, ὄπισθε τοῦ κτήνεος ἑστεὼς, σπάσας τὴν ἀρχὴν
[e] τοῦ στρόφου, καταβάλλει μιν· πίπτοντος δὲ τοῦ ἱρηΐου,
ἐπικαλέει [f] τὸν θεὸν τῷ ἂν θύῃ· καὶ ἔπειτα βρόχῳ [g] περὶ
ὦν ἔβαλε τὸν αὐχένα, σκυταλίδα δὲ ἐμβαλὼν περιάγει,
καὶ ἀποπνίγει· οὔτε πῦρ ἀνακαύσας, οὔτε [h] καταρξά-
μενος, οὔτ᾽ ἐπισπείσας· ἀποπνίξας δὲ καὶ ἀποδείρας,
61 τράπεται πρὸς ἕψησιν. Τῆς δὲ γῆς τῆς Σκυθικῆς αἰνῶς
ἀξύλου ἐούσης, ὧδέ σφι ἐς τὴν ἕψησιν τῶν κρεῶν ἐξεύρη-
2 ται. [a] ἐπεὰν ἀποδείρωσι τὰ ἱρήϊα, γυμνοῦσι τὰ ὀστέα
τῶν κρεῶν· [b] ἔπειτα ἐσβάλλουσι, ἢν μὲν τύχωσι ἔχοντες

Ritus in sacrificando.

Victimas ut coquant: prosicias ante se porriciunt: quadrupedia et equos

[f] καλέεται K. Wessel. καλεόμενος Ald. S.M.F.a.c. Supra γε om. S.

[g] Hinc Eustath. Il. p. 565, 7 =429, 3. Παππαῖος Origen. c. Cels. V. p. 609.

[h] Ἀπὶ V.S.a.c.

[i] Γογγόσυρος Origen. c. Cels. VI. p. 661. Γοιτόσυρος Hesych.

[k] Ἀρτίμπασα Ald. S.V. Hesych. Ἀργίμπασα Orig. Vall. c.d. Ἀρίππασα M.P.K.F.b.

[l] Sic M.P.K.F.d. Θαμιμασάδης Ald. Θαγιμασὰ V.S. Vall. a. c.d. Θαγιμασάδα Orig.

60.

[a] πᾶσα S.c. Mox πάντα S. post ὁμοίως.

[b] Sic M.K.S.P.F. δὲ ὧδε al.

[c] ἐμπεποδισμένος M.

[d] Sic M.S.K.V.P.F. Paris. Vulgo τοὺς δύο πόδας τοὺς ἐμπ.

[e] τοῦ στρόφου] Lexic. Seguier. p. 113, 30. Στρόφον: τὸν δεσμόν. Ἡρόδοτος. Photium in v. Στροφιοπανοῦργος ita corrigit Schweighæuser. Στρόφις, ὁ πανοῦργος. καὶ Στρόφον, τὸν δ. Ἡ.

[f] τῷ θεῷ d.

[g] Sic F.a.c. Wessel. Vulgo περιών. Tum σκιταλίδα S. qui om. καὶ ἀποπνίγει.

[h] Sic M.F.b. Ald. al. cf. 103. κατευξάμενος F.c.d.S.V. Vall.

61.

[a] ἐπειδὰν P.K.F.

[b] Sic M.P.K.F. Paris. ἔπειτα δ᾽ S. Al.

maxime immolant.

[c]λέβητας ἐπιχωρίους, μάλιστα [d]Λεσβίοισι κρητῆρσι [e]προσεικέλους, χωρὶς ἢ ὅτι πολλῷ μέζονας· ἐς τούτους [f]ἐσβάλλοντες, ἕψουσι ὑποκαίοντες τὰ ὀστέα τῶν ἱρηίων. 3 ἢν δὲ μή σφι παρῇ [g]λέβης, οἱ δὲ ἐς τὰς γαστέρας τῶν ἱρηίων ἐσβάλλοντες τὰ κρέα πάντα, καὶ παραμίξαντες 4 ὕδωρ, ὑποκαίουσι τὰ ὀστέα. τὰ δὲ αἴθεται κάλλιστα· αἱ δὲ γαστέρες χωρέουσι εὐπετέως τὰ κρέα ἐψιλωμένα τῶν ὀστέων. καὶ οὕτω βοῦς τε ἑωυτὸν ἐξέψει, καὶ τὰ 5 ἄλλα ἱρήια ἑωυτὸ ἕκαστον. Ἐπεὰν δὲ ἑψηθῇ τὰ κρέα, ὁ θύσας, τῶν κρεῶν καὶ τῶν σπλάγχνων ἀπαρξάμενος, ῥίπτει ἐς τὸ ἔμπροσθεν. θύουσι δὲ καὶ [h]τὰ ἄλλα πρόβατα, καὶ ἵππους μάλιστα. 309

62

Martis quale templum in singulis præfecturis, qualis ara, quale simulacrum: annua et plura sacrificia Martis, quam cæterorum Deorum: e captivis quotumquemque et quomodo immolent.

Τοῖσι μὲν δὴ ἄλλοισι τῶν θεῶν οὕτω θύουσι, καὶ [a]ταῦτα τῶν κτηνέων. [b]τῷ δὲ δὴ Ἄρηϊ ὧδε. Κατὰ νομοὺς ἑκάστοισι τῶν [c]ἀρχηίων ἐσίδρυταί σφι Ἄρηος ἱρὸν 2 τοιόνδε. φρυγάνων φάκελοι [d]συννενέαται ὅσον τ' ἐπὶ σταδίους τρεῖς μῆκος καὶ εὖρος, ὕψος δὲ ἔλασσον· ἄνω δὲ τούτου, τετράγωνον [e]ἄπεδον πεποίηται· καὶ τὰ μὲν τρία τῶν κώλων ἐστὶ ἀπότομα, κατὰ δὲ τὸ ἕν, ἐπιβατόν. 3 ἔτεος δὲ ἑκάστου ἁμάξας πεντήκοντα καὶ ἑκατὸν ἐπινέουσι φρυγάνων· ὑπονοστέει γὰρ δὴ αἰεὶ ὑπὸ τῶν χειμώνων. 4 [f]Ἐπὶ τούτου δὴ τοῦ [g]ὄγκου ἀκινάκης σιδήρεος ἵδρυται

[c] ἐς λέβητας] ἐς om. F.S. et ceteri, ut videtur. Præpositionem, Gronovio obsequutus, inseruit Reizius.

[d] Λεβίοισι M.

[e] Decem verba om. F.

[f] βάλλοντες S.V.

[g] ὁ λέβης K.P.F.

[h] Vid. Eustath. Od. p. 1649, 6=384, 14. ubi ἵππους δὲ pro καὶ ἵππους. Lex. Seguier. p. 112, 1. Πρόβατα: πάντα τὰ τετράποδα. Ἡρόδοτος τετάρτῳ.

62.

[a] τὰ ἄλλα S.d.

[b] Sic S. δὴ al. om.

[c] ἀρχαίων S.V.a. Mox ἵδρυται S.V. Tum Ἄρεος S.

[d] συννέαται S.

[e] ἐπίπεδον S.V.A.B. e gl. cf. Hesych.

[f] ὑπὸ τούτου S.V.

[g] σηκοῦ P.K.F.b. quod scholion esse censet Wesseling. Mox Ἄρεος S.

ἀρχαῖος ἑκάστοισι, καὶ τοῦτ' ἔστι τοῦ Ἄρηος τὸ ἄγαλμα·
τούτῳ δὲ τῷ [h] ἀκινάκεϊ θυσίας ἐπετείους προσάγουσι προ-
5 βάτων καὶ ἵππων. καὶ δὴ καὶ τοῖσδ' ἔτι πλέω θύουσι ἢ
τοῖσι ἄλλοισι θεοῖσι. Ὅσους δ' ἂν τῶν πολεμίων ζωγρή-
σωσι, ἀπὸ τῶν ἑκατὸν ἀνδρῶν ἄνδρα [i] ἕνα θύουσι, τρόπῳ
6 οὐ τῷ αὐτῷ, ᾧ καὶ τὰ πρόβατα, ἀλλ' ἑτεροίῳ. ἐπεὰν
γὰρ οἶνον ἐπισπείσωσι κατὰ τῶν [k] κεφαλέων, [l] ἀποσφά-
ζουσι τοὺς ἀνθρώπους ἐς ἄγγος· καὶ ἔπειτα ἀνενείκαντες
ἄνω ἐπὶ τὸν ὄγκον τῶν φρυγάνων, καταχέουσι τὸ αἷμα
7 τοῦ ἀκινάκεος. ἄνω μὲν δὴ [m] φορέουσι τοῦτο· κάτω δὲ
8 παρὰ τὸ ἱρὸν ποιεῦσι τάδε. τῶν ἀποσφαγέντων ἀνδρῶν
τοὺς δεξιοὺς ὤμους πάντας [n] ἀποτάμνοντες σὺν τῇσι χερσὶ,
ἐς τὸν ἠέρα ἱεῖσι· καὶ ἔπειτα καὶ τὰ ἄλλα [o] ἀπέρξαντες
ἱρήϊα ἀπαλλάσσονται· χεὶρ δὲ, τῇ ἂν πέσῃ, [p] κέεται, καὶ
63 χωρὶς ὁ νεκρός. Θυσίαι μέν νυν αὗταί σφι κατεστέασι. 310
ὑσὶ δὲ οὗτοι οὐδὲν [a] νομίζουσι, οὐδὲ τρέφειν [b] τὸ παράπαν
ἐν τῇ χώρῃ θέλουσι.

Suum aversatio.

64 Τὰ δ' ἐς πόλεμον ἔχοντα ὧδέ σφι [a] διακέεται. Ἐπεὰν
τὸν πρῶτον ἄνδρα [b] καταβάλῃ ἀνὴρ Σκύθης, τοῦ αἵματος
2 [c] ἐμπίνει. ὅσους δ' ἂν φονεύσῃ ἐν τῇ μάχῃ, [d] τούτων τὰς
κεφαλὰς ἀποφέρει τῷ [e] βασιλέϊ· ἀπενείκας μὲν γὰρ κε-
φαλὴν, τῆς [f] ληΐης μεταλαμβάνει τὴν ἂν λάβωσι· μὴ

Instituta bellica: usus varius corii humani.

[h] ἀκινάκῃ K.P.S.F. cf. III. 128.
[i] ἕνα om. M.P.K.F.c. Paullo ante δ' ἂν om. a.c.
[k] κεφαλαίων F.
[l] σφάξαντες V.S. Sic saltim S. non σφάζουσι ut ex eo Wesseling.
[m] ἀναφέρουσι ταῦτα S.V. Vall.
[n] ἀποταμόντες F. Mox ἱρέα S.
[o] ἀπάρξαντες V.a.d. ἐπάρξαντες S.
[p] κέεται Ald. K.A.B.F. κεῖται S.V. κέαται M.P.

63.
[a] νομίζουσι χρέεσθαι S. apud Galeum. Atqui χρέεσθαι ignorat S.
[b] ἐν τῇ χώρῃ τὸ παρ. P.K.S.F.a.

64.
[a] Ald. S.V.A.B. διακέαται M. P.K.F.
[b] καταβάλλῃ c.
[c] ἐκπίνει S.
[d] τουτέων] τούτων F.S.
[e] βασιλῆϊ S. βασιλέϊ vulgo. Mox γὰρ om. S.
[f] λείης S.V.

3 ἐνείκας δὲ, οὔ. [g] ἀποδείρει δὲ αὐτὴν τρόπῳ τοιῷδε. περι-
ταμὼν κύκλῳ περὶ τὰ ὦτα, καὶ λαβόμενος τῆς κεφαλῆς
[h] ἐκσείει· μετὰ δὲ, [i] σαρκίσας βοὸς πλευρῇ, [k] δέψει τῇσι
χερσί· [l] ὀργήσας δὲ αὐτὸ, ἅτε [m] χειρόμακτρον ἔκτηται·
ἐκ δὲ [n] τῶν χαλινῶν τοῦ ἵππου [o] τὸν αὐτὸς ἐλαύνει, ἐκ
4 τούτου ἐξάπτει, καὶ ἀγάλλεται. ὃς γὰρ ἂν πλεῖστα
[p] δέρματα χειρόμακτρα [q] ἔχῃ, ἀνὴρ ἄριστος οὗτος κέκριται.
πολλοὶ δὲ [r] αὐτῶν ἐκ τῶν [s] ἀποδερμάτων καὶ χλαίνας
5 [t] ἐπείνυσθαι ποιεῦσι, συῤῥάπτοντες κατάπερ βαίτας. πολ-
λοὶ δὲ ἀνδρῶν ἐχθρῶν τὰς δεξιὰς χέρας, νεκρῶν ἐόντων,
[u] ἀποδείραντες αὐτοῖσι ὄνυξι, καλύπτρας τῶν φαρετρέων
6 ποιεῦνται. δέρμα δὲ ἀνθρώπου, καὶ παχὺ καὶ λαμπρὸν,
[w] ἦν ἄρα, σχεδὸν δερμάτων πάντων [x] λαμπρότατον λευκό-
7 τητι. πολλοὶ δὲ καὶ ὅλους ἄνδρας ἐκδείραντες, καὶ δια-
τείναντες ἐπὶ ξύλων, ἐπ᾿ ἵππων περιφέρουσι. ταῦτα μὲν
65 δὴ οὕτω σφι νενόμισται. Αὐτὰς δὲ τὰς κεφαλὰς, [a] οὔ τι
2 πάντων, ἀλλὰ τῶν ἐχθίστων, ποιεῦσι τάδε. ἀποπρίσας
ἕκαστος πᾶν τὸ ἔνερθε τῶν ὀφρύων, [b] ἐκκαθαίρει· καὶ ἢν
μὲν ᾖ πένης, ὁ δὲ ἔξωθεν ὠμοβοέην μούνην περιτείνας, οὕτω

Pocula ex capitibus inimicissimorum, et eorum, qui apud re-

[g] ἀποφέρει τε S.
[h] Sic S.M. marg. Vall. ἐξίει a. b.c. et vulg. ἐξῄει F.
[i] Pollux II. 233. Ἡρόδοτος δὲ, Σαρκίσαι, τὸ τοῦ δέρματος τὴν σάρκα ἀφελεῖν. σαρκίδας b. σαρκίσεις c.
[k] δεψεῖ F. δέψει S. vulg. ἑψεῖ b.d.
[l] ὀργήσας S. V. ὀργίσας F. a. b. et vulg. ὀργάσας Portus. Vide Ruhnkenium ad Timæum p. 130=179.
[m] χειρώμακτρ. F. et infra.
[n] τῶν F. om.
[o] Sic S.V.P. Ald. F. corr. τὸν ἂν αὐτὸς ἐλαύνῃ A.B. edd. rec. τὸν αὐτὸς ἐλαύνῃ M.K. ἂν posuit F. pr.
[p] δέρματα om. S.V.
[q] ἔχῃ S. V. P. K. M. F. Paris. ἔχοι vulgo.
[r] αὐτέων] αὐτῶν F.S.
[s] ἀποδαρμάτων P.K.S.
[t] ἐπέννυσθαι S.V.a.c. ἐπιέννυσθαι Schæfer. e corr. Wesselingii. Tum ποιέουσι S. et infra χεῖρας.
[u] ἀποδείραντες καὶ διατείναντες S. Ald. Sed om. ceteri.
[w] Sic ex conj. correxi, intelligens ἦν ἄρα ᾖ λευκοῦ ἀνθρώπου. Vulgo ἦν ἄρα σχ. Schweigh.
[x] καὶ λαμπ. V.S. Vall.

65.

[a] Sic V. S. P. M. K. F. Paris. οὗτοι al.
[b] καθαίρει V.

χρᾶται· [c] ἢν δὲ ᾖ πλούσιος, τὴν μὲν ὠμοβοέην περιτείνει,
3 ἔσωθεν δὲ [d] περιχρυσώσας, οὕτω χρᾶται ποτηρίῳ. ποιεῦσι
δὲ τοῦτο καὶ ἐκ τῶν οἰκηΐων, ἤν σφι διάφοροι [e] γένωνται,
4 καὶ [f] ἢν ἐπικρατήσῃ αὐτοῦ παρὰ τῷ βασιλέϊ. ξείνων δέ
οἱ ἐλθόντων τῶν ἂν λόγον ποιέηται, τὰς κεφαλὰς ταύτας
παραφέρει, καὶ ἐπιλέγει, ὡς οἱ ἐόντες οἰκήϊοι πόλεμον
[g] προσεθήκαντο, καί σφεων αὐτὸς ἐπεκράτησε, [h] ταύτην 311
66 ἀνδραγαθίην [i] λέγοντες. Ἅπαξ δὲ τοῦ ἐνιαυτοῦ ἑκάστου
[a] ὁ νομάρχης, ἕκαστος ἐν τῷ [b] ἑωυτοῦ νομῷ, [c] κιρνᾷ κρη-
τῆρα οἴνου, ἀπ' οὗ πίνουσι τῶν Σκυθέων [d] ὅσοις ἂν ἄνδρες
2 [e] πολέμιοι [f] ἀραιρημένοι ἔωσι. τοῖσι δ' ἂν μὴ κατεργασ-
μένον ᾖ τοῦτο, οὐ γεύονται τοῦ οἴνου τούτου, ἀλλ' ἠτιμω-
μένοι ἀποκατέαται· ὄνειδος δέ σφί ἐστι μέγιστον τοῦτο.
3 [g] ὅσοι δὲ ἂν αὐτῶν καὶ κάρτα πολλοὺς ἄνδρας [h] ἀναιρηκό-
τες ἔωσι, οὗτοι δὲ σύνδυο κύλικας ἔχοντες, πίνουσι ὁμοῦ.
67 Μάντιες δὲ Σκυθέων εἰσὶ πολλοὶ, οἳ μαντεύονται ῥάβ-
2 δοισι [a] ἰτεΐνῃσι πολλῇσι ὧδε. ἐπεὰν φακέλους ῥάβδων
μεγάλους ἐνείκωνται, θέντες χαμαὶ, διεξελίσσουσι αὐτούς·

gem lite ceciderunt.

Crateram vini præfectus quisque in sua præfectura quotannis miscens, quibus det bibendum.

Divini multi: patria divinatio e salignis virgis:

[c] Sic M.P.K. ᾖ om. S. al. ἢν—περιτείνει om. F.

[d] καταχρυσώσας S.V.a. cf. 26. Mox ποιέουσι S.

[e] Sic S.V. γίνωνται F. Ald.

[f] Sic S.M.P.K.F. Paris. ἤν τις ἐπικρ. Ald. V. Mox ποιεῖται S.

[g] προεθήκαντο S.V.a.c. cf. VII. 229.

[h] Sic F.a.c.d. ταύτην τὴν ἀνδ. S. vulgo.

[i] Sic M.K.P.F.b.d. λέγεται S. V.a.c. Ald.

66.

[a] Sic S.P.M.K.F. Paris. οὐ-νομάρχης vulgo.

[b] Sic (aut ἑαυτοῦ) P.K. αὐτοῦ F. ἑαυτῷ al.

[c] κίρναται S.V.c.

[d] ὅσοις δὴ vulgo. ὅσοι δὴ S. Ald. τοῖσι F.a.c. τοῖσι ἂν Schweighæuserus. ἂν et δὴ in mss. sæpe confunduntur. Vid. Porsoni *Tracts* p. 182.

[e] πολέμιοι V.S. om.

[f] ἀναιρημένοι K.F.a.c. Schweighæusero legendum videtur ἀναραιρημένοι, ut sint *occisi*, non *capti*. Mox ἀποκαθέαται S.

[g] Sic Ald. S.V.a.c. ἂν om. M. P.K.F.

[h] ἀραιρηκότες P. Schæferus. ἀναραιρηκότες proponit Schweighæuserus.

67.

[a] Sic P. F. a. c. ἰτεΐῃσι b. et vulgo. ἐτεΐνοισι πολλοῖσι S. ἐτεήνῃσι K.

Enarees [1, 105.] a Venere divinationem habent ex tilia.

καὶ ἐπὶ μίαν ἑκάστην ῥάβδον τιθέντες, θεσπίζουσι· ἅμα
τε λέγοντες ταῦτα, συνειλέουσι τὰς ῥάβδους ὀπίσω, καὶ
αὖτις κατὰ μίαν συντιθεῖσι. [b] αὕτη μέν σφι ἡ μαντικὴ
3 πατρωΐη ἐστί. [c] Οἱ δὲ Ἐνάρεες, [d] οἱ ἀνδρόγυνοι, τὴν Ἀ-
φροδίτην σφι λέγουσι μαντικὴν δοῦναι. φιλύρης ὦν φλοιῷ
4 μαντεύονται. ἐπεὰν τὴν φιλύρην [e] τρίχα σχίσῃ, διαπλέ-
κων ἐν τοῖσι δακτύλοισι [f] τοῖσι ἑωυτοῦ, καὶ διαλύων, χρᾷ.

Rex ægrotans, consulit vates tres: morbi causa, quod aliquis regios lares pejeravit perjurum a vatibus nominatum alii vates condemnant vel absolvunt.

68 Ἐπεὰν δὲ βασιλεὺς ὁ Σκυθέων κάμῃ, μεταπέμπεται τῶν
[a] μαντίων ἄνδρας τρεῖς τοὺς εὐδοκιμέοντας μάλιστα, οἳ
τρόπῳ τῷ εἰρημένῳ μαντεύονται· καὶ λέγουσι οὗτοι ὡς τὸ
ἐπίπαν μάλιστα τάδε, ὡς τὰς βασιληΐας [b] ἱστίας [c] ἐπι-
όρκηκε ὃς καὶ ὃς, λέγοντες τῶν ἀστῶν τὸν ἂν δὴ λέγωσι.
2 τὰς δὲ βασιληΐας ἱστίας νόμος Σκύθῃσι τὰ μάλιστά
ἐστι ὀμνύναι τότε, ἐπεὰν τὸν μέγιστον ὅρκον [d] ἐθέλωσι ὀμ-
3 νύναι. αὐτίκα δὲ διαλελαμμένος ἄγεται οὗτος τὸν ἂν [e] δὴ
φῶσι ἐπιορκῆσαι· ἀπιγμένον δὲ ἐλέγχουσι οἱ μάντιες,
ὡς ἐπιορκήσας φαίνεται ἐν τῇ μαντικῇ τὰς βασιληΐας
ἱστίας, καὶ διὰ ταῦτα ἀλγέει ὁ βασιλεύς· ὁ δὲ ἀρνέε-
4 ται, οὐ φάμενος ἐπιορκῆσαι, καὶ δεινολογέεται. ἀρνεομέ-
νου δὲ τούτου, ὁ βασιλεὺς μεταπέμπεται ἄλλους διπλη- 312
5 σίους μάντιας. καὶ [f] ἢν μέν μιν καὶ οὗτοι, [g] ἐσορέωντες
ἐς τὴν μαντικήν, καταδήσωσι ἐπιορκῆσαι, τοῦ δὲ ἰθέως
τὴν κεφαλὴν ἀποτάμνουσι καὶ τὰ χρήματα αὐτοῦ δια-

[b] Sic S.V.M.P.K.F. Paris. αὕτη μέν τοι et dein πατρωΐη σφί ἐστι vulgo.
[c] Sic V. Vall. cf. I. 105. οἱ δὲ νάρεες S.a.c. οἱ δὲ Ἐνάριες F.d.vulgo.
[d] Sic S.V. Vall. a.c. καὶ οἱ ἀνδ. F. al. καὶ ἀνδρ. d.
[e] τρία M.P.K.F.
[f] τοῖσι om. S.

68.

[a] μαντηΐων S. et infr. F.h.l.
[b] ἑστίας F.
[c] ἐπιώρκηκε F.
[d] θέλωσι S.V. Mox διαλελάμενος S. absque ἄγεται.
[e] δὴ om. S.V. Infra διπλησίους sine ἄλλους S.
[f] Ita Schweighæuserus. μιν libris deest. Supra δεινολογεῖται ex h. l. Pollux II. 124.
[g] ἐσορῶντες F.S.

λαγχάνουσι οἱ πρῶτοι τῶν μαντίων· [h]ἢν δὲ οἱ ἐπελθόντες μάντιες ἀπολύσωσι, ἄλλοι πάρεισι μάντιες, καὶ μάλα
6 ἄλλοι. ἢν ὦν οἱ πλεῦνες τὸν ἄνθρωπον ἀπολύσωσι, δέδοκται [i]τοῖσι πρώτοισι τῶν μαντίων αὐτοῖσι ἀπόλλυσθαι.

69 Ἀπολλῦσι [a]δῆτα αὐτοὺς τρόπῳ τοιῷδε· ἐπεὰν [b]ἄμαξαν φρυγάνων πλήσωσι, καὶ ὑποζεύξωσι βοῦς, [c]ἐμποδίσαντες τοὺς μάντιας, καὶ χέρας ὀπίσω δήσαντες, καὶ στομώσαντες, [d]κατειργνῦσι ἐς μέσα τὰ φρύγανα· ὑποπρήσαντες
2 δὲ αὐτὰ, ἀπιεῖσι φοβήσαντες [e]τοὺς βοῦς. πολλοὶ μὲν δὴ συγκατακαίονται τοῖσι μάντισι βόες, πολλοὶ δὲ περικεκαυμένοι ἀποφεύγουσι, ἐπεὰν [f]αὐτῶν ὁ ῥυμὸς κατα-
3 καυθῇ. κατακαίουσι δὲ τρόπῳ τῷ εἰρημένῳ καὶ δι' ἄλλας
4 αἰτίας τοὺς μάντιας, ψευδομάντιας [g]καλέοντες. τοὺς δ' ἂν [h]ἀποκτείνῃ βασιλεὺς, τούτων οὐδὲ τοὺς παῖδας λείπει, ἀλλὰ πάντα τὰ ἔρσενα κτείνει, τὰ δὲ θήλεα οὐκ ἀδικέει.

Modus comburendi falsos vates: rex quos interficit, eorum etiam liberos masculos interficit.

70 Ὅρκια δὲ ποιεῦνται Σκύθαι ὧδε, πρὸς τοὺς ἂν ποιέωνται. ἐς [a]κύλικα μεγάλην κεραμίνην οἶνον [b]ἐγχέαντες, αἷμα συμμίσγουσι τῶν [c]τὰ ὅρκια ταμνομένων, τύψαντες [d]ὀπέατι ἢ [e]ἐπιταμόντες μαχαίρῃ σμικρὸν τοῦ σώματος· καὶ 313
ἔπειτα ἀποβάψαντες ἐς τὴν κύλικα [f]ἀκινάκεα, καὶ ὀϊ-

Ritus fœderis feriendi.

[h] Sic Ald. S.V.P.a.c. καὶ ἢν δὲ M.K.F.
[i] πᾶσι τοῖσι d.

69.

[a] Sic M.P.K.F. δὲ S.V. Ald. c.
[b] Sic M.P.K.F.b.d. ἄμαξαν καμάρης φρυγ. Ald. V.S.
[c] ἐμπεδήσαντες] ἐμποδίσαντες S. V.P.F.a.c. quod repositum ob ἐμπεποδισμένον cap. 60. ἐμποδήσαντες b. Mox χεῖρας S.
[d] κατατείνουσι S.V.
[e] Sic S.V.P.K.F. Par. Vulgo τὰς βοῦς.
[f] αὐτέων] αὐτῶν et mox τούτων F.S.
[g] καλέουσι F.
[h] Sic M.S.P.K.V.F. Paris. ἀποκτείνοι vulgo.

70.

[a] Cf. Pollux X. 190. Supra τοὺς om. S.
[b] ἐσχέαντες V. οἶνον κεραμίνην ἐσχέαντες S. κεραμίνην κύλικα hinc Pollux X. 190.
[c] τὸ ὅρκιον K.P.F.d.
[d] Ita Reizius e Vossii conjectura. Conf. Hemsterhus. ad Pollux. X. 141. ὑπέατι S. vulgo. ἐπεατίῃ F. ὑπεατίῃ b.
[e] ἐπιτάμνοντες P.F.b.
[f] ἀκινάκην F.S.a. cf. 62.

2 στοὺς, καὶ [g] σάγαριν, καὶ ἀκόντιον. ἐπεὰν δὲ ταῦτα
ποιήσωσι, κατεύχονται πολλὰ, καὶ ἔπειτα ἀποπίνουσι
αὐτοί τε οἱ τὸ ὅρκιον ποιεύμενοι, καὶ τῶν ἑπομένων οἱ
πλείστου ἄξιοι.

71 Regum sepultura: inferiæ crudelissimæ: tumulus feralis.

Ταφαὶ δὲ τῶν [a] βασιλέων ἐν Γέρροισι εἰσὶ, ἐς ὃ ὁ Βο-
ρυσθένης ἐστὶ προσπλωτός. ἐνθαῦτα, ἐπεάν [b] σφι ἀπο-
θάνῃ ὁ βασιλεὺς, ὄρυγμα γῆς μέγα ὀρύσσουσι τετράγω-
2 νον. ἑτοῖμον δὲ τοῦτο ποιήσαντες, ἀναλαμβάνουσι τὸν
νεκρὸν, [c] κατακεκηρωμένον μὲν τὸ σῶμα, τὴν δὲ νηδὺν
ἀνασχισθεῖσαν, καὶ [d] καθαρθεῖσαν, πλέην κυπέρου κεκομ-
μένου καὶ θυμιήματος καὶ σελίνου σπέρματος καὶ [e] ἀννή-
σου, [f] συνερραμμένην ὀπίσω, [g] καὶ κομίζουσι ἐν ἁμάξῃ ἐς
3 ἄλλο ἔθνος. οἱ δ' ἂν παραδέξωνται κομισθέντα τὸν νε-
κρὸν, ποιεῦσι τά περ οἱ βασιλήϊοι Σκύθαι· τοῦ ὠτὸς ἀπο-
τάμνονται, [h] τρίχας περικείρονται, βραχίονας περιτάμ-
νονται, μέτωπον καὶ ῥῖνα καταμύσσονται, διὰ τῆς [i] τε
4 ἀριστερῆς χερὸς ὀϊστοὺς διαβυνέονται. ἐνθεῦτεν δὲ κομί-
ζουσι ἐν ἁμάξῃ τὸν νέκυν τοῦ βασιλέος [k] ἐς ἄλλο ἔθνος
τῶν ἄρχουσι· οἱ δέ σφι ἕπονται, ἐς τοὺς πρότερον ἦλθον.
5 ἐπεὰν δὲ πάντας περιέλθωσι τὸν νέκυν κομίζοντες, [l] ἐν
Γέρροισι ἔσχατα κατοικημένοισί εἰσι τῶν ἐθνέων τῶν ἄρ-
6 χουσι, καὶ ἐν τῇσι ταφῇσι. [m] καὶ ἔπειτα, ἐπεὰν θέωσι

[g] σάγγαριν S.V.

71.

[a] βασιλήων] βασιλέων F.

[b] σφι om. S.

[c] κατακεκυρ. S. κατακεκειρ. b.

[d] καθαρισθεῖσαν F.

[e] ἀνήσου] ἀρνήσου S. ἀννήσου P. F.a.c. et sic cod. Venetus Athenæi IX. p. 371. D. Supra σελήνου S.

[f] συρρεραμένην F.

[g] καὶ om. F.b.d. Ald. Mox ποιέουσι S.

[h] τρίχας π. β. π. om. M.P. K.F.

[i] τε om. P.F.b.d. Mox ἐν τῇ ἁμάξῃ τοῦ βασιλέος τὸν νέκυν S. τῇ ἁμάξῃ V.P.

[k] ἐς ἄλλο ἔθνος τὸν νέκυν τῶν ἄρχουσι F. qui om. τοῦ βασιλέος. Pro νέκυν a. νεκρόν. Mox τὸν νεκρὸν κομ. S.

[l] ἐν Γέρροισι] ἔν τε τοῖσιν S.V. tum ἐσχάτοισιν S.

[m] καὶ om. S.V.

τὸν νέκυν ἐν τῇσι θήκῃσι [n] ἐπὶ στιβάδος, [o] παραπήξαντες
αἰχμὰς ἔνθεν καὶ ἔνθεν τοῦ νεκροῦ, ξύλα ὑπερτείνουσι,
7 καὶ ἔπειτα [p] ῥιψὶ καταστεγάζουσι. ἐν δὲ τῇ λοιπῇ εὐρυ-
χωρίῃ τῆς θήκης, τῶν [q] παλλακέων τε μίαν ἀποπνίξαντες
θάπτουσι, καὶ τὸν οἰνοχόον, καὶ μάγειρον, καὶ ἱπποκό-
μον, καὶ διήκονον, καὶ ἀγγελιηφόρον, καὶ ἵππους, καὶ
τῶν ἄλλων [r] ἁπάντων ἀπαρχὰς, καὶ φιάλας χρυσέας·
8 ἀργύρῳ δὲ οὐδὲν οὐδὲ χαλκῷ χρέωνται· ταῦτα δὲ ποιή-
σαντες, χοῦσι πάντες χῶμα [s] μέγα, [t] ἁμιλλεώμενοι καὶ
72 προθυμεόμενοι ὡς μέγιστον ποιῆσαι. Ἐνιαυτοῦ δὲ περι-
φερομένου, αὖτις ποιεῦσι τοιόνδε. λαβόντες τῶν λοιπῶν
θεραπόντων τοὺς ἐπιτηδεωτάτους· [a] οἱ δέ εἰσι Σκύθαι ἐγ-
γενέες· [b] οὗτοι γὰρ δὴ θεραπεύουσι τοὺς ἂν αὐτὸς ὁ βα-
σιλεὺς κελεύσῃ, ἀργυρώνητοι δὲ οὔκ εἰσί σφι θεράποντες·
2 τούτων ὦν τῶν διηκόνων ἐπεὰν ἀποπνίξωσι πεντήκοντα,
καὶ ἵππους τοὺς [c] καλλιστεύοντας πεντήκοντα, ἐξελόντες
αὐτῶν τὴν κοιλίην, καὶ καθήραντες, ἐμπιπλᾶσι ἀχύρων,
καὶ συρράπτουσι· ἁψῖδος δὲ [d] ἥμισυ ἐπὶ δύο ξύλα στή-
σαντες ὕπτιον, καὶ τὸ ἕτερον ἥμισυ τῆς ἁψῖδος [e] ἐπ᾽
ἕτερα δύο, καταπήξαντες [f] τρόπῳ τοιούτῳ πολλὰ ταῦτα·
3 ἔπειτα τῶν ἵππων [g] κατὰ τὰ μήκεα ξύλα παχέα διελά-

Anno post alteræ inferiæ crudeliores: nulli servi Scythis pecunia emti. 314

[n] ἐπιστιβάδας S.
[o] πήξαντες b.
[p] ῥίψεῖ F. ῥίψει a.
[q] παλακέων S.F.
[r] πάντων K.P.F.
[s] μέγα om. S.
[t] ἁμιλλεώμενοι S.V. ἁμιλλώμενοι alii.

72.

[a] οἱ δέοι F. Supra ἐπιτηδεοτάτους S.
[b] Sic S.P.V.b. οὗτοι γὰρ θεραπεύοντες K. οὗτοι γὰρ θεραπεύουσι F. a.c.d. οὗτοι γάρ εἰσι θεραπεύοντες edd. vett. οὗτοι γὰρ δή εἰσι θεραπεύοντες Wessel. Mox τούτων S. pro τουτέων.
[c] Sic S.V. καλλίστους vulgo. Mox αὐτῶν S. pro αὐτέων, qui tum κοιλίαν.
[d] Sic P.S.K. Vall. F. Paris. ἥμ. ἐπὶ ξύλα δύο στ. Wessel. ἥ. ἐ. ξ. δ. ἥμισυ στ. edd. vett.
[e] ἐπ᾽ om. F.d.
[f] καὶ τρόπῳ F.d.
[g] κατὰ τὰ μήκεα K. forte et Vall. καταμήκεα S.F.a.c. et vulgo.

σαντες μέχρι τῶν τραχήλων, [h] ἀναβιβάζουσι αὐτοὺς ἐπὶ τὰς ἁψῖδας· τῶν δὲ, αἱ μὲν πρότεραι ἁψῖδες [i] ὑπέχουσι τοὺς ὤμους τῶν ἵππων· αἱ δὲ ὄπισθε παρὰ τοὺς μηροὺς τὰς γαστέρας ὑπολαμβάνουσι· σκέλεα δὲ ἀμφότερα
4 κατακρέμαται μετέωρα· χαλινοὺς δὲ καὶ στόμια ἐμβαλόντες [k] ἐς τοὺς ἵππους, κατατείνουσι ἐς τὸ πρόσθεν αὐ-
5 τῶν, καὶ ἔπειτα ἐκ πασσάλων δέουσι. τῶν δὲ δὴ νεηνίσκων τῶν [l] ἀποπεπνιγμένων τῶν πεντήκοντα ἕνα ἕκαστον ἀναβιβάζουσι [m] ἐπὶ τὸν ἵππον, ὧδε ἀναβιβάζοντες· ἐπεὰν νεκροῦ ἑκάστου παρὰ τὴν ἄκανθαν ξύλον ὀρθὸν διελάσωσι μέχρι τοῦ τραχήλου, κάτωθεν δὲ ὑπερέχει τοῦ ξύλου [n] τούτου τὸ ἐς τόρμον πηγνύουσι τοῦ ἑτέρου ξύλου [o] τοῦ διὰ τοῦ
6 ἵππου. [p] ἐπιστήσαντες δὲ κύκλῳ τὸ σῆμα ἱππέας τοιούτους, ἀπελαύνουσι.

73 Sepultura cæterorum Scytharum: purgatio eorum qui sepeliverunt.

Οὕτω μὲν τοὺς βασιλῆας θάπτουσι. τοὺς δὲ ἄλλους Σκύθας, ἐπεὰν ἀποθάνωσι, περιάγουσι οἱ ἀγχοτάτω προσήκοντες κατὰ τοὺς φίλους ἐν [a] ἁμάξῃσι κειμένους· τῶν δὲ ἕκαστος ὑποδεκόμενος εὐωχέει τοὺς ἑπομένους, καὶ τῷ νεκρῷ [b] πάντων παρατιθεῖ τῶν καὶ τοῖσι ἄλλοισι.
2 ἡμέρας δὲ τεσσεράκοντα οὕτω οἱ ἰδιῶται περιάγονται, ἔπειτα θάπτονται. Θάψαντες δὲ οἱ Σκύθαι, [c] καθαί-
3 ρονται τρόπῳ τοιῷδε. σμησάμενοι τὰς κεφαλὰς καὶ ἐκπλυνάμενοι, ποιεῦσι περὶ τὸ σῶμα τάδε· ἐπεὰν ξύλα

[h] Sic Ald. S.V.A.B. ἀναβιβάζονται M.P.F.

[i] ὑπερέχουσι M.P.K.F.

[k] ἐς om. S. Supra κατακρέμανται S.

[l] ἀπεπνιγμ. S.

[m] ἐπὶ τὸν ἵππον K.M.P.F. ἐπ' ἵππον S. ἐπὶ ἵππον a.c. ἐπ' ἵππων Ald. ἀναβιβάζονται b.d. pro ἀναβιβάζουσι.

[n] τοῦτο, i. e. τοῦτο τὸ μέρος τοῦ ξύλου conj. Schweighæuser. Distinctio tantum post τούτου, movenda erat cum Werfero Act. Phil. Mon. I. p. 114. Mox πηγνῦσι S.

[o] τοῦ om. F.b.

[p] σπείσαντες S.

73.

[a] ἁμάξῃ M.

[b] Sic S.V. Schæfer. ἁπάντων παραπλησίως παρατίθησι ὅσα τοῖσι alii.

[c] καταίρονται S.F.

στήσωσι τρία ἐς ἄλληλα κεκλιμένα, περὶ ταῦτα πίλους
[d] εἰρινέους περιτείνουσι· συμφράξαντες δὲ ὡς μάλιστα,
λίθους [e] ἐκ πυρὸς διαφανέας ἐσβάλλουσι ἐς σκάφην κει-
74 μένην ἐν μέσῳ τῶν ξύλων τε καὶ τῶν πίλων. Ἔστι δέ
σφι κάνναβις φυομένη ἐν τῇ χώρῃ, πλὴν παχύτητος καὶ
μεγάθεος, τῷ [a] λίνῳ ἐμφερεστάτη· [b] ταύτῃ δὲ πολλῷ
2 ὑπερφέρει ἡ κάνναβις. αὕτη καὶ αὐτομάτη καὶ σπειρο-
μένη φύεται· καὶ ἐξ αὐτῆς Θρήϊκες μὲν καὶ [c] εἵματα
ποιεῦνται τοῖσι λινέοισι ὁμοιότατα· οὐδ' ἄν, ὅστις μὴ
κάρτα τρίβων εἴη αὐτῆς, διαγνοίη, λίνου ἢ καννάβιός
ἐστι· ὃς δὲ μὴ εἶδέ κω τὴν [d] καννάβιδα, λίνεον δοκήσει
75 εἶναι τὸ εἷμα. Ταύτης ὦν οἱ Σκύθαι τῆς καννάβιος τὸ
σπέρμα ἐπεὰν λάβωσι, ὑποδύνουσι ὑπὸ τοὺς πίλους, καὶ
ἔπειτα [a] ἐπιβάλλουσι τὸ σπέρμα ἐπὶ τοὺς διαφανέας
λίθους τῷ πυρί· τὸ δὲ [b] θυμιῆται ἐπιβαλλόμενον, καὶ
ἀτμίδα παρέχεται τοσαύτην, ὥστε Ἑλληνικὴ οὐδεμία ἄν
[c] μιν πυρίη ἀποκρατήσειε· οἱ δὲ Σκύθαι, ἀγάμενοι τῇ
πυρίῃ, ὠρύονται. τοῦτό σφι ἀντὶ λουτροῦ ἐστί· οὐ γὰρ δὴ
2 [d] λοῦνται ὕδατι τὸ παράπαν τὸ σῶμα. Αἱ δὲ γυναῖκες
αὐτῶν, ὕδωρ [e] παραχέουσαι, κατασώχουσι περὶ λίθον
τρηχὺν τῆς κυπαρίσσου, καὶ κέδρου, καὶ [f] λιβάνου ξύλου·
καὶ ἔπειτα τὸ κατασωχόμενον τοῦτο, παχὺ ἐόν, [g] κατα-

Cannabis apud Scythas et sponte nascitur, et sata: inde Thracum vestes, li- 315 neis quam simillimæ.

Suffimentum e semine cannabis, loco lavacri: mulieres quanam litura usæ, bene oleant et mundæ niteant.

[d] ἐρινέους P.F.
[e] ἐκπύρους P.K.F.b.

74.

[a] λινέῳ S. Supra Κάνναβις ex h. l. Lex. Seguier. p. 105, 27. et Hesych.
[b] ταῦτα δὲ S. Schæfer.
[c] εἱματοποιεῦνται S. Mox λίνου ἢ κ. citat Pollux VII. 72.
[d] κανναβίδα S.F. Ald. forte melius. Tum λῖνον S.

75.

[a] Sic M.K.P. ὑποβάλλουσι Ald. a.c.S.V.F.
[b] θυμιᾶται ὑποβαλλ. S.V.
[c] μιν πυρίη ὠρυέται ceteris om. S. οὐδεμία S. pro οὐδεμίη.
[d] λούονται S.V. Mox αὐτῶν S. pro αὐτέων.
[e] παραχέουσι F.
[f] λιβανωτοῦ S.V. Mox τὸ om. S.
[g] Sic K.P.S.V.a.c. καταπάσσονται Ald. καὶ καταπλάσσονται M.F.b.

3 πλάσσονται πᾶν τὸ σῶμα καὶ τὸ πρόσωπον. καὶ ἅμα
μὲν [h] εὐωδίη σφέας ἀπὸ τούτου ἴσχει, ἅμα δὲ ἀπαιρέου-
σαι τῇ δευτέρῃ ἡμέρῃ τὴν [i] καταπλαστὺν, γίνονται καθα-
ραὶ καὶ λαμπραί.

76 Alieni a moribus externis: Anacharsis reversus ex peregrinatione, ob mores externos a Saulio rege fratre interfectus: Mater Deum Cyzici: Anacharsidis genus.

Ξεινικοῖσι δὲ νομαίοισι καὶ οὗτοι αἰνῶς χρᾶσθαι φεύ-
γουσι, [a] μή τι γε ὧν ἀλλήλων, Ἑλληνικοῖσι δὲ [b] καὶ ἥκι-
στα, ὡς διέδεξαν [c] Ἀνάχαρσίς τε, καὶ δεύτερα αὖτις Σκύ-
2 λης. Τοῦτο μὲν γὰρ Ἀνάχαρσις, ἐπεί τε γῆν πολλὴν
θεωρήσας, καὶ ἀποδεξάμενος κατ' αὐτὴν σοφίην πολλὴν,
ἐκομίζετο ἐς ἤθεα [d] τὰ Σκυθέων, [e] πλέων δι' Ἑλλησπόν- 316
του, προσίσχει ἐς Κύζικον, καὶ, εὗρε γὰρ τῇ Μητρὶ τῶν
θεῶν ἀνάγοντας τοὺς Κυζικηνοὺς ὁρτὴν [f] κάρτα μεγα-
λοπρεπέως, [g] εὔξατο τῇ Μητρὶ ὁ Ἀνάχαρσις, ἢν σῶς καὶ
ὑγιὴς [h] ἀπονοστήσῃ ἐς ἑωυτοῦ, θύσειν τε κατὰ ταὐτὰ
[i] κατὰ τὰ [k] ὅρα τοὺς Κυζικηνοὺς ποιεῦντας, καὶ παννυ-
3 χίδα στήσειν. ὡς δὲ ἀπίκετο ἐς τὴν Σκυθικὴν, καταδὺς
ἐς τὴν καλεομένην Ὑλαίην· ἡ δ' ἔστι μὲν παρὰ τὸν
Ἀχιλλήϊον Δρόμον, τυγχάνει δὲ πᾶσα ἐοῦσα δενδρέων
παντοίων πλέη· ἐς [l] ταύτην δὴ καταδὺς ὁ Ἀνάχαρσις,
τὴν ὁρτὴν [m] πᾶσαν ἐπετέλεε τῇ θεῷ, τύμπανόν τε ἔχων,

[h] εὐώδεις S.

[i] καταπλαστὺν M.P.K.F. καταπλαστὴν S.c. et al.

76.

[a] μή τι γε S.F. μή τοι γε alii, probantibus Schweighæusero et Hermanno. μή τις absque γε d. Tum ἄλλων pro ἀλλήλων malint Schweighæuserus et Hermannus ad Viger. p. 804.

[b] Sic S.M.P.K.a.c. καὶ om. F. d. et vulgo.

[c] Ἀναχάρσι—Σκύλῃ S.V. Vulg. Ἀνάχαρσις—Σκύλης, quam lectionem recte videtur interpretari Schweighæuser. *ut exemplo fuere Anacharsis et Scyles.*

[d] τῶν Σκ. S.

[e] πλέων δὲ δι' Ἑλλησπόντου] Sic M.K.P.F.a. δὲ om. Ald. c. πλέων δ' Ἑλλησπόντῳ S. πλ. δι' Ἑλλήσποντον V.

[f] Sic S.V. μεγαλοπρεπέως absque κάρτα P.K.F.b.d. μεγαλοπρεπέα κάρτα edd.

[g] ηὔξατο S.V.

[h] ἀπονοστήσει F. qui mox θύσει.

[i] Sic S.V. Paris. cf. II. 99. τὰ om. al.

[k] Sic F. ὥρα vulgo.

[l] ταύτην δὲ F.

[m] ἐπετέλεσε πᾶσαν F.

4 καὶ [n] ἐκδησάμενος ἀγάλματα. καὶ [o] τῶν τις Σκυθέων καταφρασθεὶς αὐτὸν ταῦτα ποιεῦντα, ἐσήμηνε τῷ βασιλέϊ [p] Σαυλίῳ· ὁ δὲ, καὶ αὐτὸς ἀπικόμενος, ὡς εἶδε τὸν Ἀνάχαρσιν ποιεῦντα ταῦτα, τοξεύσας αὐτὸν ἀπέκτεινε.

5 Καὶ νῦν, ἤν τις εἴρηται περὶ Ἀναχάρσιος, οὔ φασί μιν Σκύθαι γινώσκειν, διὰ τοῦτο ὅτι ἐξεδήμησέ τε ἐς τὴν Ἑλ-

6 λάδα, καὶ ξεινικοῖσι ἔθεσι διεχρήσατο. Ὡς δ' ἐγὼ ἤκουσα [q] Τίμνεω, τοῦ [r] Ἀριαπείθεος ἐπιτρόπου, εἶναι αὐτὸν [s] Ἰδανθύρσου τοῦ Σκυθέων βασιλέος πάτρων, παῖδα δὲ

7 εἶναι Γνούρου, τοῦ Λύκου, τοῦ Σπαργαπείθεος. [t] εἰ ὦν ταύτης ἦν τῆς οἰκίης [v] ὁ Ἀνάχαρσις, ἴστω ὑπὸ τοῦ [w] ἀδελφεοῦ ἀποθανών. [x] Ἰδάνθυρσος γὰρ ἦν παῖς Σαυλίου· Σαύλιος δὲ ἦν ὁ ἀποκτείνας Ἀνάχαρσιν.

77 Καίτοι τινὰ ἤδη ἤκουσα λόγον ἄλλον ὑπὸ Πελοποννησίων λεγόμενον, ὡς [a] ὑπὸ τοῦ Σκυθέων [b] βασιλέος Ἀνάχαρσις ἀποπεμφθεὶς, τῆς Ἑλλάδος μαθητὴς γένοιτο· ὀπίσω τε ἀπονοστήσας, φαίη πρὸς τὸν ἀποπέμψαντα, Ἕλληνας πάντας ἀσχόλους εἶναι [c] ἐς πᾶσαν σοφίην, πλὴν Λακεδαιμονίων· τούτοισι δὲ εἶναι μούνοισι σωφρόνως δοῦναί τε καὶ δέ-

2 ξασθαι λόγον. Ἀλλ' οὗτος μὲν ὁ λόγος ἄλλως [d] πέπαι-

Quid Peloponnesii fingant illum de cæteris Græcis et de Lacedæmoniis dixisse.

[n] ἐκδημησάμενος Ald. b. ἐκδυσάμενος d.

[o] Sic P.F. Alii τις τῶν cum S.

[p] Σαυλαίῳ S.V. *Sauleo* Valla.

[q] τοῦ νεὼ P.K.b. τοῦ νεῶ F. Τύμνεω a. Supra ἤθεσι S.

[r] Sic M.P.F.b. Σπαργαπίθεος S.V. Ald. a.c.d. Vall. Tum ἐπίτροπον S.V. pro ἐπιτρόπου.

[s] Ἰδανθύρσου M. K. P. F. a. c. Ἰδανθύρου S. Ἰνδαθύρσου Ald. V. Vall. b.d. Mox βασιλῆος S. et Σπαργαπίθεος.

[t] εἷς ὦν ταύτης ἦν, ὁ ἀποκτείνας Ἀνάχ. S. om. ceteris.

[v] Sic P.K.F. ὁ al. om. Mox ἀπὸ Ald.

[w] Sic Ald. M.P.S.F. ἀδελφιδεοῦ K.b.d. edd. post Steph.

[x] Ἰνδάθυρσος P.V. Ald. b.

77.

[a] Sic Ald. V.S.a. ὑπὸ τῶν Σκ. M.P.K.

[b] βασιλῆος S. Vulgo βασιλέος. F. βασιλέως.

[c] Sic M.S.V.P.K.F. Paris. Vulgo πρὸς π.

[d] Sic S.V. Vall. et forte d. cum Eustath. Od. p. 1594, 47 =306, 6. πέπλασται F.a.b.c. et vulgo.

σται [e] ὑπ' αὐτῶν Ἑλλήνων· ὁ δ' ὦν ἀνὴρ, ὥσπερ πρότερον [f] εἰρέθη, διεφθάρη. Οὗτος μέν νυν οὕτω δή [g] τι ἔπρηξε διὰ ξεινικά τε νόμαια καὶ Ἑλληνικὰς ὁμιλίας. 317

78 Πολλοῖσι δὲ κάρτα ἔτεσι ὕστερον Σκύλης, ὁ [a] Ἀριαπείθεος, ἔπαθε παραπλήσια τούτῳ. 2 Ἀριαπείθεϊ γὰρ τῷ Σκυθέων βασιλέϊ γίνεται [b] μετ' ἄλλων παίδων Σκύλης· ἐξ [c] Ἰστριηνῆς δὲ γυναικὸς οὗτος γίνεται, καὶ οὐδαμῶς ἐγχωρίης· τὸν ἡ μήτηρ [d] αὕτη γλῶσσάν τε Ἑλλάδα καὶ γράμματα ἐδίδαξε. 3 μετὰ δὲ, χρόνῳ ὕστερον, Ἀριαπείθης μὲν τελευτᾷ δόλῳ ὑπὸ Σπαργαπείθεος τοῦ Ἀγαθύρσων [e] βασιλέος· Σκύλης δὲ τήν τε βασιληΐην παρέλαβε, καὶ 4 τὴν γυναῖκα τοῦ πατρὸς, τῇ οὔνομα ἦν [f] Ὀποίη. ἦν δὲ αὕτη ἡ Ὀποίη ἀστὴ, ἐξ ἧς ἦν [g] Ὄρικος Ἀριαπείθεϊ παῖς. βασιλεύων δὲ Σκυθέων ὁ Σκύλης, διαίτῃ [h] μὲν οὐδαμῶς ἠρέσκετο Σκυθικῇ, ἀλλὰ πολλὸν πρὸς τὰ Ἑλληνικὰ μᾶλλον τετραμμένος ἦν ἀπὸ παιδεύσιος τῆς ἐπεπαίδευτο. 5 ἐποίεέ τε τοιοῦτο· εὖτε [i] ἀγάγοι τὴν στρατιὴν [k] τὴν Σκυθέων ἐς τὸ Βορυσθενεϊτέων ἄστυ, (οἱ δὲ Βορυσθενεΐται οὗτοι λέγουσι σφέας αὐτοὺς εἶναι Μιλησίους,) ἐς τούτους ὅκως ἔλθοι ὁ Σκύλης, τὴν μὲν στρατιὴν [l] καταλείπεσκε ἐν τῷ προαστείῳ, αὐτὸς δὲ ὅκως [m] ἔλθοι ἐς τὸ τεῖχος, καὶ

Scyles rex, a matre linguam Græcam doctus, Borysthenidem sæpe veniens, ibi ut Græcum se gerit.

[e] Sic mss. ὑπὸ τῶν edd. post Steph.

[f] ἠρέθη F. ἐρρήθη a.c. cf. 156.

[g] τι om. M.P.K.F. Sed τι habent alii. cf. Schæfer. ad Gregor. p. 499. Mox διὰ τὰ ξενικὰ S.

78.

[a] Sic M.P.K.F. Ἀριπάθεος S.V. Ἀριπείθ. Ald. a.d. Vall. Mox Ἀριπάθεϊ S. et τῶν pro τῷ.

[b] μὲν ἄλλων F.

[c] Sic ed. Reizius, e præcepto Wesselingii et Valckenærii. Ἰστρηνῆς P. Ἰστρίνης S. et vulg.

[d] αὐτὴ S. Mox ἀριπάθης S.

[e] βασιλῆος] βασιλέως F. Ἀγαθύρσου S. Mox τε om. S.

[f] Ὀπίη V.S. et infra.

[g] Ὄριχος K.F.b. Vall. Tum ἀριπάθεϊ S.

[h] μὲν om. K.P.F. Mox παιδεύσεως S. τοιοῦτον S.V.

[i] ἀγάγοιτο d.

[k] Sic V.P.K.F. Vulgo τῶν Σκ. cum S.

[l] Sic V. κατελίπεσκε F.a. al. καταλειπέεσκεν S.

[m] ἔλθῃ V.

τὰς πύλας [n] ἐγκληΐσειε, τὴν στολὴν ἀποθέμενος τὴν Σκυ-
6 θικὴν, λάβεσκε ἂν Ἑλληνίδα ἐσθῆτα. ἔχων δ' ἂν ταύτην,
ἠγόραζε, οὔτε δορυφόρων ἑπομένων, οὔτε [o] ἄλλου οὐδενός·
τὰς δὲ πύλας ἐφύλασσον, μή τίς μιν Σκυθέων ἴδοι ἔχον-
τα ταύτην τὴν στολήν· καὶ τἄλλα ἐχρᾶτο διαίτῃ Ἑλλη-
νικῇ, καὶ θεοῖσι ἱρὰ [p] ἐποίεε κατὰ νόμους τοὺς Ἑλλήνων.
7 ὅτε δὲ διατρίψειε μῆνα ἢ πλέον τούτου, ἀπαλλάσσετο,
ἐνδὺς τὴν Σκυθικὴν στολήν. ταῦτα ποιέεσκε [q] πολλάκις·
[r] καὶ οἰκία τε ἐδείματο ἐν Βορυσθένεϊ, καὶ γυναῖκα ἔγημε
79 ἐς αὐτὰ ἐπιχωρίην. Ἐπεί τε δὲ ἔδεέ οἱ κακῶς γενέσθαι,
[a] ἐγένετο ἀπὸ προφάσιος τοιῆσδε. ἐπεθύμησε Διονύσῳ
Βακχείῳ τελεσθῆναι· μέλλοντι δέ οἱ ἐς χεῖρας ἄγεσθαι
2 τὴν τελετὴν, ἐγένετο φάσμα μέγιστον. ἦν οἱ [b] ἐν Βορυσθε-
νεϊτέων τῇ πόλι οἰκίης μεγάλης καὶ πολυτελέος περι-
βολὴ, (τῆς καὶ [c] ὀλίγῳ τι πρότερον τούτων μνήμην εἶχον,)
[d] τὴν πέριξ λευκοῦ λίθου σφίγγες τε καὶ γρύπες ἕστασαν·
ἐς ταύτην ὁ θεὸς ἐνέσκηψε βέλος· καὶ ἡ μὲν κατεκάη
πᾶσα. Σκύλης δὲ οὐδὲν [e] τούτου εἵνεκα ἧσσον [f] ἐπετέλεσε
3 τὴν τελετήν. Σκύθαι δὲ τοῦ βακχεύειν πέρι Ἕλλησι
ὀνειδίζουσι· οὐ γάρ φασι [g] οἰκὸς εἶναι θεὸν [h] ἐξευρίσκειν
4 τοῦτον ὅστις μαίνεσθαι ἐνάγει ἀνθρώπους. Ἐπεί τε δὲ
ἐτελέσθη τῷ Βακχείῳ ὁ Σκύλης, [i] διεπρήστευσε [k] τῶν τις

Initiatur Baccho: 318 quodnam ei ostentum factum, ne initiaretur: Scytharum primores a Borysthenita quodam in murum admissi, regem bacchantem conspiciunt.

[n] ἐκκληΐσ. F. ἐγκλείσειε S.
[o] λαοῦ S.V. Vall.
[p] ἐποίησε S.V. qui mox τῶν Ἑλλήνων, et infra ἐσδύς.
[q] πλεονάκις S. πολλὰ d.
[r] Sic M.P.K.F. καὶ om. al.

79.

[a] ἐγίνετο P.K.F.
[b] ἐν τῶν Βορ. S.
[c] ὀλίγον τι S. cf. 81. VII. 113. 239. Mox τούτω S.
[d] Sic vulgo cum Schæfer. τήν τε πέριξ M.P.K.F.
[e] Sic M.S.K.P.V.F. τουτέων a. et al.
[f] ἐπετέλλεε S. ἐπιτέλεε V.
[g] Sic F.a. εἰκὸς vulgo.
[h] εὑρίσκειν F.
[i] διεπρήστευσε Ald. V.A.B. ἐπρήστευσε M.P.K.F. διεπίστευσε S. hoc est, Wesselingio interprete, *fidem fecit*, seu ut Valla, *indicium detulit, Scythis dicens.*
[k] τῶν om. S.V.

5 Βορυσθενεϊτέων πρὸς τοὺς Σκύθας, λέγων· "[l] Ἡμῖν γὰρ
" καταγελᾶτε, ὦ Σκύθαι, ὅτι βακχεύομεν καὶ ἡμέας ὁ
" θεὸς λαμβάνει· νῦν οὗτος ὁ δαίμων καὶ τὸν ὑμέτερον
" βασιλέα [m] λελάβηκε, καὶ [n] βακχεύει, καὶ ὑπὸ τοῦ
6 " θεοῦ μαίνεται. εἰ δέ μοι ἀπιστέετε, ἕπεσθε, καὶ ὑμῖν
" ἐγὼ δείξω." Εἵποντο τῶν Σκυθέων οἱ προεστεῶτες·
καὶ αὐτοὺς ἀναγαγὼν ὁ Βορυσθενεΐτης, λάθρη ἐπὶ πύργον
7 [o] κατεῖσε. ἐπεί τε δὲ παρήϊε σὺν τῷ θιάσῳ ὁ Σκύλης,
καὶ εἶδόν μιν βακχεύοντα οἱ Σκύθαι, κάρτα συμφορὴν
μεγάλην ἐποιήσαντο· ἐξελθόντες δὲ, ἐσήμαινον πάσῃ τῇ
στρατιῇ τὰ ἴδοιεν.

80 Ὡς δὲ μετὰ ταῦτα ἐξήλαυνε ὁ Σκύ-
λης ἐς ἤθεα τὰ ἑωυτοῦ, [a] οἱ Σκύθαι προστησάμενοι τὸν
ἀδελφεὸν αὐτοῦ Ὀκταμασάδην, γεγονότα ἐκ τῆς [b] Τήρεω
2 θυγατρὸς, [c] ἐπανιστέατο τῷ Σκύλῃ. ὁ δὲ, μαθὼν τὸ γι- 319
νόμενον ἐπ' ἑωυτῷ, καὶ τὴν αἰτίην δι' ἣν ἐποιέετο, κατα-
3 φεύγει ἐς τὴν [d] Θρηΐκην. πυθόμενος [e] δὲ ὁ Ὀκταμασάδης
ταῦτα, ἐστρατεύετο ἐπὶ τὴν Θρηΐκην· ἐπεί τε δὲ ἐπὶ τῷ
4 Ἴστρῳ [f] ἐγένετο, ἠντίασάν μιν οἱ [g] Θρήϊκες. μελλόντων δὲ
αὐτῶν [h] συνάψειν, ἔπεμψε [i] Σιτάλκης παρὰ τὸν Ὀκτα-
μασάδην, λέγων τοιάδε· "Τί δεῖ ἡμέας ἀλλήλων πειρη-
" θῆναι; εἷς μέν μευ τῆς ἀδελφεῆς παῖς, ἔχεις δέ μευ
5 " ἀδελφεόν. [k] σύ τ' ἐμοὶ ἀπόδος τοῦτον, καὶ ἐγὼ σοὶ τὸν

Scyles, amisso regno, profugit ad Sitalcem regem Thraciæ, a quo redditus Octamasadi fratri, hujus manu moritur.

[l] Sic M.P.K.F.b.d. ἡμῖν δὲ a. c.S. Ald.

[m] λελάληκε S.F.d.

[n] βακχεύει τε M.P.K.F.

[o] Sic Valcken. κάτισε S.M.K. P.F.a.c. κάτεισε V. Vulgo ἐκάτισε. Lectioni κατεῖσε respondere εἷσε III. 61. et Homericum καθεῖσεν monet Wesseling.

80.

[a] οἱ om. S.V.

[b] Sic M.K.P.F. Vall. Vulgo Τυρέω cum S.

[c] Sic S.F. Vulgo ἐπανισταίατο.

[d] Θρηκίην S. et mox V. Θρῄκην F. Θρηϊκίην Ald.

[e] δὲ ὁ om. F.

[f] ἐγίνετο F.

[g] Σκύθαι S.

[h] Sic M.P.K.F. συνάπτειν Ald. S.V.A.B. αὐτῶν S. pro αὐτέων.

[i] Σιδάλκης S. et mox.

[k] Sic Schæfer. et mox καὶ ἐγὼ σοί. Vulgo σύ τέ μοι, et ἐγώ σοι. σὺ δέ μοι F.

“ σὸν Σκύλην παραδίδωμι· στρατιῇ δὲ μήτε σὺ κινδυ-
6 “ νεύσῃς, μήτ᾽ ἐγώ.” Ταῦτά οἱ πέμψας ὁ Σιτάλκης
ἐπεκηρυκεύετο· ἦν γὰρ [l] παρὰ τῷ Ὀκταμασάδῃ ἀδελ-
7 φεὸς [m] Σιτάλκεω, [n] πεφευγὼς τοῦτον. ὁ δὲ Ὀκταμα-
σάδης καταινέει ταῦτα· [o] ἐκδιδοὺς δὲ τὸν ἑωυτοῦ μήτρωα
8 [p] Σιτάλκῃ, ἔλαβε τὸν ἀδελφεὸν Σκύλην. καὶ Σιτάλκης
μὲν παραλαβὼν τὸν ἀδελφεὸν, ἀπήγετο· Σκύλεω δὲ
[q] Ὀκταμασάδης αὐτοῦ ταύτῃ ἀπέταμε τὴν κεφαλήν.
9 Οὕτω μὲν περιστέλλουσι τὰ σφέτερα νόμαια Σκύθαι,
τοῖσι δὲ παρακτωμένοισι ξεινικοὺς [r] νόμους τοιαῦτα ἐπι-
τίμια διδοῦσι.

81 1 Πλῆθος δὲ τὸ Σκυθέων οὐκ οἷός τε ἐγενόμην ἀτρεκέως
πυθέσθαι, ἀλλὰ διαφόρους λόγους περὶ τοῦ ἀριθμοῦ
ἤκουον· καὶ γὰρ κάρτα πολλοὺς εἶναί σφεας, καὶ ὀλί-
γους, ὡς Σκύθας εἶναι. τοσόνδε μέντοι ἀπέφαινόν μοι
2 ἐς ὄψιν. [a] Ἔστι μεταξὺ Βορυσθένεός τε ποταμοῦ καὶ
Ὑπάνιος χῶρος, οὔνομα [b] δέ οἱ ἐστι Ἐξαμπαῖος· τοῦ
καὶ [c] ὀλίγον τι πρότερον τούτων μνήμην εἶχον, φάμενος
ἐν αὐτῷ κρήνην ὕδατος πικροῦ εἶναι, ἀπ᾽ ἧς τὸ ὕδωρ
3 ἀπορρέον τὸν Ὕπανιν ἄποτον [d] ποιέειν. ἐν τούτῳ τῷ χώ-
ρῳ κέεται [e] χαλκήϊον, μεγάθεϊ [f] καὶ ἑξαπλήσιον τοῦ

Scytharum quanta multitudo: crater Pausaniæ ad os Ponti, et sextuplo major Scythicus in Exampæo loco, [c. 52.] ab Arianta rege factus.

[l] παρ᾽ αὐτῷ F.

[m] Sic K. cf. VII. 137. Ceteri Σιτάλκεος. Σιδάλκεος S.

[n] Sic Ald. V.S.a. Vall. τοῦτον om. M.K.P.F.

[o] Sic M.P.K.F. ἐκδοὺς S.a. Ald. et al.

[p] Sic M.P.K.S. Vall. Σιτάλκην F. et vulg. μήτρω Σιδάλκῃ S.

[q] Ὀκταμ. F. illud ὁ suprasc. pr. m.

[r] γάμους S.

81.

[a] Sic vulg. ὥς ἐστι μ. M.P.K.F.

[b] δέ οἵ ἐστι S.P.V.K. δ᾽ ἔστι οἱ vulg. δ᾽ ἐστί οἱ a. οἱ om. F.d.

[c] ὀλίγῳ τι K.P.F.a.b. cf. 79.

[d] Sic M.K.P.F. ποιέει S. Ald. et al. probante Wesselingio; sed istum infinitivi usum Herodoto familiarem esse notat Schweighæuser.

[e] χαλκιόν S.V. et mox. χαλκεῖον K.F.a.

[f] Sic M.S.P.K.F.a. καὶ om. al. Tum omnes ut videtur ἑξαπλήσιον.

[g] ἐπὶ τῷ στόματι τοῦ Πόντου κρητῆρος, τὸν Παυσανίης ὁ
4 Κλεομβρότου ἀνέθηκε. ὃς δὲ μὴ εἶδέ κω τοῦτον, ὧδε δηλώ-
σω· ἑξακοσίους ἀμφορέας εὐπετέως χωρέει τὸ ἐν Σκύθῃσι
χαλκήϊον. πάχος δὲ τὸ Σκυθικὸν τοῦτο χαλκήϊόν ἐστι
5 δακτύλων ἕξ. τοῦτο ὦν ἔλεγον οἱ ἐπιχώριοι [h] ἀπὸ ἀρδίων
γενέσθαι· βουλόμενον γὰρ τὸν σφέτερον βασιλέα, τῷ οὔ-
νομα [i] εἶναι Ἀριαντὰν, [k] τοῦτον εἰδέναι τὸ πλῆθος [l] τῶν
Σκυθέων, [m] κελεύειν μιν πάντας Σκύθας ἄρδιν ἕκαστον
μίαν ἀπὸ τοῦ ὀϊστοῦ κομίσαι· ὃς δ' ἂν μὴ κομίσῃ, θάνα-
6 τον ἀπείλεε. κομισθῆναί τε [n] δὴ χρῆμα [o] πολλὸν ἀρδίων,
καί οἱ δόξαι ἐξ αὐτέων μνημόσυνον [p] ποιήσαντι λιπέσθαι·
ἐκ τουτέων δή μιν τὸ χαλκήϊον ποιῆσαι τοῦτο, καὶ ἀνα-
θεῖναι ἐς τὸν Ἐξαμπαῖον τοῦτον. ταῦτα δὴ περὶ τοῦ
82 πλήθεος [q] τοῦ Σκυθέων ἤκουον. Θωυμάσια δὲ ἡ χώρη
αὕτη οὐκ ἔχει, χωρὶς ἢ ὅτι ποταμούς τε πολλῷ μεγί-
2 στους, καὶ ἀριθμὸν πλείστους. ὃ δὲ [a] ἀποθωυμάσαι ἄξιον
[b] καὶ πάρεξ τῶν ποταμῶν καὶ τοῦ μεγάθεος τοῦ πεδίου
παρέχεται, εἰρήσεται· ἴχνος Ἡρακλέος φαίνουσι ἐν πέτρῃ
ἐνεὸν, τὸ [c] οἶκε μὲν βήματι ἀνδρὸς, ἔστι δὲ τὸ μέγαθος

Vestigium Herculis in petra bicubitale ad Tyram fluvium.

[g] ἐπὶ στόμ. S.V.P.K.F.a. Mox πονητοῦ S. pro πόντου.

[h] ἀπὸ om. S.V.

[i] εἶναι om. S.

[k] τοῦτον βουλόμενον ed. Schweighæuserus, ex Reizii conjectura. βουλόμενον ab omnibus libris abest. τούτων pro τοῦτον b. in qua fere primo, deinde in vulgata scriptura acquiescit Schweighæuser.

[l] τὸ Σκυθ. P.

[m] Sic omnes libri. μὲν pro μιν edidit Schweighæuserus, μιν repositurus, si τούτων non τοῦτον legatur. Mox πάντως S. qui ἀρδίαν pro ἄρδιν et μίαν pro μίην. Hunc l. respicit Suidas voc. Ἄρδιν.

[n] δὴ om. F. δὲ pro τε δὴ S.

[o] Sic S.F. et forte alii. cf. VI. 43. Vulgo πολλῶν. Mox Ἀρκαδίων F. pro ἀρδίων. Mox αὐτῶν S. sed vulg. retinendum.

[p] ποιήσαντι S.V. Ald. A.B. ποιήσας M.P.K.F.

[q] τῶν Σκυθ. S. qui supra ταῦτα δέ.

82.

[a] ἀποθωμάσαι S. et F. in textu. In pr. θωμάσια S.

[b] Sic M.K.V.F. καὶ om. S.a. c. al.

[c] Sic V. ἔοικε S.F.b.c.d. al.

3 δίπηχυ, παρὰ τὸν Τύρην ποταμόν. Τοῦτο μέν νυν τοιοῦτο ἐστι. ἀναβήσομαι δὲ ἐς τὸν κατ' ἀρχὰς [d] ἤϊα λέξων λόγον.

83 Παρασκευαζομένου Δαρείου ἐπὶ τοὺς Σκύθας, καὶ ἐπιπέμποντος ἀγγέλους ἐπιτάζοντας τοῖσι μὲν πεζὸν στρατὸν, τοῖσι δὲ νέας παρέχειν, τοῖσι δὲ [a] ζεύγνυσθαι τὸν Θρηΐκιον Βόσπορον· Ἀρτάβανος ὁ Ὑστάσπεος, ἀδελφεὸς ἐὼν Δαρείου, [b] ἔχρηζε μηδαμῶς αὐτὸν [c] στρατηΐην ἐπὶ Σκύθας ποιέεσθαι, καταλέγων τῶν Σκυθέων τὴν ἀπο-
2 ρίην. ἀλλ', οὐ γὰρ ἔπειθε συμβουλεύων οἱ χρηστὰ, ὁ μὲν ἐπέπαυτο· ὁ δὲ, ἐπειδή οἱ τὰ [d] πάντα παρεσκεύαστο,
84 ἐξήλαυνε τὸν στρατὸν ἐκ Σούσων. Ἐνθαῦτα τῶν Περσέων Οἰόβαζος ἐδεήθη Δαρείου, τριῶν ἐόντων οἱ παίδων,
2 καὶ πάντων στρατευομένων, ἕνα αὐτῷ καταλειφθῆναι. ὁ δέ οἱ ἔφη, ὡς φίλῳ ἐόντι καὶ μετρίων δεομένῳ, πάντας
3 τοὺς παῖδας καταλείψειν. ὁ μὲν δὴ Οἰόβαζος περιχαρὴς ἦν, ἐλπίζων τοὺς υἱέας [a] στρατηΐης ἀπολελύσθαι· ὁ δὲ ἐκέλευσε [b] τοὺς ἐπεστεῶτας ἀποκτεῖναι πάντας τοὺς Οἰοβάζου παῖδας. καὶ οὗτοι μὲν ἀποσφαγέντες, αὐτοῦ ταύτῃ ἐλίποντο.

85 Δαρεῖος δὲ ἐπεί τε πορευόμενος ἐκ Σούσων ἀπίκετο τῆς [a] Καλχηδονίης ἐπὶ τὸν Βόσπορον, ἵνα ἔζευκτο ἡ γέφυρα, ἐνθεῦτεν ἐσβὰς ἐς νέα, ἔπλεε ἐπὶ τὰς Κυανέας

Darius Artabano fratri bellum Scythicum dissuadenti non obsecutus, movet Susis.

Œobazi Persæ filios tres, quod is uni eorum petiisset militiæ vacationem, occidit.

Pons ad Bosporum Thracium junctus: insulæ Cyaneæ: spe-

[d] ἦα λ. K. ἢ ἀλέξων F.

83.

[a] ζευγνύναι S. probatum Wesselingio edidit Schæfer. cf. III. 89. 90. 134. VII. 36.

[b] ἐχρημάτιζε b.d.

[c] Sic Wesseling. στρατείην F. ed. Genev. στρατιὴν S. vulgo.

[d] ἅπαντα F.

84.

[a] στρατιῆς F. Mox κελεύει S. Ald. pro ἐκέλευσε.

[b] τοὺς ἐπεστεῶτας M.P.K. τοὺς ἐστεῶτας F. τοὺς ἐπὶ τουτέων (vel τούτων ut S.) ἐπεστ. V.S.A.B. Ald. Schæfer.

85.

[a] Χαλκηδονίης d. Χαλιδον. b. In pr. ὁ Δαρεῖος S. qui infra ἐμβὰς pro ἐσβὰς cum V. ubi ἐκβὰς Ald.

ctat Darius Pontum ex fano Jovis Urii: mensura Ponti, Bospori, Propontidis, Hellesponti.

καλευμένας, τὰς πρότερον πλαγκτὰς Ἕλληνές φασι
2 εἶναι. ἑζόμενος δὲ [b] ἐπὶ τῷ ἱρῷ, [c] ἐθηεῖτο τὸν Πόντον, ἐόν-
τα ἀξιοθέητον. πελαγέων γὰρ ἁπάντων πέφυκε [d] θωυμα-
σιώτατος· [e] τοῦ τὸ μὲν μῆκος [f] στάδιοί εἰσι ἑκατὸν καὶ
χίλιοι καὶ μύριοι· [g] τὸ δὲ εὖρος, τῇ εὐρύτατος αὐτὸς ἑωυ- 321
3 τοῦ, στάδιοι [h] τριηκόσιοι καὶ τρισχίλιοι. τούτου τοῦ πε-
λάγεος τὸ στόμα ἐστὶ [i] εὖρος τέσσερες στάδιοι· μῆκος
δὲ τοῦ στόματος, ὁ αὐχὴν, τὸ δὴ Βόσπορος κέκληται,
κατ᾽ ὃ δὴ ἔζευκτο ἡ γέφυρα, ἐπὶ σταδίους εἴκοσι καὶ
4 ἑκατόν ἐστι. τείνει δ᾽ ἐς [k] τὴν Προποντίδα ὁ Βόσπορος.
Ἡ δὲ Προποντὶς, ἐοῦσα εὖρος μὲν σταδίων πεντακοσίων,
μῆκος δὲ τετρακοσίων καὶ χιλίων, καταδιδοῖ ἐς τὸν Ἑλ-
λήσποντον, ἐόντα [l] στεινότητι μὲν ἑπτὰ σταδίους, μῆκος
5 δὲ τετρακοσίους. ἐκδιδοῖ δὲ [m] ὁ Ἑλλήσποντος ἐς χάσμα
πελάγεος, τὸ δὴ Αἰγαῖον καλέεται.

86 Cursus navis diurnus, DCC stadiorum; nocturnus, stadiorum DC; Pontus ubi longissimus, et ubi latissimus: collectæ ab

86 Μεμέτρηται δὲ
ταῦτα ὧδε. νηῦς ἐπίπαν μάλιστά κη κατανύει ἐν [a] μα-
κρημερίῃ [b] ὀργυιὰς ἑπτακισμυρίας, [c] νυκτὸς δὲ, ἑξακι-
2 σμυρίας. ἤδη ὦν ἐς μὲν Φᾶσιν ἀπὸ τοῦ στόματος, (τοῦτο
γάρ ἐστι τοῦ Πόντου μακρότατον,) ἡμερέων ἐννέα πλόος
ἐστὶ, καὶ νυκτῶν ὀκτώ· αὗται ἕνδεκα μυριάδες καὶ
ἑκατὸν ὀργυιέων γίνονται· ἐκ δὲ τῶν ὀργυιέων τουτέων,

[b] ἐπὶ ἱρῷ a. ἐπὶ ἱρὸν F.
[c] Sic M.S.V.P.K.F. ἐθῆητο Ald. et al. cf. I. 10. VII. 56.
[d] θωμασιώτατον S. cf. Suidas in Εὔξεινος.
[e] Sic Paris. Vall. τοῦτο μὲν F. et vulg. τούτῳ μὲν S.
[f] Sic F. μῆκός εἰσι στάδιοι vulg.
[g] Sic A.B.P.K.F.S.V. τοῦτο δὲ τῇ Ald. et vulg.
[h] Sic S. ex em. cf. 86. Reliqui διηκόσιοι. Mox τὸ ante στόμα om. S.
[i] Cf. Eustath. Dionys. 140. εὖρρος S. qui infra κατ᾽ ὃ δέ.
[k] τὴν om. F.
[l] στεινότατον S. στεινότατα V. στεινότητα malebat Schweighæuser.
[m] ὁ om. S.V. ἐσδιδοῖ item S.

86.

[a] Sic M.P.K.F. μακρῇ ἡμέρῃ Ald. V.S.A.B. probante Schneidero in Lexic. Supra ναῦς S. et κατανεύει.
[b] Sic P.S.a. cf. II. 149. ὀργυὰς K.F. ὀργυιέας Ald. Wessel.
[c] νυκτὸς δὲ ἑξακ.] om. M.P.K. S. τοῦ ante στόματος om. S.

3 στάδιοι ἑκατὸν καὶ χίλιοι καὶ μύριοί εἰσι. ἐς δὲ [d] Θεμισκύρην τὴν ἐπὶ Θερμώδοντι ποταμῷ ἐκ τῆς [e] Σινδικῆς, (κατὰ τοῦτο γάρ ἐστι τοῦ Πόντου εὐρύτατον,) τριῶν τε ἡμερέων καὶ [f] δύο νυκτῶν [g] πλόος· αὗται δὲ [h] τρεῖς μυριάδες καὶ τριήκοντα ὀργυιέων γίνονται, στάδιοι δὲ τριηκόσιοι καὶ τρισχίλιοι.
4 Ὁ μέν νυν Πόντος οὗτος καὶ Βόσπορός [i] τε καὶ Ἑλλήσποντος οὕτω [k] τέ μοι μεμετρέαται, καὶ
5 κατὰ τὰ εἰρημένα πεφύκασι. Παρέχεται δὲ καὶ λίμνην [l] ὁ Πόντος οὗτος, [m] ἐκδιδοῦσαν [n] ἐς ἑωυτὸν, οὐ πολλῷ τέῳ ἐλάσσω ἑωυτοῦ· ἡ Μαιῆτίς [o] τε καλέεται, καὶ μήτηρ τοῦ Πόντου.

ipso Herodoto mensuræ: mater Ponti Mæotis.

87 Ὁ δὲ Δαρεῖος, ὡς [a] ἐθηήσατο τὸν Πόντον, ἔπλεε ὀπίσω [b] ἐπὶ τὴν γέφυραν, τῆς ἀρχιτέκτων ἐγένετο [c] Μανδροκλέης
2 Σάμιος. [d] θηησάμενος δὲ καὶ τὸν Βόσπορον, στήλας ἔστησε δύο [e] ἐπ᾽ αὐτῷ λίθου λευκοῦ, ἐνταμὼν γράμματα, [f] ἐς μὲν τὴν Ἀσσύρια, ἐς δὲ τὴν Ἑλληνικὰ, ἔθνεα πάντα
3 [g] ὅσαπερ ἦγε· ἦγε δὲ [h] πάντα τῶν ἦρχε. [i] τουτέων μυριάδες ἐξηριθμήθησαν, χωρὶς τοῦ ναυτικοῦ, ἑβδομήκοντα σὺν
4 ἱππεῦσι· νέες δὲ ἑξακόσιαι συνελέχθησαν. Τῇσι μέν νυν

Mandrocles Samius, pontis architectus: duo cippi ad Bosporum erecti, litterisque Assyriis et 322 Græcis inscripti: magnitudo exercitus

[d] Θεμισκύρην P.K.F.b. Θεμισμύρην d. Θεμίσκουρον S. Θεμίσκυρον c. Θερμίσκυρον a. Θεμίσκυραν vulgo.
[e] Ita Wessel. Libri omnes Ἰνδικῆς. Mox τριῶν δὲ S.
[f] δύο om. S.
[g] πλόος Ald. V.S.a.c. πλόον M. P.K.F. νυκτῶν πλόον δύο b.
[h] Sic P.S.F.a.b.d. τρεῖς καὶ τριήκ. μυρ. Wessel. et al.
[i] τε om. F.
[k] τε om. S. οὗτοί τε P.K.F.
[l] Sic S.V.A.B. Ald. οὗτος om. M.P.K.F. Forsan repetitum est hoc pronomen, quo distingueretur *hic Pontus* ab *Hellesponto* proxime memorato. SCHWEIGH.
[m] ἐσδιδ. V.S.
[n] ἐς αὐτὸν P.K.F.b.
[o] τε om. S. Citat h.l. Eustath. Dionys. 14.

87.

[a] ἐθεήσατο F.
[b] ἐς τὴν F.
[c] Μανδροκλῆς S.V.
[d] θεησάμενος K.F.
[e] Sic A. B. ἐπ᾽ αὐτὸν M. P. K. F.d. ἐπ᾽ αὐτοῦ Ald. V.S.a. Schæfer.
[f] ἐς μὲν τὴν M.K.P.F.b. ἐς μὲν τὴν ἑτέρην S.a.c.d. al.
[g] ὅσα περιῆγε K.
[h] πάντων τῶν S.
[i] τουτέων] τούτου S. τούτων F.

et classis: quid cippis illis postea factum: Dianæ Orthosiæ ara et Bacchi templum Byzantii.

στήλῃσι ταύτῃσι Βυζάντιοι, κομίσαντες ἐς τὴν πόλιν ὕστερον τούτων, ἐχρήσαντο πρὸς τὸν βωμὸν τῆς [k] Ὀρθωσίης Ἀρτέμιδος, χωρὶς ἑνὸς λίθου· [l] οὗτος δὲ κατελείφθη παρὰ τοῦ Διονύσου τὸν νηὸν ἐν [m] Βυζαντίῳ, γραμμάτων Ἀσσυ-
5 ρίων πλέος. Τοῦ δὲ Βοσπόρου ὁ χῶρος τὸν ἔζευξε βασιλεὺς Δαρεῖος, [n] ὡς ἐμοὶ δοκέειν συμβαλλομένῳ, [o] μέσον ἐστὶ Βυζαντίου τε καὶ τοῦ ἐπὶ [p] στόματι ἱροῦ.

88 Mandrocles a Dario donatus, Junoni Samiæ picturam dedicat.

Δαρεῖος δὲ μετὰ ταῦτα, ἡσθεὶς τῇ σχεδίῃ, τὸν ἀρχιτέκτονα αὐτῆς
2 Μανδροκλέα τὸν Σάμιον ἐδωρήσατο [a] πᾶσι δέκα. ἀπ᾽ ὧν δὴ Μανδροκλέης ἀπαρχὴν, [b] ζῶα γραψάμενος πᾶσαν τὴν ζεῦξιν τοῦ Βοσπόρου, καὶ βασιλέα τε Δαρεῖον ἐν προεδρίῃ κατήμενον, καὶ τὸν στρατὸν αὐτοῦ διαβαίνοντα, ταῦτα γραψάμενος, ἀνέθηκε ἐς τὸ Ἥραιον, ἐπιγράψας τάδε·

3 Βόσπορον ἰχθυόεντα γεφυρώσας ἀνέθηκε
[c] Μανδροκλέης Ἥρῃ μνημόσυνον σχεδίης·
αὐτῷ μὲν στέφανον περιθεὶς, Σαμίοισι δὲ κῦδος,
Δαρείου [d] βασιλέος ἐκτελέσας κατὰ νοῦν.

4 ταῦτα μέν νυν τοῦ ζεύξαντος τὴν γέφυραν μνημόσυνα ἐγένετο.

89 Iones subvecti in Istrum bidui iter a

Δαρεῖος δὲ δωρησάμενος Μανδροκλέα, διέβαινε ἐς τὴν Εὐρώπην, τοῖσι Ἴωσι παραγγείλας πλέειν ἐς τὸν Πόντον, μέχρι Ἴστρου ποταμοῦ· ἐπεὰν δὲ ἀπίκωνται ἐς τὸν Ἴ-

[k] Vid. Fabricium ad Sext. Empir. p. 179. Wess.

[l] Sic Ald. V.A.B. κατελείφθη om. S. δὲ om. M.P.K.F.

[m] Βυζαντίων S.

[n] Sic S.V. Schæfer. cf. II. 124. VIII. 30. ὡς ἐμοὶ δοκέει Wessel. et al.

[o] ἐς μέσον P.K.V.F.b.d. Mox τε om. S.

[p] στόματος V.S.

88.

[a] πᾶσι V.P.K. Vall. F.d. πᾶσα S. nulla alterius lectionis in ora mentione facta, ut testatur Wesselingius. παισὶ Ald.

[b] Sic S.K.F. Vall. Eustath. Il. ζ΄. p. 626, 54=481, 6. ζωαγραψ. uno verbo vulg.

[c] Ἀνδροκλέης citat Gyllius Bosp. Thrac. II. 13. Μανδοκρέων Anthol. Palat. VI. 341. ubi v. seq. τῷ μὲν δὴ στ.

[d] βασιλέος δ᾽ S. βασιλέως F.

στρον, ἐνθαῦτα αὐτὸν περιμένειν, ζευγνύντας τὸν ποταμόν.
τὸ γὰρ δὴ ναυτικὸν ἦγον Ἴωνές τε καὶ Αἰολέες καὶ
2 Ἑλλησπόντιοι. Ὁ μὲν δὴ ναυτικὸς [a] στρατὸς τὰς Κυα-
νέας διεκπλώσας, ἔπλεε ἰθὺ τοῦ Ἴστρου· ἀναπλώσας δὲ
ἀνὰ [b] τὸν ποταμὸν δυῶν ἡμερέων πλόον ἀπὸ θαλάσσης,
τοῦ ποταμοῦ τὸν αὐχένα, [c] ἐκ τοῦ σχίζεται τὰ στόματα
3 τοῦ Ἴστρου, ἐζεύγνυε. Δαρεῖος δὲ, ὡς διέβη τὸν [d] Βόσπο-
ρον κατὰ τὴν σχεδίην, ἐπορεύετο διὰ τῆς Θρηίκης· ἀπικό-
μενος δὲ ἐπὶ Τεάρου ποταμοῦ τὰς πηγὰς, ἐστρατοπεδεύ-
90 σατο ἡμέρας τρεῖς. Ὁ δὲ Τέαρος λέγεται ὑπὸ τῶν περι-
οίκων εἶναι ποταμῶν ἄριστος, τά τε ἄλλα ἐς ἄκεσιν φέ-
ροντα, καὶ δὴ [a] καὶ ἀνδράσι καὶ ἵπποισι ψώρην ἀκέσα-
2 σθαι. [b] εἰσὶ δὲ αὐτοῦ αἱ πηγαὶ δυῶν δέουσαι τεσσερά-
κοντα, ἐκ πέτρης τῆς αὐτῆς ῥέουσαι· καὶ αἱ μὲν αὐτέων 323
3 εἰσὶ ψυχραί· αἱ δὲ, θερμαί. ὁδὸς δ' ἐπ' αὐτάς ἐστι ἴση
ἐξ [c] Ἡραίου τε πόλιος τῆς παρὰ Περίνθῳ, καὶ ἐξ Ἀπολ-
λωνίης τῆς ἐν τῷ Εὐξείνῳ Πόντῳ, δυῶν [d] ἡμερέων ἑκατέρη.
4 ἐκδιδοῖ δὲ ὁ Τέαρος οὗτος ἐς τὸν [e] Κοντάδεσδον ποταμόν.
ὁ δὲ Κοντάδεσδος, ἐς τὸν Ἀγριάνην· ὁ δὲ Ἀγριάνης, ἐς
τὸν Ἕβρον· ὁ δὲ, ἐς θάλασσαν τὴν παρ' Αἴνῳ [f] πόλι.
91 Ἐπὶ τοῦτον ὦν τὸν ποταμὸν ἀπικόμενος ὁ Δαρεῖος, ὡς
ἐστρατοπεδεύσατο, ἡσθεὶς τῷ ποταμῷ, στήλην ἔστησε καὶ
2 ἐνθαῦτα, γράμματα [a] ἐγγράψας, λέγοντα τάδε· ΤΕΑ-

mari, fluminis collum ponte jungunt: Darius per Thraciam it.

Teari fluvii aqua, fontes, cursus.

Inscriptio cippi a Dario erecti ad Tearum.

89.

[a] στρατὸς τὰς om. P. K. F. τὰς om. S. Supra ἦγον om. S.

[b] τὸν om. K.P.V.S.

[c] ἐξ οὗ F.

[d] Πόντον S.V. Mox Θρηκίης S.

90.

[a] καὶ om. F. Supra τῶν ante περιοίκων om. S.

[b] εἰσὶ δὲ αὐτοῦ M. P. K. b. c. d. εἰσὶ δὲ τούτου V.S.a. εἰσὶ γὰρ τ. vulgo. cf. Eustath. Il. χ'. p.1263, 32=1362, 13. Mox αὐτῶν S. sed præstat vulg.

[c] Hinc Steph. Byz. Ἥραιον, πόλις Θρᾴκης. ἐξ—Εὐξείνῳ om. F.

[d] ἡμερέων om. S.

[e] Κοντάδεστον S.V. Vall. et sic mox.

[f] πόλει F. παρ' αἶνον πόλιν S.

91.

[a] ἐγγράψας S. V. Ald. A.B.

ΡΟΥ ΠΟΤΑΜΟΥ ΚΕΦΑΛΑΙ ῾ΥΔΩΡ ΑΡΙΣΤΟΝ ΤΕ ΚΑΙ ΚΑΛΛΙΣΤΟΝ ΠΑΡΕΧΟΝΤΑΙ ΠΑΝΤΩΝ ΠΟΤΑΜΩΝ· ΚΑΙ ΕΠ' ΑΥΤΑΣ ΑΠΙΚΕΤΟ ΕΛΑΥΝΩΝ ΕΠΙ ΣΚΥΘΑΣ ΣΤΡΑΤΟΝ ΑΝΗΡ [b] ΑΡΙΣΤΟΣ ΤΕ ΚΑΙ ΚΑΛΛΙΣΤΟΣ ΠΑΝΤΩΝ [c] ΑΝΘΡΩΠΩΝ, ΔΑΡΕΙΟΣ ῾Ο ῾ΥΣΤΑΣΠΕΟΣ, ΠΕΡΣΕΩΝ ΤΕ ΚΑΙ ΠΑΣΗΣ ΤΗΣ ΗΠΕΙΡΟΥ ΒΑΣΙΛΕΥΣ. [d] ταῦτα δὴ ἐνθαῦτα ἐγράφη.

92 Darius ad Artiscum fluvium per Odrysas euntem grandes lapidum acervos ponit.

Δαρεῖος δὲ ἐνθεῦτεν ὁρμηθεὶς, ἀπίκετο [a] ἐς ἄλλον ποταμὸν, τῷ οὔνομα [b] Ἀρτισκός ἐστι, [c] ὃς διὰ [d] Ὀδρυσέων ῥέει. ἐπὶ τοῦτον δὴ τὸν ποταμὸν ἀπικόμενος, 2 ἐποίησε τοιόνδε. ἀποδέξας [e] χωρίον τῇ στρατιῇ, ἐκέλευε πάντα ἄνδρα λίθον ἕνα παρεξιόντα τιθέναι ἐς τὸ ἀποδεδεγμένον τοῦτο χωρίον. 3 ὡς δὲ ταῦτα ἡ στρατιὴ ἐπετέλεσε, ἐνθαῦτα κολωνοὺς [f] μεγάλους τῶν λίθων καταλιπὼν, [g] ἀπέλαυνε τὴν στρατιήν.

93 Alii Thraces dedunt se: Thracum fortissimi et justissimi, Getæ, vi subacti.

Πρὶν δὲ ἀπικέσθαι ἐπὶ τὸν Ἴστρον, πρώτους αἱρέει Γέτας τοὺς [a] ἀθανατίζοντας. 2 οἱ μὲν γὰρ δὴ τὸν Σαλμυδησσὸν ἔχοντες Θρήϊκες, [b] καὶ ὑπὲρ Ἀπολλωνίης τε καὶ Μεσαμβρίης πόλιος οἰκημένοι, καλεύμενοι δὲ [c] Σκυρμιάδαι καὶ Νιψαῖοι, ἀμαχητὶ σφέας αὐτοὺς παρέδοσαν Δαρείῳ· οἱ δὲ Γέται, πρὸς ἀγνωμοσύνην τραπόμενοι, αὐτίκα ἐδου-

γράψας M.P.K.F. Supra ὁ Δαρεῖος ἀπικόμενος S.

[b] κάλλιστος καὶ ἄριστος F.

[c] ἀνδρῶν d.

[d] Sic S. ταῦτα δὲ vulgo.

92.

[a] ἐπ' ἄλλον S.V.

[b] Ἀρτησκὸς M.K.F.

[c] Sic S.P.F.c. οἳ δὴ διὰ vulgo.

[d] Ὀδρυσέων V.S. Ὀδρυσῶν vulgo.

[e] χῶρον K.P.F.d.

[f] μεγάλων K.M.P.F.

[g] ἀπέλαυνε V.S. Schæfer. ἀπήλαυνε Wessel. al.

93.

[a] ἀπαθανατίζοντας Eustath. Dionys. 304. conf. Wesseling. ad Diodor. I. 94. Mox Σαλμυδισὸν S.

[b] καὶ om. F. Tum ὑπὲρ om. S. in quo tamen καὶ non ὑπὲρ deesse suspicatur injuria Schweighæuser. Supra Θρῆκες S. Θρῇκες. Ald.

[c] Σκυρμιάδαι καὶ Νιψαῖοι S. Vall. cf. Steph. Byz. et Suid. in Νίψα. Κυρμιάναι καὶ Μυψαῖοι F.a.d. vulg. Κυρμιᾶναι c. Ald. Κυρμιῶναι b. Mox αὐτοὺς om. S.

λώθησαν, Θρηΐκων ἐόντες [d] ἀνδρειότατοι [e] καὶ δικαιότατοι.
94 Ἀθανατίζουσι δὲ τόνδε τὸν τρόπον· οὔτε ἀποθνήσκειν ἑωυ-
τοὺς νομίζουσι, ἰέναι τε τὸν ἀπολλύμενον παρὰ [a] Ζάλμο-
ξιν [b] δαίμονα. οἱ δὲ αὐτῶν τὸν αὐτὸν τοῦτον νομίζουσι
2 [c] Γεβελέϊζιν. Διὰ [d] πεντετηρίδος δὲ τὸν πάλῳ λαχόντα
αἰεί σφεων αὐτῶν ἀποπέμπουσι ἄγγελον παρὰ τὸν Ζάλ-
3 μοξιν, ἐντελλόμενοι τῶν ἂν ἑκάστοτε δέωνται. πέμπουσι
δὲ ὧδε· οἱ μὲν αὐτῶν [e] ταχθέντες, ἀκόντια τρία ἔχουσι·
ἄλλοι δὲ διαλαβόντες [f] τοῦ ἀποπεμπομένου παρὰ τὸν
Ζάλμοξιν [g] τὰς χεῖρας καὶ τοὺς πόδας, ἀνακινήσαντες
4 αὐτὸν, μετέωρον [h] ῥιπτεῦσι ἐς τὰς λόγχας. ἢν μὲν δὴ
ἀποθάνῃ ἀναπαρεὶς, [i] τοῖσι δὲ ἵλεως ὁ θεὸς δοκέει εἶναι·
ἢν δὲ μὴ ἀποθάνῃ, αἰτιῶνται αὐτὸν [k] τὸν ἄγγελον, φά-
5 μενοί μιν ἄνδρα κακὸν εἶναι. [l] αἰτιησάμενοι δὲ τοῦτον,
ἄλλον ἀποπέμπουσι· ἐντέλλονται δὲ ἔτι ζῶντι. Οὗτοι οἱ
αὐτοὶ Θρήϊκες καὶ πρὸς βροντήν τε καὶ ἀστραπὴν τοξεύ-
οντες ἄνω πρὸς τὸν οὐρανὸν, [m] ἀπειλεῦσι τῷ θεῷ, οὐδένα

Getarum opinio de immortalitate: Zalmoxis: Gebeleïzis: 324 mos nuntii mittendi ad Zalmoxin: alius mos, tonante ac fulgurante cælo.

[d] Sic S. et al. Ex S. καὶ γενναιότατοι perperam enotavit Wesselingius, edidit Schæferus, et post eum Schweighæuserus. Nescio an καὶ γενναιότατοι habeat (Ask.) K. quem codicem cum (Arch.) S. aliquoties confundit Wesselingius.

[e] καὶ δικαιοτ. om. P.

94.

[a] Sic S.V. Vall. P. Σάλμοξιν K. M.F.a.c. et S. marg. Ζάμολξιν b. d. et vulgo. Vid. Hesychius in Ζάλμοξις, Photius, Suidas, et Etymologus in Ζάμολξις. In Platonis Charm. p. 158. B. Ζαλμόξιδος præbent membranæ Bodleianæ. Supra ἰέναι δὲ mallet Wesseling.

[b] δαίμονα om. edd. vett. sed agnoscunt mss. αὐτέων mox S. vulg.

[c] Γεβελεΐζειν S. Βελέϊζιν M. P. K. Vall. F.b.d. Mox αὐτῶν S. pro αὐτέων bis.

[d] πεντηρίδος S.V. Vall. πεντετήριδός τε F.

[e] ἐπὶ τούτῳ ταχθέντες requirebat Schweighæuserus.

[f] τοὺς ἀποπεμπομένους M:K.P.F. b.d. Vulg. amplectitur Wesseling. cum Abreschio ad Aristæn. p. 156.

[g] ἐντελλόμενοι τοὺς πόδας S.

[h] Sic S.V.a.c. ῥίπτουσι F. vulg.

[i] τοῖσι δὲ F. τοῖσιδε aut τοισίδε al. τοῖσδε S.

[k] τὸν om. S.V.d.

[l] αἰτιασάμενοι F. Mox θρῆκες et τὴν βροντὴν S.

[m] ἀπειλεῦσι S.V. Vulgo ἀπειλέουσι. Citat Eustath. in Dionys. 304.

Græci Pontici et Hellespontici quid narrent de Zalmoxi, quem Pythagoræ in Samo serviisse dicunt.

95 ἄλλον θεὸν νομίζοντες εἶναι εἰ μὴ τὸν σφέτερον. Ὡς δὲ
ἐγὼ πυνθάνομαι τῶν τὸν Ἑλλήσποντον [a] οἰκεόντων Ἑλλή-
νων [b] καὶ Πόντον, τὸν Ζάλμοξιν τοῦτον, ἐόντα ἄνθρωπον,
δουλεῦσαι ἐν Σάμῳ· δουλεῦσαι δὲ Πυθαγόρῃ τῷ Μνησάρ-
χου· ἐνθεῦτεν δὲ [c] αὐτὸν, γενόμενον ἐλεύθερον, [d] χρήματα
κτήσασθαι [e] συχνά· κτησάμενον δὲ, [f] ἀπελθεῖν ἐς τὴν
2 ἑωυτοῦ. [g] ἅτε δὲ κακοβίων τε ἐόντων τῶν Θρηΐκων καὶ
ὑπαφρονεστέρων, τὸν Ζάλμοξιν τοῦτον ἐπιστάμενον [h] δίαι-
τάν τε Ἰάδα, καὶ ἤθεα [i] βαθύτερα ἢ κατὰ Θρήϊκας, οἷα
Ἕλλησί τε ὁμιλήσαντα καὶ Ἑλλήνων οὐ τῷ [k] ἀσθενε-
στάτῳ σοφιστῇ Πυθαγόρῃ, κατασκευάσασθαι ἀνδρεῶνα,
ἐς τὸν πανδοκεύοντα τῶν ἀστῶν τοὺς πρώτους, καὶ εὐω-
χέοντα, ἀναδιδάσκειν ὡς οὔτε αὐτὸς οὔτε οἱ συμπόται
αὐτοῦ οὔτε οἱ ἐκ τούτων αἰεὶ γινόμενοι ἀποθανέονται, ἀλλ'
ἥξουσι ἐς χῶρον τοῦτον ἵνα αἰεὶ περιεόντες ἕξουσι τὰ
3 πάντα ἀγαθά. ἐν ᾧ δὲ ἐποίεε τὰ καταλεχθέντα, καὶ
ἔλεγε ταῦτα, ἐν τούτῳ [l] κατάγαιον οἴκημα [m] ἐποιέετο.
4 ὡς δέ οἱ [n] παντελέως εἶχε τὸ οἴκημα, ἐκ μὲν τῶν Θρηΐ-
κων ἠφανίσθη· καταβὰς δὲ κάτω ἐς τὸ κατάγαιον οἴ-
5 κημα, διαιτᾶτο ἐπ' ἔτεα τρία. οἱ δέ μιν ἐπόθεόν τε, καὶ

95.

[a] οἰκημένων b.

[b] καὶ Πόντον om. M.P.K.F.b. καὶ Πόντον οἰκ. Ἑλ. S. Hesychius; Ζάλμοξις: Τοῦτον Ἡρόδοτος μέν φησι τοὺς περὶ τὸν Πόντον οἰκοῦντας Ἕλληνας λέγειν δοῦλον Πυθαγόρου γενέσθαι, εἶτα ἐλευθερωθέντα καὶ πλεύσαντα ἀπελθεῖν, καὶ σωφρονεστέραν μαθόντα δίαιταν καὶ Ἑλληνικὴν, τοὺς πρώτους τῶν ἀστῶν συνάγειν καὶ εὐωχεῖν, λέγοντα, ὡς οὔτε αὐτὸς οὔτε οἱ συμπόται τεθνήξοντο· ἄλλοι δὲ (τὸν αὐτὸν) τῷ Κρόνῳ εἶναι λέγουσιν.

[c] αὐτὸν S.V.M.P.K.F. Paris. om. Ald. et al.

[d] κτήματα K.P.F.b.

[e] μεγάλα K.P.F.d.

[f] ἐπελθεῖν S.

[g] ἅτε δὴ F.

[h] δίαιτά τε F.

[i] βαρύτερα b.

[k] ἀσοφωτάτῳ Eustath. Il. δ'. p. 479, 17.=365, 30. cf. Wesseling. ad I. 29. Mox περιόντες S. Supra ταυτὰ Ald. pro τά.

[l] κατάγεον S.V. qui καταγέου c. seq.

[m] ἐποιέετο—οἴκημα om. S.

[n] παντελῶς F.

ἐπένθεον ὡς τεθνεῶτα· τετάρτῳ δὲ ἔτεϊ ἐφάνη τοῖσι Θρήϊξι.
καὶ οὕτω πιθανά σφι ἐγένετο τά ἔλεγε [o] ὁ Ζάλμοξις.
96 ταῦτά φασί μιν ποιῆσαι. Ἐγὼ δὲ περὶ μὲν [a] τούτου καὶ 325
τοῦ καταγαίου οἰκήματος οὔτε ἀπιστέω, οὔτε [b] ὦν [c] πι-
στεύω τι λίην· δοκέω δὲ πολλοῖσι ἔτεσι πρότερον τὸν Ζάλ-
2 μοξιν τοῦτον γενέσθαι Πυθαγόρεω. [d] Εἴτε δὲ ἐγένετό τις
Ζάλμοξις ἄνθρωπος, εἴτ᾽ ἐστὶ δαίμων τις Γέτῃσι οὗτος
3 ἐπιχώριος, χαιρέτω. Οὗτοι μὲν δὴ, τρόπῳ τοιούτῳ χρεώ-
μενοι, ὡς ἐχειρώθησαν [e] ὑπὸ Περσέων, εἵποντο τῷ ἄλλῳ
στρατῷ.

Herodoti judicio Zalmoxis antiquior Pythagora.

97 Δαρεῖος δὲ ὡς ἀπίκετο [a] καὶ ὁ πεζὸς [b] ἅμ᾽ αὐτῷ
στρατὸς ἐπὶ τὸν Ἴστρον, ἐνθαῦτα διαβάντων πάντων
Δαρεῖος ἐκέλευσε τοὺς Ἴωνας τὴν σχεδίην λύσαντας ἕπε-
σθαι κατ᾽ ἤπειρον ἑωυτῷ, καὶ [c] τὸν ἐκ τῶν νεῶν στρατόν.
2 Μελλόντων δὲ τῶν Ἰώνων λύειν καὶ ποιέειν τὰ κελευό-
μενα, Κώης ὁ [d] Ἐρξάνδρου, στρατηγὸς ἐὼν Μυτιληναίων,
ἔλεξε Δαρείῳ τάδε, πυθόμενος πρότερον εἴ οἱ φίλον εἴη
[e] γνώμην [f] ἀποδέκεσθαι παρὰ τοῦ βουλομένου ἀποδείκνυ-
3 σθαι· "Ὦ βασιλεῦ, ἐπὶ γῆν γὰρ μέλλεις στρατεύεσθαι,
"τῆς οὔτε [g] ἀρηρομένον φανήσεται οὐδὲν, οὔτε [h] πόλις οἰ-
"κεομένη· σὺ νῦν [i] γέφυραν ταύτην ἔα κατὰ χώρην ἑστά-

Darius, trajecto Istro, pontem soluturus, Cois Lesbii monitu id non facit.

[o] ὁ om. F. Supra θρηξὶ S.

96.

[a] τούτου καὶ om. M.P.K.F.d. Tum καταγέου S.
[b] ὦν om. a.c.S.
[c] Sic M.P.K.F.b.d. τι om. A. B.S.V. Ald.
[d] εἰ δὴ et mox εἰ δὲ S.V.
[e] Sic M.K.P.S.V. Paris. F. ὑπὸ Δαρείου καὶ Περσ. edd. vett.

97.

[a] καὶ ὁ om. F.
[b] ἅμ᾽ αὐτῷ om. S.V.a.c. Ald.
[c] τὸν ἐκ om. S.V.
[d] Sic V. 37. Ἐξάνδρου K.F. Ῥεξάνδρου S. Vall. Κώης Ὀρεξάνδρου Tzetzes Chil. III. 465. Mox vulgo Μιτυληναίων.
[e] κατὰ γνώμην S.
[f] Sic S.V.M.P.K.F. ἀποδέξασθαι Ald. A.B.
[g] ἀρηρημένον S. K. ἀρηρεμένον F. a.c. Ald.
[h] πόλιος F.
[i] Sic V.S.K.F. Vulgo γεφύρην. Abreschius conjecit σὺ μὲν pro σὺ νῦν, probante Wesselingio.

" ναι, φυλάκους [k] αὐτῆς λιπὼν τούτους, οἵ περ μιν ἔζευ-
4 " ξαν. καὶ ἤν τε κατὰ νόον πρήξωμεν εὑρόντες Σκύθας,
" [l] ἔστι [m] ἄποδος ἡμῖν· ἤν τε καὶ μή σφεας εὑρεῖν [n] δυ-
5 " νεώμεθα, ἥ γε ἄποδος ἡμῖν ἀσφαλής. οὐ γὰρ ἔδεισά
" κω, μὴ ἑσσωθέωμεν ὑπὸ Σκυθέων μάχῃ· ἀλλὰ μᾶλλον,
" μὴ, οὐ δυνάμενοί σφεας εὑρεῖν, πάθωμέν τι ἀλώμενοι.
6 " Καὶ τάδε λέγειν φαίη τις ἂν [o] με ἑωυτοῦ εἵνεκεν, ὡς
" [p] καταμένω. ἐγὼ δὲ γνώμην μὲν, τὴν εὕρισκον ἀρίστην
" σοι, βασιλεῦ, ἐς μέσον [q] φέρω· αὐτὸς μέντοι ἕψομαί
7 " τοι, καὶ οὐκ ἂν [r] λειφθείην." Κάρτα τε ἥσθη τῇ γνώμῃ
[s] Δαρεῖος, καί μιν ἠμείψατο τοῖσδε· " Ξεῖνε Λέσβιε, σω-
" θέντος ἐμεῦ ὀπίσω ἐς οἶκον τὸν ἐμὸν [t] ἐπιφάνηθί μοι
" πάντως, ἵνα σε ἀντὶ χρηστῆς συμβουλίης χρηστοῖσι ἔρ-
" γοισι [u] ἀμείψωμαι."

98 [a] Ταῦτα εἴπας, καὶ ἀπάψας
ἅμματα ἑξήκοντα ἐν ἱμάντι, καλέσας ἐς λόγους τοὺς
2 [b] Ἰώνων τυράννους, ἔλεγε τάδε· "Ἄνδρες Ἴωνες, ἡ μὲν 326
" πρότερον γνώμη ἀποδεχθεῖσα ἐς τὴν γέφυραν μετείσθω
3 " μοι· ἔχοντες δὲ τὸν ἱμάντα τόνδε, ποιέετε τάδε. ἐπεάν
" με ἴδητε τάχιστα πορευόμενον ἐπὶ Σκύθας, ἀπὸ τούτου
" ἀρξάμενοι τοῦ χρόνου, λύετε ἅμμα ἓν ἑκάστης ἡμέρης.
4 " ἢν δὲ [c] ἐν τούτῳ τῷ χρόνῳ μὴ παρέω, ἀλλὰ [d] διεξέλ-
" θωσι [e] ὑμῖν αἱ ἡμέραι τῶν ἁμμάτων, ἀποπλέετε ἐς τὴν

Jubet Iones custodire pontem, et exspectare ipsius reditum LX dies.

[k] αὐτῇ S.
[l] ἔστι S. K. V. P. F. a. c. ἔσται Ald. et al.
[m] ἄφοδος ἡμῖν ἀσφαλής S.
[n] Sic M.P.K.F. δυνώμεθα alii cum S.
[o] με ἐμεωυτοῦ V.S. conf. ad III. 52. necnon Observ. Misc. III. p. 143.
[p] καταμενέω S. Schæfer. probatum Wesselingio.
[q] φήσω M.P.K.F.b.
[r] ληφθείην S.
[s] ὁ Δαρ. F.
[t] ἐφάνη τοί μιν F.
[u] ἀμείψομαι F.S.

98.

[a] ταῦτα δὲ εἴπας M.K.P.F.
[b] Ἴωνας V.S. Vall. non improbante Wesselingio.
[c] ἐν om. M.P.K.F.
[d] Sic (vel διεξέλθωσιν) Ald. S. V. A. B. διέλθωσι M.P.K.F.
[e] ἡμῖν S. qui mox ἡμετέρην αὐτῶν.

5 " ὑμετέρην αὐτῶν. μέχρι δὲ τούτου, ἐπεί τε οὕτω μετέ-
" δοξε, φυλάσσετε τὴν σχεδίην, πᾶσαν προθυμίην σωτη-
6 " ρίης τε καὶ φυλακῆς παρεχόμενοι. [f] ταῦτα δὲ [g] ποι-
" εῦντες, ἐμοὶ μεγάλως χαριεῖσθε." Δαρεῖος μὲν ταῦτα
εἴπας, ἐς τὸ πρόσω [h] ἐπείγετο.

99 Τῆς δὲ Σκυθικῆς γῆς ἡ [a] Θρηΐκη τὸ ἐς θάλασσαν πρό-
κειται· κόλπου δὲ ἀγομένου τῆς γῆς ταύτης, ἡ Σκυθική
τε ἐκδέκεται, [b] καὶ ὁ Ἴστρος ἐκδιδοῖ ἐς αὐτὴν, πρὸς εὖρον
2 ἄνεμον τὸ στόμα τετραμμένος. Τὸ δὲ ἀπὸ Ἴστρου, ἔρχο-
μαι σημανέων τὸ πρὸς θάλασσαν αὐτῆς [c] τῆς Σκυθικῆς
3 χώρης ἐς μέτρησιν. Ἀπὸ Ἴστρου αὕτη [d] ἤδη ἀρχαίη
[e] Σκυθική ἐστι, πρὸς μεσαμβρίην τε καὶ νότον ἄνεμον κει-
4 μένη, μέχρι πόλιος [f] καλεομένης Καρκινίτιδος. τὸ δὲ ἀπὸ
ταύτης, τὴν μὲν ἐπὶ θάλασσαν τὴν αὐτὴν φέρουσαν, ἐοῦ-
σαν ὀρεινήν τε χώρην καὶ [g] προκειμένην τὸ ἐς Πόντον, [h] νέ-
μεται τὸ Ταυρικὸν ἔθνος, μέχρι [i] Χερσονήσου τῆς Τρηχέης
καλεομένης· αὕτη δὲ ἐς θάλασσαν τὴν πρὸς ἀπηλιώτην
5 ἄνεμον κατήκει. Ἔστι γὰρ τῆς Σκυθικῆς τὰ δύο μέρεα
τῶν οὔρων ἐς θάλασσαν φέροντα, τήν τε πρὸς μεσαμβρίην,
καὶ τὴν πρὸς [k] τὴν ἠῶ, κατάπερ τῆς Ἀττικῆς χώρης·
καὶ παραπλήσια [l] ταύτῃ καὶ οἱ Ταῦροι νέμονται τῆς Σκυ-
θικῆς, ὡς εἰ τῆς [m] Ἀττικῆς ἄλλο ἔθνος καὶ μὴ Ἀθηναῖοι
νεμοίατο τὸν γουνὸν τὸν Σουνιακὸν, μᾶλλον ἐς τὸν πόντον 327
τὴν ἄκρην ἀνέχοντα, τὸν ἀπὸ [n] Θορικοῦ μέχρι Ἀναφλύ-

Scythiæ situs maritimus et dimensio: ab Istro ad Carcinitin urbem, Scythia vetus, habens mare ad austrum: inde terra in Pontum prominens, Tauris habitata usque ad urbem Chersonesum Tracheam, similis promontorio Suniaco vel Iapygiæ.

[f] ταῦτα δὴ F.
[g] ποιέοντες F.
[h] ἠπείγετο V.S.

99.
[a] Θρηκίη S.V.
[b] καὶ om. F.
[c] Sic A.B.S.V.P.F. τῆς om. al.
[d] δὴ b.d.
[e] Σκυθικὴ M.P.K.F. Σκυθίη a. c. al.
[f] Καρκιν. καλεομ. F.
[g] προσκειμ. S.
[h] νέμονται Ald.
[i] χερσοννήσου F.S. Citat h. l. Steph. Byz. in v.
[k] τὴν om. S. π. τ. ἕω F.
[l] ταύτης d.
[m] Ἀττικῆς χώρης V.S.
[n] Θωΐκοῦ S.d.

6 στου δήμου. [o] λέγω δὲ, ὡς εἶναι ταῦτα σμικρὰ μεγάλοισι [p] συμβαλέειν. [q] τοιοῦτον ἡ Ταυρική ἐστι. ὃς δὲ τῆς Ἀττικῆς ταῦτα μὴ [r] παραπέπλωκε, ἐγὼ δὲ ἄλλως δηλώσω· ὡς εἰ τῆς Ἰηπυγίης ἄλλο ἔθνος, καὶ μὴ Ἰήπυγες, ἀρξάμενοι ἐκ Βρεντεσίου λιμένος, [s] ἀποταμοίατο μέχρι
7 Τάραντος, καὶ νεμοίατο τὴν ἄκρην. δύο [t] δὲ λέγων ταῦτα, πολλὰ λέγω παρόμοια, τοῖσι ἄλλοισι [u] ἔοικε ἡ Ταυρική.

100

Supra Tauros ad mare orientale, et Bospori ac Mæotidis ad vesperam, Scythæ: Scytharum vicini mediterranei, ab Istro ad Tanain, Agathyrsi, Neuri, Androphagi, Melanchlæni.

Τὸ δ' ἀπὸ τῆς Ταυρικῆς, ἤδη Σκύθαι [a] τὸ κατύπερθε τῶν Ταύρων καὶ τὰ πρὸς θαλάσσης τῆς [b] ἠοίης νέμονται, [c] τοῦ τε Βοσπόρου τοῦ Κιμμερίου τὰ πρὸς ἑσπέρης, καὶ τῆς λίμνης τῆς Μαιήτιδος, μέχρι Ταναΐδος ποταμοῦ, ὃς ἐκ-
2 διδοῖ ἐς μυχὸν τῆς λίμνης ταύτης. Ἤδη ὦν ἀπὸ μὲν Ἴστρου, [d] τὰ κατύπερθε ἐς τὴν [e] μεσόγαιαν φέροντα, [f] ἀποκληΐεται ἡ Σκυθικὴ ὑπὸ πρώτων Ἀγαθύρσων· μετὰ δὲ, Νευρῶν· ἔπειτα δὲ, Ἀνδροφάγων· [g] τελευταίων δὲ, Μελαγχλαίνων.

101

Scythia fere quadrata: longitudo ab Istro ad Mæotidem, et latitudo a mari ad fines medi-

Ἔστι ὦν τῆς Σκυθικῆς, ὡς ἐούσης τετραγώνου, τῶν δύο μερέων κατηκόντων ἐς θάλασσαν, πάντη [a] ἶσον τό τε ἐς τὴν μεσόγαιαν φέρον, καὶ τὸ παρὰ τὴν θά-
2 λασσαν. [b] ἀπὸ γὰρ Ἴστρου ἐπὶ Βορυσθένεα δέκα ἡμερέων ὁδός· ἀπὸ Βορυσθένεός τ' ἐπὶ τὴν λίμνην τὴν Μαιῆτιν, ἑτέρων δέκα· καὶ τὸ ἀπὸ θαλάσσης ἐς μεσόγαιαν ἐς τοὺς Μελαγχλαίνους τοὺς κατύπερθε Σκυθέων οἰκημένους, εἴ-
3 κοσι ἡμερέων ὁδός. ἡ δὲ ὁδὸς [c] ἡ ἡμερησίη ἀνὰ διηκόσια

[o] λέγω δὴ F.
[p] Sic S.V. Wessel. cf. II. 10. συμβάλλειν F.a.c. al.
[q] Sic S.V.M.P.K.F. Paris. τοιοῦτο edd. vett.
[r] παραπέμπλωκεν F.
[s] ἀποτεμ. P.K.
[t] δὲ om. c. Ald.
[u] ἔοικε μὲν ἡ P.F.

100.

[a] τὸ om. S.V. τὰ malebat Schweighæuser.
[b] ἠοῦς S.V.
[c] τοῦ δὲ S.V.
[d] τοῦ κατύπ. S. Artic. om. F.
[e] μεσόγεαν S. et infra.
[f] ἀποκλείεται F.S.
[g] τελευταῖον F. τελευτέων Ald.

101.

[a] ὅσον F.
[b] Citat Eustath. Dionys. 311.
[c] ἡ om. S.V.

στάδια συμβέβληταί μοι. οὕτω ἂν [d] εἴη τῆς Σκυθικῆς
τὰ ἐπικάρσια, τετρακισχιλίων σταδίων· καὶ τὰ ὄρθια,
τὰ ἐς τὴν μεσόγαιαν φέροντα, ἑτέρων τοσούτων σταδίων.
ἡ μέν νυν γῆ αὕτη ἐστι μέγαθος τοσαύτη.

102 Οἱ δὲ Σκύθαι δόντες σφίσι [a] λόγον, ὡς οὐκ οἷοί τέ εἰσι
τὸν Δαρείου στρατὸν [b] ἰθυμαχίῃ [c] διώσασθαι μοῦνοι, ἔπεμ-
πον ἐς τοὺς πλησιοχώρους ἀγγέλους· τῶν δὲ καὶ δὴ οἱ
βασιλῆες συνελθόντες ἐβουλεύοντο, ὡς στρατοῦ [d] ἐπελαύ-
2 νοντος μεγάλου. [e] ἦσαν δὲ οἱ συνελθόντες βασιλῆες, Ταύ-
ρων, καὶ Ἀγαθύρσων, καὶ Νευρῶν, καὶ Ἀνδροφάγων, καὶ
Μελαγχλαίνων, καὶ Γελωνῶν, καὶ Βουδίνων, καὶ Σαυρο-
103 ματέων. Τούτων Ταῦροι μὲν νόμοισι [a] τοιοισίδε [b] χρέωνται.
θύουσι μὲν τῇ Παρθένῳ τούς τε ναυηγοὺς, καὶ τοὺς ἂν λά-
2 βωσι Ἑλλήνων ἐπαναχθέντας, τρόπῳ τοιῷδε· [c] καταρξά-
μενοι, ῥοπάλῳ παίουσι τὴν κεφαλήν· οἱ μὲν δὴ λέγουσι,
ὡς τὸ σῶμα ἀπὸ τοῦ κρημνοῦ [d] διωθέουσι κάτω, (ἐπὶ γὰρ
κρημνοῦ ἵδρυται τὸ ἱρόν·) τὴν δὲ κεφαλὴν ἀνασταυροῦσι·
οἱ δὲ, [e] κατὰ μὲν τὴν κεφαλὴν ὁμολογέουσι, τὸ μέντοι
σῶμα οὐκ [f] ὠθέεσθαι ἀπὸ τοῦ κρημνοῦ λέγουσι, ἀλλὰ γῇ
3 κρύπτεσθαι. τὴν δὲ δαίμονα ταύτην, τῇ θύουσι, [g] λέγουσι
αὐτοὶ Ταῦροι Ἰφιγένειαν τὴν Ἀγαμέμνονος εἶναι. Πολε-
μίους δὲ ἄνδρας, τοὺς ἂν [h] χειρώσωνται, ποιεῦσι τάδε·

terraneos: utraque itineris xx dierum, stadiis in singulos dies computatis ducenis.

Reges finitimorum populorum a Scythis auxilium rogati.

Mores horum populorum: Tauri naufragos immolant 328 Iphigeniæ: hostium occisorum capita supra domos erigunt: vivunt rapinis et bello.

[d] Sic Ald. A.B.S.V. εἴη πρὸς Σ. M.P.K.F.

102.

[a] λόγους S.

[b] ἰθυμάχῃ (vel ἰθὺ μάχῃ) M. F. cf. 120.

[c] Sic M.K.P.F. Paris. V.S. δηώσασθαι olim.

[d] ἐπιόντος S.V. cf. 118. 119. etc.

[e] ἔσαν δὲ οἱ] ἦσαν δὲ F. absque οἱ. ἦσαν S.

103.

[a] Sic Reiz. τοιοῖσιδε S. Wessel. et al. τοιοῖσδε F.

[b] χρέονται a.

[c] καταρξάμενοι P.K. cf. II. 45. IV. 60. Euripid. Iph. Taur. 38. κατευξάμενοι S. Vall. d. marg. καταρευξάμενοι alii, aut conjunctis aut varie divisis literis.

[d] Sic Ald. ὠθέουσι S.V.P.K.a. c. ἐπωθέουσι F. ἐωθέουσι d.

[e] τὰ κατὰ μὲν S.

[f] ἐωθέεσθαι F.

[g] Vid. Pausan. I. 43.

[h] χειρώσωνται S.V.M.K.P.F. χειρώσωσι Ald. c. Tum ποιέουσι S.

ἀποταμὼν ἕκαστος κεφαλὴν, ἀποφέρεται ἐς τὰ οἰκία· ἔπειτα ἐπὶ ξύλου μεγάλου ἀναπείρας [i] ἱστᾷ ὑπὲρ τῆς [k] οἰκίης ὑπερέχουσαν πολλὸν, μάλιστα δὲ ὑπὲρ τῆς κα-
4 πνοδόκης. φασὶ δὲ τούτους φυλάκους τῆς οἰκίης πάσης ὑπεραιωρέεσθαι. ζῶσι δὲ ἀπὸ ληΐης τε καὶ πολέμου.

104 Agathyrsi lauti et auro culti: mulierum usus quare apud eos communis: cætera similes Thracibus.

104 Ἀγάθυρσοι δὲ, ἁβρότατοι [a] ἄνδρες εἰσὶ, καὶ χρυσοφόροι
2 τὰ μάλιστα. ἐπίκοινον δὲ τῶν γυναικῶν τὴν μίξιν ποιεῦνται, ἵνα κασίγνητοί τε ἀλλήλων ἔωσι, καὶ οἰκήϊοι ἐόντες πάντες, μήτε φθόνῳ, μήτ' [b] ἔχθεϊ χρέωνται ἐς ἀλλήλους. τὰ δ' ἄλλα νόμαια [c] Θρήϊξι προσκεχωρήκασι.

105 Neurorum Scythici mores: quando et cur sedibus relictis ad Budinos commigrarint: mutatio eorum in lupos.

105 Νευροὶ δὲ νόμοισι μὲν [a] χρέωνται [b] Σκυθικοῖσι. γενεῇ δὲ μιῇ πρότερόν σφεας τῆς Δαρείου στρατηλασίης κατέλαβε
2 ἐκλιπεῖν τὴν χώρην πᾶσαν ὑπὸ ὀφίων. ὄφιας γάρ σφι πολλοὺς μὲν ἡ χώρη [c] ἀνέφαινε, οἱ δὲ πλεῦνες ἄνωθέν σφι ἐκ τῶν ἐρήμων ἐπέπεσον· [d] ἐς ὃ, πιεζόμενοι, οἴκησαν μετὰ
3 Βουδίνων, τὴν ἑωυτῶν ἐκλιπόντες. κινδυνεύουσι δὲ [e] οἱ ἄνθρωποι οὗτοι γόητες εἶναι· λέγονται γὰρ ὑπὸ Σκυθέων καὶ Ἑλλήνων τῶν ἐν τῇ Σκυθικῇ κατοικημένων, ὡς ἔτεος ἑκάστου ἅπαξ τῶν Νευρῶν ἕκαστος λύκος γίνεται ἡμέρας ὀλίγας, [f] καὶ αὖτις ὀπίσω [g] ἐς τὠυτὰ κατίσταται.
4 ἐμὲ μέν νυν ταῦτα λέγοντες οὐ πείθουσι· λέγουσι δὲ οὐ-
106 δὲν ἧσσον, καὶ ὀμνύουσι [h] δὲ λέγοντες. Ἀνδροφάγοι δὲ

[i] εἰς τὰ F.
[k] οἰκίης πάσης F.

104.
[a] Sic S. Vall. Stobæus 44, 43. ἀνδρῶν F.a.b.d. Eustath. Dionys. 310. et vulgo.
[b] Hæc lectio Stobæo rediit ex mss. Vulgabatur ibi ἄχθει.
[c] Θρηξὶ S.K.

105.
[a] χρέονται a.
[b] Sic V.S.P.K.F. Paris. cf. c. 107. τοῖσι Σκ. edd. vett.
[c] ἀνέφηνε (αι) F.
[d] ἐς οὗ S.d.
[e] οὗτοι οἱ ἄνθ. S.V.
[f] καὶ λυθεὶς S.V.
[g] Sic M.P.K.F. quod vulgato ἐς τὠυτὸ ideo prætulit Schweighæuserus, quod in hoc genere plurali uti solet Herodotus. Tum καθίσταται S.
[h] δὲ λέγοντες om. S.V. Mox ὀμνῦσι K.F. pro ὀμνύουσι.

2 ἀγριώτατα πάντων ἀνθρώπων ἔχουσι ἤθεα· οὔτε δίκην νο-
μίζοντες, οὔτε νόμῳ οὐδενὶ χρεώμενοι. νομάδες δέ εἰσι·
ἐσθῆτα δὲ φορέουσι τῇ Σκυθικῇ ὁμοίην· γλῶσσαν δὲ [a] ἰδίην·
107 [b] ἀνθρωποφαγέουσι δὲ μοῦνοι τούτων. Μελάγχλαινοι δὲ
εἵματα μὲν μέλανα φορέουσι πάντες, [a] ἐπ' ὧν καὶ τὰς
ἐπωνυμίας ἔχουσι· νόμοισι δὲ Σκυθικοῖσι [b] χρέωνται.
108 [a] Βουδῖνοι δὲ, ἔθνος ἐὸν μέγα καὶ πολλὸν, γλαυκόν τε
2 πᾶν ἰσχυρῶς ἐστι καὶ πυῤῥόν. [b] πόλις δὲ ἐν αὐτοῖσι πε-
πόλισται ξυλίνη, οὔνομα δὲ τῇ πόλι ἐστὶ Γελωνός· τοῦ
δὲ τείχεος μέγαθος κῶλον ἕκαστον, τριήκοντα σταδίων
ἐστὶ, ὑψηλὸν δὲ, καὶ [c] πᾶν ξύλινον· καὶ οἰκίαι αὐτῶν
3 ξύλιναι, καὶ τὰ ἱρά. ἔστι γὰρ δὴ αὐτόθι Ἑλληνικῶν θεῶν
ἱρὰ, Ἑλληνικῶς κατεσκευασμένα ἀγάλμασί τε καὶ βω-
4 μοῖσι καὶ νηοῖσι ξυλίνοισι. καὶ τῷ Διονύσῳ [d] τριετηρίδας
ἀνάγουσι, καὶ βακχεύουσι. Εἰσὶ γὰρ οἱ Γελωνοὶ τὸ ἀρ-
χαῖον Ἕλληνες· [e] ἐκ τῶν δὲ ἐμπορίων ἐξαναστάντες, οἴ-
κησαν ἐν τοῖσι Βουδίνοισι· καὶ γλώσσῃ τὰ μὲν Σκυθικῇ,
109 τὰ δὲ Ἑλληνικῇ χρέωνται. [a] Βουδῖνοι δὲ οὐ τῇ αὐτῇ
γλώσσῃ χρέωνται καὶ Γελωνοί· ἀλλ' οὐδὲ δίαιτα ἡ αὐτή.
2 οἱ μὲν γὰρ Βουδῖνοι, ἐόντες αὐτόχθονες, νομάδες τέ εἰσι,

Androphagi omnium 329 incultissimi: vitam pastoritiam agunt, linguam propriam habent, carne humana vescuntur.

Melanchlæni moribus conveniunt cum Scythis.

Budini omnes cæruleo et rufo picti: pastores vita et phthirophagi: eos non recte Gelonos vocari: Gelonus, urbs lignea ingens, cum templis Deorum Græcorum: Geloni, Græci origine, omnibus

106.

[a] ἰδίην ἔχουσι e Reizii conjectura edidit Schweighæuserus. Mox ἀνθρωποφ. δ. μ. τ. vulgo post ἐπωνυμίας ἔχουσι cap. seq. leguntur. Mutavit Reizius, monente Wesselingio. Supra οὐδὲν S. pro οὐδενί.

[b] Sic S.V.b.d. Eustath. Dionys. 309. Alii ἀνδροφαγέουσι. *Anthropophagi* Plinius H.N. VI. 17. Mela II. 1, 120.

107.

[a] Sic M.P.K.F. ἀπ' ὧν A.B.S. V. Ald. ἔπ' d. φορέουσι μέλανα S.

[b] χρέονται a.

108.

[a] Γελωνοὶ c.

[b] Cf. Steph. Byz. in Γελωνὸς, Eustath. Dionys. 310., Mela I. 19, 140., infra cap. 123.

[c] πάνυ S.

[d] τριετηρίδα S.

[e] Sic S.V.P.K.F. ἐκ δὲ τῶν alii.

109.

[a] Βουδῖνοι—Γελωνοί om. S. qui mox ἀλλ' οὐδὲ δίαιτα ἡ αὐτή ἐστι Γελωνοῖσι καὶ Βουδίνοισι. οἱ μὲν γὰρ etc. ἀλλ' post Γελωνοί· om. Ald.

rebus diversi a Budinis: omnigenæ silvæ: lacus gignens feras utilibus pellibus et testiculis.

καὶ [b] φθειροτραγέουσι μοῦνοι τῶν ταύτῃ· Γελωνοὶ δὲ, γῆς
τε ἐργάται, καὶ σιτοφάγοι, καὶ κήπους ἐκτημένοι, [c] οὐδὲν
3 τὴν ἰδέην ὁμοῖοι, οὐδὲ τὸ χρῶμα. ὑπὸ μέντοι Ἑλλήνων
καλέονται καὶ οἱ Βουδῖνοι, Γελωνοὶ, οὐκ ὀρθῶς καλεόμε-
4 νοι. Ἡ δὲ χώρη σφέων, πᾶσά ἐστι δασέη [d] ἴδῃσι παν-
τοίῃσι· ἐν δὲ τῇ ἴδῃ [e] τῇ πλείστῃ ἐστὶ λίμνη μεγάλη τε
5 καὶ πολλὴ, καὶ ἕλος καὶ κάλαμος περὶ αὐτήν· [f] ἐν δὲ
ταύτῃ [g] ἐνύδριες ἁλίσκονται, καὶ κάστορες, καὶ ἄλλα
θηρία τετραγωνοπρόσωπα, [h] τῶν τὰ δέρματα [i] περὶ τὰς
[k] σισύρνας παραῤῥάπτεται· καὶ οἱ [l] ὄρχιες [m] αὐτοῖσί εἰσι
χρήσιμοι ἐς ὑστερέων ἄκεσιν. 330

110 Sauromatarum origo: Amazonum apud Scythas nomen Œorpata: eæ ad Thermodontem fluvium a Græcis victæ: capti-

110 Σαυροματέων δὲ πέρι ὧδε λέγεται. Ὅτε Ἕλληνες
Ἀμαζόσι ἐμαχέσαντο, (τὰς δὲ Ἀμαζόνας καλέουσι [a] οἱ
Σκύθαι [b] Οἰόρπατα· δύναται δὲ τὸ οὔνομα τοῦτο [c] κατὰ
Ἑλλάδα γλῶσσαν ἀνδροκτόνοι· Οἰὸρ γὰρ καλέουσι [d] τὸν
2 ἄνδρα, τὸ δὲ Πατὰ, κτείνειν·) τότε λόγος, τοὺς Ἕλλη-
νας, νικήσαντας τῇ ἐπὶ Θερμώδοντι μάχῃ, ἀποπλέειν
ἄγοντας τρισὶ πλοίοισι τῶν Ἀμαζόνων ὅσας [e] ἠδυνέατο

[b] Arrian. Peripl. p. 18. φθειροτρωκτέοντες.

[c] Sic M.P. Alii cum S. οὐδὲ τὴν ἰ. οὐδὲν K.F. absque τήν.

[d] ἴδῃ δὲ παντοίῃ S. V. cf. IV. 175. VII. 111. ἴδῃ παντοίῃ Koen. Gregor. Dial. Ion. 65. Supra δασείη S.

[e] Sic F.a.b.S. τῇ om. Wessel. et al.

[f] ἐκ δὲ ταύτης S.V.

[g] Sic P. Wessel. cf. II. 72. ἐνίδρυες S. Ald. et al.

[h] τῶν om. F. ὧν S.

[i] παρὰ τὰς S.V.K.P.F.b.

[k] σισύρνας M.P.K. σισύῤῥας S. quæ lectio aperte ad σισύρνας spectat, quum litera ρ cum ν sæpissime commutetur. Conf. Valcken. ad Ammon. p. 205. Ruhnken. ad Tim. p. 165=231. σισύρας vulgo, et V.F.a.b.c.d. gloss. Gregor. Dial. Ion. 148.

[l] Sic V.P.K.F. ὄρχυες S. ὄρχεες vulgo.

[m] αὐτοῖσι M.P.K.F. Paris. αὐτοῦ S. αὐτέων Ald.

110.

[a] Sic S.V. οἱ vulgo om.

[b] Sic M.P.K.F.b.d. Reliqui Αἰόρπατα et Αἰὸρ cum Vall. S.

[c] κατὰ τὴν Ἑλλ. S.

[d] τὸν om. S.V.P.F.a.c.

[e] Sic M.S.A.B.V. ἠδυναίατο Ald. et al. quod eodem redit. cf. Eustath. Dionys. 653.

ζωγρῆσαι· τὰς δὲ ἐν τῷ πελάγεϊ ἐπιθεμένας, ἐκκόψαι
3 τοὺς ἄνδρας. πλοῖα δὲ οὐ γινώσκειν αὐτὰς, οὐδὲ πηδα-
λίοισι χρῆσθαι, οὐδὲ ἱστίοισι, οὐδὲ εἰρεσίῃ· ἀλλ' ἐπεὶ
ἐξέκοψαν τοὺς ἄνδρας, ἐφέροντο κατὰ κῦμα καὶ ἄνεμον·
καὶ ἀπικνέονται τῆς λίμνης τῆς Μαιήτιδος ἐπὶ Κρημνούς.
4 οἱ δὲ Κρημνοὶ, [f] εἰσὶ γῆς τῆς Σκυθέων τῶν ἐλευθέρων. ἐν-
θαῦτα ἀποβᾶσαι ἀπὸ τῶν πλοίων αἱ Ἀμαζόνες, ὡδοι-
5 πόρεον ἐς τὴν οἰκεομένην. ἐντυχοῦσαι δὲ πρώτῳ ἱππο-
φορβίῳ, τοῦτο διήρπασαν· καὶ ἐπὶ τούτων ἱππαζόμεναι,
111 ἐληΐζοντο τὰ τῶν Σκυθέων. Οἱ δὲ Σκύθαι οὐκ εἶχον συμ-
βαλέσθαι τὸ πρῆγμα· [a] οὔτε γὰρ φωνὴν, οὔτε ἐσθῆτα,
οὔτε τὸ ἔθνος ἐγίνωσκον, ἀλλ' ἐν [b] θώματι [c] ἦσαν ὁκόθεν
2 ἔλθοιεν. ἐδόκεον δ' αὐτὰς εἶναι ἄνδρας τὴν αὐτὴν ἡλικίην
ἔχοντας, μάχην τε [d] δὴ πρὸς αὐτὰς ἐποιεῦντο· ἐκ δὲ τῆς
μάχης [e] τῶν νεκρῶν ἐκράτησαν οἱ Σκύθαι, καὶ [f] οὕτω
3 ἔγνωσαν ἐούσας γυναῖκας. [g] βουλευομένοισι ὦν αὐτοῖσι
ἔδοξε κτείνειν μὲν οὐδενὶ τρόπῳ ἔτι αὐτὰς, ἑωυτῶν δὲ τοὺς
νεωτάτους ἀποπέμψαι ἐς αὐτὰς, πλῆθος εἰκάσαντας
ὅσαι περ ἐκεῖναι [h] ἦσαν· τούτους δὲ στρατοπεδεύεσθαι
πλησίον ἐκεινέων, καὶ ποιέειν τά περ ἂν καὶ ἐκεῖναι
ποιέωσι· ἢν δὲ αὐτοὺς διώκωσι, μάχεσθαι μὲν [i] μὴ, ὑπο-
φεύγειν δέ· ἐπεὰν δὲ παύσωνται, ἐλθόντας αὐτοὺς πλη-
σίον στρατοπεδεύεσθαι. ταῦτα ἐβουλεύσαντο οἱ Σκύθαι,
112 [k] βουλόμενοι ἐξ αὐτέων παῖδας ἐγγενήσεσθαι. Ἀπο-

væ, dominis interfectis, delatæ in Cremnos, [c. 20.] e Scythis prædas agunt.

Scytharum de illis consilium.

Scythæ juvenes missi,

[f] Sic P.F. εἰσὶ τῶν Σκ. K. εἰσὶ τῆς γῆς τῶν Σ. Wess. et al. τῆς γῆς τῆς Σ. S.

111.

[a] οὐδὲ ter F.b.

[b] Sic S.F. Vulgo θωύματι.

[c] ἔσαν] ἦσαν F.S.

[d] δὴ om. S.

[e] Sic S. τινας τῶν νεκρῶν ἐκράτ. codicum pars. Alii τῶν γυναικῶν.

[f] τότε S.

[g] βουλομένοισι S. Mox εἰκάσαντες Schweighæuserus, quomodo in F. scriptum innuit.

[h] ἔσαν] ἦσαν F.S. Mox ἐκείνων S.

[i] μὴ om. V. οὐ pro μὴ S.

[k] βουλευόμενοι S.V. Mox παῖδας om. S. Tum ἐκγενήσεσθαι Reiskius et Abreschius.

cum Amazonibus consuescunt.

πεμφθέντες δὲ οἱ νεηνίσκοι, ἐποίευν τὰ ἐντεταλμένα. ἐπεὶ
δὲ ἔμαθον αὐτοὺς αἱ Ἀμαζόνες ἐπ' οὐδεμιῇ δηλήσει ἀπι-
γμένους, ἔων χαίρειν· προσεχώρεον δὲ πλησιαιτέρω τὸ
2 στρατόπεδον τῷ στρατοπέδῳ ἐπ' ἡμέρῃ ἑκάστῃ. εἶχον δὲ
οὐδὲν οὐδ' οἱ νεηνίσκοι, ὥσπερ [a] οὐδὲ αἱ Ἀμαζόνες, εἰ μὴ
τὰ ὅπλα καὶ τοὺς ἵππους· ἀλλὰ [b] ζόην ἔζωον τὴν αὐτὴν
113 ἐκείνῃσι, θηρεύοντές τε καὶ ληϊζόμενοι. [a] Ἐποίευν δὲ αἱ
Ἀμαζόνες ἐς τὴν μεσαμβρίην τοιόνδε· ἐγίνοντο [b] σπορά-
δες, κατὰ [c] μίαν τε καὶ δύο, [d] πρόσω δὴ ἀπ' ἀλληλέων,
2 ἐς [e] εὐμαρίην ἀποσκιδνάμεναι. μαθόντες δὲ [f] καὶ οἱ Σκύ- 331
θαι, ἐποίευν τὠυτὸ τοῦτο· καί τις μουνωθεισέων [g] τινὶ
αὐτέων [h] ἐνεχρίμπτετο, καὶ ἡ Ἀμαζὼν οὐκ ἀπωθέετο,
3 ἀλλὰ περιεῖδε χρήσασθαι. καὶ φωνῆσαι μὲν οὐκ εἶχε,
οὐ γὰρ συνίεσαν ἀλλήλων, τῇ δὲ χειρὶ ἔφραζε [i] ἐς τὴν
ὑστεραίην ἐλθεῖν ἐς τὠυτὸ χωρίον, καὶ ἕτερον ἄγειν· ση-
4 μαίνουσα [k] δύο γενέσθαι, καὶ αὐτὴ ἑτέρην ἄξειν. ὁ δὲ
νεηνίσκος ἐπεὶ ἀπῆλθε, ἔλεξε ταῦτα πρὸς τοὺς λοιπούς.
τῇ δὲ [l] δευτεραίῃ ἦλθε ἐς τὸ χωρίον αὐτός τε οὗτος, καὶ
ἕτερον ἦγε, καὶ τὴν Ἀμαζόνα εὗρε, δευτέρην [m] αὐτὴν ὑπο-
5 μένουσαν. οἱ δὲ λοιποὶ νεηνίσκοι ὡς ἐπύθοντο ταῦτα, καὶ
114 αὐτοὶ [n] ἐκτιλώσαντο τὰς λοιπὰς τῶν Ἀμαζόνων. Μετὰ
δὲ, συμμίξαντες τὰ στρατόπεδα, οἴκεον ὁμοῦ, γυναῖκα
2 ἔχων ἕκαστος ταύτην τῇ τὸ πρῶτον συνεμίχθη. τὴν δὲ

Amazones discunt linguam Scythicam:

112.

[a] Sic S.V. Alii om. οὐδὲ cum F.b.c. Supra πλησιωτέρω S.

[b] ζωὴν F.S.

113.

[a] ἐποίευν S.V. Alii ἐποίεον.

[b] σποράδην S.

[c] μίην] μίαν F.S.

[d] Sic M.P.K.F. δὴ om. S. al. Mox ἀλλήλων S.

[e] εὐημερίην S.

[f] καὶ om. F. Mox τὸ αὐτὸ S.

[g] Sic F. Vulgo αὐτέων τινι. αὐτῶν τινι S.

[h] ἐχρίμπτετο S.

[i] ἐς solus om. M.

[k] δὲ δύο S. qui ἔφη post αὐτή.

[l] Sic V.S.P.K.F.a. ὑστεραίῃ Ald. M.

[m] Sic S.V.M.P.K. Paris. F. αὐτὸν al. et F. pro v. l.

[n] Cf. Eustath. Il. p. 403, 37 =305, fin. ἐκτιλώσαντες V.S.

φωνὴν [a] τὴν μὲν τῶν γυναικῶν, οἱ ἄνδρες οὐκ [b] ἐδυνέατο
3 μαθεῖν, τὴν δὲ τῶν ἀνδρῶν αἱ γυναῖκες συνέλαβον. Ἐπεὶ
δὲ συνῆκαν ἀλλήλων, ἔλεξαν πρὸς τὰς Ἀμαζόνας τάδε
4 οἱ ἄνδρες· "Ἡμῖν εἰσὶ μὲν τοκέες, εἰσὶ [c] δὲ κτήσεις. νῦν
"ὦν μηκέτι πλεῦνα χρόνον ζόην τοιήνδε ἔχωμεν· ἀλλ'
"ἀπελθόντες ἐς τὸ πλῆθος διαιτώμεθα. γυναῖκας δὲ
5 "ἕξομεν ὑμέας, καὶ [d] οὐδαμέας ἄλλας." Αἱ δὲ πρὸς
ταῦτα ἔλεξαν τάδε· "Ἡμεῖς οὐκ ἂν δυναίμεθα οἰκέειν
"μετὰ τῶν ὑμετέρων γυναικῶν· οὐ γὰρ τὰ αὐτὰ νόμαια
6 "ἡμῖν τε [e] καὶ κείνῃσί ἐστι. ἡμεῖς μὲν τοξευόμέν τε καὶ
"ἀκοντίζομεν καὶ ἱππαζόμεθα, ἔργα δὲ γυναικήϊα οὐκ
"ἐμάθομεν· αἱ δὲ ὑμέτεραι γυναῖκες τούτων μὲν οὐδὲν
"τῶν ἡμεῖς κατελέξαμεν ποιεῦσι, ἔργα δὲ γυναικήϊα
"ἐργάζονται, [f] μένουσαι ἐν τῇσι ἁμάξῃσι, οὔτ' ἐπὶ θήρην
7 "ἰοῦσαι, οὔτε ἄλλῃ οὐδαμῇ. οὐκ ἂν ὦν δυναίμεθα ἐκεί- 332
"νῃσι συμφέρεσθαι. Ἀλλ' εἰ βούλεσθε γυναῖκας ἔχειν
"ἡμέας, καὶ δοκέειν εἶναι [g] δικαιότατοι, ἐλθόντες παρὰ
"τοὺς τοκέας, ἀπολάχετε τῶν κτημάτων τὸ μέρος· καὶ
115 "ἔπειτα ἐλθόντες, [h] οἰκέωμεν ἐπὶ ἡμέων αὐτέων." Ἐπεί-
θοντο καὶ ἐποίησαν ταῦτα οἱ νεηνίσκοι. ἐπεί τε δὲ ἀπο-
λαχόντες τῶν κτημάτων τὸ ἐπιβάλλον, ἦλθον ὀπίσω
παρὰ τὰς Ἀμαζόνας, ἔλεξαν αἱ γυναῖκες πρὸς αὐτοὺς
2 τάδε· "Ἡμέας ἔχει φόβος τε καὶ δέος, ὅκως χρὴ οἰ-
"κέειν ἐν τῷδε τῷ χώρῳ· τοῦτο μέν, ὑμέας [a] ἀποστερη-

nolunt cum viris abire in Scythicas habitationes.

Viri, portione accepta bonorum paternorum,

114.

[a] τῶν μὲν γυν. S. qui supra τὸ om. ante πρῶτον.

[b] Sic mss. ἐδυναίατο Ald.

[c] δὲ καὶ κτ. S. Vall. Mox ζώην S. qui paulo post ἐπελθόντες.

[d] Sic M.P.K.F. οὐδαμὰς A.B. S.V. Ald.

[e] Sic S.V. κἀκείνῃσι F. et vulg. Mox τε om. S.

[f] καὶ μένουσιν S.V.

[g] Sic S.V. Vall. F.a. δίκαιοι vulgo.

[h] οἰκῶμεν S.

115.

[a] ἀποστερήσασαι S. et mox δηλησάμεναι.

“ σάσας πατέρων· τοῦτο δὲ, τὴν γῆν τὴν ὑμετέρην δηλη-
3 “ σαμένας πολλά. ἀλλ' ἐπεί τε ἀξιοῦτε [b] ἡμέας γυναῖ-
“ κας ἔχειν, τάδε ποιέετε ἅμα ἡμῖν· φέρετε, ἐξανα-
“ στέωμεν ἐκ τῆς γῆς τῆσδε, καὶ περήσαντες Τάναϊν
116 “ ποταμὸν [c] οἰκέωμεν.” Ἐπείθοντο καὶ ταῦτα οἱ νεη-
νίσκοι. διαβάντες δὲ τὸν [a] Τάναϊν, [b] ὡδοιπόρεον πρὸς ἥλιον
ἀνίσχοντα τριῶν μὲν ἡμερέων ἀπὸ τοῦ Ταναΐδος ὁδὸν,
τριῶν δὲ ἀπὸ τῆς λίμνης τῆς Μαιήτιδος πρὸς [c] βορῆν
2 ἄνεμον. ἀπικόμενοι δὲ ἐς τοῦτον τὸν χῶρον, ἐν τῷ νῦν
κατοίκηνται, οἴκησαν τοῦτον. καὶ διαίτῃ ἀπὸ τούτου χρέ-
ωνται τῇ παλαιῇ τῶν Σαυροματέων αἱ γυναῖκες, καὶ ἐπὶ
θήρην ἐπὶ ἵππων [d] ἐκφοιτῶσαι [e] ἅμα τοῖσι ἀνδράσι καὶ
χωρὶς τῶν ἀνδρῶν, καὶ ἐς πόλεμον φοιτῶσαι, καὶ στολὴν
117 τὴν αὐτὴν τοῖσι ἀνδράσι φορέουσαι. Φωνῇ δὲ οἱ Σαυρο-
μάται νομίζουσι Σκυθικῇ, σολοικίζοντες [a] αὐτῇ ἀπὸ τοῦ
ἀρχαίου, [b] ἐπεὶ οὐ χρηστῶς ἐξέμαθον αὐτὴν αἱ Ἀμαζόνες.
2 Τὰ περὶ γάμων δὲ ὧδέ σφι διακέεται· οὐ γαμέεται
παρθένος [c] οὐδεμία, πρὶν ἂν τῶν πολεμίων ἄνδρα ἀπο-
3 κτείνῃ. αἱ δέ τινες αὐτέων καὶ τελευτῶσι γηραιαὶ πρὶν
γήμασθαι, οὐ δυνάμεναι τὸν νόμον ἐκπλῆσαι.
118 Ἐπὶ τούτων ὦν τῶν καταλεχθέντων ἐθνέων τοὺς [a] βα-
σιλέας [b] ἁλισμένους ἀπικόμενοι τῶν Σκυθέων οἱ ἄγγελοι,
ἔλεγον ἐκδιδάσκοντες ὡς ὁ Πέρσης, ἐπειδή οἱ τὰ ἐν τῇ

116 cum uxoribus Tanain transeunt: quam longe a Tanai constiterint: [*postea latius habitarunt* c. 21.] mos feminis idem qui viris.

117 Lingua Sauromatarum corrupta Scythica: virginibus antequam hostem occiderint, non licet nubere.

118 Scytharum legatio ad reges horum populorum.

[b] γυναῖκας ἡμέας S. γυναῖκας ἔχειν, ἀξιοῦτε ἡμέας Ald.
[c] οἰκέομεν S.

116.

[a] Τάναϊν ποταμὸν S.
[b] Sic S. ut vulgo. ὁδοιπόρεον ex eo ms. perperam enotatur.
[c] Sic S.V.K.F. βορέην vulgo.
[d] ἐκφοιτῶσαι a.c. S.V.P.K.F. qui in seqq. φοιτῶσαι et φορέουσαι. ἐκφοιτῶσι, φοιτῶσι, φορέουσι Ald. M.
[e] ἅμα om. F.

117.

[a] αὐτοὶ S.V.
[b] ὅτι S.
[c] οὐδεμίη] οὐδεμία F.S. Mox αὐτῶν S.

118.

[a] βασιλῆας S. βασιλέας F. et al.
[b] ἁλισμένους om. S.V. ἁλισκομένους F.

ἠπείρῳ τῇ ἑτέρῃ [c] πάντα κατέστραπται, γέφυραν [d] ζεύξας
ἐπὶ τῷ αὐχένι τοῦ Βοσπόρου, διαβέβηκε ἐς τήνδε τὴν
ἤπειρον· διαβὰς δὲ, καὶ καταστρεψάμενος [e] Θρήϊκας,
γεφυροῖ ποταμὸν Ἴστρον, βουλόμενος καὶ τάδε πάντα
2 ὑπ' ἑωυτῷ ποιήσασθαι. "Ὑμεῖς ὦν μηδενὶ τρόπῳ ἐκ
"τοῦ μέσου κατήμενοι περιΐδητε ἡμέας διαφθαρέντας·
3 "ἀλλὰ τὠυτὸ [f] νοήσαντες, ἀντιάζωμεν τὸν ἐπιόντα. οὐκ-
"ων ποιήσετε ταῦτα, ἡμεῖς μὲν πιεζόμενοι, [g] ἢ ἐκλεί-
4 "ψομεν τὴν χώρην, ἢ μένοντες, ὁμολογίῃ χρησόμεθα. τί 333
"γὰρ [h] πάθωμεν, μὴ βουλομένων ὑμέων τιμωρέειν; Ὑμῖν
5 "δὲ οὐδὲν [i] ἐπὶ τούτῳ ἔσται ἐλαφρότερον. ἥκει γὰρ ὁ
"Πέρσης οὐδέν τι μᾶλλον ἐπ' ἡμέας [k] ἢ οὐ καὶ ἐπὶ
"ὑμέας· οὐδέ οἱ καταχρήσει ἡμέας καταστρεψαμένῳ,
6 "ὑμέων ἀπέχεσθαι. μέγα δὲ ὑμῖν λόγων [l] τῶνδε μαρ-
"τύριον ἐρέομεν· εἰ γὰρ ἐπ' ἡμέας [m] μούνους ἐστρατη-
"λάτεε ὁ Πέρσης, τίσασθαι τῆς πρόσθε δουλοσύνης βου-
"λόμενος, χρῆν αὐτὸν πάντων τῶν ἄλλων ἀπεχόμενον,
"[n] οὕτω ἰέναι ἐπὶ τὴν ἡμετέρην· καὶ ἂν ἐδήλου πᾶσι,
7 "ὡς ἐπὶ Σκύθας ἐλαύνει, καὶ οὐκ ἐπὶ τοὺς ἄλλους. νῦν
"δὲ ἐπεί τε τάχιστα διέβη τήνδε [o] τὴν ἤπειρον, τοὺς
"αἰεὶ [p] ἐμποδὼν γινομένους ἡμεροῦται πάντας· [q] τούς
"τε δὴ ἄλλους ἔχει ὑπ' ἑωυτῷ Θρήϊκας, καὶ δὴ καὶ
119 "τοὺς ἡμῖν ἐόντας πλησιοχώρους Γέτας." Ταῦτα Σκυ-

Gelonus, Budinus et

[c] πάντα om. S.
[d] τάξας a.
[e] Θρῆκας S.V.K.
[f] Sic S.V.P.K.a.F. Similiter τωυτὸ φρονήσαντες I. 59. Olim νομίσαντες. Mox ἀντιάζομεν S. ut edd. recentt.
[g] ἢ om. S.V.F.
[h] πάθομεν F.
[i] ἐπὶ τοῦτο S.F.
[k] ἢ οὐ καὶ M.P.K. ἢ οὐκ F. Steph. marg. V. ἢ καὶ S. vulgo. Conferri jubet Schweighæuser. Gregor. Dial. Att. 44. infra V. 94. VII. 16.
[l] τόδε S.d. τῷδε V.
[m] μόνους F.
[n] ἰέναι οὕτως (aut οὕτω) S.K.P. F. Mox ἐλαύνειν S.
[o] τὴν om. S.V.
[p] Cf. Suidas in v.
[q] τούς τε δὲ δὴ S.

Sauromates auxilium promittunt; cæteri reges negant.

θέων ἐπαγγελλομένων, ἐβουλεύοντο οἱ [a] βασιλέες οἱ [b] ἀπὸ 2 τῶν ἐθνέων ἥκοντες. καί σφεων ἐσχίσθησαν αἱ γνῶμαι· [c] ὁ μὲν γὰρ Γελωνὸς, καὶ ὁ Βουδῖνος, καὶ ὁ Σαυρομάτης, κατὰ τὠυτὸ γενόμενοι, [d] ὑπεδέκοντο Σκύθῃσι [e] τιμωρήσειν· ὁ δὲ Ἀγάθυρσος, καὶ Νευρὸς, καὶ Ἀνδροφάγος, καὶ [f] οἱ τῶν Μελαγχλαίνων καὶ Ταύρων, τάδε Σκύθῃσι [g] ὑπεκρί-3 ναντο· "Εἰ μὲν μὴ ὑμεῖς ἔατε οἱ πρότερον ἀδικήσαντες "Πέρσας καὶ ἄρξαντες πολέμου, τούτων δεόμενοι τῶν "νῦν δέεσθε, λέγειν τε ἂν ἐφαίνεσθε ἡμῖν ὀρθὰ, καὶ ἡμεῖς 4 "ὑπακούσαντες, τὠυτὸ ἂν ὑμῖν ἐπρήσσομεν. νῦν δὲ ὑμεῖς "[h] τε ἐς τὴν ἐκείνων ἐσβαλόντες γῆν, ἄνευ ἡμέων, ἐπε-"κρατέετε Περσέων, ὅσον χρόνον ὑμῖν ὁ θεὸς παρεδίδου· "καὶ [i] ἐκεῖνοι, ἐπεί σφεας [k] ὡυτὸς θεὸς ἐγείρει, τὴν 5 "ὁμοίην ὑμῖν ἀποδιδοῦσι. [l] ἡμεῖς δὲ οὔτε τι τότε ἠδική-"σαμεν τοὺς ἄνδρας τούτους οὐδὲν, οὔτε νῦν πρότεροι "πειρησόμεθα ἀδικέειν. Ἢν μέντοι ἐπίῃ καὶ ἐπὶ τὴν "ἡμετέρην, [m] ἄρξῃ τε ἀδικέων, καὶ ἡμεῖς [n] οὐ πεισόμεθα. 6 "μέχρι δὲ τοῦτο ἴδωμεν, μενέομεν παρ' ἡμῖν αὐτοῖσι. "ἥκειν γὰρ δοκέομεν οὐκ ἐπ' ἡμέας Πέρσας, ἀλλ' ἐπὶ "τοὺς αἰτίους τῆς ἀδικίης γενομένους."

120 Scythæ belli gerendi mo-

Ταῦτα ὡς ἀπενειχθέντα ἐπύθοντο οἱ Σκύθαι, ἐβουλεύοντο ἰθυμαχίην μὲν μηδεμίαν ποιέεσθαι ἐκ τοῦ ἐμφανέος,

119.

[a] βασιλῆες] βασιλέες F.
[b] ὑπὸ S.
[c] Sic F.a. Vall. Ald. al. γὰρ om. M.S.P.K.
[d] ὑπεδέκετε F.
[e] τιμωρῆσαι S.
[f] ὁ τῶν Με. P.K.F.d.
[g] ὑπεκρίνατο S.
[h] τε om. K.S.
[i] ἐκείνοισι ἐπὶ S. ἐκεῖνοι ἐπὶ σφέας F.
[k] αὐτὸς F.
[l] δὲ om. M.P.K.F.
[m] ἄρξῃ τε M.P.F. Paris. ἄρξει τε S. ἄρξηται K.V. Ald.
[n] οὐκ οἰσόμεθα S. *tolerabimus* vertit Valla. οὐ παυσόμεθα de suo edidit Schweighæuser. citans I. 83. IX. 52. sed facti pœnitet in annotationibus. Valckenærianum σφε τισόμεθα temere amplectitur Larcherus. Mihi in mentem venit οὐκ ὑπησόμεθα.

[a] ὅτι δή σφι οὗτοί γε σύμμαχοι οὐ [b] προσεγίνοντο, ὑπεξ-
ιόντες δὲ, καὶ ὑπεξελαύνοντες, τὰ φρέατα, [c] τὰ παρ-
εξίοιεν αὐτοὶ, καὶ τὰς κρήνας συγχοῦν, τὴν ποίην τε ἐκ
2 τῆς γῆς ἐκτρίβειν, [d] διχοῦ σφέας διελόντες. καὶ πρὸς
μὲν τὴν μίαν τῶν μοιρέων, τῆς ἐβασίλευε [e] Σκώπασις,
προσχωρέειν Σαυρομάτας· τούτους μὲν δὴ ὑπάγειν, ἢν
ἐπὶ τοῦτο τράπηται ὁ Πέρσης, ἰθὺ Ταναΐδος ποταμοῦ
παρὰ [f] τὴν Μαιῆτιν λίμνην ὑποφεύγοντας· ἀπελαύνοντός
3 τε τοῦ Πέρσεω, ἐπιόντας διώκειν. αὕτη μέν σφι μία ἦν
μοῖρα τῆς βασιληΐης, τεταγμένη ταύτην τὴν ὁδὸν [g] ἧπερ
εἴρηται. τὰς δὲ δύο τῶν [h] βασιληΐων, τήν τε μεγάλην,
[i] τῆς ἦρχε [k] Ἰδάνθυρσος, καὶ τὴν τρίτην τῆς ἐβασίλευε
Τάξακις, συνελθούσας ἐς τὠυτὸ, καὶ Γελωνῶν τε καὶ
Βουδίνων [l] προσγινομένων, ἡμέρης καὶ τούτους ὁδῷ προ-
έχοντας τῶν Περσέων, ὑπεξάγειν, ὑπιόντας τε καὶ ποι-
4 εῦντας τὰ βεβουλευμένα. πρῶτα μέν νυν ὑπάγειν σφέας
ἰθὺ τῶν [m] χωρέων τῶν ἀπειπαμένων τὴν σφετέρην συμμα-
χίην, ἵνα καὶ τούτους ἐκπολεμώσωσι· εἰ δὲ μὴ ἑκόντες
γε ὑπέδυσαν τὸν πόλεμον τὸν πρὸς Πέρσας, ἀλλ' ἀκον-
5 τας ἐκπολεμῶσαι. μετὰ δὲ τοῦτο, [n] ὑποστρέφειν ἐς τὴν
σφετέρην, καὶ ἐπιχειρέειν, [o] ἢν δὴ [p] βουλευομένοισι δοκέῃ.

dum constituunt: eorum tres exercitus, 334 et reges qui singulis præsunt, Scopasis, Idanthyrsus, Taxacis.

121 1 Ταῦτα οἱ Σκύθαι βουλευσάμενοι, ὑπηντίαζον τὴν Δαρείου

Præcursores missi

120.

[a] ὅτε δὴ P.K.V.S.

[b] Sic P.K.V.F. προσεγένοντο S. vulgo.

[c] τάπερ ἐξίοιεν S.P.

[d] διχοῦ M.P.K.F. διχοὺς S. διχῇ edd. vett.

[e] Κώπασις S. Σκόπασις b.

[f] τὴν om. F. Mox μία—μοῖρα S. pro μίη—μοίρη.

[g] ἧπερ F.c.

[h] βασιληϊέων conjicit Schweighæuserus.

[i] ἧς F.

[k] Ἰδάνθυρσος S.P.K. Vall. F.a.c. Ἰνδάθ. d. et vulgo.

[l] Sic P.F. προσγεν. vulgo. προσγινομένην μοίρην S. προσγινομένην ἡμέρην V.

[m] χώρων τῶν ἀπιγμένων S. χώρων V. Mox εἴγε μὴ S.

[n] στρέφειν S.

[o] ἢν δὲ F.

[p] Sic M.K.P.F.a.b.c. βουλομένοισι Ald. S.V.d.

obviam Dario: liberi et uxores ablegatæ cum pecoribus in septentrionem.

στρατιὴν, προδρόμους ἀποστείλαντες τῶν ἱππέων τοὺς 2 ἀρίστους. τὰς δὲ ἁμάξας, ἐν τῇσί σφι [a] διαιτᾶτο τὰ τέκνα [b] τε καὶ αἱ γυναῖκες πᾶσαι, καὶ τὰ πρόβατα [[c] πάντα,] πλὴν ὅσα σφι ἐς φορβὴν ἱκανὰ ἦν, τοσαῦτα [d] ὑπολιπόμενοι, τὰ ἄλλα ἅμα τῇσι ἁμάξῃσι προέπεμψαν, ἐντειλάμενοι αἰεὶ τὸ πρὸς βορέω ἐλαύνειν. ταῦτα μὲν δὴ [e] προεκομίζετο.

122 Præcursores itineris diurni spatio absentes a Persis, tridui iter progressis ab Istro, terram vastant: Persæ fugientibus instantes, ultra Tanain per Sauromaticum agrum in Budinicum tracti.

Τῶν δὲ Σκυθέων οἱ πρόδρομοι ὡς εὗρον τοὺς Πέρσας ὅσον τε τριῶν ἡμερέων ὁδὸν ἀπέχοντας ἀπὸ [a] τοῦ Ἴστρου, οὗτοι μὲν τούτους εὑρόντες, ἡμέρης ὁδῷ [b] προέχοντες, ἐστρα-2 τοπεδεύοντο, τὰ ἐκ τῆς γῆς φυόμενα λεαίνοντες. οἱ δὲ Πέρσαι ὡς εἶδον ἐπιφανεῖσαν τῶν Σκυθέων τὴν ἵππον, [c] ἐπήϊσαν κατὰ στίβον αἰεὶ ὑπαγόντων· καὶ ἔπειτα, πρὸς γὰρ τὴν μίαν τῶν μοιρέων ἴθυσαν, οἱ Πέρσαι ἐδίωκον 3 πρὸς ἠῶ τε καὶ τοῦ Ταναΐδος. διαβάντων δὲ τούτων τὸν Τάναϊν ποταμὸν, οἱ Πέρσαι ἐπιδιαβάντες ἐδίωκον· [d] ἐς τὸ τῶν Σαυροματέων τὴν χώρην [e] διεξελθόντες, ἀπίκοντο ἐς τὴν τῶν Βουδίνων.

123 Urbem ligneam [c. 108.] incendunt: in solitudinem [c. 21.] deveniunt: per eam iv la-

Ὅσον μὲν δὴ χρόνον οἱ Πέρσαι [a] ἤϊσαν διὰ τῆς Σκυθικῆς καὶ τῆς Σαυροματίδος χώρης, οἱ δὲ εἶχον οὐδὲν [b] σινέεσθαι, ἅτε τῆς χώρης ἐούσης χέρ- 335 2 σου· ἐπεί τε δὲ ἐς τὴν τῶν Βουδίνων χώρην [c] ἐσέβαλον, ἐνθαῦτα δὴ ἐντυχόντες τῷ ξυλίνῳ τείχεϊ, ἐκλελοιπότων τῶν Βουδίνων, καὶ κεκενωμένου τοῦ τείχεος πάντων, ἐν-

121.

[a] Sic Ald. S.V.F. Paris. ἐδιαιτᾶτο M.P.

[b] τε om. P.K.F. Mox πάσας S.

[c] πάντα om. M.K.P.F.S.

[d] Sic M.K.P.F. cf. VI. 7. ἀπολιπόμ. Ald. S.V.A.B.

[e] Sic M.V.P.K.F. προεκομίζοντο c. et vulgo. προσεκομίζετο S.

122.

[a] τοῦ om. P.F.S. Ald.

[b] Sic P.F. Vulgo προέχοντας cum S.

[c] ἐποίησαν S.

[d] Sic F. ἐς ὃ S. vulgo.

[e] διελθόντες S.V.

123.

[a] ἦσαν S.P.V.

[b] Sic S. cf. V. 81. IX. 13: σίνεσθαι vulgo.

[c] ἐσέβαλον P.S. ἐσέβαλλον F.a. εἰσέβαλλον V. εἰσέβαλον Ald.

3 ἔπρησαν αὐτό. τοῦτο δὲ ποιήσαντες, εἵποντο αἰεὶ τὸ πρόσω
κατὰ στίβον· ἐς ὃ [d] διεξελθόντες ταύτην, ἐς τὴν ἔρημον
4 ἀπίκοντο. [e] ἡ δὲ ἔρημος αὕτη ὑπὸ οὐδαμῶν νέμεται ἀν-
δρῶν, κέεται δὲ ὑπὲρ τῆς Βουδίνων χώρης, ἐοῦσα πλῆθος
5 ἑπτὰ ἡμερέων ὁδοῦ. ὑπὲρ δὲ τῆς ἐρήμου [f] Θυσσαγέται
οἰκέουσι· ποταμοὶ δὲ ἐξ αὐτῶν τέσσερες μεγάλοι ῥέοντες
διὰ Μαιητέων ἐκδιδοῦσι ἐς τὴν λίμνην τὴν καλεομένην
Μαιῆτιν· τοῖσι οὐνόματα κέεται τάδε, Λύκος, Ὄαρος,
124 Τάναϊς, [g] Σύργις. Ἐπεὶ ὦν ὁ Δαρεῖος ἦλθε ἐς τὴν ἐρῆ-
μον, [a] παυσάμενος τοῦ δρόμου, ἵδρυσε τὴν στρατιὴν ἐπὶ
2 ποταμῷ Ὀάρῳ. τοῦτο δὲ ποιήσας, ὀκτὼ τείχεα ἐτείχεε
μεγάλα, ἴσον ἀπ' ἀλλήλων ἀπέχοντα, σταδίους ὡς ἐξ-
ήκοντα μάλιστά κῃ· τῶν ἔτι ἐς ἐμὲ τὰ ἐρείπια σῶα ἦν.
3 Ἐν ᾧ δὲ οὗτος πρὸς ταῦτα ἐτράπετο, οἱ διωκόμενοι Σκύ-
θαι περιελθόντες [b] τὰ κατύπερθε, ὑπέστρεφον ἐς τὴν Σκυ-
4 θικήν. ἀφανισθέντων δὲ τούτων τὸ παράπαν, ὡς οὐκέτι
[c] ἐφαντάζοντό σφι, οὕτω δὴ ὁ Δαρεῖος τείχεα μὲν ἐκεῖνα
ἡμίεργα μετῆκε· αὐτὸς δὲ ὑποστρέψας ἤιε πρὸς ἑσπέρην·
δοκέων τούτους τε πάντας [d] τοὺς Σκύθας εἶναι, καὶ πρὸς
ἑσπέρην σφέας φεύγειν.

125 Ἐλαύνων δὲ τὴν ταχίστην τὸν στρατὸν, [a] ὡς ἐς τὴν
Σκυθικὴν ἀπίκετο, ἐνέκυρσε ἀμφοτέρῃσι τῇσι μοίρῃσι τῶν
Σκυθέων· ἐντυχὼν δὲ, ἐδίωκε [b] ὑπεκφέροντας ἡμέρης ὁδῷ.

buntur e Thyssagetis flumina, exonerantia se per Mæotas in Mæotidem, Lycus, Oarus, Tanais, Syrgis. [*idem Syrgis qui* c. 57, Hyrgis.]

Darius ad Oarum subsistens, et castella viii faciens, hostes circumitu elapsos fugisse ad occasum ratus, eo pergit.

Delatus in Scythiam, exercitus alteros duos nactus persequitur,

[d] δὴ ἐξελ. S.V.
[e] ἡ δὲ ἔρημος etc. usque ad finem capitis abjecit Borheckius, tanquam spuria.
[f] Cf. Steph. Byz. in v. Mox αὐτῶν S. pro αὐτέων.
[g] Σύργης S.V. Vall. Ὕργις Schæfer.

124.

[a] Sic Ald. V.S.A.B. cf. 126. et II. 159. adde Dorville Charit. p. 91. παυσαμένου M.P.K.F.d.
[b] τὰ om. S.V. Mox τοπαράπαν τούτων S.
[c] ἐφαντάζετο S.
[d] τοὺς om. S.V.

125.

[a] Sic M.P.K.F. ὡς om. Ald. S.V.a.c. qui mox ἐς ὃ ἐνέκυρσε.
[b] ἐπεκφέρ. S.V. et mox ὁδόν. ὑπερφέροντας b.

fugientes per Melanchlænorum, Androphagorum et Neurorum terram, omnium petentium solitudinem: [c. 17. 18. 53.] Agathyrsi aditu Scythis interdicunt: Scythæ in suam regionem e Neuride transeunt.

2 καὶ, οὐ γὰρ [c] ἀνίεε ἐπιὼν ὁ Δαρεῖος, οἱ Σκύθαι κατὰ
[d] τὰ βεβουλευμένα [e] ὑπέφευγον ἐς τῶν ἀπειπαμένων [f] τὴν
σφετέρην συμμαχίην· πρώτην δὲ, ἐς τῶν Μελαγχλαίνων
3 τὴν γῆν. ὡς δὲ ἐσβαλόντες τούτους ἐτάραξαν οἵ τε Σκύθαι
καὶ οἱ Πέρσαι, [g] κατηγέοντο οἱ Σκύθαι ἐς τῶν Ἀνδροφά-
4 γων τοὺς χώρους. ταραχθέντων δὲ καὶ τούτων, [h] ὑπῆγον
ἐπὶ τὴν Νευρίδα. ταρασσομένων δὲ καὶ τούτων, ἤϊσαν
5 ὑποφεύγοντες οἱ Σκύθαι ἐς τοὺς Ἀγαθύρσους. Ἀγά-
θυρσοι δὲ ὁρέοντες καὶ τοὺς ὁμούρους φεύγοντας ὑπὸ Σκυ-
θέων, καὶ [i] τεταραγμένους, πρὶν ἤ σφι [k] ἐμβαλέειν τοὺς
Σκύθας, πέμψαντες κήρυκα, ἀπηγόρευον Σκύθῃσι μὴ
ἐπιβαίνειν τῶν σφετέρων οὔρων· προλέγοντες ὡς εἰ πει-
ρήσονται ἐσβαλόντες, σφίσι πρῶτα διαμαχήσονται.
6 Ἀγάθυρσοι μὲν προείπαντες ταῦτα, ἐβοήθεον ἐπὶ τοὺς
7 οὔρους, [l] ἐρύκειν ἐν νῷ ἔχοντες τοὺς ἐπιόντας. Μελάγ-
χλαινοι δὲ καὶ Ἀνδροφάγοι καὶ Νευροὶ, ἐσβαλόντων
τῶν Περσέων ἅμα Σκύθῃσι, οὔτε πρὸς ἀλκὴν ἐτράποντο,
ἐπιλαθόμενοί τε τῆς ἀπειλῆς, ἔφευγον αἰεὶ τὸ πρὸς βο- 336
ρέω ἐς τὴν ἐρῆμον τεταραγμένοι· οἱ δὲ Σκύθαι ἐς μὲν
τοὺς Ἀγαθύρσους οὐκέτι ἀπείπαντας [m] ἀπικνέοντο· οἱ
δὲ ἐκ τῆς Νευρίδος χώρης ἐς τὴν σφετέρην κατηγέοντο
τοῖσι Πέρσῃσι.

126 Ὡς δὲ πολλὸν τοῦτο [a] ἐγίνετο, καὶ οὐκ ἐπαύετο, πέμ-

[c] ἀνίει S.V. cf. II. 113. IV. 28. 152. ἀνίτε P. οἱ Σκύθαι om. S.
[d] τὰ om. F.
[e] ὑποφεύγων S.
[f] τὴν χώρην c. Steph. marg.
[g] καθηγέοντο Zonaras Lex. p. 1168.
[h] ὑπῆγον—τούτων om. S. Mox ὁρῶντες S. ὁρέωντες Ald.
[i] τεταγμένους S.
[k] συμβαλεῖν S. ἐμβαλεῖν F. Mox Ἀγάθυρσοι δὲ S.
[l] Sic S.V.P.F. ἐν νῷ ἔχ. ἔ. vulgo. Infra τεταραγμένοι ἐς τὴν ἔ. S.
[m] ἀπικνέοντο S.V.a.c. Ald. ἀπικνέονται M.P.K.F.d.

126.

[a] ἐγίνετο P.K.V.F. Paris. ἐγένετο S. al.

ψας Δαρεῖος ἱππέα παρὰ [b] τὸν Σκυθέων βασιλέα [c] Ἰδάν-
θυρσον, [d] ἔλεγε τάδε· “ Δαιμόνιε ἀνδρῶν, τί φεύγεις αἰεὶ,
2 “ ἐξόν τοι τῶνδε τὰ ἕτερα ποιέειν; εἰ μὲν γὰρ [e] ἀξιόχρεος
“ δοκέεις εἶναι σεωυτῷ τοῖσι ἐμοῖσι πρήγμασι ἀντιω-
“ θῆναι, σὺ δὲ [f] στάς τε καὶ παυσάμενος πλάνης μά-
“ χεσθαι· εἰ δὲ συγγινώσκεαι εἶναι ἥσσων, σὺ δὲ καὶ
“ οὕτω παυσάμενος τοῦ δρόμου, δεσπότῃ τῷ σῷ δῶρα
127 “ φέρων γῆν τε καὶ ὕδωρ, ἐλθὲ ἐς λόγους.” Πρὸς ταῦτα
ὁ Σκυθέων βασιλεὺς Ἰδάνθυρσος [a] ἔλεγε τάδε· “ Οὕτω
“ τὸ ἐμὸν ἔχει, ὦ [b] Πέρσα· ἐγὼ οὐδένα κω ἀνθρώπων
“ δείσας ἔφυγον, οὔτε πρότερον, οὔτε νῦν σε φεύγω· οὐδέ
“ τι νεώτερόν εἰμι ποιήσας νῦν ἢ καὶ ἐν εἰρήνῃ [c] ἐώθεα
2 “ ποιέειν. ὅ τι δὲ οὐκ αὐτίκα μάχομαί τοι, ἐγὼ καὶ
“ τοῦτο σημανέω. ἡμῖν οὔτε ἄστεα, οὔτε γῆ πεφυτευμένη
“ ἐστὶ, τῶν πέρι δείσαντες μὴ [d] ἁλώῃ ἢ καρῇ, [e] ταχύ-
3 “ τερον συμμίσγοιμεν ἂν ἐς μάχην [f] ὑμῖν· εἰ δὲ [g] δέοι
“ πάντως ἐς τοῦτο κατὰ τάχος ἀπικνέεσθαι, τυγχά-
“ νουσι ἡμῖν ἐόντες τάφοι πατρώϊοι, [h] φέρετε, τούτους
“ ἀνευρόντες, συγχέειν πειρᾶσθε αὐτούς· καὶ γνώσεσθε
“ τότε, εἴτε ὑμῖν μαχησόμεθα [i] περὶ τῶν τάφων, εἴτε
“ καὶ οὐ μαχησόμεθα. πρότερον δὲ, ἣν μὴ ἡμέας λόγος

Darius Idanthyrsum poscit prælium aut deditionem.

Responsio plena Scythicæ simplicitatis.

[b] τῶν Σκ. S.F. pr. d. Ald. Mox βασιλέα pro βασιλῆα S.
[c] Ἰδάνθυρσον S.V. Vall. K.P.F. a.c. Ἰνδάθ. d. et vulgo.
[d] Sic P.V. Ald. S.A.B.F. λέγει τ. M.
[e] Sic S.F. Vulgo ἀξιόχρεως.
[f] Sic P.K.V.S.A.B. Vall. στῆθι καὶ μάχεο· εἰ δὲ μὴ, καὶ οὕτω παυσάμενος edd. ante Wesseling.

127.

[a] λέγει τάδε K.P.F. Fortasse huc referendum erat, quod ad c. 126. notavit Gronovius, ibi λέγει scribi in M.
[b] Πέρσα S.V. Ald. A.B. Vall. Πέρσαι M.K.P.F. cf. Dorvill. Char. p. 610=573.
[c] ἐώθεα M.P.K.F. ἔωθα S. ceteri. Mox σοι S. pro τοι.
[d] ἁλοίη S.V. Mox καροῖ S.
[e] Sic M.P.S.V.F. τάχιον c. et vulgo.
[f] ὑμῖν om. S. ταχύτερον ἂν ὑμῖν συμμίσγ. ἐς μάχην F.
[g] δέει d.
[h] φέρε d.S.
[i] περὶ τῶν—μαχησόμεθα om. S.

4 " αἱρῇ, οὐ συμμίξομέν τοι. ἀμφὶ μὲν μάχῃ τοσαῦτα
" εἰρήσθω. Δεσπότας δὲ ἐμοὺς [k] Δία τε ἐγὼ νομίζω,
" τὸν ἐμὸν πρόγονον, καὶ Ἱστίην τὴν Σκυθέων βασίλειαν,
5 " μούνους εἶναι. Σοὶ δὲ ἀντὶ μὲν δώρων γῆς τε καὶ ὕδα-
" τος, δῶρα πέμψω τοιαῦτα οἷά σοι [l] πρέπει ἐλθεῖν· ἀντὶ
" δὲ [m] τοῦ ὅτι δεσπότης ἔφησας εἶναι ἐμὸς, κλαίειν λέγω."
6 ([n] Τοῦτό ἐστι ἡ ἀπὸ Σκυθέων ῥῆσις.) Ὁ μὲν δὴ κῆρυξ 337
οἰχώκεε ἀγγελέων ταῦτα Δαρείῳ.

128 Mittitur Scopasis ad colloquium cum Ionibus: crebræ Scythici equitatus incursiones, Persicum fugantis.

Οἱ δὲ Σκυθέων [a] βασιλέες, ἀκούσαντες τῆς δουλο-
2 σύνης τὸ οὔνομα, ὀργῆς ἐπλήσθησαν. τὴν μὲν δὴ μετὰ
Σαυροματέων μοῖραν ταχθεῖσαν, τῆς ἦρχε Σκώπασις,
πέμπουσι, Ἴωσι κελεύοντες ἐς λόγους ἀπικέσθαι τού-
τοισι, οἳ τὸν Ἴστρον ἐζευγμένον ἐφρούρεον· αὐτῶν δὲ τοῖσι
ὑπολειπομένοισι ἔδοξε πλανᾶν μὲν μηκέτι Πέρσας, [b] σῖ-
3 τα δὲ ἑκάστοτε ἀναιρεομένοισι ἐπιτίθεσθαι. νωμῶντες ὦν
σῖτα ἀναιρεομένους τοὺς Δαρείου, ἐποίευν τὰ βεβουλευ-
4 μένα. ἡ μὲν δὴ ἵππος τὴν ἵππον αἰεὶ τρέπεσκε [c] ἡ τῶν
Σκυθέων· οἱ δὲ τῶν Περσέων ἱππόται φεύγοντες [d] ἐσέ-
5 πιπτον ἐς τὸν πεζόν. ὁ δὲ πεζὸς ἂν [e] ἐπεκούρεε· οἱ δὲ
Σκύθαι ἐσαράξαντες [f] τὴν ἵππον [g] ὑπέστρεφον, τὸν πε-
ζὸν φοβεόμενοι. [h] ἐποιεῦντο δὲ καὶ τὰς νύκτας παραπλη-
σίας προσβολὰς οἱ Σκύθαι.

129 Vox rudientium a-

Τὸ δὲ τοῖσι Πέρσῃσί τε
ἦν σύμμαχον, καὶ τοῖσι Σκύθῃσι ἀντίξοον, ἐπιτιθεμέ-

[k] ἐγὼ Διά τε νομ. P.K.F. Mox Ἱστίαν S. Ald.
[l] πρέπειν F. Mox τοῦ om. S.
[m] τοῦ om. S.
[n] Citat Vatic. Prov. Append. p. 280. Suid. in ἡ ἀπὸ Σκ. cf. Athen. XII. p. 524. e. Demetr. Phaler. §. 216. τοῦτο—ῥῆσις ut suspecta uncis incluserunt Reizius et Schæferus, Valckenærium sequuti.

128.
[a] βασιλῆες] βασιλέες F. Mox μοίρην S. ut vulg. et Κώπασις.
[b] σιτία S. qui σῖτα infra.
[c] ἡ om. S.
[d] ἐνέπιπτον Steph. marg.
[e] Sic M.V.P.K.S.F. Paris. αἰεὶ ἐπεκούρεε Ald. ἀντεπεκ. Steph. marg.
[f] ἂν τὴν ἵ. d.
[g] ἐπέστρεφον F.
[h] Sic S.V. ἐποιέοντο ceteri.

νοισι τῷ Δαρείου [a] στρατοπέδῳ, [b] θῶμα μέγιστον ἐρέω·
2 τῶν τε ὄνων ἡ φωνὴ, καὶ τῶν ἡμιόνων τὸ εἶδος. οὔτε γὰρ
ὄνον οὔτε ἡμίονον γῆ ἡ Σκυθικὴ φέρει, ὡς καὶ πρότερόν
μοι δεδήλωται· οὐδὲ ἔστι ἐν τῇ Σκυθικῇ [c] πάσῃ χώρῃ τὸ
3 παράπαν οὔτε ὄνος, οὔτε ἡμίονος, διὰ τὰ ψύχεα. [d] ὑβρίζοντες ὦν οἱ ὄνοι ἐτάρασσον τὴν ἵππον τῶν Σκυθέων· πολλάκις δὲ, ἐπελαυνόντων ἐπὶ τοὺς Πέρσας, μεταξὺ ὅκως ἀκούσειαν οἱ [e] ἵπποι τῶν ὄνων τῆς φωνῆς, ἐταράσσοντό τε ὑποστρεφόμενοι, καὶ ἐν [f] θώματι ἔσκον, ὀρθὰ [g] ἱστάντες τὰ ὦτα· ἅτε οὔτε ἀκούσαντες πρότερον [h] φωνῆς τοιαύτης, οὔτε [i] ἰδόντες τὸ εἶδος. ταῦτα μέν νυν ἐπὶ σμικρόν τι ἐφέροντο τοῦ πολέμου.

sinorum et species mulorum Scythicos equos insuetos consternat. [c. 28.]

130 Οἱ δὲ Σκύθαι, ὅκως τοὺς Πέρσας ἴδοιεν τεθορυβημένους, ἵνα παραμένοιέν τε ἐπὶ πλέω χρόνον ἐν τῇ Σκυθικῇ, καὶ παραμένοντες [a] ἀνιῴατο, τῶν πάντων [b] ἐπιδευέες ἐόν-
2 τες, [c] ἐποίευν [d] τοιάδε. ὅκως τῶν προβάτων τῶν σφετέρων αὐτῶν [e] καταλίποιεν μετὰ τῶν νομέων, αὐτοὶ ἂν ὑπεξήλαυνον ἐς ἄλλον χῶρον· οἱ δὲ ἂν Πέρσαι ἐπελθόντες [f] ἐλάβεσκον τὰ πρόβατα, καὶ λαβόντες, [g] ἐπήροντο ἂν
131 τῷ [h] πεποιημένῳ. Πολλάκις δὲ τοιούτου γινομένου, τέλος Δαρεῖός τε ἐν ἀπορίῃσι εἴχετο· καὶ οἱ Σκυθέων βασιλῆες μαθόντες τοῦτο, ἔπεμπον κήρυκα, δῶρα Δαρείῳ φέροντα,

Scytharum astus Persis prædæ quid subinde objicientium, 338 ut manentes diutius inopia vexentur.

Dario malis impedito caduceator a Scythis missus quæ dona tulerit.

129.

[a] στρατῷ S.
[b] Sic F.S. θῶϋμα vulgo. Infra δεδήλωταί μοι S.
[c] πάσῃ om. S.
[d] ὑβρίζοντες &c. citat Suid. in v.
[e] ἱππόται S.
[f] Sic F.S. θωΰματι vulgo.
[g] ἱστάντες S.V.M.K.P.F. Paris. ἱστῶντες vulgo.
[h] Sic S.V.M.K.P.F. Paris. φωνῆς τῆς τοιαύτης vulgo.
[i] εἰδόντες εἶδος S. ἰδόντες εἶδος a.

130.

[a] Sic (vel ἀνιώιατο) M.P.K.F.d. ἀνιῷντο S. Ald. et al.
[b] Sic. P.K.F. ἐπιδεέες S. vulgo.
[c] ἐποίεον F.
[d] Sic M.K.S.V.P.F. Paris. τοιόνδε olim.
[e] καταλείπ. V.a.
[f] λάβεσκον Schæfer. Sed vulg. tuetur Schweighæuser. Supra ἂν ante Πέρσαι om. Ald.
[g] ἐπειρῶντο V.S. Vall.
[h] ποιευμένῳ F.

[a] ὄρνιθά τε, καὶ μῦν, καὶ βάτραχον, καὶ ὀϊστοὺς πέντε.

2 Πέρσαι δὲ τὸν φέροντα τὰ δῶρα [b] ἐπειρώτεον τὸν νόον τῶν [c] διδομένων· [d] ὁ δὲ οὐδὲν ἔφη οἱ ἐπεστάλθαι ἄλλο ἢ δόντα τὴν ταχίστην ἀπαλλάσσεσθαι· αὐτοὺς δὲ τοὺς [e] Πέρσας ἐκέλευε, εἰ σοφοί εἰσι, γνῶναι τὸ [f] ἐθέλει τὰ δῶρα λέγειν.

132 Diversa eorum interpretatio Darii et Gobryæ.

ταῦτα ἀκούσαντες οἱ Πέρσαι, ἐβουλεύοντο. Δαρείου μέν νυν ἡ γνώμη [a] ἔην, Σκύθας ἑωυτῷ διδόναι σφέας τε αὐτοὺς, καὶ γῆν τε καὶ ὕδωρ· [b] εἰκάζων τῇδε, ὡς μῦς μὲν [c] ἐν γῇ γίνεται, καρπὸν τὸν αὐτὸν ἀνθρώπῳ σιτεόμενος· βάτραχος δὲ ἐν ὕδατι· ὄρνις δὲ μάλιστα ἔοικε ἵππῳ·

2 τοὺς δὲ ὀϊστοὺς, ὡς τὴν ἑωυτῶν ἀλκὴν παραδιδοῦσι. αὕτη μὲν Δαρείῳ [d] ἡ γνώμη ἀπεδέδεκτο. Συνεστήκεε δὲ [e] ταύτῃ τῇ γνώμῃ ἡ Γωβρύεω, τῶν ἀνδρῶν τῶν ἑπτὰ [f] ἑνὸς τῶν τὸν Μάγον κατελόντων, εἰκάζοντος τὰ δῶρα λέγειν·

3 " Ἢν μὴ ὄρνιθες γενόμενοι [g] ἀναπτῆσθε ἐς τὸν οὐρανὸν, ὦ " Πέρσαι, ἢ μύες γενόμενοι κατὰ τῆς γῆς καταδύητε, ἢ " βάτραχοι γενόμενοι ἐς τὰς λίμνας [h] ἐσπηδήσητε, οὐκ " ἀπονοστήσετε ὀπίσω, ὑπὸ τῶνδε τῶν [i] τοξευμάτων βαλλόμενοι." Πέρσαι μὲν δὴ [k] οὕτω τὰ δῶρα εἴκαζον.

133 Ἡ δὲ Σκυθέων μία [a] μοῖρα ἡ ταχθεῖσα πρότερον μὲν

131.

[a] Exscripsit Athenæus VIII. p. 334. Supra γενομένου S. Infra καὶ βάτραχόν τε S.

[b] Sic P.V.S. ἐπηρ. F. et vulgo.

[c] δεδομ. P.

[d] οὐδὲν δ' ὅδε ἐστάλθαι ἔφη οἱ f.

[e] Περσέας f.

[f] Sic M.P.K.F. Reliqui θέλει. ἐθέλοι f.

132.

[a] ἦν M.S.P.V.F.f.

[b] εἰκάζων V.S.P.K.M.F. Paris. εἰκάζοντος edd. ante Wesseling.

[c] Sic P.S.V.F.a.c. ἐν τῇ γῇ olim.

[d] ἀπεδέδ. ἡ γν. K.P.F.f. Sed in f. ἀπεδέδοκτο.

[e] Sic P.K.F. ταύτῃ ἡ γνώμη Γωβρ. S. alii.

[f] ἑνὸς τῶν om. S.V. ἑνὸς satis commode abesset. Wesselingius affert III. 153.

[g] ἀναπτήσησθε S. ἀναπτήσεσθε V.d.

[h] ἐσπηδήσητε M.P.K.V.S.F.a. ἐκπηδήσητε edd. vett.

[i] ὀϊστῶν d.

[k] οὕτω om. M.P.K.F.

133.

[a] μίη om. c. μία ut semper F. et sic S. qui μοῖρα pro μοίρη.

παρὰ τὴν Μαιῆτιν λίμνην φρουρέειν, τότε δὲ ἐπὶ τὸν Ἴστρον Ἴωσι ἐς λόγους ἐλθεῖν, ὡς ἀπίκετο ἐπὶ τὴν γέ-
2 φυραν, ἔλεγε τάδε· "Ἄνδρες Ἴωνες, ἐλευθερίην [b] ὑμῖν
" ἥκομεν φέροντες, ἤνπερ γε ἐθέλητε ἐσακούειν. πυνθανό-
" μεθα γὰρ Δαρεῖον ἐντείλασθαι ὑμῖν, ἑξήκοντα ἡμέρας
" μούνας φρουρήσαντας τὴν γέφυραν, αὐτοῦ μὴ [c] παρα-
" γινομένου ἐν τούτῳ τῷ χρόνῳ, ἀπαλλάσσεσθαι ἐς τὴν
3 " ὑμετέρην. νῦν ὦν ὑμεῖς τάδε ποιεῦντες, ἐκτὸς μὲν ἔσε-
" σθε πρὸς ἐκείνου αἰτίης, ἐκτὸς δὲ πρὸς ἡμέων· τὰς
" [d] προκειμένας ἡμέρας παραμείναντες, [e] τὸ ἀπὸ τούτου
4 " ἀπαλλάσσεσθε." Οὗτοι μέν νυν, ὑποδεξαμένων Ἰώνων
ποιήσειν ταῦτα, ὀπίσω τὴν ταχίστην [f] ἐπείγοντο.

Hortatur Scopasis [c. 12.] Iones, ut 339 custodiam pontis deserant.

134 Πέρσῃσι δὲ, μετὰ τὰ δῶρα τὰ ἐλθόντα Δαρείῳ, ἀντε-
τάχθησαν οἱ ὑπολειφθέντες Σκύθαι πεζῷ καὶ ἵπποισι,
2 ὡς συμβαλέοντες. τεταγμένοισι δὲ τοῖσι Σκύθῃσι [a] λα-
γὸς ἐς τὸ μέσον διῇξε· τῶν δὲ ὡς ἕκαστοι [b] ὥρεον τὸν
3 λαγὸν, ἐδίωκον. ταραχθέντων δὲ τῶν Σκυθέων, καὶ βοῇ
χρεωμένων, εἴρετο ὁ Δαρεῖος τῶν ἀντιπολεμίων τὸν θόρυ-
βον· πυθόμενος δέ σφεας τὸν λαγὸν διώκοντας, εἶπε
4 ἄρα πρὸς [c] τούσπερ ἐώθεε καὶ τὰ ἄλλα λέγειν· "Οὗτοι
" [d] ὦνδρες ἡμέων πολλὸν καταφρονέουσι· καί μοι νῦν
" φαίνεται Γωβρύης [e] εἶπαι περὶ τῶν Σκυθικῶν δώρων
5 " ὀρθῶς. ὡς ὦν οὕτως ἤδη δοκεόντων καὶ αὐτῷ μοι
" ἔχειν, βουλῆς ἀγαθῆς δεῖ, ὅκως ἀσφαλέως ἡ κομιδὴ

Scythæ in acie stantes, leporem conspicati, eum persequuntur: Darius abire quærit: consilium Gobryæ.

[b] ἥκομεν ὑμῖν P.K.F. ἡμῖν ἥ. S.
[c] Sic F. Vulgo παραγενομένου cum S. Mox ὑμετέραν S.
[d] προσκειμ. F.
[e] τὸ ἀπὸ om. S.
[f] ἠπείγοντο S.V.F. pr.

134.

[a] λαγὼς d. λαγωὸς V. et infra λαγωόν.
[b] ἑώρων S.V. ὥρεων F. Mox ἀντιπολέμων S. cf. ad 140.
[c] τούτους παρεώθεε S.
[d] ᾧ ̓́νδρες Ald. et al. ὤνδρες F. οἱ ἄνδρες S.V.
[e] Sic A.B. Ald. V. cf. Gregor. Dial. Ion. 72. εἶπε S. εἰπεῖν M.P.K.F.

6 “ ἡμῖν ἔσται [f] τὸ ὀπίσω.” Πρὸς ταῦτα Γωβρύης εἶπε·
“ Ὦ βασιλεῦ, ἐγὼ σχεδὸν μὲν καὶ λόγῳ ἠπιστάμην
“ τούτων τῶν ἀνδρῶν τὴν ἀπορίην· ἐλθὼν δὲ, μᾶλλον
7 “ ἐξέμαθον, ὁρέων αὐτοὺς ἐμπαίζοντας ἡμῖν. Νῦν ὦν μοι
“ δοκέει, [g] ἐπὴν τάχιστα νὺξ [h] ἐπέλθῃ, ἐκκαύσαντας τὰ
“ πυρὰ, [i] ὡς καὶ ἄλλοτε ἐώθαμεν ποιέειν, τῶν στρατιω-
“ τέων τοὺς ἀσθενεστάτους ἐς [k] τὰς ταλαιπωρίας ἐξα-
“ πατήσαντας, καὶ τοὺς ὄνους πάντας καταδήσαντας,
“ [l] ἀπαλλάσσεσθαι, πρὶν ἢ καὶ ἐπὶ τὸν Ἴστρον ἰθῦσαι
“ Σκύθας λύσοντας τὴν γέφυραν, ἢ καί τι Ἴωσι [m] δόξαι
“ τὸ ἡμέας οἷόν τε [n] ἔσται ἐξεργάσασθαι.” Γωβρύης μὲν

135 ταῦτα συνεβούλευε. Μετὰ δὲ, νύξ τε ἐγένετο, καὶ Δα-
ρεῖος ἐχρᾶτο τῇ γνώμῃ ταύτῃ. τοὺς μὲν [a] καματηροὺς
τῶν ἀνδρῶν, καὶ τῶν ἦν ἐλάχιστος ἀπολλυμένων λόγος,
καὶ τοὺς ὄνους πάντας καταδήσας, κατέλιπε [b] αὐτοῦ
2 ταύτῃ ἐν τῷ στρατοπέδῳ. κατέλιπε δὲ τούς τε ὄνους καὶ
τοὺς ἀσθενέας τῆς στρατιῆς, τῶνδε [c] εἵνεκεν· ἵνα οἱ μὲν
ὄνοι βοὴν παρέχωνται, οἱ δὲ ἄνθρωποι ἀσθενείης μὲν εἵ-
νεκεν κατελίποντο, προφάσιος δὲ τῆσδε δηλαδὴ, αὐτὸς
μὲν σὺν τῷ καθαρῷ τοῦ στρατοῦ ἐπιθήσεσθαι [d] μέλλοι 340
τοῖσι Σκύθῃσι, οὗτοι δὲ τὸ στρατόπεδον τοῦτον τὸν χρόνον
3 ῥυοίατο. ταῦτα τοῖσι [e] ὑπολειπομένοισι ὑποθέμενος ὁ
Δαρεῖος, καὶ πυρὰ ἐκκαύσας, τὴν ταχίστην [f] ἐπείγετο

Darius, militibus infirmis et asinis relictis, abit noctu ad Istrum.

[f] Sic P.K.F. τὸ S. et vulgo om. Mox ὁρῶν S.
[g] Sic M.K.P.F. ἐπεὰν al. S.
[h] Sic S.V. Paris. νὺξ ἐπελθοῦσα VIII. 11. ἔλθῃ M.K.P.F. ἔπελθοι edd. vett.
[i] ὡς ἐώθ. κ. ἄ. F.S.
[k] τὰς om. S. qui mox om. καταδήσαντας.
[l] ἀπαλλάττεσθαι F.
[m] δόξαιτο S.
[n] ἔσται om. M.P.K.F.

135.
[a] κατήρους S.
[b] Sic M.P.K.F. cf. III. 25. ταύτῃ om. S. a.c. et vulgo.
[c] Sic M.K.P.F. Vulgo εἵνεκα cum S. et infra, qui mox παρέχονται.
[d] μέλλει b. Supra ὡς αὐτὸς ed. Reiz.
[e] Sic Ald. A.B.V. ὑπολοιπομ. S. ὑπολελειμμένοισι M.P.K.F.
[f] ἠπείγετο S.V.

4 ἐπὶ τὸν Ἴστρον. οἱ δὲ ὄνοι, ἐρημωθέντες τοῦ ὁμίλου,
[g] οὕτω μὲν δὴ μᾶλλον πολλῷ ἵεσαν τῆς φωνῆς· ἀκού-
σαντες δὲ οἱ Σκύθαι τῶν ὄνων, πάγχυ κατὰ χώρην ἤλ-
136 πιζον τοὺς Πέρσας εἶναι. Ἡμέρης δὲ γενομένης, γνόντες
οἱ ὑπολειφθέντες ὡς προδεδομένοι εἶεν ὑπὸ Δαρείου, χεῖ-
ράς τε [a] προετείνοντο τοῖσι Σκύθῃσι, καὶ ἔλεγον τὰ κατή-
2 κοντα. οἱ δὲ ὡς ἤκουσαν ταῦτα, τὴν ταχίστην συστρα-
φέντες, αἵ τε δύο μοῖραι τῶν Σκυθέων καὶ ἡ μία, [b] Σαυ-
ρομάται τε καὶ Βουδῖνοι καὶ Γελωνοὶ, ἐδίωκον τοὺς Πέρ-
3 σας ἰθὺ τοῦ Ἴστρου. ἅτε δὲ τοῦ Περσικοῦ μὲν τοῦ πολ-
λοῦ [c] ἐόντος πεζοῦ στρατοῦ, καὶ τὰς ὁδοὺς οὐκ ἐπιστα-
μένου, ὥστε οὐ τετμημένων [d] τῶν ὁδῶν· τοῦ δὲ Σκυθικοῦ,
ἱππότεω, καὶ τὰ σύντομα τῆς ὁδοῦ ἐπισταμένου· ἁμαρ-
τόντες ἀλλήλων, [e] ἔφθησαν πολλῷ οἱ Σκύθαι τοὺς Πέρ-
4 σας ἐπὶ τὴν γέφυραν ἀπικόμενοι. Μαθόντες δὲ τοὺς
Πέρσας οὔ κω ἀπιγμένους, ἔλεγον πρὸς τοὺς Ἴωνας ἐόν-
τας ἐν τῇσι νηυσί· "Ἄνδρες Ἴωνες, αἵ τε ἡμέραι ὑμῖν
"τοῦ [f] ἀριθμοῦ [g] διοίχηνται· καὶ οὐ [h] ποιέετέ γε δίκαια,
5 "ἔτι παραμένοντες. ἀλλ', ἐπεὶ πρότερον δειμαίνοντες
"ἐμένετε, νῦν λύσαντες τὸν πόρον, τὴν ταχίστην ἄπιτε
"[i] χαίροντες ἐλεύθεροι, θεοῖσί τε καὶ Σκύθῃσι [k] εἰδότες
6 "χάριν. τὸν δὲ πρότερον ἐόντα ὑμέων δεσπότην ἡμεῖς
"παραστησόμεθα οὕτω, ὥστε ἐπὶ μηδαμοὺς ἔτι ἀνθρώ-
"πους αὐτὸν [l] στρατεύσασθαι."

Proditi milites salutem Scythas orant: Scythæ omnibus copiis insecuti Persas, delati ad pontem priores, ejus custodiam Ionibus exprobrant.

[g] Sic Ald. a.c. μὲν om. M.P. K.F.b. οὕτω τῷ μὲν δὴ S.V. Mox ἀκούοντες S. qui paulo post χώραν.

136.

[a] Sic M.P.K.F. προέτεινον Ald. S.V.A.B.

[b] Σαυροματέων S.V. τε addidit Schweighæuserus e Pauwii conjectura.

[c] ἐόντες P. Mox ἐπισταμένων S.

[d] τῶν deest S. qui mox om. ὁδοῦ.

[e] ὤφθησαν F.

[f] ἐνιαυτοῦ S.

[g] διοίχονται K.

[h] Sic F. γε S. et vulgo om.

[i] χαίροντες om. c.

[k] ἰδόντες F. Mox πρότερον δὲ S.

[l] στρατεύεσθαι d.

137 Πρὸς ταῦτα [a] οἱ Ἴωνες ἐβουλεύοντο. [b] Μιλτιάδεω μὲν
τοῦ Ἀθηναίου στρατηγέοντος καὶ τυραννεύοντος [c] Χερσο-
νησιτέων τῶν ἐν Ἑλλησπόντῳ ἦν γνώμη, πείθεσθαι Σκύ-
2 θῃσι, καὶ ἐλευθεροῦν Ἰωνίην· Ἱστιαίου δὲ τοῦ Μιλησίου
ἐναντίη ταύτῃ, λέγοντος "ὡς νῦν μὲν διὰ Δαρεῖον ἕκα-
"στος αὐτῶν τυραννεύει πόλιος· τῆς Δαρείου δὲ [d] δυνάμιος 341
"καταιρεθείσης, οὔτε αὐτὸς Μιλησίων οἷός τε ἔσται ἄρ-
"χειν, οὔτε ἄλλον οὐδένα [e] οὐδαμῶν· βουλήσεσθαι γὰρ
"ἑκάστην τῶν πολίων δημοκρατέεσθαι μᾶλλον ἢ τυραννεύ-
3 "εσθαι." Ἱστιαίου δὲ γνώμην ταύτην ἀποδεικνυμένου, αὐ-
τίκα πάντες ἦσαν τετραμμένοι πρὸς ταύτην τὴν γνώμην,
πρότερον τὴν Μιλτιάδεω αἱρεόμενοι.

Miltiadis Atheniensis consilio diversum Histiæi Milesii, probatum a cæteris principibus.

138 Ἦσαν δὲ οὗτοι οἱ
διαφέροντές [a] τε τὴν ψῆφον, καὶ ἐόντες λόγου πρὸς βα-
σιλῆος· Ἑλλησποντίων μὲν τύραννοι· Δάφνις τε [b] Ἀβυ-
δηνὸς, καὶ Ἵπποκλος Λαμψακηνὸς, καὶ Ἡρόφαντος
[c] Παριηνὸς, καὶ Μητρόδωρος Προκοννήσιος, καὶ Ἀρισταγόρης Κυζικηνὸς, καὶ Ἀρίστων Βυζάντιος· οὗτοι μὲν
2 [d] ἦσαν οἱ ἐξ Ἑλλησπόντου. ἀπ' Ἰωνίης δὲ, [e] Στράττις τε
Χῖος, καὶ [f] Αἰάκης Σάμιος, καὶ Λαοδάμας [g] Φωκαιεὺς,
καὶ Ἱστιαῖος Μιλήσιος, τοῦ ἦν γνώμη [h] ἡ προκειμένη

Eorum nomina.

137.

[a] οἱ om. F.a. S.

[b] Sic Ald. S.V. a.c. Μιλτ. γὰρ M.P.K. Μιλτ. δὲ F.d.

[c] Sic M.P.K.F. Χερσονησιωτέων Ald. A. Χερσονησιέων S. nec male, siquidem hujus Chersonesi incolas Χερσονησίους dictos fuisse monet Steph. Byzant. Mox ἐν om. S.

[d] Sic S.F. δυνάμεος Ald. Alii δυνάμεως. Supra αὐτῶν S. pro αὐτέων, et δὲ Δαρείου.

[e] οὐδαμῶς S.

138.

[a] τε et τὴν om. S.

[b] Ἀβυδινὸς P.F.

[c] Παρήϊνος S.

[d] ἦσαν om. S.V. Vall.

[e] Sic S.V. Vall. a. Στραττίης M.P.K.F.b.c. Στρατίης Ald.

[f] Sic S.V. Vall. Αἰακίδας P.K. F. Αἰακίδης Ald. M. a.b.c.d. cf. Hemsterhus. ad Aristoph. Plut. p. 325. necnon ad Luciani Timon. p. 157.

[g] Φωκαιεὺς M.K.P.F. Φωκεὺς S. al.

[h] Sic P.K.F. ἡ S. vulgo om.

ἐναντίη τῇ Μιλτιάδεω. Αἰολέων δὲ παρῆν λόγιμος μοῦνος Ἀρισταγόρης [i] Κυμαῖος.

139 Οὗτοι ὦν ἐπεί τε τὴν Ἱστιαίου αἱρέοντο γνώμην, ἔδοξέ σφι πρὸς [a] ταύτῃ τάδε ἔργα τε καὶ ἔπεα προσθεῖναι· τῆς μὲν γεφύρης λύειν τὰ κατὰ τοὺς Σκύθας ἐόντα, λύειν δὲ ὅσον τόξευμα ἐξικνέεται· ἵνα καὶ ποιέειν τι δοκέωσι, ποιεῦντες μηδὲν, καὶ οἱ Σκύθαι μὴ πειρῴατο βιώμενοι [b] καὶ βουλόμενοι [c] διαβῆναι τὸν Ἴστρον κατὰ τὴν γέφυραν· [d] εἰπεῖν τε, λύοντας τῆς γεφύρης τὸ ἐς τὴν Σκυθικὴν ἔχον, ὡς πάντα [e] ποιήσουσι τὰ Σκύθησί ἐστι ἐν ἡδονῇ.
2 ταῦτα μὲν προσέθηκαν τῇ γνώμῃ. Μετὰ δὲ, ἐκ πάντων ὑπεκρίνατο Ἱστιαῖος, τάδε λέγων· "Ἄνδρες Σκύθαι, "χρηστὰ ἥκετε φέροντες, καὶ ἐς καιρὸν ἐπείγεσθε· καὶ "τά τε ἀπ' ὑμέων ἡμῖν χρηστῶς ὁδοῦται, καὶ τὰ ἀπ'
3 "ἡμέων ἐς ὑμέας ἐπιτηδέως ὑπηρετέεται. ὡς γὰρ [f] ὁρᾶτε, "καὶ λύομεν τὸν πόρον, καὶ προθυμίην πᾶσαν ἕξομεν,
4 "θέλοντες εἶναι ἐλεύθεροι. Ἐν ᾧ δὲ ἡμέες τάδε λύομεν, "ὑμέας καιρός ἐστι [g] δίζησθαι ἐκείνους· [h] εὑρόντας δὲ, "ὑπέρ τε ἡμέων καὶ ὑμέων [i] αὐτῶν τίσασθαι οὕτως [k] ὡς "κείνους πρέπει."

Dolus Ionum, et responsum Scythis datum.

140 Σκύθαι μὲν τὸ δεύτερον Ἴωσι [a] πιστεύσαντες λέγειν ἀληθέα, [b] ὑπέστρεφον ἐπὶ ζήτησιν τῶν
2 Περσέων, καὶ ἥμαρτανον πάσης τῆς ἐκείνων διεξόδου. αἴτιοι δὲ τούτου αὐτοὶ οἱ Σκύθαι ἐγένοντο, τὰς νομὰς τῶν

Scythæ reversi ad Persas inquirendos, cur iterum aberrarint: Darii ter-

[i] Sic P.V.K.F. Vulgo ὁ Κυμαῖος cum S.

139.

[a] ταῦτα S.V. Supra αἱρέοντες S. pro αἱρέοντο, quæ lectio exquisitior videtur quam pro librariorum ingenio.

[b] καὶ βουλόμενοι om. F.

[c] διαβαίνειν S.

[d] λιπεῖν S.

[e] ποιήσωσι S.V.

[f] ἡρᾶτε S.

[g] δίζησθαι F. δίζεσθαι vulgo.

[h] εὑρόντες S.

[i] αὐτέων M.P.K. αὐτῶν S.F. et al. τίσασθε S.

[k] Sic P.F.a. ὡς ἐκείνους c. Alii cum S. ὡς ἐκείνοισι. cf. VIII. 68.

140.

[a] πιστεύοντες S.V.a.

[b] ἐπέστρεφον S.V.

ror, quum pontem noctu assecutus, Iones abiisse crederet.

ἵππων τὰς ταύτῃ διαφθείραντες, καὶ τὰ ὕδατα συγχώ-
3 σαντες. εἰ γὰρ ταῦτα μὴ ἐποίησαν, παρεῖχε ἄν σφι, εἰ
ἐβούλοντο, εὐπετέως [c] ἐξευρέειν τοὺς Πέρσας· νῦν δὲ, τά
σφι ἐδόκεε ἄριστα βεβουλεῦσθαι, κατὰ ταῦτα ἐσφάλη-
4 σαν. Σκύθαι μέν νυν [d] τῆς σφετέρης χώρης τῇ χιλός τε
τοῖσι ἵπποισι καὶ ὕδατα ἦν, [e] ταύτῃ [f] διεξιόντες, ἐδίζηντο
τοὺς [g] ἀντιπολεμίους, δοκέοντες καὶ ἐκείνους διὰ [h] τοιού- 342
5 των τὴν ἀπόδρησιν [i] ποιέεσθαι. οἱ δὲ [k] δὴ Πέρσαι τὸν
πρότερον [l] ἑωυτῶν γενόμενον στίβον, τοῦτον φυλάσσοντες
6 [m] ἤϊσαν· καὶ οὕτω μόγις εὗρον τὸν πόρον. [n] Οἷα δὲ νυκ-
τός τε ἀπικόμενοι, καὶ λελυμένης τῆς γεφύρης ἐντυχόν-
τες, ἐς πᾶσαν ἀρρωδίην [o] ἀπίκατο μή σφεας οἱ Ἴωνες

Ægyptius quidam vocalissimus: ejus clamore audito Histiæus pontem jungit.

141 ἔωσι ἀπολελοιπότες. [a] Ἦν δὲ περὶ Δαρεῖον ἀνὴρ Αἰγύ-
πτιος, φωνέων μέγιστον ἀνθρώπων· τοῦτον [b] δὴ τὸν ἄνδρα
καταστάντα ἐπὶ τοῦ χείλεος τοῦ Ἴστρου, ἐκέλευε Δα-
2 ρεῖος καλέειν Ἱστιαῖον Μιλήσιον. ὁ μὲν δὴ ἐποίεε ταῦτα·
Ἱστιαῖος δὲ, ἐπακούσας τῷ πρώτῳ [c] κελεύσματι, τάς τε
νέας ἁπάσας παρεῖχε διαπορθμεύειν τὴν στρατιὴν, καὶ

Scytharum in Iones opprobria.

142 τὴν γέφυραν ἔζευξε. Πέρσαι μὲν ὦν οὕτω ἐκφεύγουσι·
Σκύθαι δὲ διζήμενοι, καὶ τὸ δεύτερον ἥμαρτον τῶν Περ-
2 σέων. καὶ τοῦτο μὲν, ὡς ἐόντας Ἴωνας [a] ἐλευθέρους, [b] κα-

[c] ἐξευρεῖν S.F.a.

[d] διὰ τῆς ἑτέρης χώρης Suid. in Χιλή.

[e] ταύτην S.

[f] διεξελθόντες P. F. d. cf. 123. Tum δίζηντο S.

[g] ἀντιπολέμους S. V. probantibus Schneidero et Schweighæusero. cf. VII. 236. VIII. 68. et supra 134.

[h] τούτων S.V.

[i] Sic M.S.V.P.K.F. ποιήσασθαι Ald. A.

[k] δὴ om. S.V.

[l] Sic S.F. Suid. in Στιβία. Alii ἑωυτόν.

[m] Sic S.F. ἦσαν M.P.K. ἦσαν Suid. ἴησαν Ald. et al.

[n] Sic S. οἱ δὲ al.

[o] ἀπίκατο S.V.F. ἀπίκοντο Ald. al.

141.

[a] Attigit Eustath. Il. p. 607, 33=463, 38.

[b] δὴ om. P.K.S.V.F.

[c] κελεύματι P.F. cf. VII. 16.

142.

[a] ἀνελευθέρους S.V. Vall.

[b] κακίστους δὲ d. Mox πάντων S.

κίστους τε καὶ ἀνανδροτάτους κρίνουσι εἶναι ἁπάντων ἀν-
θρώπων· τοῦτο δὲ, ὡς δούλων Ἰώνων τὸν λόγον ποιεύ-
μενοι, ἀνδράποδα [c] φιλοδέσποτά φασι εἶναι, καὶ ἄδρη-
στα μάλιστα. ταῦτα μὲν δὴ Σκύθῃσι ἐς Ἴωνας ἀπέρ-
ριπται.

143 Δαρεῖος δὲ διὰ τῆς [a] Θρηΐκης πορευόμενος, ἀπίκετο
ἐς Σηστὸν τῆς [b] Χερσονήσου. ἐνθεῦτεν δὲ αὐτὸς μὲν διέβη
τῇσι νηυσὶ ἐς τὴν Ἀσίην, λείπει δὲ στρατηγὸν ἐν τῇ Εὐ-
ρώπῃ [c] Μεγάβαζον, ἄνδρα Πέρσην· τῷ Δαρεῖός κοτε
2 ἔδωκε γέρας, τοιόνδε εἴπας ἐν Πέρσῃσι ἔπος. ὡρμημένου
Δαρείου ῥοιὰς τρώγειν, ὡς ἄνοιξε τάχιστα τὴν πρώτην
τῶν ῥοιέων, εἴρετο αὐτὸν ὁ ἀδελφεὸς [d] Ἀρτάβανος, ὅ τι
βούλοιτ' ἄν οἱ [e] τοσοῦτο πλῆθος γενέσθαι, ὅσοι ἐν τῇ ῥοιῇ
3 κόκκοι. Δαρεῖος δὲ εἶπε, Μεγαβάζους ἄν οἱ τοσούτους
ἀριθμὸν γενέσθαι βούλεσθαι μᾶλλον ἢ τὴν Ἑλλάδα ὑπή-
4 κοον. ἐν μὲν δὴ Πέρσῃσι ταῦτά μιν εἴπας ἐτίμα· τότε
δὲ αὐτὸν ὑπέλιπε στρατηγὸν, ἔχοντα τῆς στρατιῆς τῆς
144 ἑωυτοῦ ὀκτὼ μυριάδας. Οὗτος δὲ ὁ Μεγάβαζος, εἴπας
[a] τόδε τὸ ἔπος, [b] ἐλείπετο ἀθάνατον μνήμην πρὸς Ἑλλη-
2 σποντίων. [c] γενόμενος γὰρ ἐν Βυζαντίῳ, ἐπύθετο ἑπτα-
καίδεκα ἔτεσι πρότερον [d] Καλχηδονίους κτίσαντας τὴν
χώρην Βυζαντίων· [e] πυθόμενος δὲ, ἔφη Καλχηδονίους τοῦ-
τον τὸν χρόνον τυγχάνειν ἐόντας τυφλούς· οὐ γὰρ ἂν τοῦ
καλλίονος παρεόντος κτίζειν χώρου, τὸν αἰσχίονα ἑλέ-

Darius apud Sestum in Asiam transit: Megabazus Persa exercitus in Europa dux relictus, maxime omnium carus Dario.

343 Byzantium a. 672 condita: Megabazi dictum celebre in Chalcedonios: arma in Hellespontiis circumfert.

[c] Hinc Pollux III. 74.

143.

[a] Θρήκης S.K.

[b] Χερουνήσου F. Χερρουνήσου f.

[c] Μεγάβυζον Vall. b. Eustath. p. 240=182,27.cf.III.70.81.V.12.

[d] Ἀρτάβαζος d.

[e] Sic F.f. τοσοῦτον S. vulgo.

144.

[a] Sic F.f. τὸ S. vulgo om.

[b] Sic F.f. ἐλίπετο S. vulgo et suprasc. in. F.

[c] Sic Ald. S.V. Paris. Vall. ἐρόμενος M.P.K.F.f.

[d] Sic F.c.S. Alii Χαλκηδον. cf. IV. 85.V. 26. Tum κτήσαντας S. qui item βυζαντιείῳ.

[e] Citat Eustath. Dionys. 764. ubi Μεγάβυζος.

3 σθαι, εἰ μὴ ἦσαν τυφλοί. [f] οὗτος δὴ ὧν τότε ὁ Μεγάβαζος στρατηγὸς [g] λειφθεὶς ἐν τῇ χώρῃ Ἑλλησποντίων, τοὺς μὴ μηδίζοντας κατεστρέφετο. οὗτος μέν νυν ταῦτα ἔπρησσε.

145

Expeditio Libyca, eodem a. 514: Minyæ, Argonautarum posteri, circa a. 1180. Lemno ejecti a Pelasgis, a Lacedæmoniis recepti.

Τὸν αὐτὸν [a] δὲ τοῦτον χρόνον ἐγίνετο ἐπὶ Λιβύην ἄλλος στρατιῆς μέγας στόλος, διὰ πρόφασιν τὴν ἐγὼ ἀπηγή-
2 σομαι, [b] προδιηγησάμενος πρότερον τάδε. Τῶν ἐκ τῆς Ἀργοῦς ἐπιβατέων παίδων παῖδες, [c] ἐξελασθέντες ὑπὸ Πελασγῶν [d] τῶν ἐκ Βραυρῶνος ληϊσαμένων τὰς Ἀθηναίων γυναῖκας, [e] ὑπὸ τούτων ἐξελασθέντες ἐκ Λήμνου, οἴχοντο πλέοντες ἐς Λακεδαίμονα· [f] ἱζόμενοι δὲ ἐν τῷ Τηΰγέτῳ,
3 [g] πῦρ ἀνέκαιον. Λακεδαιμόνιοι δὲ ἰδόντες, ἄγγελον ἔπεμ-
4 πον, [h] πευσόμενοι τίνες τε καὶ ὁκόθεν εἰσί. οἱ δὲ τῷ ἀγγέλῳ εἰρωτέοντι ἔλεγον, ὡς "εἴησαν [i] μὲν Μινύαι, παῖδες δὲ εἶεν τῶν ἐν τῇ Ἀργοῖ πλεόντων ἡρώων· [k] προσχόντας
5 δὲ τούτους ἐς Λῆμνον, φυτεῦσαί σφεας." Οἱ δὲ Λακεδαιμόνιοι, ἀκηκοότες τὸν λόγον τῆς γενεῆς τῶν Μινυέων, πέμψαντες τὸ δεύτερον, [l] εἰρώτεον τί θέλοντες ἥκοιέν [m] τε

[f] οὗτος μὲν δὴ S.V. Wessel.

[g] ληφθεὶς S.V. Ald. Mox κατεστρέφατο S.

145.

[a] δὲ τοῦτον] Sic S.F. δὴ τ. Ald. al. Tum μέγας στόλος στρατιῆς S.

[b] προηγησ. S.V. Mox παῖδες παίδων S.

[c] Sic S.F.a.c. Vulgo ἐξελαθέντες. cf. I. 168. 173. III. 46. 51.

[d] Sic M.V.P.K.F. τῶν om. b. c.d. al. Βαύρωνος S. Βαβρῶνος b.d.

[e] ὑπὸ τουτέων Ald. B. ὑπὸ τούτων S.V. ὑπὸ τούτων δὲ M.F. ὑπὸ τουτέων δὲ Wessel. ὑπὸ τουτέων δὴ Schæfer. suggerente Wesselingio.

[f] ἑζόμενοι S.V.d. cf. II. 113. III. 64. 65. IV. 165. Ἕζεσθαι videtur de *singulis* magis dici, ἵζεσθαι de *multitudine hominum* sedes alicubi capientium. In ἵζοντο c. 146. consentiunt omnes. Schweigh.

[g] Sic Ald. S.V.a.c. πυρὴν ἔκαιον M.P.K.F.b.d.

[h] Sic M.V.P.K.S. πευσόμενον F.c. vulgo. Mox εἰρωτῶντι S.

[i] με μιννύαι S. qui μιννυέων paulo post, et semper cum νν in seqq.

[k] προσσχόντας Schæfer. προσχῶντας F. Mox δὲ S.V. Ald. a.c. γὰρ M.K.P.F.b.

[l] εἰρώτεον (aut εἰρώτων) S. P. V. ἠρώτεον vulg.

[m] τε om. S.V.

6 ἐς τὴν χώρην, καὶ πῦρ αἴθοιεν. οἱ δὲ ἔφασαν, ὑπὸ Πελα- 344
σγῶν [n] ἐκβληθέντες, ἥκειν ἐς τοὺς πατέρας· δικαιότατον
γὰρ εἶναι οὕτω τοῦτο γίνεσθαι· δέεσθαί τε οἰκέειν ἅμα
τούτοισι, μοῖράν τε τιμέων [o] μετέχοντες, καὶ τῆς γῆς ἀ-
7 πολαχόντες. Λακεδαιμονίοισι δὲ [p] ἕαδε δέκεσθαι τοὺς
Μινύας ἐπ' οἷσι θέλουσι αὐτοί· μάλιστα δὲ ἐνῆγέ σφεας
ὥστε ποιέειν ταῦτα τῶν Τυνδαριδέων ἡ ναυτιλίη ἐν τῇ Ἀρ-
γοῖ. δεξάμενοι δὲ τοὺς Μινύας, γῆς τε μετέδοσαν, καὶ
8 ἐς [q] φυλὰς [r] διεδάσαντο. οἱ δὲ αὐτίκα [s] μὲν γάμους ἔγη-
146 μαν, τὰς δὲ ἐκ Λήμνου [t] ἤγοντο, ἐξέδοσαν ἄλλοισι. Χρό-
νου δὲ οὐ πολλοῦ [a] διεξελθόντος, αὐτίκα οἱ Μινύαι ἐξύβρι-
σαν, τῆς τε βασιληΐης μεταιτέοντες, καὶ ἄλλα [b] ποιεῦν-
2 τες οὐκ ὅσια. τοῖσι ὦν Λακεδαιμονίοισι ἔδοξε αὐτοὺς ἀ-
ποκτεῖναι· συλλαβόντες δέ σφεας κατέβαλον ἐς [c] ἑρκτήν·
3 κτείνουσι δὲ τοὺς ἂν κτείνωσι Λακεδαιμόνιοι, νυκτός· μετ'
ἡμέρην δὲ, οὐδένα. ἐπεὶ ὦν ἔμελλόν σφεας [d] καταχρήσε-
σθαι, [e] παραιτήσαντο αἱ γυναῖκες τῶν Μινυέων, ἐοῦσαι
ἀσταί τε καὶ τῶν πρώτων Σπαρτιητέων θυγατέρες, [f] ἐσελ-
θεῖν τε ἐς τὴν ἑρκτὴν, καὶ ἐς λόγους ἐλθεῖν ἑκάστη τῷ
4 ἑωυτῆς ἀνδρί. οἱ δέ σφεας παρῆκαν, οὐδένα [g] δόλον δο-
κέοντες ἐξ αὐτέων ἔσεσθαι. αἱ δὲ ἐπεί τε ἐσῆλθον, [h] ποι-
εῦσι [i] τοιάδε· πᾶσαν τὴν εἶχον ἐσθῆτα παραδοῦσαι τοῖσι

Regnum affectantes, in carcerem conjecti, uxorum opera evadunt.

[n] ἐκκληθέντες F.
[o] μετέχοντας S.V. qui om. 4. vv. seqq.
[p] ἔδεε S.V.
[q] φυλακὰς F.
[r] διεδαίσαντο S.V. cf. 159.
[s] μὲν om. S.V.F.
[t] ἤγοντο om. P.S.

146.

[a] διελθόντος S.V. οὐ om. S.
[b] Sic S.V. Vulgo ποιέοντες. Supra βασιλήΐης τε S.
[c] εἱρκτὴν S.V. et infra S.
[d] καταχρήσασθαι S.V.P.
[e] παρητήσαντο S.
[f] ἐσελθεῖν τε S.V. ἐσελθεῖν absque τε Ald. A.B. ἐσὸ ἐλθεῖν τε M.K. ἐς ὃ ἐλθεῖν P.F. Gron. Wessel. ἔσω ἐλθεῖν Steph. marg.
[g] Sic M.K.P. Vall. λόγον Ald. F.a.c.S.
[h] ποιεῦσι S.V. ποιέουσι al.
[i] Sic M.F. et al. τάδε S.V.A. Ald.

5 ἀνδράσι, αὐταὶ τὴν τῶν ἀνδρῶν ἔλαβον. οἱ δὲ Μινύαι, ἐν-
δύντες τὴν γυναικηΐην ἐσθῆτα, ἅτε γυναῖκες, ἐξήϊσαν ἔξω.
ἐκφυγόντες δὲ τρόπῳ [k] τοιούτῳ, ἵζοντο αὖτις ἐς τὸ Τηΰ-
γετον.

147 Theras, decimus a Cadmo, tutela regni Spartani functus, abit cum colonis habitatum insulam Callistam: eam a Cadmi ætate Membliarus ejusque posteri viii generationibus tenuerunt.

Τὸν δὲ αὐτὸν [a] τοῦτον χρόνον Θήρας ὁ Αὐτεσίωνος, τοῦ
Τισαμενοῦ, τοῦ Θερσάνδρου, τοῦ Πολυνείκεος, ἔστελλε ἐς 345
2 ἀποικίην [b] ἐκ Λακεδαίμονος. ἦν δὲ ὁ Θήρας οὗτος, γένος
ἐὼν Καδμεῖος, τῆς μητρὸς ἀδελφεὸς τοῖσι Ἀριστοδήμου
παισὶ, Εὐρυσθένεϊ καὶ [c] Προκλέϊ· ἐόντων δ' ἔτι τῶν παί-
δων τούτων νηπίων, [d] ἐπιτροπαίην εἶχε ὁ Θήρας τὴν ἐν
3 Σπάρτῃ βασιληΐην. αὐξηθέντων δὲ τῶν [e] ἀδελφιδέων, καὶ
παραλαβόντων τὴν ἀρχὴν, οὕτω δὴ ὁ Θήρας δεινὸν ποιεύ-
μενος ἄρχεσθαι ὑπ' ἄλλων, ἐπεί τε ἐγεύσατο ἀρχῆς, οὐκ
ἔφη [f] μένειν ἐν τῇ Λακεδαίμονι, ἀλλ' ἀποπλεύσεσθαι ἐς
4 τοὺς συγγενέας. ἦσαν δὲ ἐν τῇ νῦν Θήρῃ καλεομένῃ νήσῳ,
πρότερον δὲ Καλλίστῃ τῇ αὐτῇ ταύτῃ, ἀπόγονοι [g] Μεμ-
5 βλιάρεω τοῦ Ποικίλεω, [h] ἀνδρὸς Φοίνικος. Κάδμος γὰρ
ὁ Ἀγήνορος, Εὐρώπην διζήμενος, προσέσχε [i] ἐς τὴν νῦν Θή-
ρην καλεομένην· [k] προσχόντι δὲ εἴτε δή οἱ ἡ χώρη ἤρεσε,
εἴτε καὶ ἄλλως ἠθέλησε ποιῆσαι τοῦτο, [l] καταλείπει γὰρ
ἐν τῇ νήσῳ ταύτῃ ἄλλους τε τῶν Φοινίκων, καὶ δὴ καὶ τῶν
ἑωυτοῦ συγγενέων Μεμβλίαρον· οὗτοι ἐνέμοντο τὴν Καλ-
λίστην καλεομένην ἐπὶ γενεὰς, πρὶν ἢ Θήραν ἐλθεῖν ἐκ

[k] Sic M.P.K.F. τῷ τρόπῳ τούτῳ edd. vett. a. S.

147.

[a] χρόνον τοῦτον F.

[b] ἐκ om. S.V. Vall.

[c] Πατροκλέϊ d.

[d] ἐπιτροπίην F.

[e] ἀδελφιδέων M.P.K.F. ἀδελφεῶν Ald. V.S.a.c. ἀδελφιδῶν Steph. et seqq.

[f] Sic Ald. S.F.a.c. μενεῖν Steph. et seqq. Mox ἀποπλεύσασθαι S. qui infra Μεβλίαρον.

[g] Μεβλάρεω S.

[h] ἄνδρες Φοίνικες S. Vall.

[i] ἐν τῇ νῦν Θήρῃ καλεομένῃ d.

[k] προσσχόντι Schæfer.

[l] Sic S.V.M.P.K.F. Paris. γὰρ om. Ald. cf. Abresch. Dil. Thucyd. p. 373.

148 Λακεδαίμονος, ὀκτὼ ἀνδρῶν. [a] Ἐπὶ τούτους δὴ ὢν ὁ Θή-
ρας, λαὸν ἔχων ἀπὸ τῶν φυλέων, ἔστελλε, [b] συνοικήσων
τούτοισι, καὶ οὐδαμῶς [c] ἐξελῶν αὐτοὺς, ἀλλὰ κάρτα οἰ-
2 κηϊεύμενος. Ἐπεί τε δὲ καὶ οἱ Μινύαι ἐκδράντες ἐκ τῆς
ἑρκτῆς ἵζοντο ἐς τὸ Τηΰγετον, τῶν Λακεδαιμονίων [d] βου-
λευομένων σφέας ἀπολλύναι, παραιτέεται ὁ Θήρας ὅκως
μήτε φόνος γένηται, αὐτός τε ὑπεδέκετό σφεας ἐξάξειν
3 ἐκ τῆς χώρης. συγχωρησάντων δὲ τῇ γνώμῃ τῶν Λακε-
δαιμονίων, [e] τρισὶ τριηκοντέροισι ἐς τοὺς [f] Μεμβλιάρεω
ἀπογόνους ἔπλωσε· οὔτι πάντας ἄγων τοὺς Μινύας, ἀλλ᾽
4 ὀλίγους τινάς. οἱ γὰρ πλεῦνες αὐτῶν ἐτράποντο ἐς τοὺς
[g] Παρωρεάτας καὶ Καύκωνας· τούτους δ᾽ ἐξελάσαντες
ἐκ τῆς χώρης, [h] σφέας αὐτοὺς [i] ἓξ μοίρας διεῖλον· καὶ
ἔπειτα ἔκτισαν πόλιας τάσδε ἐν αὐτοῖσι, [k] Λέπρεον, [l] Μά-
κιστον, [m] Φρίξας, Πύργον, [n] Ἔπιον, Νούδιον· τουτέων δὲ 346
τὰς πλεῦνας [o] ἐπ᾽ ἐμέο Ἠλεῖοι ἐπόρθησαν. Τῇ δὲ νήσῳ
149 [p] ἐπὶ τοῦ οἰκιστέω Θήρα [q] ἡ ἐπωνυμίη ἐγένετο. Ὁ δὲ παῖς,
οὐ γὰρ ἔφη οἱ συμπλεύσεσθαι, [a] τοιγαρῶν ἔφη αὐτὸν κα-

Minyæ alii a Thera coloni deducuntur, alii Triphylia occupata sex oppida ibi condunt.

Oiolyco Theræ filio natus Æ-

148.

[a] Sic S.V.K.P. Vall. F. Paris. ἐπὶ τούτοις edd. vett.
[b] Sic S.P.F. Vall. cf. 159. συνοικίσων c. et al.
[c] ἐξελὼν F.d.S.
[d] Sic S.V.M.P.F. βουλομένων Ald. c.d. Mox αὐτὸς δὲ S.
[e] τρισὶ om. b.
[f] Μεμβριάρεω S. Pind. Pyth. IV. 88. Mox ὅτι F. pro οὔτι.
[g] Παρεωράτας S. cf. VIII. 73. Παρωραιάτας Steph. Byz. in Παρώρεια.
[h] Sic S.V.c. σφᾶς ἑαυτοὺς F. σφᾶς ἑωυτοὺς vulgo.
[i] Sic F.d. cf. II. 147. ἐς ἓξ μ. vulgo cum V.S. qui mox ἔπειτα om.
[k] Λέπριον S.V. Λέπρον b.
[l] *Macistum* Vall. Κάκιστον S. V. Μάστιγον a. Μάγιστον edd. vett. et codd. al.
[m] Φρίξας P.F.b.d. Θρίξας (aut Θριξὰς) al.
[n] Ἔπειον Νούδειον S. Vide Schweighæuser. ad Polyb. IV. 77, 9. 80, 13.
[o] ἐπ᾽ ἐμοὶ S.V.
[p] Sic M.P.K.F. ἀπὸ τοῦ S.V. A.B. Ald.
[q] ἡ om. S.

149.

[a] Sic M.P.F. τοιγαροῦν S. vulgo.

geus, a quo Ægidæ, tribus Spartana: delubrum Dirarum Laii et Œdipi.

ταλείψειν ὄϊν ἐν λύκοισι· [b] ἐπὶ τοῦ ἔπεος τούτου [c] οὔνομα
τῷ νεηνίσκῳ τούτῳ Ὀϊόλυκος ἐγένετο· [d] καί κως τὸ οὔνο-
2 μα τοῦτο ἐπεκράτησε. Ὀϊολύκου δὲ γίνεται Αἰγεύς· [e] ἀπὸ
3 τοῦ Αἰγεῖδαι [f] καλεῦνται, φυλὴ μεγάλη ἐν Σπάρτῃ. τοῖσι
δὲ ἐν τῇ φυλῇ ταύτῃ ἀνδράσι οὐ γὰρ ὑπέμειναν τὰ τέκνα,
ἱδρύσαντο ἐκ θεοπροπίου [g] Ἐρινύων [h] τῶν Λαΐου τε καὶ
Οἰδιπόδεω ἱρόν· καὶ μετὰ τοῦτο ὑπέμεινε. [i] τὠυτὸ τοῦτο
καὶ ἐν [k] Θήρῃ τοῖσι ἀπὸ τῶν ἀνδρῶν τούτων γεγονόσι.

150

Theræorum de Batto narratio: Grinus Theræ insulæ rex: Battus, ex Euphemi Argonautæ posteris: oraculi Delphis a Grino consulti circiter a. 648 responsum: Libya tum Græcis ignota.

Μέχρι μέν νυν τούτου τοῦ λόγου Λακεδαιμόνιοι Θηραί-
οισι [a] κατὰ ταὐτὰ λέγουσι· τὸ δὲ ἀπὸ τούτου μοῦνοι Θη-
2 ραῖοι ὧδε γενέσθαι λέγουσι. [b] Γρῖνος ὁ Αἰσανίου, ἐὼν
Θήρα τούτου ἀπόγονος, καὶ βασιλεύων Θήρης τῆς νήσου,
ἀπίκετο ἐς Δελφοὺς, ἄγων ἀπὸ τῆς πόλιος ἑκατόμβην·
εἵποντο δέ οἱ καὶ [c] ἄλλοι τῶν πολιητέων, καὶ δὴ καὶ Βάτ-
τος ὁ Πολυμνήστου, ἐὼν γένος [d] Εὐφημίδης τῶν Μινυέων.
3 Χρεωμένῳ δὲ τῷ Γρίνῳ τῷ βασιλέϊ τῶν Θηραίων περὶ ἄλ- 347
λων, χρᾷ ἡ Πυθίη "κτίζειν ἐν Λιβύῃ πόλιν." ὁ δὲ ἀμεί-
4 βετο λέγων· "Ἐγὼ μὲν, [e] ὦναξ, πρεσβύτερός τε ἤδη εἰμὶ,
"καὶ βαρὺς ἀείρεσθαι· σὺ δέ τινα [f] τῶνδε τῶν νεωτέρων

[b] Sic M.K.P.F. ἀπὸ τοῦ Ald. S.V.A.B.

[c] Sic K.P.f. τὸ οὔνομα al. S. νεανίσκῳ S. absque τούτῳ. qui οἰόλικος.

[d] Sic M.K.P.F.f. τὸ οὔνομα om. al. S.

[e] Sic V.A.B. ἐπ' οὗ M.K.P.F. f. ἀπ' οὗ a. Ald. ἀπὸ τούτου αἰγίδαι S.

[f] καλοῦνται F. καλέονται f.S.

[g] Ἐριννύων] Ἐρινύων F.

[h] τῷ Λ. S.

[i] ταὐτὸ F. Post ὑπέμεινε plene interpungit S. Post τοῦτο Schweigh. inseruit συνέβη e Reiskii conj. Idem jam fecerat Larcherus in versione Gallica.

[k] θήρῃσι S.

150.

[a] καταυτὰ F.

[b] Γρῖννος S. K. P. Mox γρίννῳ S.

[c] Sic S.V. οἱ ἄλλοι F. et vulgo.

[d] Ita Palmerius ex Pindari auctoritate Pyth. IV. 455. Εὐθυμίδης M.S.P.K. Vall. F. Ald. Paris. Εὐθυμήδης V.

[e] ἐμοὶ ὦναξ S. Mox πρεσβύτερός τε γὰρ ἤδη—ἀείρασθαι S.

[f] τῶνδε om. M. τῶν om. K.

"κέλευε [g] ταῦτα ποιέειν." ἅμα τε [h] ἔλεγε ταῦτα, καὶ
5 ἐδείκνυε ἐς τὸν Βάττον. τότε μὲν τοσαῦτα. μετὰ δὲ ἀπελθόντες, [i] ἀλογίην εἶχον τοῦ χρηστηρίου, οὔτε Λιβύην εἰδότες ὅκου γῆς [k] εἴη, οὔτε τολμῶντες ἐς ἀφανὲς χρῆμα
151 1 ἀποστέλλειν ἀποικίην. Ἑπτὰ δὲ ἐτέων μετὰ ταῦτα οὐκ ὗε τὴν Θήρην· ἐν τοῖσι τὰ δένδρεα πάντα σφι τὰ ἐν τῇ
2 νήσῳ, πλὴν ἑνὸς, ἐξαυάνθη. χρεωμένοισι δὲ τοῖσι Θηραίοισι προέφερε ἡ Πυθίη τὴν ἐς Λιβύην ἀποικίην. ἐπεί τε δὲ κακοῦ οὐδὲν [a] ἦν σφι μῆχος, πέμπουσι ἐς Κρήτην ἀγγέλους, διζημένους εἴ τις Κρητῶν ἢ μετοίκων ἀπιγμένος
3 εἴη ἐς Λιβύην. περιπλανώμενοι δὲ αὐτὴν οὗτοι, ἀπίκοντο καὶ ἐς Ἴτανον πόλιν· ἐν ταύτῃ δὲ [b] συμμίσγουσι ἀνδρὶ πορφυρέϊ, τῷ οὔνομα ἔην [c] Κορώβιος· ὃς ἔφη ὑπ' ἀνέμων [d] ἀπενειχθεὶς [e] ἀπικέσθαι ἐς Λιβύην, καὶ Λιβύης ἐς [f] Πλα-
4 τέαν νῆσον. μισθῷ δὲ τοῦτον πείσαντες ἦγον ἐς Θήρην. ἐκ δὲ Θήρης ἔπλεον κατάσκοποι ἄνδρες, τὰ πρῶτα οὐ
5 πολλοί. κατηγησαμένου δὲ τοῦ Κορωβίου ἐς τὴν νῆσον ταύτην δὴ τὴν Πλατέαν, τὸν μὲν Κορώβιον λείπουσι, σιτία καταλιπόντες [g] ὅσων δὴ μηνῶν· αὐτοὶ δὲ ἔπλεον τὴν τα-
152 χίστην [h] ἀπαγγελέοντες Θηραίοισι περὶ τῆς νήσου. Ἀποδημεόντων δὲ τούτων πλέω χρόνον τοῦ συγκειμένου, τὸν

Pluviæ inops Thera vii annos: Corobii Cretensis ductu exploratores missi a. 640, Plateam insulam tenent, et relicto ibi Corobio, ad suos renuntiant.

Samia navis Ægyptum petens, in

g Sic M.K.P.F. Vulgo τάδε ποιέειν. ποιέειν τάδε S. Ald.

h ἔλεγε om. S.V. cf. III. 135.

i Citat Thomas M. in v.

k ἦ S. qui mox χρήματα. χρῆμα d.

151.

a Sic Ald. M.V.P.K.F. Paris. σφιν ἦν σμῆχος S. ἦν σφι μῆκος Steph. et seqq. μῆχος ex II. 181. Æschyl. Suppl. 743. Agam. 2. Eurip. Androm. 535. illustrant Wesseling. et Valckenær.

b συμμισθοῦσι S.V.

c Κουρώβ. V.S. ἦν S.F. pro ἔην.

d ἀπενεχθεὶς P.F.S.

e ἀπαγέεσθαι S.

f Sic M.K.P.F. Πλαταίαν Ald. a.c.d.S. Mox Κουρωβίου S. et sic infra.

g Sic M.P.K.A. ὅσον δὴ F. ὅσον δύο S. vulgo. παρακαταλιπόντες S.

h ἀπαγγέλλοντες S.V.

Plateam appulsa, Corobium a fame liberat: vento abripitur ultra columnas Herculis: Tartessus emporium: [1, 163.] Sostratus Æginetа Græcorum ditissimus: ahenum a Samiis ex quæstus decima Junoni oblatum.

Κορώβιον ἐπέλιπε τὰ πάντα. [a] μετὰ δὲ νηῦς Σαμίη, τῆς
ναύκληρος ἔην Κωλαῖος, πλέουσα ἐπ' [b] Αἰγύπτου, ἀπη-
2 νείχθη ἐς τὴν Πλατέαν ταύτην. πυθόμενοι δὲ οἱ Σάμιοι
παρὰ τοῦ Κορωβίου τὸν πάντα λόγον, σιτία οἱ ἐνιαυτοῦ
3 καταλείπουσι. αὐτοὶ δὲ ἀναχθέντες ἐκ τῆς νήσου, καὶ
γλιχόμενοι Αἰγύπτου, ἔπλεον, ἀποφερόμενοι ἀπηλιώτῃ
ἀνέμῳ· καὶ, οὐ γὰρ ἀνίει τὸ πνεῦμα, [c] Ἡρακλέας στή-
λας [d] διεκπερήσαντες, ἀπίκοντο ἐς Ταρτησσὸν, θείῃ πομπῇ
4 χρεώμενοι. τὸ δὲ ἐμπόριον τοῦτο ἦν [e] ἀκήρατον τοῦτον τὸν 348
χρόνον· ὥστε ἀπονοστήσαντες οὗτοι ὀπίσω, μέγιστα δὴ
Ἑλλήνων πάντων, τῶν ἡμεῖς ἀτρεκίην [f] ἴδμεν, ἐκ φορτίων
ἐκέρδησαν, [g] μετά γε Σώστρατον τὸν Λαοδάμαντος, Αἰ-
5 γινήτην· τούτῳ γὰρ οὐκ οἷά τέ ἐστι ἐρίσαι ἄλλον. οἱ δὲ
Σάμιοι [h] τὴν δεκάτην τῶν [i] ἐπικερδίων ἐξελόντες, ἓξ τά-
λαντα, [k] ἐποιήσαντο [l] χαλκήϊον, κρητῆρος Ἀργολικοῦ τρό-
πον· [m] πέριξ δὲ αὐτοῦ γρυπῶν [n] κεφαλαὶ πρόκροσσοί εἰσι·
καὶ ἀνέθηκαν ἐς τὸ Ἥραιον, ὑποστήσαντες αὐτῷ τρεῖς
χαλκέους κολοσσοὺς ἑπταπήχεας, τοῖσι γούνασι [o] ἐρηρει-
6 σμένους. Κυρηναίοισι δὲ καὶ Θηραίοισι ἐς Σαμίους ἀπὸ
τούτου τοῦ ἔργου πρῶτα φιλίαι μεγάλαι [p] συνεκρήθησαν.
153 Οἱ δὲ Θηραῖοι, ἐπεί τε τὸν Κορώβιον λιπόντες ἐν τῇ νήσῳ,

152.

[a] μετὰ δὲ ταῦτα K.P.F. Mox ἦν S.

[b] Sic M.P.K.F. ἀπ' Αἰγ. c. S. et vulgo. Tum ἀπηνέχθη S. qui paulo post ἀνεχθέντες.

[c] Ἡρακλέος d.

[d] διεκπρήσαντες F.

[e] ἀπείρατον S.

[f] Sic Reizius et Schweighæuserus. Edd. et mss. ἴσμεν. cf. I. 178. IV. 197.

[g] Hinc Eustath. Dionys. 511.

[h] τὴν δεκάτην om. S.V.

[i] ἐπικερδίων S.V.P.F.a. ἐπεκερδέων edd. pleræque.

[k] ἐποίησαν K.F.

[l] χαλκίον S.

[m] πέριξ δὲ αὐτοῦ P.S.V. Ald. A.B.F. π. δ. αὐτὸ M.K. Schæfer. cf. Valcken. ad IV. 15.

[n] κ. οἱ πρόκροσσοι V. οἱ πρόκοσσοι S.

[o] ἐρηρισμένους F.S.

[p] συνεκρήθησαν A.B.P.M.S. Vall. F.b.d. συνεκρίθησαν olim. Mox οἱ θηραῖοι δὲ S.

ἀπίκοντο ἐς τὴν Θήρην, [a] ἀπήγγελον ὥς σφι εἴη νῆσος ἐπὶ
2 Λιβύῃ ἐκτισμένη. Θηραίοισι δὲ [b] ἕαδε ἀδελφεόν τε [c] ἀπ'
ἀδελφεοῦ πέμπειν, πάλῳ [d] λαχόντα· καὶ ἀπὸ τῶν [e] χώ-
ρων ἁπάντων, ἑπτὰ ἐόντων, ἄνδρας· εἶναι δέ σφεων [f] καὶ
ἡγεμόνα καὶ βασιλέα Βάττον. οὕτω δὴ στέλλουσι δύο
πεντηκοντέρους ἐς τὴν Πλατέαν.

Theræi colonos in Plateam duabus navibus cum Batto mittunt.

154 Ταῦτα δὲ Θηραῖοι λέγουσι· τὰ δ' ἐπίλοιπα τοῦ λόγου,
συμφέρονται ἤδη Θηραῖοι Κυρηναίοισι. Κυρηναῖοι γὰρ τὰ
2 περὶ Βάττον οὐδαμῶς ὁμολογέουσι Θηραίοισι. λέγουσι
γὰρ οὕτω· ἔστι τῆς Κρήτης [a] Ἀξὸς πόλις, ἐν τῇ ἐγένετο
Ἐτέαρχος βασιλεύς· ὃς ἐπὶ θυγατρὶ [b] ἀμήτορι, τῇ οὔνομα
3 ἦν Φρονίμη, ἐπὶ ταύτῃ ἔγημε ἄλλην γυναῖκα. ἡ δὲ ἐπε-
σελθοῦσα [c] ἐδικαίευ [d] εἶναι καὶ τῷ ἔργῳ μητρυιὴ τῇ Φρο-
νίμῃ, παρέχουσά τε κακὰ, καὶ πᾶν ἐπ' αὐτῇ μηχανω-
μένη· καὶ τέλος, μαχλοσύνην [e] ἐπενείκασά οἱ, πείθει τὸν
4 ἄνδρα ταῦτα ἔχειν οὕτω. ὁ δὲ, [f] ἀναγνωσθεὶς ὑπὸ τῆς
γυναικὸς, ἔργον οὐκ ὅσιον [g] ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί.
ἦν γὰρ [h] δὴ Θεμίσων, ἀνὴρ Θηραῖος ἔμπορος, ἐν [i] τῇ Ἀξῷ·
τοῦτον ὁ Ἐτέαρχος παραλαβὼν ἐπὶ [k] ξείνια, ἐξορκοῖ,

Cyrenæorum de Batto narratio: Etearchus Axi rex in Creta: ejus filia Phronima quomodo in Theram venerit.

153.

[a] ἀπήγγελον S.V. Ald. F. Paris. ἀπήγγελλον Steph. et sqq.

[b] ἔδεεν S.

[c] ἀπ' ἀδελφεοῦ M.K.P.F. Paris. ἐπ' ἀδελφ. alii.

[d] Sic S.V.A.B. Ald. cf. III. 83. λαγχάνοντα M.P.K.F.b.

[e] χωρέων ἁπάντων ἑπτὰ ἐουσέων S. quod præferret Wessel. si ἁπασέων dedisset. Vulg. præfert Schweighæuser.

[f] καὶ ἡγ. καὶ βασ. S.P. Vall. F.a. καὶ βασ. καὶ ἡ. al.

154.

[a] Sic S.V. Vall. Steph. Byz. cf. Meursii Creta I. 8. ὁ Ἀξὸς F. Ὀαξὸς c.d. Suid. in Βάττος, et vulg. Supra τὸ περὶ βάττον S.

[b] ἀμήτερι S.

[c] ἐδικαίου F. ἐπεισελθοῦσα S.

[d] καὶ τῷ ἔργῳ εἶναι S.P.F.

[e] Sic S.V. Ald. A.B. Eustath. Il. p. 1183, 40=1250, 36. Infra 167. ἐπενείκας: cf. I. 68. ἐπενεγκοῦσα M.P.K.b. Suid. ἐνεικοῦσα F.

[f] Suid. in v. Et reponendum v. Θεμίσων pro ἀναγκασθεὶς e mss.

[g] ἐμηχανήσατο b.

[h] δὴ om. S.V.

[i] Sic S.V. Vall. τῇ Ὀαξῷ al. et Suid.

[k] ξείνια M. S. V. P. K. cf. II. 107. VI. 34. IX. 88. ξενίῃ Ald. ξεινίᾳ F.a.b.c. cf. V. 18. Vide Wesseling. ad Diodor. XIII. 80.

5 [l] ἦ μέν οἱ διηκονήσειν ὅ τι ἂν [m] δεηθῇ. ἐπεί τε δὲ [n] ἐξόρκωσε,
ἀγαγών οἱ παραδιδοῖ τὴν ἑωυτοῦ θυγατέρα, καὶ ταύτην
6 ἐκέλευε καταποντῶσαι ἀπαγαγόντα. ὁ δὲ Θεμίσων, 349
[o] περιημεκτήσας τῇ ἀπάτῃ τοῦ ὅρκου, [p] καὶ διαλυσάμενος
7 τὴν [q] ξεινίην, ἐποίεε τοιάδε. παραλαβὼν τὴν παῖδα ἀπέ-
πλεε· ὡς δὲ [r] ἐγένετο ἐν τῷ πελάγεϊ, [s] ἀποσιεύμενος τὴν
ἐξόρκωσιν τοῦ Ἐτεάρχου, [t] σχοινίοισι αὐτὴν διαδήσας κα-
τῆκε ἐς τὸ πέλαγος, ἀνασπάσας δὲ ἀπίκετο ἐς τὴν Θή-
155 ρην. Ἐνθεῦτεν δὲ τὴν Φρονίμην [a] παραλαβὼν Πολύμνηστος,
ἐὼν τῶν Θηραίων ἀνὴρ δόκιμος, ἐπαλλακεύετο· χρόνου δὲ
περιϊόντος ἐξεγένετό οἱ παῖς ἰσχνόφωνος καὶ τραυλὸς, τῷ
οὔνομα ἐτέθη Βάττος, ὡς Θηραῖοί τε καὶ Κυρηναῖοι λέ-
γουσι· ὡς μέντοι ἐγὼ δοκέω, ἄλλο τι· Βάττος δὲ [b] με-
τωνομάσθη ἐπεί τε ἐς Λιβύην ἀπίκετο, ἀπό τε τοῦ χρη-
στηρίου τοῦ γενομένου ἐν Δελφοῖσι αὐτῷ, καὶ ἀπὸ τῆς τι-
2 μῆς [c] τὴν ἔσχε, τὴν ἐπωνυμίην ποιεύμενος. Λίβυες γὰρ
[d] βασιλέα Βάττον καλέουσι, καὶ τούτου εἵνεκα δοκέω θε-
σπίζουσαν τὴν Πυθίην καλέσαι μιν Λιβυκῇ γλώσσῃ, εἰ-
3 δυῖαν ὡς βασιλεὺς ἔσται ἐν Λιβύῃ. ἐπεί τε γὰρ ἠνδρώθη
οὗτος, ἦλθε ἐς Δελφοὺς περὶ τῆς φωνῆς· ἐπειρωτέοντι δέ
οἱ χρᾷ ἡ Πυθίη τάδε·

Concubina Polymnesti facta, parit circiter a. 666 Battum: Battus, Afrorum lingua rex: Pythia Batto de balbutie sua consulenti quid responderit.

[l] ἦ μὲν οἱ Ald. K.S.F.a.c. cf. Koen. Gregor. Dial. Ion. 62. ἦ μήν οἱ Gron. Wess.
[m] δεηθείη Suid.
[n] ἐξόρκωσε S. ἐξώρκωσε Wessel. et al.
[o] περιεμεκτήσας Suid. in v. et in Βάττος.
[p] Sic M.K.P. Suid. καὶ om. F.a.c. al.
[q] Sic S. P. V. F. Paris. ξενίην olim. Mox τάδε S.
[r] ἐγίνετο F.a.
[s] ἀποσιεύμενος M. P. K. F. ἀφοσιούμενος Suid. in Βάττος et in Ἀφοσιούμεθα. ἀποσιούμενος S.V. ἀποσειεύμενος al. cf. infra 203.
[t] σχοίνοισι Steph. et seqq.

155.

[a] λαβὼν S.V.
[b] μετουνομάσθη F.
[c] Sic S.P.K. τὴν δ' ἔσχε M.F. b. ἣν ἔσχε vulgo. Vide Schol. Pind. Pyth. IV. init.
[d] Sic S.V.P.K. τὸν βασ. vulgo. Mox ἐπειρωτῶντι S.

4 [e] Βάττ', ἐπὶ φωνὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος Ἀπόλλων
ἐς Λιβύην πέμπει μηλοτρόφον [f] οἰκιστῆρα.

5 [g] ὥσπερ εἰ εἴποι Ἑλλάδι γλώσσῃ χρεωμένη· "Ὦ βασι-
6 "λεῦ, ἐπὶ φωνὴν ἦλθες." Ὁ δ' ἀμείβετο τοῖσδε· "Ὦ
"ναξ, ἐγὼ μὲν ἦλθον παρὰ σὲ χρησόμενος περὶ [h] τῆς φω-
"νῆς· σὺ δέ μοι ἄλλα ἀδύνατα χρᾷς, κελεύων Λιβύην
7 "ἀποικίζειν· τέῳ δυνάμει; κοίῃ χειρί;" Ταῦτα λέγων,
[i] οὐκὶ ἔπειθε ἄλλα [k] οἱ χρᾶν. ὡς δὲ κατὰ ταὐτὰ ἐθέσπιζέ
[l] οἱ καὶ πρότερον, [m] οἴχετο μεταξὺ ἀπολιπὼν ὁ Βάττος ἐς
156 τὴν Θήρην. Μετὰ δὲ, αὐτῷ τε τούτῳ καὶ τοῖσι [a] ἄλλοισι
2 Θηραίοισι συνεφέρετο παλιγκότως. ἀγνοεῦντες δὲ τὰς
συμφορὰς οἱ Θηραῖοι, ἔπεμπον ἐς Δελφοὺς περὶ τῶν παρ-
εόντων κακῶν. ἡ δὲ Πυθίη σφι ἔχρησε συγκτίζουσι Βάτ-
3 τῳ Κυρήνην τῆς Λιβύης ἄμεινον πρήξειν. [b] Ἀπέστελλον
μετὰ ταῦτα τὸν Βάττον οἱ Θηραῖοι δύο πεντηκοντέροισι.
[c] πλώσαντες δὲ ἐς τὴν Λιβύην οὗτοι, οὐ γὰρ εἶχον ὅ τι
4 ποιέωσι ἄλλο, ὀπίσω ἀπαλλάσσοντο ἐς τὴν Θήρην. οἱ δὲ
Θηραῖοι καταγομένους ἔβαλλον, καὶ οὐκ ἔων τῇ γῇ προσ-
5 ίσχειν, ἀλλ' ὀπίσω πλώειν ἐκέλευον. οἱ δὲ, ἀναγκαζό-
μενοι, ὀπίσω [d] ἀπέπλωον· καὶ ἔκτισαν νῆσον ἐπὶ Λιβύῃ
κειμένην, τῇ οὔνομα, ὡς καὶ πρότερον [e] εἰρέθη, [f] ἐστὶ Πλα-

Adversæ res Theræorum: oraculi monitu Battum cum duabus navibus mittunt in coloniam: reversos aditu arcent: Platea inhabitatur a. 640.

[e] Schol. Pind. l. c. Tzetzes Chil. VI. p. 361.
[f] οἰκίζοντα V.S.
[g] εἰ om. S.
[h] τῆς om. S.V. Ald. a.
[i] Sic M.K.P. οὔ κη S. al. cf. V. 13. οὔ κη a. Ald. οὐκ ἔπειθε F.
[k] οἱ om. S.V.d. ἀλλὰ item S. qui mox καὶ pro κατά.
[l] Sic P.V.S.K.M. οἱ ἢ καὶ edd. ἢ οἱ καὶ a. η οἱ καὶ F. sed η punctis damnatum.
[m] οἴχοιτο a.

156.

[a] ἄλλοισι om. S. qui infra ἔχρηζε pro ἔχρησε. Mox συγκτίζοντας vel εἰ συγκτίζουσι conj. Reiskius, παρέξειν pro πρήξειν Schæferus. Equidem mutandi causam non video. Pendet συγκτίζουσι a præcedente σφι, deinde ad πρήξειν σφέας vel αὐτοὺς subintelligendum.
[b] ἀπέστελον S.F.
[c] ἐς τὴν Λ. δὲ πλώσαντες S.
[d] ἀπέπλωον S. V. cf. VI. 116. VIII. 4. ἀπέπλεον F.a. et vulgo.
[e] Sic S.V.P.K. ἠρέθη F. cf. 77. VI. 15. VII. 184. Eustath. Od. p. 1540, 12=230, 32. ἐρρήθη Wessel. et al.
[f] Sic P.K.S.F. alii ἐστὶ po-

τέα. λέγεται δὲ ἴση εἶναι [g]ἡ νῆσος τῇ νῦν Κυρηναίων
πόλι.

157 Biennio post coloni, Pythia consulta, in Libyam transgressi Azirin habitant.

Ταύτην οἰκέοντες δύο ἔτεα, οὐδὲν γάρ σφι χρηστὸν συν-
εφέρετο, ἕνα αὐτῶν καταλιπόντες, οἱ λοιποὶ πάντες [a]ἀπέ-
2 πλεον ἐς Δελφούς. ἀπικόμενοι δὲ ἐπὶ τὸ χρηστήριον,
ἐχρέωντο, φάμενοι οἰκέειν τε τὴν Λιβύην, καὶ οὐδὲν ἄμει-
3 νον πρήσσειν οἰκεῦντες. ἡ δὲ Πυθίη σφι πρὸς ταῦτα χρᾷ
τάδε·

[b]Αἰ τὺ ἐμεῦ Λιβύην μηλοτρόφον [c]οἶδας ἄμεινον,
μὴ ἐλθὼν ἐλθόντος, ἄγαν ἄγαμαι σοφίην σευ.

4 [d]Ἀκούσαντες δὲ τούτων οἱ ἀμφὶ τὸν Βάττον, [e]ἀπέπλωον
ὀπίσω· οὐ γὰρ δή σφεας ἀπίει ὁ θεὸς τῆς ἀποικίης, πρὶν
5 δὴ [f]ἀπίκωνται ἐς αὐτὴν [g]τὴν Λιβύην. Ἀπικόμενοι δὲ ἐς
τὴν νῆσον, καὶ ἀναλαβόντες τὸν ἔλιπον, ἔκτισαν αὐτῆς
τῆς Λιβύης χῶρον ἀντίον τῆς νήσου, [h]τῷ οὔνομα ἦν [i]Ἄζι-
ρις, τὸν νάπαι τε κάλλισται ἐπ' ἀμφότερα [k]συγκληΐουσι, 351
καὶ ποταμὸς τὰ ἐπὶ θάτερα παραρρέει.

158 Septimo anno Libyes eos alio traducunt: Irasa regio: fons Apollinis: Cyre-

Τοῦτον οἴκεον τὸν
χῶρον ἓξ ἔτεα· ἑβδόμῳ δέ σφεας ἔτεϊ παραιτησάμενοι
[a]οἱ Λίβυες, [b]ὡς ἐς ἀμείνονα χῶρον [c]ἄξουσι, ἀνέγνωσαν
2 [d]ἐκλιπεῖν. ἦγον δέ σφεας ἐνθεῦτεν οἱ Λίβυες ἀναστήσαν-
τες πρὸς ἑσπέρην· καὶ τὸν κάλλιστον τῶν χώρων, ἵνα δι-

nunt post οὔνομα. Πλατέα P.K. F. Alii Πλάταια cum S.

[g] ἡ νῆσος om. S. ubi mox πόλει.

157.

[a] ἀπέπλων S.

[b] αἴ τυ Wessel. cum M.K. Vulgo ἄστυ cum S. cf. Plutarch. II. p. 408.

[c] οἶσθας ἄρειον Plutarch.

[d] Sic M.K.P.F. Paris. δὲ om. vulgo.

[e] ἀπέπλωσαν F. ἀπέπλεον Ald.

[f] ἀπίκοντο b.

[g] Sic F. τὴν vulgo om.

[h] Sic M.K.P.F. Vall. Paris. τῇ οὔν. vulgo.

[i] Sic Wessel. cf. 169. Ἄζιλις et Ἄζιρις Steph. Byz. Ἄζιλιν Callim. Hymn. Apoll. 89. Ἀξίριστον K. Ἀξάριστον P. Ἀζάριστον b. Ἀζόριστον d. Ἀζίριστον S F. a. c. et vulgo.

[k] Sic P. συγκλείουσι S. alii.

158.

[a] Sic P.F. οἱ om. S. al.

[b] Sic S. V. M. P. K. Paris. ἐς om. Ald. ὡς om. F.

[c] ἥξουσι S.V.

[d] ἐκλείπειν S.V.

ἐξιόντες οἱ Ἕλληνες μὴ ἴδοιεν, συμμετρησάμενοι τὴν ὥρην
τῆς ἡμέρης, νυκτὸς [e] παρῆγον· ἔστι δὲ τῷ χώρῳ τούτῳ
3 οὔνομα [f] Ἴρασα. ἀγαγόντες δέ σφεας ἐπὶ κρήνην λεγο-
μένην εἶναι Ἀπόλλωνος, εἶπαν· " Ἄνδρες Ἕλληνες, ἐν-
" θαῦτα [g] ὑμῖν ἐπιτήδεον οἰκέειν· ἐνθαῦτα γὰρ ὁ οὐρανὸς
" τέτρηται."

159 Ἐπὶ μέν νυν [a] Βάττεώ τε τοῦ οἰκιστέω τῆς
[b] ζόης, ἄρξαντος ἐπὶ τεσσεράκοντα ἔτεα, καὶ τοῦ παιδὸς
αὐτοῦ Ἀρκεσίλεω, ἄρξαντος ἑκκαίδεκα ἔτεα, οἴκεον οἱ
Κυρηναῖοι, ἐόντες τοσοῦτοι, ὅσοι ἀρχὴν ἐς τὴν ἀποικίην
2 ἐστάλησαν· ἐπὶ δὲ τοῦ τρίτου, [c] Βάττεω τοῦ Εὐδαίμονος
καλεομένου, Ἕλληνας πάντας ὥρμησε χρήσασα ἡ Πυθίη
πλέειν [d] συνοικήσοντας Κυρηναίοισι Λιβύην· ἐπεκαλέοντο
3 γὰρ οἱ Κυρηναῖοι ἐπὶ γῆς ἀναδασμῷ. ἔχρησε δὲ ὧδε
ἔχοντα·

Ὃς δέ κεν ἐς Λιβύην πολυήρατον ὕστερον ἔλθῃ
γᾶς ἀναδαιομένας, μετά οἵ ποκά φαμι μελήσειν.

4 Συλλεχθέντος δὲ ὁμίλου πολλοῦ ἐς τὴν Κυρήνην, περιταμ-
νόμενοι γῆν πολλὴν οἱ περίοικοι Λίβυες καὶ ὁ βασιλεὺς
αὐτῶν, τῷ οὔνομα ἦν [e] Ἀδικράν, οἷα τῆς τε χώρης στερι-
σκόμενοι, καὶ περιϋβριζόμενοι ὑπὸ τῶν Κυρηναίων, πέμ-
ψαντες ἐς Αἴγυπτον ἔδοσαν σφέας αὐτοὺς Ἀπρίῃ, τῷ
5 Αἰγύπτου βασιλέϊ. ὁ δὲ, συλλέξας στρατὸν Αἰγυπτίων
πολλὸν, [f] ἔπεμπε ἐπὶ τὴν Κυρήνην· οἱ δὲ Κυρηναῖοι [g] ἐκ-
στρατευσάμενοι ἐς [h] Ἴρασα χῶρον, καὶ ἐπὶ κρήνην [i] Θέ-

ne conditur a. 632.

Batti I. regnum ab a. 640 ad 600: Arcesilai I. ab a. 600 ad 584: sub Batto II. qui Felix dictus, Græci oraculo in Cyrenen evocati: 352

Libyes exuti agro: Ægyptii prælio a Cyrenæis victi a. 570. [2, 161.]

[e] Sic P.S.V.F.a.c.d. παρεξῆγον Wessel. et al.

[f] Cf. Holsten. ad Steph. Byzant. Heyne Pindar. Pyth. IX. 185.

[g] Sic S. V. Ald. A. B. F. μὲν M.K.P.b.

159.

[a] Βάττου τε P.K.F. τε om. al. S.

[b] ζωῆς S. ζηῆς F.

[c] Βάττου Εὐ. F.

[d] Sic Ald. S. P. F. Paris. cf. 148. Al. συνοικίσ.

[e] Ἀδδικρανοία S. Vall.

[f] ἔπεμψε K.P.F.

[g] ἐκστρατοπεδευσάμενοι S.V.d.

[h] Ἥρας F. Ἥρασα b. Ἰσαρὰ d. Vide 158.

[i] Sic M.K.P.F. Θέστιν A.B. V.S. Ald. Vall.

στην, συνέβαλόν τε τοῖσι Αἰγυπτίοισι, καὶ ἐνίκησαν τῇ
6 συμβολῇ. ἅτε γὰρ οὐ [k] πεπειρημένοι πρότερον [l] οἱ Αἰγύ-
πτιοι Ἑλλήνων, καὶ παραχρεώμενοι, διεφθάρησαν οὕτω,
7 ὥστε ὀλίγοι τινὲς [m] αὐτῶν ἀπενόστησαν ἐς Αἴγυπτον. ἀντὶ
τούτων Αἰγύπτιοι κατὰ ταῦτα ἐπιμεμφόμενοι Ἀπρίῃ,
ἀπέστησαν ἀπ᾽ αὐτοῦ.

160 Τούτου δὲ τοῦ [a] Βάττεω [b] γίνεται πάϊς [c] Ἀρκεσίλεως·
ὃς βασιλεύσας, πρῶτα τοῖσι ἑωυτοῦ ἀδελφεοῖσι ἐστασία-
σε, ἐς ὅ μιν οὗτοι ἀπολιπόντες [d] οἴχοντο ἐς ἄλλον χῶρον
τῆς Λιβύης· καὶ ἐπ᾽ ἑωυτῶν βαλλόμενοι, ἔκτισαν πόλιν
ταύτην, ἣ τότε καὶ νῦν Βάρκη καλέεται· κτίζοντες δ᾽
ἅμα αὐτὴν, [e] ἀπιστᾶσι ἀπὸ τῶν Κυρηναίων τοὺς Λίβυας.
2 Μετὰ δὲ, [f] Ἀρκεσίλεως ἐς τοὺς ὑποδεξαμένους τε τῶν Λι-
βύων, καὶ ἀποστάντας τοὺς αὐτοὺς τούτους, ἐστρατεύετο·
οἱ δὲ Λίβυες δείσαντες αὐτὸν, οἴχοντο φεύγοντες πρὸς τοὺς
3 ἠοίους τῶν Λιβύων. ὁ δὲ Ἀρκεσίλεως εἵπετο φεύγουσι·
[g] ἐς οὗ ἐν Λεύκωνί τε τῆς Λιβύης ἐγίνετο ἐπιδιώκων, καὶ
4 ἔδοξε τοῖσι Λίβυσι ἐπιθέσθαι οἱ. συμβαλόντες δὲ ἐνίκη-
σαν τοὺς Κυρηναίους [h] τοσοῦτο, ὥστε ἑπτακισχιλίους ὁπλί-
5 τας Κυρηναίων ἐνθαῦτα [i] πεσέειν. μετὰ δὲ τὸ [k] τρῶμα
τοῦτο, Ἀρκεσίλεων μὲν κάμνοντά τε καὶ [l] φάρμακον πε-
πωκότα ὁ ἀδελφεὸς [m] Λέαρχος ἀποπνίγει· Λέαρχον δὲ

Arcesilaus II. regnat circiter ab a. 560: discidium fraternum: urbs Barce: Libyum victoria: mortem Arcesilai a Learcho fratre suffocati ulciscitur Eryxo uxor.

[k] πειρώμενοι F.
[l] Sic P.K.F. Par. Vulgo οἱ om.
[m] Sic S. αὐτέων vulgo.

160.

[a] Sic S. Βάττου P.K.V.F.
[b] πάϊς γίνεται F.S.
[c] Ἀρκεσίλεως V.F. Ἀρκεσίλεος S.K.M.P. Ἀρκεσίλαος Ald.
[d] οἴχοιντο d.
[e] ἀπίστασαν S.V.
[f] ὁ Ἀρκεσ. F. Ἀρκεσίλεος S. et sic in seqq.
[g] Sic M.S.P. ἐσοῦ F. ἐσὸ K. ἐς ὃ Ald. V.
[h] τοσοῦτον S.V.
[i] πεσεῖν F.
[k] στρῶμα F.
[l] φάρμακον om. S. qui habet πεπτωκότα.
[m] Λέαρχος S.V. Vall. et mox Λέαρχον. Olim Ἀλίαρχος et Ἀλίαρχον. Κλέαρχος et Κλέαρχον d.

ἡ γυνὴ [n]ἡ Ἀρκεσίλεω δόλῳ κτείνει, τῇ οὔνομα ἦν Ἐρυξώ.
161 Διεδέξατο δὲ τὴν βασιληΐην [a]τοῦ Ἀρκεσίλεω ὁ παῖς Βάτ-
2 τος, [b]χωλός τε ἐών, καὶ οὐκ ἀρτίπους. οἱ δὲ Κυρηναῖοι
πρὸς τὴν καταλαβοῦσαν συμφορὴν ἔπεμπον ἐς Δελφοὺς,
ἐπειρησομένους, ὅν τινα τρόπον καταστησάμενοι κάλλιστα
3 ἂν οἰκέοιεν. ἡ δὲ Πυθίη ἐκέλευε [c]ἐκ Μαντινέης τῆς Ἀρκά-
δων καταρτιστῆρα ἀγαγέσθαι. αἴτεον ὦν οἱ Κυρηναῖοι,
καὶ οἱ Μαντινέες ἔδοσαν ἄνδρα τῶν ἀστῶν δοκιμώτατον,
4 τῷ οὔνομα ἦν Δημώναξ. Οὗτος [d]ὦν ὡνὴρ ἀπικόμενος ἐς
τὴν Κυρήνην, καὶ μαθὼν ἕκαστα, τοῦτο μὲν, τριφύλους
ἐποίησέ σφεας, τῇδε διαθείς· Θηραίων μὲν [e]γὰρ καὶ τῶν
περιοίκων μίαν μοῖραν ἐποίησε· ἄλλην δὲ, Πελοποννησίων
καὶ Κρητῶν· τρίτην δὲ, νησιωτέων πάντων· [f]τοῦτο δὲ, τῷ
βασιλέϊ Βάττῳ τεμένεα ἐξελὼν, καὶ [g]ἱρωσύνας, τὰ ἄλλα
πάντα, τὰ πρότερον εἶχον οἱ βασιλέες, ἐς μέσον τῷ δήμῳ
ἔθηκε.

Succedit circiter a. 550 Battus III. debilis pedibus: Cyrenæi oraculo jussi petunt a Mantinen- 353 sibus correctorem suæ civitatis: datus Demonax: quomodo is eam correxerit.

162 Ἐπὶ [a]μὲν δὴ τούτου τοῦ [b]Βάττεω οὕτω διετέλεε ἐόν-
τα· ἐπὶ δὲ τοῦ τούτου παιδὸς Ἀρκεσίλεω πολλὴ ταραχὴ
2 περὶ τῶν τιμέων ἐγένετο. Ἀρκεσίλεως γὰρ, ὁ Βάττου τε
τοῦ χωλοῦ καὶ Φερετίμης, οὐκ ἔφη ἀνέξεσθαι κατὰ τὰ ὁ
Μαντινεὺς Δημώναξ ἔταξε, ἀλλὰ ἀπαίτεε τὰ τῶν προ-
3 γόνων γέρεα. ἐνθεῦτεν στασιάζων ἑσσώθη, καὶ ἔφυγε ἐς
Σάμον· ἡ δὲ μήτηρ οἱ ἐς Σαλαμῖνα τῆς Κύπρου ἔφυγε.
4 Τῆς δὲ Σαλαμῖνος τοῦτον τὸν [c]χρόνον ἐπεκράτεε Εὐέλθων,

Arcesilaus III. rex circa a. 530, non ferens instituta Demonactis, expulsus profugit in Samum; Pheretima ejus mater, in Cyprum: Euelthon Salaminis

[n] Sic S.V.F. ἡ om. al. Hic S. consentit in Ἀρκεσίλεω.

161.

[a] Sic M.P.K.F. Paris. τούτου τοῦ Ἀρκ. vulgo. τούτου παῖς ἀρκεσίλεω S.

[b] χωλός τε M. P. K. F. τε om. S.a.d. et al.

[c] Sic S.P.K.V. ἐκ τῆς M. al.

[d] ὦν om. F.b.

[e] γὰρ om. S.V.d. Mox μοῖραν S. pro μοίρην omisso μίαν.

[f] τούτῳ δὲ b.

[g] ἱερωσύνας S. qui mox βασιλέες pro βασιλῆες.

162.

[a] μὲν δὲ b.

[b] Βάττου S.P.K.F. Mox τούτου τοῦ π. S.

[c] χῶρον F.

rex, a Pheretima exercitum rogatus, non dat.

ὃς τὸ ἐν Δελφοῖσι θυμιητήριον, ἐὸν ἀξιοθέητον, ἀνέθηκε, τὸ
5 ἐν τῷ Κορινθίων θησαυρῷ κέεται. ἀπικομένη δὲ [d] παρὰ
τοῦτον ἡ Φερετίμη, ἐδέετο στρατιῆς, ἣ κατάξει σφέας ἐς
τὴν Κυρήνην. [e] ὁ δέ γε Εὐέλθων πᾶν μᾶλλον ἢ στρατιήν
6 οἱ ἐδίδου. ἡ δὲ, λαμβάνουσα τὸ διδόμενον, "καλὸν μὲν, 354
ἔφη, καὶ τοῦτο εἶναι, [f] κάλλιον δὲ ἐκεῖνο, τὸ δοῦναί οἱ δε-
7 ομένῃ στρατιήν." [g] τοῦτο γὰρ ἐπὶ παντὶ τῷ διδομένῳ ἔλε-
γε. [h] Τελευταῖόν οἱ ἐξέπεμψε δῶρον ὁ Εὐέλθων ἄτρακτον
χρύσεον καὶ ἠλακάτην, [i] προσῆν δὲ καὶ εἴριον. [k] εἰπάσης
[l] δὲ αὖτις τῆς Φερετίμης τὠυτὸ ἔπος, ὁ Εὐέλθων ἔφη,
"τοιούτοισι γυναῖκας δωρέεσθαι, ἀλλ' οὐ στρατιῇ."

163

Arcesilaus, exercitu Sami coacto, Delphis Apollinem consulit.

Ὁ δὲ Ἀρκεσίλεως, τοῦτον τὸν χρόνον ἐὼν ἐν Σάμῳ, συνήγειρε
πάντα ἄνδρα ἐπὶ γῆς ἀναδασμῷ. συλλεγομένου δὲ στρα-
τοῦ πολλοῦ, ἐστάλη ἐς Δελφοὺς Ἀρκεσίλεως, χρησόμενος
2 τῷ χρηστηρίῳ περὶ κατόδου. ἡ δὲ [a] Πυθίη οἱ χρᾷ τάδε·
"Ἐπὶ μὲν [b] τέσσερας Βάττους, καὶ Ἀρκεσίλεως τέσσε-
"ρας, ὀκτὼ [c] ἀνδρῶν γενεὰς, διδοῖ ὑμῖν Λοξίης βασιλεύ-
"ειν Κυρήνης· πλέον μέντοι τούτου οὐδὲ πειρᾶσθαι παραι-
3 "νέει. Σὺ μέντοι ἥσυχος εἶναι, κατελθὼν ἐς τὴν σεωυτοῦ.
"ἢν δὲ τὴν κάμινον [d] εὕρῃς [e] πλέην ἀμφορέων, μὴ ἐξοπτή-
4 "σῃς τοὺς ἀμφορέας, ἀλλ' ἀπόπεμπε κατ' οὖρον. [f] εἰ

[d] Sic S.V.P.K. Vall. F. Paris. παρὰ τοῦτο vulgo.
[e] Sic S. γε om. plerique alii. Mox οἱ om. S.
[f] Alludit Eustath. Il. p. 657, 40=523, 14.
[g] τοῦτο ἐπὶ παντὶ γὰρ τῷ διδ. F.S.
[h] τελευτῶν f.
[i] Sic M.P.K.F. προσῆν δέ οἱ S. al.
[k] Sic M.P.K.F.f. ἐπειπάσης S. alii.
[l] καὶ αὖτις f. qui mox τούτοισι.

163.

[a] Sic M.S.V.P.F. οἱ om. al. Supra ὁ Ἀρκεσίλεος S.
[b] τέσσαρας F.
[c] ἀνδρῶν om. S.V. Vide II. 142.
[d] εὑρέῃς S.
[e] πλέειν P.
[f] Sic S.a.P. Vulgo εἰ δὲ ἐξοπτήσῃς. Schæferus ἢν δὲ ἐξοπτήσῃς. cf. II. 13.

“ δὲ ἐξοπτήσεις τὴν κάμινον, μὴ [g] ἐσέλθῃς ἐς τὴν ἀμφίρ-
“ ρυτον· εἰ δὲ μὴ, [h] ἀποθανέαι καὶ αὐτὸς, καὶ ταῦρος ὁ
164 “ καλλιστεύων.” Ταῦτα ἡ Πυθίη Ἀρκεσίλεῳ χρᾷ. ὁ δὲ,
παραλαβὼν τοὺς ἐκ τῆς Σάμου, κατῆλθε ἐς τὴν Κυρήνην·
καὶ ἐπικρατήσας τῶν πρηγμάτων, τοῦ μαντηΐου οὐκ ἐμέ-
μνητο, ἀλλὰ δίκας τοὺς ἀντιστασιώτας αἴτεε τῆς ἑωυτοῦ
2 φυγῆς. τῶν δὲ οἱ μὲν τὸ παράπαν ἐκ τῆς χώρης ἀπαλ-
λάσσοντο, τοὺς δέ τινας χειρωσάμενος ὁ Ἀρκεσίλεως ἐς
3 Κύπρον ἀπέστειλε ἐπὶ διαφθορῇ. τούτους μέν νυν Κνίδιοι
ἀπενειχθέντας πρὸς [a] τὴν σφετέρην, ἐρρύσαντο, καὶ ἐς Θή-
ρην ἀπέστειλαν. ἑτέρους δέ τινας τῶν Κυρηναίων, ἐς πύρ-
γον μέγαν Ἀγλωμάχου καταφυγόντας ἰδιωτικὸν, ὕλην
4 περινήσας [b] ὁ Ἀρκεσίλεως ἐνέπρησε. Μαθὼν δὲ ἐπ᾽ ἐξερ-
γασμένοισι τὸ μαντήϊον ἐὸν τοῦτο, ὅτι μιν ἡ Πυθίη οὐκ ἔα
εὑρόντα ἐν τῇ καμίνῳ τοὺς ἀμφορέας ἐξοπτῆσαι, ἔργετο
[c] ἑκὼν [d] τῆς τῶν Κυρηναίων πόλιος, δειμαίνων τε τὸν κε-
χρημένον θάνατον, καὶ δοκέων [e] ἀμφίρρυτον τὴν Κυρήνην εἶ-
5 ναι. Εἶχε δὲ γυναῖκα συγγενέα ἑωυτοῦ, θυγατέρα δὲ
[f] τοῦ τῶν Βαρκαίων βασιλέος, τῷ οὔνομα ἦν [g] Ἀλαζίρ·
6 παρὰ τοῦτον ἀπικνέεται. καί μιν [h] Βαρκαῖοί τε ἄνδρες,
καὶ τῶν ἐκ Κυρήνης φυγάδων τινὲς, καταμαθόντες ἀγο-

Recuperato regno, adversarios ultus, vitandi fati causa exsulans Barcæ apud socerum, ibi cum eo interficitur.

[g] ἐσέλθῃς P. F. Paris. εἰσέλθῃς S. al.

[h] Sic S.F. cf. 9. Vulgo ἀποθανέεαι.

164.

[a] τὴν om. S. Mox καταφυγόντας Ἀγλωμάχου S.

[b] ὁ Ἀρκεσίλεως P.K.F. ὁ om. S. al. Ἀρκεσίλεος S.

[c] ἐκ F.b. quomodo Gronovius ediderat ex M. Et sic forte P. K.

[d] Sic M.F. τῶν om. Ald. S.a. et al.

[e] Rectius forsan τὴν ἀμφίρρυτον Κυρήνην εἶναι cf. 163. Schweigh.

[f] τῶν Βαρκαίων τοῦ βασιλέος a.F. S.

[g] Ἀλαζὶρ M.P. Vall. Ἀλιζὰρ K. Ἀλαζεὶρ S. Ἀλαζὴρ Ald. a.b.c. Ἀλαζὴ̀ρ F.

[h] Βαρκαῖοί γε K. F. qui cum M. mox om. καί.

ῥάζοντα, κτείνουσι· πρὸς δὲ, καὶ τὸν πενθερὸν αὐτοῦ [i] Ἀ- 355
7 λαζῖρα. Ἀρκεσίλεως μέν νυν, [k] εἴτε ἑκὼν εἴτε ἄκων
[l] ἁμαρτὼν τοῦ χρησμοῦ, ἐξέπλησε [m] μοῖραν τὴν ἑωυτοῦ.

165 Pheretima loco absentis filii regnum administrans, post ejus necem in Ægyptum confugit.

Ἡ δὲ μήτηρ Φερετίμη, τέως μὲν ὁ Ἀρκεσίλεως ἐν τῇ
Βάρκῃ διαιτᾶτο ἐξεργασμένος ἑωυτῷ κακὸν, ἡ δὲ εἶχε
[a] αὐτὴ τοῦ παιδὸς τὰ γέρεα [b] ἐν Κυρήνῃ, καὶ τἄλλα νεμο-
μένη, καὶ ἐν βουλῇ παρίζουσα· ἐπεί τε δὲ ἔμαθε ἐν τῇ
Βάρκῃ ἀποθανόντα οἱ τὸν παῖδα, φεύγουσα οἰχώκεε ἐς
2 Αἴγυπτον. ἦσαν γάρ οἱ ἐκ τοῦ Ἀρκεσίλεω εὐεργεσίαι ἐς
Καμβύσεα τὸν Κύρου πεποιημέναι· οὗτος γὰρ ἦν [c] ὁ Ἀρ-
κεσίλεως, ὃς Κυρήνην Καμβύσῃ ἔδωκε, καὶ [d] φόρον ἐτά-
3 ξατο. Ἀπικομένη δὲ [e] ἐς Αἴγυπτον ἡ Φερετίμη, [f] Ἀρυάν-
δεω ἱκέτις [g] ἕζετο, τιμωρῆσαι ἑωυτῇ κελεύουσα· προϊσχο-
μένη πρόφασιν, ὡς διὰ τὸν μηδισμὸν ὁ παῖς οἱ τέθνηκε.

166 Aryandes Ægypti prætor, a Cambyse constitutus: aurum Daricum et argentum Aryandicum.

Ὁ δὲ Ἀρυάνδης ἦν οὗτος τῆς Αἰγύπτου [a] ὕπαρχος ὑπὸ
Καμβύσεω [b] κατεστεώς· ὃς ὑστέρῳ χρόνῳ [c] τούτων [d] πα-
2 ρισεύμενος Δαρείῳ διεφθάρη. πυθόμενος γὰρ καὶ ἰδὼν
Δαρεῖον ἐπιθυμέοντα μνημόσυνον [e] ἑωυτοῦ λιπέσθαι, [f] τοῦτο
τὸ μὴ ἄλλῳ εἴη βασιλέϊ κατεργασμένον, [g] ἐμιμέετο τοῦ-
3 τον· [h] ἐς οὗ ἔλαβε τὸν μισθόν. Δαρεῖος μὲν γὰρ χρυσίον

[i] Ἀλαζῖρα P. Ἀλιζάρα M.K.F. Ἀλάζειρα S. Ἀλαζῆρα Ald. b. Ἀλιζῆρα a.

[k] εἴτε ἑκὼν om. S.

[l] Sic S.M.P.K.F. Paris. ἐξαμαρτ. al.

[m] μοίρην] μοῖραν F.S.

165.

[a] αὔτη S. Supra διῃτᾶτο S.

[b] ἐν Κυρ. κ. τ. om. S. Infra ἐς τὸν κύρου καμβύσεα S.

[c] Sic P.V.S.F. ὁ om. edd.

[d] Sic M.S.V.P.K.F. φόρους c. et al.

[e] ἐς τὴν Αἴγ. F.

[f] Ἀριάνδεω S. Vall. et sic S. in seqq.

[g] Sic M. P. K. F. Paris. vid. 145. ἵζετο S. al.

166.

[a] ἵππαρχος f.

[b] κατεσταὼς f.

[c] τοῦτον Ald.

[d] παρισεύμενος S.V. παρισούμενος vulgo.

[e] Sic S.V. ἑωυτῷ vulgo.

[f] τοῦτο om. f. Tum βασιλεῖ εἴη S.

[g] ἐμιέατο τοῦτο S.

[h] ἐς οὗ M.P.f.F. ἐσὸ K. ἐς ὃ S. al. Mox ὁ Δαρεῖος S. et infra ἀφεψήσας.

καθαρώτατον ἀπεψήσας ἐς τὸ δυνατώτατον, νόμισμα
[i] ἐκόψατο· Ἀρυάνδης δὲ ἄρχων [k] Αἰγύπτου, [l] ἀργύριον
τὠυτὸ τοῦτο ἐποίεε· καὶ νῦν [m] ἐστὶ ἀργύριον καθαρώτα-
4 τον τὸ Ἀρυανδικόν. μαθὼν δὲ Δαρεῖός μιν ταῦτα ποι-
εῦντα, αἰτίην [n] οἱ ἄλλην ἐπενείκας, ὥς οἱ [o] ἐπανιστέαιτο,
167 ἀπέκτεινε. Τότε δὲ οὗτος ὁ Ἀρυάνδης κατοικτείρας Φερε-
τίμην, διδοῖ αὐτῇ στρατὸν [a] τὸν ἐξ Αἰγύπτου ἅπαντα, καὶ
τὸν πεζὸν καὶ τὸν ναυτικόν· στρατηγὸν δὲ [b] τοῦ μὲν πε-
ζοῦ Ἄμασιν ἀπέδεξε, ἄνδρα Μαράφιον· τοῦ δὲ ναυτικοῦ
2 [c] Βάδρην, ἐόντα Πασαργάδην γένος. [d] πρὶν δὲ ἢ ἀποστεῖ-
λαι τὴν στρατιήν, ὁ Ἀρυάνδης πέμψας ἐς τὴν Βάρκην
3 κήρυκα, ἐπυνθάνετο τίς εἴη ὁ Ἀρκεσίλεων ἀποκτείνας. οἱ
δὲ Βαρκαῖοι [e] αὐτοὶ [f] ὑποδεκέατο πάντες· πολλά τε γὰρ
καὶ κακὰ πάσχειν ὑπ' αὐτοῦ. πυθόμενος δὲ ταῦτα ὁ
Ἀρυάνδης, οὕτω δὴ τὴν στρατιὴν [g] ἀπέστειλε ἅμα τῇ Φε-
4 ρετίμῃ. Αὕτη μέν νυν αἰτίη πρόσχημα τοῦ λόγου ἐγίνετο· 356
[h] ἀπεπέμπετο δὲ ἡ στρατιή, ὡς ἐμοὶ [i] δοκέειν, ἐπὶ [k] Λι-
5 βύων καταστροφῇ. Λιβύων γὰρ δὴ ἔθνεα πολλὰ καὶ
παντοῖά [l] ἐστι· καὶ τὰ μὲν αὐτῶν ὀλίγα βασιλέος ἦν
ὑπήκοα, τὰ δὲ πλέω [m] ἐφρόντιζε Δαρείου οὐδέν.

Aryandes Pheretimæ dat copias omnes pedestres et nauticas, ducibus Amaside Maraphio et Badre Pasargada: consilium Aryandis videri fuisse, ut subigeret Libyam.

[i] ἀπεκόψ. b.
[k] Αἰγύπτοιο f.
[l] ἀργύρεον b.
[m] ἐστὶ S.V. Vall. f.F. ἔτι al.
[n] οἱ om. S.
[o] ἐπανιστέαιτο P. ἐπανιστέατο M. S. K. F. f. Paris. ἐπανισταίατο edd. vett. ἐπανίσταιτο malebat Schweighæuser.

167.

[a] τὸν om. S.V.F.
[b] μὲν τοῦ S.V. absque δὲ.
[c] Μάρδην S. Μάδρην V. *Mandrem* Vall. Idem homo Βάρης infr. 203. ubi Μάνδρης S. *Badres* Valla.
[d] πρὶν δὲ ἢ V.M.P.K.F.S. ἢ om. al. Mox ἀριάνδης absque ὁ S. ὁ item om. Ald.
[e] Sic S.V.P.M. Vall. F. Paris. αὐτὸν Ald. et vulg.
[f] Sic S.V. Paris. ὑπεδέκοντο M. P.K.F. ὑπεδεκέατο Ald.
[g] Sic P.F. ἀπέστελλεν S. vulgo.
[h] ἐπέμπετο S.V.
[i] Sic M.P.K.F. δοκέει S.a.c. et vulgo.
[k] Λιβύης P.F.d. Mox δὴ om. S.
[l] εἰσὶ F. sed ἐστι suprasc. m. pr.
[m] Sic Ald. S.V. Vall. ἐφρ. βασιλέος Δαρ. Steph. M.F.

168 Οἰκέουσι δὲ [a] κατὰ τάδε Λίβυες. Ἀπ' Αἰγύπτου [b] ἀρξάμενοι, πρῶτοι [c] Ἀδυρμαχίδαι Λιβύων κατοίκηνται· οἳ νόμοισι μὲν τὰ πλέω Αἰγυπτίοισι χρέωνται, [d] ἐσθῆτα 2 δὲ φορέουσι [e] οἵην περ οἱ ἄλλοι Λίβυες. αἱ δὲ γυναῖκες αὐτῶν [f] ψέλιον περὶ ἑκατέρῃ τῶν κνημέων φορέουσι χάλκεον· τὰς κεφαλὰς δὲ κομῶσαι, τοὺς φθεῖρας ἐπεὰν λάβωσι τοὺς [g] ἑωυτῆς ἑκάστη ἀντιδάκνει, καὶ οὕτω ῥίπτει. 3 οὗτοι δὲ μοῦνοι Λιβύων τοῦτο ἐργάζονται· καὶ τῷ βασιλέϊ μοῦνοι τὰς παρθένους μελλούσας συνοικέειν ἐπιδεικνύουσι· ἡ δὲ ἂν τῷ βασιλέϊ ἀρεστὴ γένηται, ὑπὸ τούτου [h] διαπαρθενεύεται. 4 παρήκουσι δὲ οὗτοι οἱ Ἀδυρμαχίδαι ἀπ' Αἰγύπτου μέχρι λιμένος, τῷ οὔνομα [i] Πλυνός ἐστι.

Libyæ populorum descriptio: Adyrmachidæ, primi ab Ægypto usque ad portum Plynum.

169 Τούτων δὲ ἔχονται [a] Γιλιγάμμαι, νεμόμενοι [b] τὴν πρὸς ἑσπέρην 2 χώρην, μέχρι Ἀφροδισιάδος νήσου. ἐν δὲ τῷ μεταξὺ [c] τούτου χώρῳ ἥ τε [d] Πλατέα νῆσος ἐπικέεται, τὴν ἔκτισαν [e] Κυρηναῖοι· καὶ ἐν τῇ ἠπείρῳ [f] Μενελάϊος λιμήν ἐστι, καὶ Ἄζιρις, τὴν οἱ Κυρηναῖοι οἴκεον· καὶ τὸ σίλφιον ἄρ- 3 χεται [g] ἀπὸ τούτου. παρήκει δὲ ἀπὸ Πλατέης νήσου μέχρι τοῦ στόματος τῆς Σύρτιος τὸ σίλφιον. νόμοισι δὲ

170 χρέωνται οὗτοι παραπλησίοισι τοῖσι ἑτέροισι. Γιλιγαμ-

Giligammæ, a portu Plyno usque ad insulam Aphrodisiadem: Platea insula, Menelai portus et Aziris: nascitur Silphium a Platea usque ad os Syrtis.

168.

[a] κατὰ τα S.

[b] ἀρξάμενοι V.P.K.F. ἀρχόμενοι a. Ald. et al.

[c] Ἀδυρμαγίδαι hic et paullo post F. in contextu. Ἀδαρχίδαι Steph. Byz.

[d] ἐσθ. τε. F.

[e] οἵην περ M.V.S.P.K.b.d. περ om. Ald. A.B

[f] Sic M.S.V.P.K.F.b.d. ψέλλιον a.c. et al. cf. III. 20. Mox περὶ ἑκάτερον S.

[g] Sic S.V.P.K.F. Paris. ἑωυτοὺς olim.

[h] Hinc Pollux III. 42.

[i] Sic S.V. Vall. a.c. Πλύνοι Scylax p. 106. Πλύνον, πόλιν Λιβύης Tzetzes Lycophr. 149. Πλεῦνος F. al. cum edd. vett.

169.

[a] Τιλιγάμμαι P.M.K. qui mox Γιλιγαμμέων, et sic fere F. Γηγάμαι S. Γιγάμαι a.b.d. Ald. et edd. Γιλιγάμβαι Steph. Byz. ex h. l.

[b] τὸ π. ἑ. V. S. P. K. F. Tum μέχρις ἀφροδησιάδος S.

[c] Sic M.P.K.F. χώρῳ τούτῳ S. a.c. Ald.

[d] Πλάταια S.V.a. cf. 151. 156.

[e] οἱ Κυρ. F.

[f] Μενέλεος S. Μενέλαος K.P.F.a.

[g] ἐκ τούτου S.V.

μέων δὲ ἔχονται τὸ πρὸς ἑσπέρης [a] Ἀσβύσται. [b] οὗτοι τὸ
ὑπὲρ Κυρήνης οἰκέουσι, ἐπὶ θάλασσαν δὲ οὐ κατήκουσι
Ἀσβύσται· τὸ γὰρ [c] παρὰ θάλασσαν Κυρηναῖοι νέμον-
2 ται. τεθριπποβάται δὲ οὐκ ἥκιστα, ἀλλὰ μάλιστα Λι-
βύων εἰσί. νόμους δὲ τοὺς πλεῦνας μιμέεσθαι ἐπιτηδεύ-
171 ουσι τοὺς Κυρηναίων. Ἀσβυστέων δὲ ἔχονται τὸ πρὸς 357
ἑσπέρης [a] Αὐσχίσαι. οὗτοι ὑπὲρ Βάρκης οἰκέουσι, κατή-
2 κοντες ἐπὶ θάλασσαν κατ' Εὐεσπερίδας. Αὐσχισέων δὲ
κατὰ μέσον τῆς χώρης οἰκέουσι [b] Κάβαλες, ὀλίγον ἔθνος,
κατήκοντες ἐπὶ θάλασσαν κατὰ [c] Ταύχειρα πόλιν τῆς
Βαρκαίης· νόμοισι δὲ τοῖσι αὐτοῖσι χρέωνται τοῖσι καὶ
172 [d] οἱ ὑπὲρ Κυρήνης. [a] Αὐσχισέων δὲ [b] τούτων τὸ πρὸς
ἑσπέρης ἔχονται [c] Νασαμῶνες, ἔθνος ἐὸν πολλόν· οἳ τὸ
θέρος [d] καταλείποντες ἐπὶ τῇ θαλάσσῃ τὰ πρόβατα, ἀνα-
βαίνουσι ἐς [e] Αὔγιλα χῶρον, ὀπωριεῦντες τοὺς φοίνικας·
οἳ δὲ πολλοὶ καὶ ἀμφιλαφέες πεφύκασι, πάντες ἐόντες
2 καρποφόροι. τοὺς δὲ [f] ἀττελέβους ἐπεὰν θηρεύσωσι, αὐή-
ναντες πρὸς τὸν ἥλιον, καταλέουσι, καὶ ἔπειτα [g] ἐπὶ γάλα

Asbystæ, supra Cyrenen, ad austrum.

Auschisæ, supra Barcam, attingentes mare ad Euesperidas: Cabales, in media regione Auschisarum, ad mare circa Tauchira oppidum.

Nasamones, Auschisis ad occasum finitimi.

170.

[a] Sic Ald. S. et fortasse Paris. Vid. Holstenius ad Steph. Byz. Lycophr. vers. 895. Ἀσύνται et Ἀσύντεων M.K. Ἀσβύται et Ασβυτέων P. Vall. In F. dubites scriptum Ἀσβύται an Ἀσύνται. Literarum βυ et υν nexus valde sunt affines, et facile inter se commutari possunt. Vide Bastii Comment. Palæogr. p. 709. In pr. γημαμέων S. qui ἑσπέρην pro ἑσπέρης.

[b] Sic Ald. S. οὗτοί τοι ὑ. V. Wessel. nec τὸ nec τοι habent M.P.F.a.c. Mox οἱ S. pro οὗ.

[c] παρὰ τὴν θ. S.V.

171.

[a] Αὔσχισοι V. Vall. αὔχισοι S. Αὐσχισοὶ d. Αὐχίσαι F. h. l. sed mox Αὐσχισέων. Αὐσχίται Steph. Byz. Vid. Cuperus Syll. Epist. Burman. II. p. 690. Wesseling. ad Diodor. III. 49. Mox αὐχίσεων S.

[b] Βάκαλες K.F.

[c] Ταύχειραν b.

172.

[a] Αὐχισέων S.

[b] τουτέων] τούτων S.V.K.F.

[c] Sic S. cf. Eustath. Dionys. 209. II. 32. Νασάμωνες F. a. c. Ald.

[d] καταλιπόντες S.V.

[e] Sic M.K.P. Vall. F. Paris. Αἴγιλα S. vulg. Vide Wesselingii Dissert. Herod. p. 14.

[f] ἀττελάβους S. V. d. Eustath. Dionys. 209.

[g] ἐπὶ γάλα S.V. ἐπὶ om. al.

3 ἐπιπάσσοντες, πίνουσι. γυναῖκας δὲ νομίζοντες πολλὰς
ἔχειν ἕκαστος, ἐπίκοινον αὐτέων [h] τὴν μίξιν ποιεῦνται·
τρόπῳ παραπλησίῳ τῷ καὶ Μασσαγέται, ἐπεὰν [i] σκί-
4 πωνα προστήσωνται, μίσγονται. πρῶτον δὲ γαμέοντος
Νασαμῶνος ἀνδρὸς, νόμος ἐστὶ τὴν νύμφην νυκτὶ τῇ πρώ-
τῃ διὰ πάντων διεξελθεῖν τῶν δαιτυμόνων μισγομένην·
τῶν δὲ ὡς ἕκαστός οἱ μιχθῇ, διδοῖ δῶρον τὸ ἂν ἔχῃ φερό-
5 μενος ἐξ οἴκου. [k] Ὁρκίοισι δὲ καὶ μαντικῇ χρέωνται
τοιῇδε. ὀμνύουσι μὲν τοὺς [l] παρὰ σφίσι ἄνδρας δικαιοτά-
τους καὶ ἀρίστους λεγομένους γενέσθαι, τούτους, τῶν
6 τύμβων ἁπτόμενοι. Μαντεύονται δὲ ἐπὶ τῶν προγόνων 358
[m] φοιτέοντες τὰ σήματα, καὶ κατευξάμενοι [n] ἐπικατα-
κοιμέωνται· τὸ δ' ἂν [o] ἴδῃ ἐν τῇ ὄψει ἐνύπνιον, [p] τούτῳ
7 χρᾶται. Πίστισι δὲ [q] τοιῇσίδε χρέωνται. ἐκ τῆς χειρὸς
διδοῖ [r] πιεῖν, καὶ αὐτὸς ἐκ τῆς τοῦ ἑτέρου πίνει· ἢν δὲ μὴ
ἔχωσι ὑγρὸν μηδὲν, οἱ δὲ τῆς [s] χαμάθεν σποδοῦ λαβόντες
λείχουσι.

173 Psylli, intra Syrtin: horum terra, ipsis exstinctis, Nasamonum facta.

Νασαμῶσι δὲ προσόμουροί εἰσι [a] Ψύλλοι. οὗτοι ἐξα-
πολώλασι τρόπῳ τοιῷδε. ὁ νότος σφι πνέων ἄνεμος τὰ
ἔλυτρα τῶν ὑδάτων [b] ἐξηύηνε· ἡ δὲ χώρη σφι πᾶσα ἐν-
2 τὸς ἐοῦσα τῆς Σύρτιος, ἦν ἄνυδρος. οἱ δὲ, βουλευσάμενοι,
κοινῷ λόγῳ ἐστρατεύοντο ἐπὶ τὸν νότον· (λέγω δὲ ταῦτα

[h] τὴν om. K.P. Mox καὶ τρόπῳ παραπ. Schæferus.
[i] Sic M.K.P.V. κίπωνα F. σκίμπωνα S. al.
[k] Sic M.K.P.F. Paris. ὅρκοισι S.V. Ald.
[l] παρά σφιν S.V.
[m] φοιτέωντες F.
[n] Sic Ald. A.B.V. ἐπικατακοιμῶνται S. ἐπικοιμῶνται M. P. K. ἐπικοιμέωνται F. ἐπικοιμέονται b.
[o] Sic M.S.V.P.K.F. Paris. ἴδοιεν τῇ Ald. Steph. cf. Eustath. Dionys. 209.
[p] Sic S.P.V.F.a.b.d. τούτῳ χρῶνται Wessel. et al.
[q] τοιῇσι δε P.K. τοιῇσι F. et al. τοίῃσι S. τοίῃσι Ald.
[r] ποιεῖν S. Mox οὐδὲν pro μηδὲν S.
[s] Sic M.P.K.F. Paris. χαμόθεν al. cf. II. 125. χαμάσθεν S.

173.

[a] Cf. Steph. Byz. Suid. et Phot. Pro προσόμουροι F. habet προσόμοροι, Steph. Byz. ὅμοροι.
[b] ἐξηῦνεν S. Mox ἅπασα F.

τὰ λέγουσι Λίβυες·) καὶ ἐπεί τε ἐγίνοντο ἐν τῇ ψάμμῳ,
3 πνεύσας ὁ νότος κατέχωσέ σφεας. ἐξαπολομένων δὲ τού-
174 των, ἔχουσι τὴν χώρην οἱ Νασαμῶνες. Τούτων δὲ κατύ-
περθε, πρὸς νότον ἄνεμον, ἐν τῇ θηριώδεϊ οἰκέουσι [a] Γαρά-
μαντες· οἳ [b] πάντα ἄνθρωπον φεύγουσι, καὶ παντὸς ὁμι-
λίην· καὶ οὔτε [c] ὅπλον ἐκτέαται ἀρήϊον οὐδέν, οὔτε [d] ἀμύ-
175 νεσθαι ἐπιστέαται. Οὗτοι μὲν δὴ κατύπερθε [a] οἰκέουσι
Νασαμώνων· τὸ δὲ παρὰ τὴν θάλασσαν ἔχονται τὸ πρὸς
ἑσπέρης [b] Μάκαι· οἳ λόφους κείρονται, τὸ μὲν μέσον τῶν
τριχῶν ἀνιέντες αὔξεσθαι, τὰ δὲ ἔνθεν [c] καὶ ἔνθεν [d] κείρον-
τες ἐν χροΐ· ἐς δὲ τὸν πόλεμον στρουθῶν καταγαίων
2 δορὰς [e] φορέουσι προβλήματα. διὰ δὲ αὐτῶν Κίνυψ πο-
ταμὸς ῥέων [f] ἐκ λόφου [g] καλευμένου [h] Χαρίτων, ἐς θάλασ-
3 σαν ἐκδιδοῖ. ὁ δὲ λόφος οὗτος ὁ Χαρίτων δασύς ἴδῃσί
ἐστι, ἐούσης τῆς ἄλλης τῆς προκαταλεχθείσης Λιβύης 359
ψιλῆς. ἀπὸ θαλάσσης δὲ ἐς αὐτὸν στάδιοι διηκόσιοί
176 εἰσι. Μακέων δὲ [a] τούτων ἐχόμενοι [b] Γίνδανές εἰσι· τῶν
αἱ γυναῖκες περισφύρια δερμάτων πολλὰ ἑκάστη φορέει,
κατὰ τοιόνδε τι, ὡς λέγεται· κατ' ἄνδρα ἕκαστον μιχ-
θέντα περισφύριον [c] περιδέεται· ἣ δ' ἂν πλεῖστα ἔχῃ,
αὕτη ἀρίστη [d] δέδοκται εἶναι, ὡς ὑπὸ πλείστων ἀνδρῶν

Nasamonibus confines, ad austrum, in regione belluosa, Garamantes. (Gamphasantes.)

Ad occasum, in maritimo tractu, Macæ: flumen Cinyps, et Collis Gratiarum, distans a mari stadia cc.

Gindanes, juxta Macas.

174.
[a] Γαράβαντες F.
[b] πάντες—πάντες S.V. Vulg. habent Steph. Byz. in Γαράμαντες, Eustath. Dionys. 217.
[c] Sic Ald. S.F. et plerique alii: ὅπλων Steph. et seqq.
[d] ἀμύνασθαι V.

175.
[a] οἰκέουσι om. S. qui ἀσσαμώνων. In superioribus item S. cum σσ.
[b] Μάλκαι c. ἑσπέρην S.
[c] καὶ ἔνθεν om. S.
[d] Sic S.M.P.K.F. κείρονται Ald. A.B.V.
[e] Sic Ald. S.V.A.B. φέρουσι M.P.K.F.
[f] ἀπὸ λόφου S.
[g] Sic S.V.K.F. καλεομένου al. καλουμένου Ald.
[h] Χαρίτου S. qui mox ὁ Χαρίτος.

176.
[a] τουτέων K. Vulgo τούτων cum S.
[b] Sic Ald. F. Paris. Γινδᾶνες K. Steph. Byz. Γινδάνες S.
[c] δέεται V.a. δέδεται S.
[d] δέδοκεν S. Supra ἔχοι Ald.

177 Lotophagi, in maritima ora Gindanum.

φιληθεῖσα. [a] Ἀκτὴν δὲ προέχουσαν ἐς τὸν πόντον τούτων
τῶν Γινδάνων νέμονται Λωτοφάγοι· οἳ τὸν καρπὸν μοῦ-
2 νον τοῦ λωτοῦ τρώγοντες ζώουσι. ὁ δὲ τοῦ λωτοῦ καρπός
ἐστι μέγαθος [b] ὅσον τε τῆς [c] σχίνου· [d] γλυκύτητα δὲ, τοῦ
φοίνικος τῷ καρπῷ προσείκελος. ποιεῦνται δὲ ἐκ τοῦ
καρποῦ τούτου οἱ Λωτοφάγοι καὶ οἶνον.

178 Machlyes, a Lotophagis ad Tritonem fluvium: palus Tritonis, et insula Phla.

Λωτοφάγων δὲ τὸ παρὰ θάλασσαν ἔχονται Μάχλυες,
[a] τῷ λωτῷ μὲν καὶ οὗτοι χρεώμενοι, ἀτὰρ ἧσσόν γε τῶν
2 πρότερον λεχθέντων. κατήκουσι δὲ ἐπὶ ποταμὸν μέγαν,
τῷ οὔνομα Τρίτων ἐστί. [b] ἐκδιδοῖ δὲ οὗτος ἐς λίμνην με-
γάλην Τριτωνίδα· ἐν δὲ αὐτῇ νῆσος ἔνι, τῇ οὔνομα Φλά.
3 ταύτην δὲ τὴν νῆσον [c] Λακεδαιμονίοισί φασι [d] λόγιον εἶναι
κτίσαι.

179 Iason ante iter Colchicum Delphos navigans, aquilone abreptus in Libyam et in brevia paludis Tritonidis, exeundi rationem doctus a Tritone pretio tripodis ærei: fabula de hoc tripode.

Ἔστι δὲ καὶ ὅδε λόγος λεγόμενος· Ἰήσονα,
ἐπεί τέ οἱ ἐξεργάσθη ὑπὸ τῷ Πηλίῳ ἡ Ἀργὼ, [a] ἐσθέμενον
ἐς αὐτὴν ἄλλην τε ἑκατόμβην, καὶ δὴ καὶ τρίποδα χάλ-
κεον, περιπλώειν Πελοπόννησον, βουλόμενον ἐς Δελφοὺς
ἀπικέσθαι· καί μιν, ὡς πλέοντα γενέσθαι κατὰ Μαλέην,
ὑπολαβεῖν ἄνεμον [b] βορῆν, καὶ ἀποφέρειν πρὸς τὴν Λι-
βύην· πρὶν δὲ κατιδέσθαι γῆν, ἐν τοῖσι [c] βράχεσι γενέσθαι
2 λίμνης τῆς Τριτωνίδος. καί οἱ [d] ἀπορέοντι τὴν ἐξαγωγὴν
λόγος ἐστὶ φανῆναι Τρίτωνα, καὶ κελεύειν τὸν Ἰήσονα
ἑωυτῷ δοῦναι τὸν τρίποδα· φάμενόν σφι καὶ τὸν πόρον
3 δέξειν, καὶ ἀπήμονας ἀποστελέειν. πειθομένου δὲ τοῦ

177.

[a] Ἀκτὶν δὲ προσέχ. S.

[b] Sic M.K.P.S.F. Paris. Vulg. ὅσον τὸ τῆς.

[c] σχοίνου d.S.

[d] γλυκύτατος Eustath. Od. p. 1616, 47=337, 32. ubi ὁμοίως pro προσείκελος.

178.

[a] Sic M.K.P.F. τῷ om. Ald. S. et al.

[b] Citat Eustath. Dionys. 267. Steph. Byz. v. Φίλα. καὶ ἐκδιδοῖ δὲ F.

[c] Λακεδαιμόνιοι b.

[d] λόγον S.V. Vall.

179.

[a] ἐσθέμενος F.

[b] βορῆν K. βορᾶν F. βορέην S. al.

[c] τράχεσι et mox τραχέων S.V. Vall. Wess. Atqui mox βραχέων S.

[d] ἀπορρέοντι P. Mox δείξειν S. Ald. Supra φάμενος Ald.

Ἰήσονος, οὕτω δὴ τόν τε διέκπλοον τῶν βραχέων δεικνύναι
τὸν Τρίτωνά σφι, καὶ τὸν τρίποδα θεῖναι ἐν τῷ ἑωυτοῦ
ἱρῷ· ἐπιθεσπίσαντά τε τῷ τρίποδι, καὶ τοῖσι σὺν Ἰήσονι
[e] σημήναντα τὸν πάντα λόγον, ὡς "ἐπεὰν τὸν τρίποδα
"κομίσηται [f] τῶν ἐκγόνων τις τῶν ἐν τῇ Ἀργοῖ συμ-
"πλεόντων, τότε ἑκατὸν πόλιας [g] οἰκῆσαι περὶ τὴν Τρι- 360
"τωνίδα λίμνην Ἑλληνίδας πᾶσαν εἶναι ἀνάγκην."
4 ταῦτα ἀκούσαντας τοὺς ἐπιχωρίους τῶν Λιβύων, κρύψαι
180 τὸν τρίποδα. Τούτων δὲ ἔχονται τῶν Μαχλύων [a] Αὐσεῖς.
οὗτοι δὲ καὶ οἱ Μάχλυες πέριξ τὴν Τριτωνίδα λίμνην
2 οἰκέουσι· τὸ μέσον δέ σφι οὐρίζει [b] ὁ Τρίτων. καὶ οἱ μὲν
Μάχλυες τὰ ὀπίσω [c] κομέουσι τῆς κεφαλῆς· οἱ δὲ Αὐ-
3 σεῖς, τὰ ἔμπροσθε. Ὁρτῇ δὲ ἐνιαυσίῃ Ἀθηναίης αἱ παρ-
θένοι αὐτῶν δίχα διαστᾶσαι μάχονται πρὸς ἀλλήλας
λίθοισί τε καὶ ξύλοισι, τῇ [d] αὐθιγενέϊ θεῷ λέγουσαι τὰ
4 πάτρια [e] ἀποτελέειν, τὴν Ἀθηναίην [f] καλέομεν. τὰς δὲ
ἀποθνησκούσας [g] τῶν παρθένων ἐκ τῶν [h] τρωμάτων, ψευ-
5 δοπαρθένους καλέουσι. πρὶν δὲ ἀνεῖναι αὐτὰς μάχεσθαι,
τάδε ποιεῦσι· κοινῇ [i] παρθένον τὴν καλλιστεύουσαν ἑκά-
στοτε κοσμήσαντες κυνῇ τε Κορινθίῃ καὶ πανοπλίῃ Ἑλ-
ληνικῇ, καὶ ἐπ' ἅρμα ἀναβιβάσαντες, περιάγουσι [k] τὴν
6 λίμνην κύκλῳ. ὁτέοισι δὲ τὸ πάλαι ἐκόσμεον τὰς παρ-

Ausenses, contermini Machlyum: dea indigena, Minerva, culta festo anniversario: scutum et galea Græcis ab Ægypto tradita.

[e] σημάναντα S.V.
[f] πάντων τις ἐκγόνων S.V. τῶν τις ἐκγόνων Schæfer. suggerente Wesselingio.
[g] οἰκίσαι d.

180.
[a] Sic S. Steph. Byz. Αὐσῆς edd. vett. a. Αὐσῆς F. Herodoteum est Αὐσῆες, judice Valckenærio. Mox περὶ τὴν S.
[b] ὁ om. F.
[c] κομέωσι F. κομῶσι S.
[d] αὐθιγενέη F. αὐτιγενέϊ Schæfer. αὐθιγενεῖ S.
[e] ἐπιτελέειν καλέουσαι τὴν Ἀθηναίην S.
[f] Sic M.K.P.F.b.d. καλέουσι Ald. al.
[g] Sic K.P.F.d. παρθένους Wessel. et al. cum S.
[h] Sic M.S.V.K.P.a.F. τρωυμάτων (vel τρωϋμάτων) al. Mox πρὶν δ' ἂν εἶναι S.
[i] παρθένοι S.
[k] τὴν λίμνην om. S.V.

θένους, πρὶν ἢ σφι Ἕλληνας παροικισθῆναι, οὐκ ἔχω
[l] εἶπαι· δοκέω δ' ὦν Αἰγυπτίοισι ὅπλοισι κοσμέεσθαι
7 αὐτάς. ἀπὸ γὰρ Αἰγύπτου καὶ τὴν ἀσπίδα καὶ τὸ
8 κράνος φημὶ ἀπῖχθαι ἐς τοὺς Ἕλληνας. [m] Τὴν δὲ Ἀθη-
ναίην φασὶ Ποσειδέωνος εἶναι θυγατέρα καὶ τῆς Τριτω-
νίδος λίμνης· καί μιν μεμφθεῖσάν τι τῷ πατρὶ, δοῦναι
ἑωυτὴν τῷ Διΐ· τὸν δὲ Δία ἑωυτοῦ μιν ποιήσασθαι θυ-
9 γατέρα. ταῦτα μὲν λέγουσι. Μίξιν δὲ ἐπίκοινον τῶν
γυναικῶν ποιέονται, οὔτε συνοικέοντες, κτηνηδόν τε μισγό-
10 μενοι. ἐπεὰν δὲ [n] γυναικὶ τὸ παιδίον ἁδρὸν γένηται,
[o] συμφοιτέουσι ἐς τὠυτὸ οἱ ἄνδρες τρίτου μηνὸς, καὶ τῷ
ἂν [p] οἴκῃ τῶν ἀνδρῶν τὸ παιδίον, τούτου παῖς νομί-
ζεται.

Supra maritimum Libyæ tractum alius belluosus, et supra hunc tertius tumulosus et sabulosus, a Thebis usque ad columnas Herculis: colles salis denorum dierum itinere distan-

181 Οὗτοι μὲν οἱ παραθαλάσσιοι τῶν Νομάδων Λιβύων
[a] εἰρέαται. Ὑπὲρ δὲ τούτων ἐς μεσόγαιαν [b] ἡ θηριώδης
ἐστὶ Λιβύη· ὑπὲρ δὲ τῆς θηριώδεος, ὀφρύη [c] ψάμμης κα-
τήκει, [d] παρατείνουσα ἀπὸ [e] Θηβέων τῶν [f] Αἰγυπτιέων ἐπὶ
2 [g] Ἡρακληΐας στήλας. ἐν δὲ τῇ ὀφρύῃ ταύτῃ μάλιστα
διὰ δέκα ἡμερέων ὁδοῦ, ἁλός ἐστι τρύφεα κατὰ χόνδρους
μεγάλους ἐν κολωνοῖσι· καὶ ἐν κορυφῇσι ἑκάστου [h] τοῦ
κολωνοῦ ἀνακοντίζει ἐκ μέσου τοῦ ἁλὸς ὕδωρ ψυχρὸν καὶ 361
3 γλυκύ. περὶ δὲ αὐτὸ ἄνθρωποι οἰκέουσι ἔσχατοι πρὸς τῆς
4 ἐρήμου, καὶ ὑπὲρ τῆς θηριώδεος. Πρῶτοι μὲν, ἀπὸ Θη-

[l] εἰπεῖν S.F.a.

[m] Cf. Eustath. Il. p. 1216, 47=1296, 38.

[n] γυναικὶ om. K. Mox ἀνδρῶν S. pro ἁδρόν.

[o] συμφοιτέωσιν F. συμφοιτῶσιν S. Mox οἱ om. S.

[p] Sic M.S.P.K.F. Paris. ἥκῃ olim.

181.

[a] ἠρέαται F.

[b] ἡ om. S.V. qui mox μεσόγεαν.

[c] ψάμμης M.P.K.F. ψάμμος Ald. Paris. S.V.

[d] κατατείνουσα K.F.b. Mox ὑπὸ Ald.

[e] Θηβαίων S.F. Ald.

[f] Αἰγυπτιαίων F. Αἰγυπτίων V.S.

[g] Ἡρακλέας F.S.

[h] Sic M.P.K.S.F. Paris. Alii τῶν κολωνῶν. Tum ἀνακοντίζειν S.

βέων διὰ δέκα ἡμερέων ὁδοῦ, Ἀμμώνιοι, ἔχοντες τὸ ἱρὸν
ἀπὸ τοῦ Θηβαιέος Διός· καὶ γὰρ τὸ ἐν Θήβῃσι, ὡς καὶ
πρότερον εἴρηταί μοι, κριοπρόσωπον τοῦ Διὸς τὤγαλμά
5 ἐστι. τυγχάνει δὲ καὶ ἄλλο σφι ὕδωρ κρηναῖον ἐόν· τὸ
τὸν μὲν ὄρθρον γίνεται [i] χλιαρὸν, ἀγορῆς δὲ πληθυούσης
ψυχρότερον· [k] μεσαμβρίη τέ ἐστι, καὶ τὸ κάρτα γίνεται
ψυχρόν· τηνικαῦτα δὲ ἄρδουσι τοὺς κήπους· ἀποκλινο-
μένης δὲ τῆς ἡμέρης ὑπίεται τοῦ ψυχροῦ, [l] ἐς οὗ δύεταί
τε ὁ ἥλιος, καὶ τὸ ὕδωρ γίνεται χλιαρόν· ἐπὶ δὲ μᾶλλον
ἰὸν ἐς τὸ θερμὸν [m] ἐς μέσας νύκτας [n] πελάζει· τηνικαῦτα
δὲ ζέει [o] ἀμβολάδην· παρέρχονταί τε μέσαι νύκτες, καὶ
6 ψύχεται [p] μέχρι ἐς ἠῶ. ἐπίκλησιν δὲ αὕτη ἡ κρήνη κα-
182 λέεται Ἡλίου. Μετὰ δὲ Ἀμμωνίους, διὰ τῆς ὀφρύης τῆς
ψάμμου, δι' ἀλλέων δέκα ἡμερέων ὁδοῦ, κολωνός τε [a] ἁλός
ἐστι ὁμοῖος τῷ Ἀμμωνίῳ, καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ
αὐτὸν οἰκέουσι· τῷ δὲ χώρῳ τούτῳ οὔνομα [b] Αὔγιλά ἐστι.
2 ἐς τοῦτον τόν χῶρον οἱ Νασαμῶνες ὀπωριεῦντες τοὺς φοί-
183 νικας [c] φοιτέουσι. Ἀπὸ δὲ [a] Αὐγίλων, διὰ δέκα ἡμερέων
ἀλλέων ὁδοῦ, ἕτερος ἁλὸς κολωνὸς, καὶ ὕδωρ, καὶ φοίνι-
κες καρποφόροι πολλοὶ, κατάπερ καὶ ἐν τοῖσι ἑτέροισι·
καὶ ἄνθρωποι οἰκέουσι ἐν αὐτῷ, τοῖσι οὔνομα [b] Γαράμαν-

tes, quorum vertices ejaculantur e sale aquam: primi ab Ægypto Ammonii: Jupiter, capite arietino: fons Solis.

Augila, regio palmifera. [c. 172.]

Garamantes: ad eos a Lotophagis iter brevissimum dierum xxx:

[i] λιαρὸν F. et mox.

[k] μεσαμβρίης V. μεσαμβρίη δὲ F.d.f. Male. Infra παρέχονταί τε μέσαι νύκτες, καὶ etc. Similiter 199. συγκεκόμισταί τε καὶ etc. cf. III. 108. IV. 135. V. 86. et alibi, ubi τε et καὶ ita sibi respondent ut idem valeant ac si esset ὅταν et τότε. SCHWEIGH.

[l] Sic S. vulg. ἐσὸ K. unde ἐς ὃ Reiz. vid. Wessel. ad I. 67. Mox τε om. S.

[m] ἐς om. V.S.

[n] Sic V.S.M.P.K.F.f. πελαγίζει A.B. Ald. Tum δὲ post ζέει S.

[o] Citat Suid. in v. Eustath. Il. p. 1241, 40=1331, 12.

[p] μέχρις F.f.S.

182.

[a] ἄλλος ἐστι F.d.

[b] Sic M.P.K.V.S.F.b.d. Vall. Αἴγιλα a.c. et vulgo. cf. 172. Salmas. in Solin. p. 292.

[c] φοιτέωσι F. φοιτῶσι S.

183.

[a] Sic M.P.K.F.b.d. Αὐγιλέων S.V. Vall. Schæfer. Αἰγίλων olim. Mox ἄλλων S.

[b] Γαράμοντες P. Γαράβαντες S.V.

boves retro pascentes: pernicitas Troglodytarum Æthiopum, quos Garamantes quadrigis capiunt.

τές ἐστι, ἔθνος μέγα ἰσχυρῶς· οἳ ἐπὶ τὸν ἅλα γῆν ἐπι-
φορέοντες, οὕτω σπείρουσι· συντομώτατον δ' ἐστὶ ἐς τοὺς
Λωτοφάγους, ἐκ τῶν τριήκοντα ἡμερέων ἐς αὐτοὺς ὁδός
2 [c] ἐστι· ἐν τοῖσι καὶ οἱ ὀπισθονόμοι βόες γίνονται· ὀπι-
σθονόμοι δὲ διὰ τόδε εἰσί· τὰ κέρεα ἔχουσι κεκυφότα ἐς
3 τὸ ἔμπροσθε· [d] διὰ τοῦτο ὀπίσω ἀναχωρέοντες, νέμονται·
ἐς γὰρ τὸ ἔμπροσθε οὐκ οἷοί τέ εἰσι, [e] προεμβαλλόντων
4 ἐς τὴν γῆν τῶν κερέων· ἄλλο δὲ οὐδὲν διαφέρουσι τῶν
ἄλλων βοῶν ὅτι μὴ τοῦτο, καὶ τὸ δέρμα ἐς παχύτητά τε
5 καὶ τρῖψιν. Οἱ Γαράμαντες δὲ οὗτοι τοὺς Τρωγλοδύτας 362
[f] Αἰθίοπας θηρεύουσι τοῖσι τεθρίπποισι. οἱ γὰρ Τρωγλο-
δύται Αἰθίοπες πόδας τάχιστοι ἀνθρώπων πάντων εἰσὶ,
6 τῶν ἡμεῖς [g] πέρι λόγους ἀποφερομένους ἀκούομεν. σι-
τέονται δὲ οἱ Τρωγλοδύται ὄφις καὶ [h] σαύρας, καὶ τὰ
τοιαῦτα τῶν ἑρπετῶν. γλῶσσαν δὲ οὐδεμιῇ ἄλλῃ παρο-
μοίην νενομίκασι, ἀλλὰ [i] τετρίγασι, κατάπερ αἱ νυκ-
τερίδες.

184 Atarantes: horum nemini cuiquam proprium nomen: solem exsecrantur: Atlantes, in quorum

184 Ἀπὸ δὲ Γαραμάντων δι' ἀλλέων δέκα ἡμερέων ὁδοῦ,
ἄλλος ἁλός τε κολωνὸς, καὶ ὕδωρ· καὶ ἄνθρωποι περὶ
αὐτὸν οἰκέουσι, τοῖσι οὔνομά ἐστι [a] Ἀτάραντες· οἳ [b] ἀνώ-
2 νυμοί εἰσι μοῦνοι ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν. ἁλέσι μὲν
γάρ σφί ἐστι Ἀτάραντες οὔνομα, ἑνὶ δὲ ἑκάστῳ αὐτῶν
3 οὔνομα οὐδὲν κέεται. οὗτοι τῷ ἡλίῳ [c] ὑπερβάλλοντι [d] κα-

[c] ἐστι om. S.
[d] διὰ τοῦτο—ἔμπροσθε om. S.
[e] προεμβαλόντων F. προεμβάλλοντες ἐς γῆν S.
[f] Αἰθίοπας γειτονεύουσι, οἱ πόδας τάχιστοι S. neglectis reliquis. Supra δὴ S.
[g] πέρι om. S.V.
[h] σαύρους Ald. M.F.a.b.c. σαύρας S.V. Eustath. Dionys. 180. cf. 192. necnon Schweighæuseri obs. ad 201. ὄφεις item S.
[i] Sic mss. plerique. τετρύγασι S. Ald. et edd. seqq.

184.

[a] Sic primus, ex Salmasii emend. ad Solin. p. 292. Wesselingio et Valckenærio probata, edidit Reizius. Ἄτλαντες mss. edd. vett. hic et mox.
[b] Cf. Eustath. Dionys. 66.
[c] ὑπερβαλλόντως Eustath.
[d] Sic F. Vulgo καταρῶνται cum S. qui mox λοιδοροῦνται.

ταρέωνται, καὶ πρὸς τούτοισι πάντα τὰ αἰσχρὰ λοιδο-
ρέονται, ὅτι σφέας καίων ἐπιτρίβει, αὐτούς τε τοὺς ἀν-
4 θρώπους, καὶ τὴν χώρην αὐτῶν. Μετὰ δὲ, δι' ἀλλέων
δέκα ἡμερέων [e] ὁδοῦ, ἄλλος κολωνὸς ἁλὸς, καὶ ὕδωρ, καὶ
5 ἄνθρωποι περὶ αὐτὸν οἰκέουσι. ἔχεται δὲ τοῦ ἁλὸς τούτου
οὖρος, τῷ [f] οὔνομά ἐστι Ἄτλας· ἔστι δὲ στεινὸν καὶ
κυκλοτερὲς πάντη· ὑψηλὸν δὲ [g] οὕτω δή τι λέγεται, ὡς
τὰς κορυφὰς αὐτοῦ οὐκ οἷά τε εἶναι ἰδέσθαι· οὐδέκοτε
γὰρ αὐτὰς [h] ἀπολείπειν νέφεα, οὔτε θέρεος, οὔτε χειμῶ-
6 νος. τοῦτο [i] τὸν κίονα τοῦ οὐρανοῦ λέγουσι οἱ ἐπιχώριοι
εἶναι. ἐπὶ τούτου τοῦ οὔρεος οἱ ἄνθρωποι οὗτοι ἐπώνυμοι
ἐγένοντο· καλέονται γὰρ [k] δὴ Ἄτλαντες. λέγονται δὲ
185 οὔτε ἔμψυχον οὐδὲν σιτέεσθαι, οὔτε [l] ἐνύπνια ὁρᾶν. Μέχρι
μὲν δὴ τῶν Ἀτλάντων τούτων, ἔχω τὰ οὐνόματα τῶν ἐν
τῇ ὀφρύῃ κατοικημένων καταλέξαι· τὸ δ' ἀπὸ τούτων,
2 οὐκέτι. διήκει δ' ὦν ἡ ὀφρύη μέχρι [a] Ἡρακληΐων στηλέων,
καὶ τὸ ἔξω τουτέων· [b] ἔστι δὲ ἁλός τε μέταλλον ἐν αὐτῇ
3 διὰ δέκα ἡμερέων ὁδοῦ, καὶ ἄνθρωποι οἰκέοντες. τὰ δὲ
οἰκία τούτοισι πᾶσι ἐκ τῶν ἁλίνων χόνδρων οἰκοδομέαται.
ταῦτα γὰρ ἤδη τῆς Λιβύης ἄνομβρά ἐστι· οὐ γὰρ ἂν
[c] ἠδυνέατο μένειν οἱ τοῖχοι ἐόντες ἅλινοι, εἰ ὗε. ὁ δὲ ἅλς

confinio mons Atlas, columna cæli.

Nomina populorum post Atlantes occa- 363 sum versus, ignota: fodinæ salis albi et purpurei, distantes itinere denorum dierum: aqua cælestis nulla. Supra hunc

[e] ὁδῶ om. M.K.P.S.V. Supra ἄλλων S.

[f] Sic M.K.P.F. ἐστι om. S. al. ὄρος S. pro οὖρος.

[g] Sic Ald. S.V.A.B. δὴ om. M.P.K.F.

[h] ἀπολείπειν S.K.F. Paris. ἐπιλείπειν Eustath. ἀπολείπει al.

[i] Sic M. P. K. S. V. a. b. κίονα Ionibus fœminino genere frequentari appositis Schol. Soph. Aj. 108. Eustath. Steph. de Dialect. p. 153. et al. notat Wesselingius. Vulg. defendit Schweighæuserus, quem vid. ad c. 201. τοῦτον τὸν κ. F. τὸν om. vulgo. Mox ἀπὸ τούτου τοῦ ὄρεος S.

[k] δὴ om. K.P.F.b.

[l] ἐνύπνιον b. Alludit Tertullian. de Anima c. 49.

185.

[a] Ἡρακλέων F. μέχρις Ἡρακλέων S.

[b] ἐν δὲ S.V.

[c] Sic M. P. K. S. V. F. Paris. ἠδυναίατο olim. ἂν ex M.P.K.F. Vulgo om. cum S. qui εἰ ὗεν ἐόντες ἅλινοι.

tertium Libyæ tractum vastitas.

αὐτόθι καὶ λευκὸς καὶ πορφύρεος τὸ εἶδος ὀρύσσεται. 4 Ὑπὲρ δὲ τῆς ὀφρύης ταύτης, τὸ [d] πρὸς νότον καὶ μεσόγαιαν τῆς Λιβύης, ἔρημος καὶ ἄνυδρος καὶ ἄθηρος καὶ ἄνομβρος καὶ ἄξυλός ἐστι ἡ χώρη· καὶ ἰκμάδος ἐστὶ ἐν αὐτῇ οὐδέν.

186

Inter Ægyptum et paludem Tritonidem Libyes Nomades: abstinent esu vaccarum, nec sues alunt: Isidis cultus apud feminas Cyrenæorum.

Οὕτω μὲν μέχρι τῆς Τριτωνίδος λίμνης ἀπ' Αἰγύπτου νομάδες εἰσὶ κρεοφάγοι τε καὶ γαλακτοπόται Λίβυες· καὶ θηλέων τε βοῶν [a] οὔ τι γευόμενοι, διότι περ οὐδὲ Αἰ-
2 γύπτιοι, καὶ ὗς οὐ τρέφοντες. βοῶν μέν νυν θηλέων οὐδ' αἱ Κυρηναίων γυναῖκες δικαιεῦσι [b] πατέεσθαι, διὰ τὴν ἐν Αἰγύπτῳ Ἶσιν, ἀλλὰ καὶ νηστείας αὐτῇ καὶ ὁρτὰς [c] ἐπιτελέουσι· αἱ δὲ τῶν Βαρκαίων γυναῖκες οὐδὲ ὑῶν πρὸς τῇσι βουσὶ γεύονται. ταῦτα μὲν δὴ οὕτω ἔχει.

187

Nomades pueris quadrimis capitum venas urunt, ut destillationes præcaveant: corporum salubritate omnibus antecellunt: ustorum puerorum

[a] Τὸ δὲ πρὸς ἑσπέρης τῆς Τριτωνίδος λίμνης οὐκέτι νομάδες εἰσὶ Λίβυες, οὐδὲ νόμοισι τοῖσι αὐτοῖσι χρεώμενοι, οὐδὲ κατὰ τὰ παιδία ποιεῦντες οἷόν τι καὶ οἱ νομάδες [b] ἐώθασι
2 ποιέειν. οἱ γὰρ δὴ τῶν Λιβύων νομάδες, εἰ μὲν πάντες, οὐκ ἔχω ἀτρεκέως τοῦτο [c] εἶπαι· ποιεῦσι δὲ αὐτῶν συχνοὶ τοιάδε· τῶν παιδίων τῶν σφετέρων, ἐπεὰν τετραέτεα [d] γένηται, [e] οἴσπῃ προβάτων καίουσι τὰς ἐν τῇσι κορυφῇσι φλέβας· μετεξέτεροι δὲ αὐτῶν, τὰς ἐν [f] τοῖσι κροτάφοισι·

[d] πρὸς νότου καὶ ἐς P.F.

186.

[a] Sic S.V.a.b.c. ὅτι F. οὔτοι vulg. τε post κρεόφαγοι om. S.

[b] πατέεσθαι A.B.S.V. Ald. cf. II. 66. Bos Obs. Crit. c. 7. ἅπτεσθαι M.P.K.F.b.d.

[c] ἐπιτηδεύουσι S.V. quod Wesselingio scholion sapit, conferenti tamen I. 135.

187.

[a] τὰ δὲ P.F.

[b] εἰώθασι P.

[c] Sic Ald. cf. Gregor. Dial. Ion. 72. εἰπεῖν M.F.a. et al. et sic paullo infra. τοῦτο ἀτρεκέως εἰπεῖν S.

[d] γένωνται F.

[e] Sic M.K.P. Schol. Suid. F. pr. οἰσύπῃ S.a.c.F. pro v. l. et al. cum Gregor. Dial. Ion. 150. Tum αὐτῶν S. pro αὐτέων.

[f] τῇσι κροτάφοισι F.S. Videndum igitur, ne fortasse Iones, quemadmodum alia nonnulla nomina, quæ ex communi usu masculini sunt generis, in fœminino usurparint, sic et ἡ κρό-

τοῦδε εἵνεκα, ὡς μή σφεας ἐς τὸν πάντα χρόνον καταρ-
3 ρέον φλέγμα ἐκ τῆς κεφαλῆς δηλῆται. καὶ διὰ τοῦτό
σφεας λέγουσι εἶναι [g] ὑγιηροτάτους. εἰσὶ γὰρ ὡς ἀλη-
θέως [h] οἱ Λίβυες ἀνθρώπων πάντων ὑγιηρότατοι, τῶν ἡμεῖς
ἴδμεν· εἰ μὲν διὰ τοῦτο, οὐκ ἔχω ἀτρεκέως εἶπαι, ὑγιη-
4 ρότατοι δ' ὦν εἰσί. ἢν δὲ καίουσι τὰ παιδία σπασμὸς
ἐπιγένηται, ἐξεύρηταί σφι ἄκος· [i] τράγου οὖρον σπεί- 364
σαντες ῥύονταί [k] σφεα. λέγω δὲ τὰ λέγουσι αὐτοὶ Λί-
188 βυες. Θυσίαι δὲ τοῖσι νομάσι εἰσὶ αἵδε. ἐπεὰν τοῦ
ὠτὸς ἀπάρξωνται τοῦ κτήνεος, ῥιπτέουσι ὑπὲρ τὸν [a] δόμον·
τοῦτο δὲ ποιήσαντες, ἀποστρέφουσι τὸν αὐχένα αὐτοῦ.
2 [b] θύουσι δὲ ἡλίῳ καὶ σελήνῃ μούνοισι. τούτοισι μέν νυν
πάντες Λίβυες θύουσι· ἀτὰρ οἱ περὶ τὴν Τριτωνίδα λίμνην
[c] νέμοντες, τῇ Ἀθηναίῃ μάλιστα, [d] μετὰ δὲ, τῷ Τρίτωνι
189 καὶ τῷ [e] Ποσειδέωνι. [a] Τὴν δὲ ἄρα ἐσθῆτα καὶ τὰς αἰ-
γίδας τῶν ἀγαλμάτων τῆς Ἀθηναίης ἐκ τῶν Λιβυσσέων
2 ἐποιήσαντο οἱ Ἕλληνες. πλὴν γὰρ [b] ἢ ὅτι σκυτίνη ἡ ἐσθὴς
τῶν Λιβυσσέων ἐστὶ, καὶ οἱ θύσανοι οἱ ἐκ τῶν αἰγίδων
[c] αὐτῇσι οὐκ ὄφιές εἰσι, ἀλλὰ ἱμάντινοι· τὰ δὲ ἄλλα

convulsionis medicina.

Sacrificia: Dii communes omnium, Sol et Luna; Tritonidis accolarum proprii, Minerva, Triton et Neptunus.

Palladiorum stola, et feminei ululatus in sacris origo Libyca: item quadrigas jungere, in-

ταφος dicere consueverint pro eo quod vulgo ὁ κρόταφος est. SCHWEIGH. Mox δήλεται S.

[g] ὑγικροτ. S. et mox. qui infra εἰπεῖν.

[h] οἱ om. P.K.F. ἀληθῶς F.

[i] Sic F. Vulgo τράγου γὰρ οὖρον. Amat, inquit Schweighæuserus, Herodotus tale asyndeton.

[k] Sic V.S.a.c. σφεας vulgo.

188.

[a] δρόμον F.d.

[b] Citat Eustath. Dionys. 185.

[c] νέμονται d.

Citat Eustath. Il. p. 1265, 7=1364, 27. Ποσειδέονι S.

189.

[a] Citat Eustath. Il. p. 602, 45=459, 1.

[b] Sic M.S.P.V.F. Paris. ἢ om. vulgo.

[c] Sic A.B.V. Ald. αὐτῇ εἰσὶ M.K.P.F. quæ non videtur varia lectio. Scribe literis majusculis, ΑΥΤΗΙΕΙΣΙ, et statim percipies librarium primo Ε pro Σ posuisse, deinde postremam syllabam perperam geminasse. αὐτοῖσιν S. Mox ἱμάντινοι· τὰ δὲ ἄλλα om. S. αἰγέων pro αἰγίδων conj. Wesseling. Sed vulg. defendere videntur Glossæ, Αἰγὶς, ἣν Λίβυες (Λίβυσσαι Hesych.) φοροῦσι δοράν. cf. Meursii Att. Lect. VI. 10. Wessel. Diod. Sic. III. 49.

ventum Libycum.

3 πάντα κατὰ τὠυτὸ ἔσταλται. καὶ δὴ καὶ τὸ οὔνομα κατηγορέει, ὅτι ἐκ Λιβύης ἥκει ἡ στολὴ τῶν Παλλαδίων· [d] αἰγέας γὰρ περιβάλλονται ψιλὰς περὶ τὴν ἐσθῆτα θυσανωτὰς αἱ Λίβυσσαι, κεχριμένας ἐρευθεδάνῳ· ἐκ δὲ τῶν
4 αἰγέων τουτέων αἰγίδας οἱ Ἕλληνες μετωνόμασαν. [e] Δοκέει δ' ἐμοί γε καὶ ἡ ὀλολυγὴ [f] ἐν ἱροῖσι ἐνθαῦτα πρῶτον γενέσθαι· κάρτα γὰρ [g] ταύτῃ χρέωνται αἱ Λίβυσσαι, καὶ χρέωνται καλῶς. Καὶ τέσσερας ἵππους [h] συζευγνύναι παρὰ Λιβύων οἱ Ἕλληνες μεμαθήκασι.

190 Θάπτουσι δὲ τοὺς ἀποθνήσκοντας οἱ νομάδες κατάπερ οἱ Ἕλληνες, πλὴν Νασαμώνων. οὗτοι δὲ κατημένους θάπτουσι· φυλάσσοντες, ἐπεὰν ἀπίῃ τὴν ψυχὴν, ὅκως μιν [a] κατίσουσι,
2 μηδὲ ὕπτιος ἀποθανέεται. Οἰκήματα δὲ σύμπηκτα ἐξ ἀνθερίκων [b] ἐνερμένων περὶ [c] σχοίνους ἐστὶ, καὶ ταῦτα περι- 365
φορητά. νόμοισι μὲν τοιούτοισι οὗτοι χρέωνται.

Sepultura qualis: tuguria mobiliā e caulibus albuci nexis junco.

191 Τὸ δὲ πρὸς [a] ἑσπέρης τοῦ Τρίτωνος ποταμοῦ, Αὐσέων ἔχονται ἀροτῆρες [b] ἤδη Λίβυες, καὶ οἰκίας νομίζοντες ἐκτῆσθαι, τοῖσι οὔνομα κέεται Μάξυες· οἳ τὰ ἐπιδέξια τῶν κεφαλέων [c] κομόωσι, τὰ δ' ἐπαριστερὰ κείρουσι· τὸ δὲ

Ausensibus [c. 180.] Libyum Aroterum primi adjacent

[d] αἰγέας S. V. P. K. Vall. F. Paris. Harpocrat. in Αἰγὶς, ubi vid. Maussacus, Eustath. Il. p. 603=459. αἰγίδας Ald. Mox οἱ ante Ἕλληνες om. S.

[e] δοκεῖ δέ μοι καὶ S.V. δέ μοι γε καὶ F.

[f] ἐπὶ ἱροῖσι S.V. ἐπὶ τῶν ἱερῶν Eustath. Il. p. 643, 36=503, extr. ἡ ὀλολυγὴ Eust. ἡ vulgo om. πρῶτα pro πρῶτον S.

[g] ταύτῃ χρέωνται αἱ Λ. καὶ χρέωνται καλῶς. Sic S.V. ταύτῃ χρέωνται καλῶς αἱ Λ. vulgo, et sic F. a.c. nisi quod χρεόνται a. κάρτα γὰρ ταύτῃ χρῶνται αἱ Λίβυσσαι Eustath. κάρτα γὰρ χρέωνται ταύτῃ καλῶς αἱ Λίβυσσαι b.

[h] Sic M.K.S.P.V.F. ζευγνύναι A. Ald. Eustath. Dionys. 175. Il. p. 707, 2.=591, 3. συζευγνύμεναι b.

190.

[a] κατίσωσι S.P.F. κατήσουσι Ald.

[b] Sic A.B.V. Ald. ἀνερμένων S. ἐνειρμένων M. P. K. F. ἀνθερίκας hinc Suid. in v.

[c] σχίνους legisse videtur Valla, *lentiscos* vertens. Suidas, Ἀνθέρικες—Ἡρόδοτος τοὺς καυλούς φησι τῶν ἀσφοδέλων.

191.

[a] Sic S.V.M.P.K.F. Paris. ἑσπέρην Ald.

[b] οἵδε S. Vall.

[c] κομῶσι S.V.

2 σῶμα [d] χρίονται μίλτῳ. φασὶ δὲ οὗτοι εἶναι τῶν ἐκ Τροίης ἀνδρῶν. Ἡ δὲ χώρη αὕτη τε καὶ ἡ λοιπὴ τῆς Λιβύης ἡ πρὸς ἑσπέρην, πολλῷ θηριωδεστέρη τε καὶ δασυ-
3 τέρη ἐστὶ τῆς τῶν νομάδων χώρης. ἡ μὲν γὰρ δὴ πρὸς τὴν ἠῶ τῆς Λιβύης, τὴν οἱ νομάδες νέμουσι, ἔστι ταπεινή τε καὶ ψαμμώδης, μέχρι τοῦ Τρίτωνος ποταμοῦ· ἡ δὲ ἀπὸ τούτου τὸ πρὸς [e] ἑσπέρης, ἡ τῶν ἀροτήρων, ὀρεινή τε κάρτα
4 καὶ δασέα καὶ θηριώδης. καὶ γὰρ οἱ ὄφιες οἱ ὑπερμεγάθεες καὶ οἱ λέοντες κατὰ τούτους εἰσὶ, καὶ οἱ ἐλέφαντές τε καὶ ἄρκτοι, καὶ ἀσπίδες τε καὶ ὄνοι [f] οἱ τὰ κέρεα ἔχοντες· [g] καὶ οἱ κυνοκέφαλοι, καὶ οἱ ἀκέφαλοι οἱ ἐν τοῖσι στήθεσι τοὺς ὀφθαλμοὺς ἔχοντες, ὡς δὴ [h] λέγονταί γε ὑπὸ Λιβύων, καὶ [i] οἱ ἄγριοι ἄνδρες, καὶ γυναῖκες ἄγριαι, καὶ ἄλλα πλήθεϊ πολλὰ θηρία [k] ἀκατά-
192 ψευστα. Κατὰ τοὺς Νομάδας δέ ἐστι [a] τούτων οὐδὲν, ἀλλ' ἄλλα [b] τοιάδε· πύγαργοι, καὶ [c] ζορκάδες, καὶ βουβάλιες, καὶ ὄνοι, οὐκ οἱ τὰ κέρεα ἔχοντες, ἀλλὰ ἄλλοι ἄποτοι· [d] οὐ γὰρ δὴ πίνουσι· καὶ ὄρυες, [e] τῶν τὰ
2 κέρεα τοῖσι φοίνιξι οἱ πήχεες ποιεῦνται· μέγαθος δὲ τὸ θηρίον τοῦτο κατὰ βοῦν ἐστί· καὶ [f] βασσάρια, καὶ ὕαιναι, καὶ ὕστριχες, καὶ κριοὶ ἄγριοι, καὶ [g] δίκτυες, καὶ θῶες,

Maxyes, a Trojanis oriundi: Libyæ pars, quæ Nomadum est, depressa et arenosa; quam Aroteres colunt, montana, et silvis ac feris frequens: genera ferarum apud Aroteres.

Item apud Nomades: cervus et aper in Libya nullus: mustelæ in silphio.

366

[d] Sic F. Vulgo μίλτῳ χρίονται cum S.

[e] Sic S.V.a. Alii ἑσπέρην. Infra ἐλέφαντες δὲ S.

[f] οἱ τὰ om. c.

[g] Sic M.K.P. Vall. F.b.c.d. καὶ οἱ ἀκέφαλοι om. V.S.a. Ald. οἱ ante κυνοκ. om. S.

[h] Sic M.P.K.V.F. Paris. Vulg. λέγεταί γε. λέγονται S. absque γε.

[i] Sic S.P.V.F.b.d. οἱ om. edd. vett.

[k] Sic M.P.K.F.V.S. Ald. a.c. et d. pro v.l. ἀκατάψαυστα b.d. vid. Montfaucon. Palæogr. Gr. pag. 243. Temere Reizius et Schæferus ediderunt κατάψευστα.

192.

[a] τουτέων] τούτων F.S.

[b] Sic M.P.K.F. τάδε S. al.

[c] δορκέες S. δορκάδες V. cf. annot. ad Hesych. v. Ζόρ.

[d] οὐ γὰρ δὴ πίνουσι om. S.

[e] Sic M.K.P.F.b.d. τῶν κατὰ κέρεα A.B.S. Ald.

[f] βασάρια S.

[g] δείκτυες S.

καὶ πάνθηρες, καὶ βόρυες, καὶ [h] κροκόδειλοι ὅσον τε τρι-
πήχεες χερσαῖοι, τῇσι σαύρῃσι ἐμφερέστατοι· καὶ στρου-
θοὶ κατάγαιοι, καὶ ὄφιες [i] σμικροὶ, κέρας ἓν ἕκαστος
3 ἔχοντες. ταῦτά [k] τε δὴ αὐτόθι ἐστὶ θηρία, καὶ [l] ἅπερ τῇ
ἄλλῃ, πλὴν ἐλάφου [m] τε καὶ ὑὸς [n] ἀγρίου· ἔλαφος δὲ
4 καὶ ὗς ἄγριος ἐν Λιβύῃ πάμπαν οὐκ ἔστι. μυῶν δὲ
γένεα τριξὰ αὐτόθι ἐστί· οἱ μὲν, δίποδες καλέονται· οἱ
δὲ, [o] ζεγέριες· τὸ δὲ οὔνομα τοῦτό ἐστι μὲν [p] Λιβυκὸν,
[q] δύναται δὲ κατὰ Ἑλλάδα γλῶσσαν, βουνοί· οἱ δὲ,
5 [r] ἐχινέες. εἰσὶ δὲ καὶ γαλαῖ ἐν τῷ σιλφίῳ γινόμεναι,
τῇσι Ταρτησσίῃσι [s] ὁμοιόταται. Τοσαῦτα μέν νυν θηρία ἡ
τῶν Νομάδων Λιβύων γῆ ἔχει, ὅσον ἡμεῖς ἱστορέοντες ἐπὶ
μακρότατον [t] οἷοί τε ἐγενόμεθα ἐξικέσθαι.

193 Zaveces. Μαξύων δὲ Λιβύων [a] Ζαύηκες ἔχονται, τοῖσι αἱ γυναῖ-
κες ἡνιοχεῦσι τὰ ἅρματα ἐς τὸν πόλεμον. Τούτων δὲ
194 Gyzantes. [a] Γύζαντες ἔχονται, ἐν τοῖσι [b] μέλι μὲν πολλὸν μέλισσαι
κατεργάζονται, πολλῷ δ' ἔτι πλέον [c] λέγεται δημιουρ-
2 γοὺς ἄνδρας [d] ποιέειν. μιλτοῦνται δ' ὦν πάντες οὗτοι,
καὶ πιθηκοφαγέουσι· οἱ δέ σφι ἄφθονοι ὅσοι ἐν τοῖσι οὔ-
195 ρεσι γίνονται. Κατὰ τούτους δὲ λέγουσι Καρχηδόνιοι

[h] De crocodilis terrestribus II. 69. Bochart. Hieroz. p. 1060. *Dictyes* et *boryes* non novi. WESSEL.
[i] μικροὶ F.S. Ald.
[k] δὲ δὴ S.V.
[l] ἄλλα a.c.
[m] τε om. F.
[n] ἀγρίοιο K. Schæfer.
[o] ζευγέριες P.F.
[p] Λιβυστικὸν V.P.F. Λιβυστῖνον S. cf. Wetsten. ad A. A. VI. 9.
[q] δηλοῖ δὲ S.
[r] Sic M.K.P.F. ἐχῖνες S.a.c. al. probante Schneidero in Lex.
[s] ὁμοιότατοι K. ὁμοιότηται F. ὁμοιώτατοι S.
[t] οἷόν τ' F.

193.
[a] Ζάβυκες S.V. Vall. Μαξίων supra S.

194.
[a] Sic M.P.K.F. Steph. Byz. h. v. et Κυραυνίς. qui παρ' Ἡροδότῳ κακῶς διὰ τοῦ γ Γύζαντες, in Βύζαντες. cf. Apollon. Dysc. Hist. Mirab. c. 38. Ζύγαντες V.a.c.d. Ald. τούτων δὲ—πολλὸν om. S.
[b] μέλι πολλὸν μὲν F.
[c] λέγονται S.
[d] κἀλέειν F. in contextu.

κέεσθαι νῆσον τῇ οὔνομα εἶναι [a] Κύραυνιν· μῆκος μὲν διηκοσίων σταδίων, πλάτος δὲ στεινὴν, διαβατὸν ἐκ τῆς
2 ἠπείρου· ἐλαιέων τε μεστὴν καὶ ἀμπέλων. [b] λίμνην δὲ ἐν αὐτῇ εἶναι, ἐκ τῆς [c] αἱ παρθένοι τῶν ἐπιχωρίων πτεροῖσι ὀρνίθων κεχριμένοισι [d] πίσσῃ ἐκ τῆς ἰλύος ψῆγμα ἀνα-
3 φέρουσι χρυσοῦ. Ταῦτα εἰ μέν ἐστι ἀληθέως οὐκ οἶδα, τὰ δὲ λέγεται γράφω. εἴη δ' ἂν πᾶν· [e] ὅκου καὶ ἐν Ζακύνθῳ ἐκ λίμνης καὶ ὕδατος πίσσαν ἀναφερομένην αὐτὸς
4 ἐγὼ [f] ὥρεον. εἰσὶ μὲν καὶ πλεῦνες αἱ λίμναι αὐτόθι, ἡ δὲ ὦν μεγίστη αὐτέων ἑβδομήκοντα ποδῶν πάντῃ, βάθος δὲ διόργυιός ἐστι· ἐς ταύτην κοντὸν κατιεῖσι ἐπ' ἄκρῳ μυρσίνην προσδήσαντες, καὶ ἔπειτα ἀναφέρουσι τῇ μυρσίνῃ πίσσαν, ὀδμὴν μὲν ἔχουσαν ἀσφάλτου, τὰ δ' ἄλλα τῆς
5 [g] Πιερικῆς πίσσης ἀμείνω. [h] ἐσχέουσι δὲ ἐς λάκκον ὀρωρυγμένον ἀγχοῦ τῆς λίμνης· ἐπεὰν δὲ ἀθροίσωσι συχνὴν,
6 οὕτω ἐς τοὺς ἀμφορέας ἐκ τοῦ λάκκου καταχέουσι. ὅ τι δ' ἂν [i] ἐσπέσῃ ἐς τὴν λίμνην, ὑπὸ γῆν ἰὸν, [k] ἀναφαίνεται ἐν τῇ θαλάσσῃ· ἡ δὲ ἀπέχει ὡς τέσσερα στάδια ἀπὸ τῆς λίμνης. οὕτω ὦν καὶ [l] τὰ ἀπὸ τῆς νήσου τῆς ἐπὶ Λιβύῃ
196 κειμένης [m] οἰκότα ἐστὶ [n] ἀληθηΐῃ. Λέγουσι δὲ καὶ τάδε Καρχηδόνιοι· εἶναι τῆς Λιβύης χῶρόν τε καὶ ἀνθρώπους ἔξω [a] Ἡρακληΐων στηλέων κατοικημένους, ἐς τοὺς ἐπεὰν

Carthaginiensium relatio de insula Cyrauni: lacus in ea ramentorum auri dives: in Zacyntho lacus, e quo pix refertur melior 367 quam Pieria: meat sub terra in mare.

Locus Libyæ extra columnas Herculis, a navibus Carthagi-

195.

[a] Κυραύην P.M.F.b. Κύραυιν S. (qui in pr. τούτους δὴ et κεῖσθαι.) Κυραύνην K. Κηράνην d. Κυραυνὶν Steph. Byz. Κύρανιν edd. vett.

[b] λιμένα S. Vall. Supra ἐλαιῶν S.

[c] αἱ om. F.

[d] πίσῃ F. et sic mox.

[e] ὅκε F.

[f] ὥρων S.V. ὥρεων F. Mox αὐτῶν S.

[g] πευκίνης S.

[h] ἔχουσι F.

[i] Sic M.P.K.F. Paris. ἐμπέσῃ S.V. Al. ἐσπέσοι.

[k] Sic vulg. et Antigonus de Mirab. c. 169. ἀναφέρεται S.

[l] τὸ ἀπὸ S. qui supra οὕτως.

[m] Sic F. εἰκότα S. vulgo.

[n] ἀληθείῃ F.S.

196.

[a] Ἡρακλέων S.K.F.

niensium adiri solitus: mercandi ratio sine sermone, ac plena fidei.

ἀπίκωνται καὶ ἐξέλωνται τὰ φορτία, [b] θέντες αὐτὰ [c] ἐπεξῆς παρὰ τὴν κυματωγὴν, ἐσβάντες ἐς τὰ πλοῖα, τύφειν καπνόν· [d] τοὺς δ' ἐπιχωρίους, ἰδομένους τὸν καπνὸν, ἰέναι ἐπὶ τὴν θάλασσαν· καὶ ἔπειτα ἀντὶ τῶν φορτίων χρυσὸν
2 τιθέναι, καὶ ἐξαναχωρέειν πρόσω ἀπὸ τῶν φορτίων. τοὺς δὲ Καρχηδονίους ἐκβάντας, [e] σκέπτεσθαι· καὶ ἢν [f] μὲν φαίνηταί σφι ἄξιος ὁ χρυσὸς τῶν φορτίων, [g] ἀπελόμενοι ἀπαλλάσσονται· ἢν δὲ [h] μὴ ἄξιος, ἐσβάντες ὀπίσω ἐς τὰ πλοῖα κατέαται· οἱ δὲ προσελθόντες [i] ἄλλον πρὸς ὧν
3 ἔθηκαν χρυσὸν, ἐς οὗ ἂν πείθωσι. ἀδικέειν δὲ οὐδετέρους· οὔτε γὰρ αὐτοὺς τοῦ [k] χρυσοῦ ἅπτεσθαι πρὶν ἄν σφι ἀπισωθῇ τῇ ἀξίῃ τῶν φορτίων, οὔτ' ἐκείνους τῶν φορτίων ἅπτεσθαι πρότερον ἢ αὐτοὶ τὸ χρυσίον λάβωσι.

197 Quatuor Libyæ nationes: duæ indigenæ, Libyæ et Æthiopes: advenæ totidem, Phœnices et Græci.

Οὗτοι μέν εἰσι τοὺς ἡμεῖς ἔχομεν Λιβύων ὀνομάσαι· καὶ [a] τούτων οἱ πολλοὶ βασιλέος τοῦ Μήδων [b] οὔτε τι νῦν
2 οὔτε τότε ἐφρόντιζον οὐδέν. [c] Τόσον δὲ ἔτι ἔχω εἰπεῖν περὶ τῆς χώρης ταύτης, ὅτι [d] τέσσερα ἔθνεα νέμεται [e] αὐτὴν, 368 καὶ οὐ πλέω τούτων, ὅσον ἡμεῖς [f] ἴδμεν· καὶ τὰ μὲν δύο
3 αὐτόχθονα τῶν ἐθνέων, τὰ δὲ δύο, οὔ. Λίβυες μὲν καὶ Αἰθίοπες, αὐτόχθονες· οἱ μὲν τὰ πρὸς βορέω, οἱ δὲ τὰ [g] πρὸς νότου τῆς Λιβύης οἰκέοντες· Φοίνικες δὲ καὶ Ἑλ-

[b] θέντες αὐτὰ om. S.
[c] Sic S.M.V.P.K.F. Paris. ἐφεξῆς vulgo. Tum κυματογὴν S.
[d] τοὺς—τὸν καπν. om. S. Vide Eustath. Dionys. 752.
[e] σκέψασθαι c. Ald.
[f] μὲν om. S.V.
[g] Sic M.P.K.F.d. ἀνελόμενοι S.V.a.b.c. Ald.
[h] Sic S.V.a.c. Ald. μὴ εἴη ἄξιος M.P.K.F. Mox καθέαται S.
[i] ἄλλο—χρυσίον S.V. προσανέθηκαν d.
[k] χρυσίου S.V. Mox ἀπισωθῇ M.K.P.F.A.B. ἀπισωθείῃ vulgo.

197.

[a] τουτέων] τούτων S.F. Mox F. βασιλέως. Tum τοῦ Μήδου S.
[b] οὔτ' ἔτι S.
[c] Sic M.P.K. τοσοῦτον δὲ S.V. A.B. Ald. τοσόνδε δὲ conj. Schweighæuser.
[d] τέσσαρα F.S.
[e] ταύτην M.K.P.F.b.
[f] ἴσμεν P.K.F. cf. IV. 152.
[g] πρὸς νότον S.

198 λῆνες, ἐπήλυδες. Δοκέει δέ μοι οὐδ' [a] ἀρετὴν εἶναί τις ἡ
Λιβύη σπουδαίη, ὥστε ἢ Ἀσίῃ ἢ Εὐρώπῃ παραβληθῆναι,
πλὴν Κίνυπος μούνης· τὸ γὰρ δὴ [b] αὐτὸ οὔνομα ἡ γῆ τῷ
2 ποταμῷ ἔχει. αὕτη δὲ ὁμοίη τῇ ἀρίστῃ [c] γεῶν Δήμητρος
3 καρπὸν ἐκφέρειν· οὐδὲ οἶκε οὐδὲν τῇ ἄλλῃ Λιβύῃ. [d] με-
λάγγαιός τε γάρ ἐστι, καὶ ἔπυδρος πίδαξι· καὶ οὔτε
αὐχμοῦ φροντίζουσα οὐδὲν, οὔτε ὄμβρον [e] πλέω [f] πιοῦσα
4 [g] δεδήληται· [h] ὕεται γὰρ δὴ ταῦτα τῆς Λιβύης. τῶν δὲ
ἐκφορίων τοῦ καρποῦ [i] ταὐτὰ μέτρα τῇ [k] Βαβυλωνίῃ γῇ
κατίσταται. ἀγαθὴ δὲ γῆ καὶ τὴν Εὐεσπερῖται νέμονται·
ἐπ' [l] ἑκατοστὰ γὰρ, ἐπεὰν αὐτὴ ἑωυτῆς ἄριστα ἐνείκῃ,
199 ἐκφέρει· ἡ δὲ ἐν τῇ Κίνυπι, ἐπὶ τριηκόσια. Ἔχει δὲ καὶ
ἡ Κυρηναίη χώρη, ἐοῦσα ὑψηλοτάτη ταύτης τῆς Λιβύης·
[a] τὴν οἱ Νομάδες νέμονται, τρεῖς [b] ὥρας ἐν ἑωυτῇ ἀξίας
2 [c] θώματος. πρῶτα μὲν γὰρ τὰ παραθαλάσσια τῶν καρ-
πῶν ὀργᾷ ἀμᾶσθαί τε καὶ τρυγᾶσθαι· [d] τούτων [e] δὲ [f] συγ-
κεκομισμένων, [g] τῶν ὑπερθαλασσιδίων [h] χώρων [i] τὰ μέσα
ὀργᾷ συγκομίζεσθαι, τὰ βουνοὺς καλέουσι· [k] συγκεκό-
μισταί τε [l] οὗτος ὁ μέσος καρπὸς, καὶ ὁ ἐν τῇ [m] κατ-

Libyæ terra minus bona, quam Asiæ aut Europæ: Cinyps regio fertilissima, et secundum eam regio Evesperitarum.

Cyrenaica regio editissima Libyæ Nomadicæ, tribus diversis locis octo menses autumnans.

198.
[a] ἀρετὴ εἶναι τις ἐν A. S.
[b] αὐτοῦ οὔνομα F.
[c] Sic F. γε ὧν A. B. γαρῶν d. γαιῶν S. vulgo. Mox ἔοικεν S.
[d] μελάγγεος M. K. S. πελάγγεος F.
[e] πλέον S. ὄμβρῳ d.
[f] Sic K.F. ποιοῦσα V. ποιεῦσα S. Ald. et al.
[g] δεδήλωται F.
[h] οἴεται P.
[i] τὰ αὐτὰ V.S.
[k] Sic K.P.F.b.d. Βαβυλῶνι ἡ S. Βαβυλωνίων Wessel. et al.
[l] ἑκατὸν S. Mox ἐν om. S.

199.
[a] τῆς οἱ S.V.
[b] Sic M.P.K.F.b. χώρας S.a.c. d. et vulgo.
[c] θώματος M. K. S. F. θωῦματος (aut θώυματος) alii.
[d] τουτέων] τούτων S.V.F. al.
[e] Sic S. V. τε δὴ Wessel. et al.
[f] συγκεκοσμημένων b.
[g] Sic Stephani margo, et fortasse K. τὰ ὑπερθαλασσιδίων M. F.b.d. τὰ ὑπὲρ τῶν θαλασσιδίων S. a.c. Ald.
[h] χωρέων F.
[i] τὰ μέσα om. S.V.
[k] συγκεκόσμηται V.
[l] οὕτως F.
[m] ὑπερτάτη S.V.

3 ὑπερτάτῃ τῆς γῆς πεπαίνεταί τε [n] καὶ ὀργᾷ. ὥστε ἐκπέ-
ποταί τε καὶ καταβέβρωται ὁ πρῶτος καρπὸς, καὶ ὁ
τελευταῖος συμπαραγίνεται. οὕτω ἐπ᾽ ὀκτὼ μῆνας Κυ- 1
ρηναίους ὀπώρη ἐπέχει. Ταῦτα μέν νυν ἐπὶ τοσοῦτον εἰ-
ρήσθω.

200 Persæ obsident novem menses Barcen frustra: fabri ærarii calliditas in cuniculis quos Persæ agebant deprehendendis.

Οἱ δὲ Φερετίμης τιμωροὶ Πέρσαι, ἐπεί τε ἐκ τῆς Αἰ-
γύπτου σταλέντες ὑπὸ [a] τοῦ Ἀρυάνδεω [b] ἀπίκατο ἐς τὴν
Βάρκην, ἐπολιόρκεον τὴν πόλιν, ἐπαγγελλόμενοι ἐκδιδό- 369
ναι τοὺς αἰτίους τοῦ φόνου τοῦ Ἀρκεσίλεω· [c] τῶν δὲ πᾶν 6
γὰρ ἦν τὸ πλῆθος μεταίτιον, οὐκ ἐδέκοντο τοὺς λόγους.
2 ἐνθαῦτα δὴ ἐπολιόρκεον τὴν Βάρκην ἐπὶ μῆνας ἐννέα, ὀρύσ-
σοντές τε ὀρύγματα ὑπόγαια φέροντα ἐς τὸ τεῖχος, καὶ
3 προσβολὰς καρτερὰς ποιεύμενοι. τὰ μέν νυν ὀρύγματα
ἀνὴρ χαλκεὺς ἀνεῦρε ἐπιχάλκῳ ἀσπίδι ὧδε ἐπιφρασθείς·
περιφέρων αὐτὴν ἐντὸς τοῦ τείχεος προσίσχε πρὸς τὸ δά-
4 πεδον τῆς πόλιος. τὰ μὲν δὴ ἄλλα ἔσκε κωφὰ πρὸς ἃ
[d] προσίσχε, κατὰ δὲ τὰ ὀρυσσόμενα ἤχεσκε ὁ χαλκὸς
5 τῆς ἀσπίδος. ἀντορύσσοντες [e] δ᾽ ἂν ταύτῃ οἱ Βαρκαῖοι
ἔκτεινον τῶν Περσέων τοὺς γεωρυχέοντας. τοῦτο μὲν δὴ
οὕτω ἐξευρέθη· τὰς δὲ προσβολὰς ἀπεκρούοντο οἱ Βαρ-
καῖοι.

201 Barcæi a Persis dolo ac perfidia capiuntur.

[a] Χρόνων δὲ δὴ πολλῶν τριβομένων, καὶ πιπτόντων
ἀμφοτέρων πολλῶν καὶ οὐκ ἧσσον τῶν Περσέων, Ἄμα-
2 σις, ὁ στρατηγὸς τοῦ πεζοῦ, μηχανᾶται [b] τοιάδε. μαθὼν
τοὺς Βαρκαίους, ὡς κατὰ μὲν τὸ ἰσχυρὸν οὐκ αἱρετοὶ εἶεν,

[n] καὶ ὀρ. ὥ. ἐ. τ. om. S. τε om. F.

200.

[a] Sic S. τοῦ om. F. al. Ἀριάνδεω S.

[b] Sic V. M. S. K. P. F. Paris. ἀπίκοντο vulgo.

[c] Citat Suid. in Μεταίτιον.

[d] Sic plerique cum Eustath. Il. p. 436, 35=331 extr. 918, 21=883, 42. προΐσχε K.P.F.b.d. et sic infra K.P.F.b.d.

[e] δ᾽ ἐν τ. K.P.F.b.

201.

[a] χρόνον—πολλὸν S. F. d. χρόνον—πολλῶν b.

[b] τοιάδε M.K.P.S.V.F. Paris. τάδε olim.

3 δόλῳ δὲ αἱρετοὶ, ποιέει τοιάδε. νυκτὸς [c] τάφρην ὀρύξας
εὐρέην, [d] ἐπέτεινε ξύλα ἀσθενέα ὑπὲρ αὐτῆς· κατύπερθε
δὲ ἐπιπολῆς τῶν ξύλων χοῦν γῆς ἐπεφόρησε, ποιέων τῇ
4 ἄλλῃ γῇ ἰσόπεδον. ἅμα ἡμέρῃ δὲ ἐς λόγους [e] προεκα-
λέετο τοὺς Βαρκαίους· οἱ δὲ ἀσπαστῶς ὑπήκουσαν, ἐς ὅ
5 σφι ἕαδε ὁμολογίῃ χρήσασθαι. τὴν δὲ ὁμολογίην ἐποι-
εῦντο τοιήνδε τινὰ, ἐπὶ τῆς κρυπτῆς τάφρου τάμνοντες ὅρ-
κια· "ἐς τ' ἂν ἡ γῆ αὕτη οὕτω ἔχῃ, μένειν τὸ ὅρκιον
" κατὰ χώρην· καὶ Βαρκαίους τε [f] ὑποτελέειν φάναι ἀ-
" ξίην βασιλέϊ, καὶ Πέρσας μηδὲν ἄλλο [g] νεοχμοῦν [h] κατὰ
6 " Βαρκαίων." Μετὰ δὲ τὸ ὅρκιον, Βαρκαῖοι μὲν πιστεύ-
σαντες τούτοισι, αὐτοί τε [i] ἐξήϊσαν ἐκ τοῦ ἄστεος καὶ
τῶν πολεμίων ἔων παριέναι ἐς τὸ τεῖχος τὸν βουλόμενον,
7 [k] τὰς πύλας πάσας ἀνοίξαντες. οἱ δὲ Πέρσαι καταρρή-
ξαντες τὴν κρυπτὴν γέφυραν, ἔθεον [l] ἔσω ἐς τὸ τεῖχος.
κατέρρηξαν δὲ τοῦδε εἵνεκα τὴν ἐποίησαν γέφυραν, ἵνα
[m] ἐμπεδορκέοιεν, ταμόντες τοῖσι Βαρκαίοισι χρόνον μένειν
αἰεὶ τὸ ὅρκιον, ὅσον ἂν ἡ γῆ μένῃ κατὰ τὰ τότε εἶχε· κατ-
αρρήξασι δὲ, οὐκέτι ἔμενε τὸ ὅρκιον κατὰ χώρην.

202 Τοὺς μέν νυν αἰτιωτάτους τῶν Βαρκαίων ἡ Φερετίμη, ἐπεί τέ οἱ ἐκ τῶν Περσέων παρεδόθησαν, ἀνεσκολόπισε κύκλῳ τοῦ τείχεος· τῶν δέ σφι γυναικῶν τοὺς [n] μαζοὺς

Pheretimæ crudelitas 370 in cædis

[c] τάφρην M.P.K. Suid. in Τάφρος. τάφρον F.a.c.b.S. Ald. cf. IV. 28. Mox εὐρέαν S.

[d] ἀπέθηκε S.

[e] Sic P. a. d. προεκαλέεται F. προσεκαλέετο vulgo. S. Mox οὕτως ἔχει S.

[f] Sic P.V.F. Paris. ὑποτελέην M.K. ὑπὸ τελέην S.

[g] ἐνοχλοῦν S.

[h] Sic Ald. F.a.b.c. κατὰ Βαρκαίους S.M.K.P. cf. V. 19.

[i] Sic P.F. Paris. Alii ἐξήεσαν cum S.

[k] πύλας om. S. ἁπάσας S.V. τὰς πάσας πύλας F.

[l] Sic S.V.a.c. Ald. ἔξω M.K. P.b. ἔθεον—γέφυραν om. F.

[m] Suid. in v. et in Φερετίμα.

202.

[n] μαστοὺς S. (sed e ras.) V. Schæfer.

filii principes et eorum uxores: Barcæi reliqui, præter Battiadas et cædis in-
203
sontes, in servitutem abducuntur. Persæ conati sero et frustra Cyrenen occupare, in Ægyptum redeuntes accipiunt a Libybus detrimenta.

2 ἀποταμοῦσα περιέστιξε καὶ τούτοισι τὸ τεῖχος. τοὺς δὲ
λοιποὺς τῶν Βαρκαίων ληΐην [b] ἐκέλευσε θέσθαι τοὺς Πέρ-
σας, πλὴν ὅσοι [c] αὐτῶν ἦσαν Βαττιάδαι τε καὶ τοῦ φόνου
οὐ μεταίτιοι· τούτοισι δὲ τὴν πόλιν [d] ἐπέτρεψε ἡ Φερε-
τίμη. Τοὺς ὦν δὴ λοιποὺς τῶν Βαρκαίων οἱ Πέρσαι [a] ἀν-
δραποδισάμενοι [b] ἀπήεσαν ὀπίσω· καὶ ἐπεί τε ἐπὶ τῇ
Κυρηναίων πόλι ἐπέστησαν, οἱ Κυρηναῖοι λόγιόν τι [c] ἀπο-
2 σιεύμενοι διεξῆκαν αὐτοὺς διὰ τοῦ ἄστεος. διεξιούσης δὲ
τῆς στρατιῆς, [d] Βάρης μὲν ὁ τοῦ ναυτικοῦ στρατοῦ στρα-
τηγὸς ἐκέλευε αἱρέειν τὴν πόλιν, Ἄμασις δὲ ὁ τοῦ πεζοῦ
οὐκ ἔα· "ἐπὶ Βάρκην γὰρ ἀποσταλῆναι μούνην Ἑλλη-
3 "νίδα πόλιν." ἐς ὃ διεξελθοῦσι, καὶ ἱζομένοισι ἐπὶ Διὸς
Λυκαίου [e] ὄχθον, μετεμέλησέ σφι οὐ σχοῦσι τὴν Κυρήνην,
καὶ [f] ἐπειρῶντο τὸ δεύτερον παριέναι ἐς αὐτήν· οἱ δὲ Κυ-
4 ρηναῖοι οὐ περιώρεον. τοῖσι δὲ Πέρσῃσι, οὐδενὸς μαχο-
μένου, φόβος ἐνέπεσε· ἀποδραμόντες [g] τε ὅσον ἑξήκοντα
στάδια, ἵζοντο. [h] ἱδρυθέντι δὲ τῷ στρατοπέδῳ ταύτῃ ἦλθε
5 παρὰ [i] Ἀρυάνδεω ἄγγελος, ἀποκαλέων αὐτούς. οἱ δὲ
Πέρσαι Κυρηναίων δεηθέντες [k] ἐπόδιά σφι δοῦναι, ἔτυχον·
λαβόντες δὲ ταῦτα, ἀπαλλάσσοντο ἐς τὴν Αἴγυπτον.
6 παραλαβόντες δὲ τὸ ἐνθεῦτεν αὐτοὺς Λίβυες, τῆς τε ἐσθῆ-
τος εἵνεκα καὶ τῆς σκευῆς τοὺς ὑπολειπομένους [l] αὐτῶν

[b] ἐκέλευε F.

[c] αὐτέων ἔσαν] αὐτῶν ἦσαν F. αὐτέων ἦσαν S.

[d] ἐπέτραψε] ἐπέτρεψεν S.P.F.a.b.

203.

[a] Sic M.S.V.P.K.F. Paris. ἐξανδραπ. vulgo.

[b] ἀπίεσαν F.c.

[c] ἀποσιεύμενοι K. V. F. Paris. ἀποσειεύμενοι S. vulgo. cf. 154.

[d] Μάνδρης S. cf. 167.

[e] Sic M.S.P.K.F. Paris. ὄχθην Ald. et al.

[f] ἐπειρωτῶντο K. Mox Κυρηναῖοι περιώρων S. absque οὐ.

[g] Sic F. δὲ ὅσον S. vulgo. "ὅσον τε P. loco ὅσον δε." Ita Wessel. δὲ ὅσον τε Schæfer.

[h] ἱδρυνθέντι P.

[i] Ἀριανδ. S. Ald. Vall.

[k] Sic Ald. et forte Paris. ἐφόδια M.S.P.F.

[l] αὐτέων] αὐτῶν F.S.

καὶ [m] ἐπελκομένους ἐφόνευον, [n] ἐς ὃ ἐς τὴν Αἴγυπτον [o] ἀπ-
204 ικέατο. Οὗτος ὁ Περσέων στρατὸς τῆς Λιβύης ἑκαστάτω
ἐς Εὐεσπερίδας ἦλθε. τοὺς δὲ [a] ἠνδραποδίσαντο τῶν Βαρ-
καίων, τούτους δὲ ἐκ τῆς Αἰγύπτου [b] ἀνασπάστους [c] ἐποί-
ησαν παρὰ [d] βασιλέα· βασιλεὺς δέ σφι Δαρεῖος ἔδωκε
2 τῆς Βακτρίης χώρης κώμην ἐγκατοικῆσαι. οἱ δὲ τῇ κώμῃ
ταύτῃ οὔνομα ἔθεντο Βάρκην, ἥπερ ἔτι καὶ ἐς ἐμὲ ἦν [e] οἰ-
205 κευμένη ἐν [f] τῇ γῇ τῇ Βακτρίῃ. Οὐ μὲν οὐδὲ ἡ Φερετίμη
εὖ τὴν [a] ζόην κατέπλεξε. ὡς γὰρ δὴ τάχιστα ἐκ τῆς Λι-
βύης, τισαμένη τοὺς Βαρκαίους, ἀπενόστησε ἐς τὴν Αἴ-
2 γυπτον, ἀπέθανε κακῶς· ζῶσα γὰρ εὐλέων [b] ἐξέζεσε. ὡς
ἄρα ἀνθρώποισι αἱ λίην ἰσχυραὶ τιμωρίαι πρὸς θεῶν ἐπί-
φθονοι γίνονται. ἡ μὲν δὴ Φερετίμης τῆς [c] Βάττεω τοιαύτη
τε καὶ τοσαύτη τιμωρίη ἐγένετο ἐς Βαρκαίους.

Barcæis captis vicus in Bactria datur ad incolendum.

371 Pheretima interit fœdo morbo, quum viva vermibus ebullisset.

[m] ἐφελκ. S.V.
[n] ἐς οὗ S.V.
[o] Sic F. ἀπίκατο S.V. ἀπίκοντο M.P.K. ἀπικνέατο b.

204.

[a] ἠνδραπόδισαν S.
[b] ἀνασπάστους S.V.P. Paris. F. ἀναστάτους olim.
[c] ἐποιήσαντο S.V.
[d] βασιλῆα] βασιλέα F.S.
[e] Sic S. οἰκεομένη F. Ald. al.
[f] τῇ om. F.

205.

[a] ζωὴν S. et F. altera lectione suprascripta.
[b] Sic Ald. M. S. Suid. v. Εὐλαί. ἔζεσε K.P.F.b.
[c] Βατταίου K.F.S. Claudit librum P. sic: ΗΡΟΔΟΤΟΥ Δ ΧΧΧΗΗΙ͞Δ͞ΙΙΙΙ. significans in eo codice e quo ducta ista nota est, quartum Herodoti librum complesse versus 3253.

ʽΙΣΤΟΡΙΩΝ ʽΗΡΟΔΟΤΟΥ Δʹ.

Date Due

JAN 20 '56	C2003		
FEB -7 '56	C2003		
[illegible]	C2003		
MAR -3 '56	C2003		
	C2003		
MAR 23 '56			
[illegible] '56	C2003		
[illegible] '56	C2003		
[illegible] '56	C2003		
[illegible]	C2003		
[illegible]	C2003		
Sept 1, 56	C2003		
SEP 28 '56	A1782